IN HOMILIAM DE RESURRECTIONE MORTUORUM

MONITUM.

Quo tempore hanc habuerit homiliam Chrysostomus, ipse a principio nec obscure indicat his vernis, Περὶ δογμάτων ὑμῖν ἔμπροσθεν διελέχθημεν καὶ τῆς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ δόξης, ἐπιστομίζοντες τοὺς καθαιροῦντας αὐτοῦ τὴν ἀξίαν, καὶ τοῦ γεγεννηκότος αὐτὸν ἀλλοτριοῦντας, *De fidei nostræ dogmatibus, deque gloria unigeniti Filii Dei pridem apud vos disseruimus, obturantes eorum ora, qui gloriam illi detrahunt: et a genitore suo alienum dicunt.* Conciones vero [422] contra Anomœos, qui gloriam Unigeniti labefactare curabant, hic commemorat, quas ineunte anno 386 absolvit, ut in Monito ad easdem probavimus. Hinc vero arguitur hanc homiliam sub initium anni 387 habitam fuisse, et quidem ante Quadragesimam illius anni, quam totam in deplorandis Antiochenorum post eversas statuas calamitatibus consumpsit. Vide Monitum ad homilias illas in hujusce tomi principio.

Hujusce porro concionis argumentum in exordio statuit S. Doctor. Agitur de Resurrectione mortuorum, cujus veritas passim asseritur : de instituenda secundum Deum vita : de adeundis perpensa præmii magnitudine laboribus : nonnullam bonorum operum mercedem etiam in hac vita tribui, Pauli exemplo comprobatur. Manichæi etiam obiter confutantur, qui corpora et naturam humanam per se malam esse mentiebantur.

Interpretationem incerti cujusdam viri, multis in locis castigatam, e regione Græci contextus edidimus.

ΠΕΡΙ

ΤΗΣ ΤΩΝ ΝΕΚΡΩΝ ΑΝΑΣΤΑΣΕΩΣ

ΟΜΙΛΙΑ *.

α'. Περὶ δογμάτων ὑμῖν ἔμπροσθεν διελέχθημεν καὶ τῆς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ δόξης, ἐπιστομίζοντες τοὺς καθαιροῦντας αὐτοῦ τὴν ἀξίαν, καὶ τοῦ γεγεννηκότος αὐτὸν ἀλλοτριοῦντας· σήμερον τὸν ἠθικώτερον βούλομαι γυμνάσαι λόγον, καὶ περὶ βίου καὶ πολιτείας ἅπασαν ποιήσασθαι τὴν παραίνεσιν· μᾶλλον δὲ οὐκ ἠθικὸς ἔσται μόνον, ἀλλὰ καὶ δογματικὸς οὗτος ὁ λόγος· εἰς γὰρ τὴν περὶ τῆς ἀναστάσεως ὑπόθεσιν καθεῖναι παρασκευάζομαι. Αὕτη δὲ ἡ ὑπόθεσις ποικίλη τίς ἐστιν, ὁμοῦ καὶ εἰς δόγματα ἡμᾶς διορθοῦσα, καὶ τὸν βίον ἡμῶν ῥυθμίζουσα, καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἁπάσης ἀπαλλάττουσα κατηγορίας. Καὶ ὥσπερ ἀπιστουμένη, τὴν ζωὴν ἀνατρέπει τὴν ἡμετέραν, καὶ μυρίων κακῶν ἐμπίπλησι, καὶ τὰ ἄνω κάτω ποιεῖ· οὕτω πιστευομένη, τοὺς περὶ τῆς Προνοίας ἡμῖν συνεισάγει λόγους, καὶ πολλὴν τῆς ἀρετῆς παρασκευάζει ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ μετὰ πολλῆς τῆς σπουδῆς τὴν κακίαν φεύγειν, καὶ γαλήνης ἅπαντα καὶ εἰρήνης πληροῖ. Ὁ μὲν γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι, μηδὲ εὐθύνας δώσειν τῶν ἐνταῦθα πεπραγμένων αὐτῷ, ἀλλὰ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα στήσεσθαι νομίζων, καὶ πεπαιτέρω μηδὲν εἶναι πλέον, οὔτε ἀρετῆς ἐπιμελήσεται· πῶς γὰρ, μηδεμίαν προσδοκῶν ἀμοιβὴν αὐτῷ κεῖσθαι τῶν πόνων; οὔτε κακίας ἀφέξεται, μηδεμίαν προσδοκῶν ὑποστήσεσθαι κόλασιν τῶν κακῶς αὐτῷ πεπραγμένων· ἀλλ' ἐπιδοὺς ἑαυτὸν ταῖς ἀτόποις ἐπιθυμίαις, πᾶν εἶδος ἐπελεύσεται πονηρίας. Ὁ δὲ περὶ τῆς μελλούσης πεπεικὼς ἑαυτὸν κρίσεως, καὶ τὸ φοβερὸν δικαστήριον ἐκεῖνο πρὸ τῶν ὀφθαλμῶν ἔχων, καὶ τὰς ἀπαραιτήτους εὐθύνας καὶ τὴν ἀπαραλόγιστον ψῆφον, παντὶ τρόπῳ πειράσεται σωφροσύνης

* Collata cum codice Colbertino 3058.

DE

RESURRECTIONE MORTUORUM

HOMILIA.

1. *Futuri judicii metus ad vitam instituendam juvat.* — De fidei nostræ dogmatibus, deque gloria unigeniti Filii Dei pridem apud vos disseruimus, obturantes hæreticorum ora, qui gloriam illi detrahunt, et a Genitore suo illum alienum dicunt : hodie de moribus, deque vita instituenda sermonem in medium afferre et in genere admonere decrevimus. Imo sermo non moralis solum, sed etiam dogmaticus erit : paratus enim sum, ut ad materiam de resurrectione descendam. Quod sane argumentum varium est et copiosum : nam et in iis, quæ fidei sunt, nos dirigit, et vitam nostram componit, et divinam providentiam ab omnibus calumniatoribus vindicat. Et quemadmodum cum non creditur, vitam nostram subvertit, malisque sexcentis implet, sursum deorsumque factis omnibus : ita cum creditur, providentiam multis rationibus adstruit, et nos ad diligentem virtutis curam promovet, vitia magno studio expellit, omnia denique tranquillitate complet ac pace. Etenim, ut nulla illi virtutis cura est, qui resurrectionem non exspectat, quique credit se non redditurum rationem de iis quæ hic operatus est, sed opinatur res nostras tantum inter angustos præsentis vitæ limites contineri, neque ultra se extendere : quomodo enim virtutis ulla ei cura esset, qui nullam laborum retributionem sibi repositam exspectat? neque peccare desinet, et cum nihil suppliciorum imminere suis male actis credat ; permittit sese fœdis concupiscentiis, et in nullum non peccandi genus ruit. Ita et qui sibi persuadet futurum aliquando judicium, et ante oculos statuit terribile illud tribunal, et indeclinabiles expostulationes, et

mevitabilem sententiam : is modis omnibus combitor, ut studeat temperantiæ et æquitati atque aliis virtutibus, et effugiat intemperantiam, temeritatem omniaque alia vitia : hic quoque poterit magna virtute repellere eos, qui divinam calumniantur providentiam.

Providentia Dei defenditur. — Etenim vero sunt nonnulli, qui ubi viderint mansuete et caste et juste viventes modestiis et calumniis premi, vix necessarium victum habere, sæpe etiam morbo longo et gravi valetudine macerari, et in summa, omni carere subsidio; et e diverso maleficos et pollutos homines planeque flagitiosos affluere divitiis, deliciari, nitidis vestibus amiciri, domesticorum agmen post se trahere, in admiratione esse, magistratus gerere, multam apud Imperatorem fiduciam habere, mox divinam arguunt providentiam, et dicunt : Ubinam providentia illa? aut ubi justum judicium? sobrius et innocens male habet, intemperans et corruptus feliciter agit : et hic quidem admirationi est, ille vero ludibrio : hic variis fruitur deliciis, ille autem inops extremis pessumdatur incommodis. Tum igitur is, qui de futuris dubitat, conticescet : at qui de resurrectione bene senserit, et sapienter disputare noverit, facile quidquid id est blasphemiæ diluet, et illis tam stomachabunde disputantibus dicet : Compescite linguam vestram, et adversus Deum, qui vos fecit, eam ne exacueritis. Non enim res nostræ in hac solum vita durant, sed festinamus ad vitam aliam multo longiorem, imo finem minime habentem; et ibi omnino pauper iste, qui juste vivit, laborum suorum mercedem accepturus est : intemperans autem et maleficus malitiæ suæ illicitæque voluptatis daturus est pœnas. Proinde non a præsentibus solum de divina providentia sententiam feramus, sed etiam a futuris : præsentia certamen quoddam sunt, et labores, et stadium; futura vero præmia, coronæ, et brabia. Sicut ergo athletæ in theatro, et in sudore, et pulvere, et æstu multo, et laboribus et ærumnis pugnandum est : ita et justum hic multa sustinere oportet, et ferre omnia viriliter, siquidem præclaras illic accepturus est coronas. Et si sunt nonnulli, quos perturbat impiorum felicitas, hi secum perpendant, quod quemadmodum et latrones, et sepulcrorum effossores, et homicidæ, et piratæ priusquam ad judicem trahantur, multis deliciis fruuntur, et ex aliena calamitate suam constituentes abundantiam, injustisque opibus locupletati, quotidie inebriantur; ubi autem judicis sententiam subibunt, omnium illorum luent pœnam : ita et illi qui scorta mercantur, et Sybariticas mensas instruunt, et supercilia surrigunt, et fastu in foro pleni pauperes opprimunt; quando unigenitus Dei Filius aderit cum angelis suis, et sedens super thronum illum, orbem terrarum in medium adduxerit : tunc nudi et omni suo splendore destituti adducentur, et nullum vel advocatum, vel patronum habentes, absque venia in igneos fluvios projicientur. Quapropter neque hos beatos dixeris ob præsentes delicias, sed potius defle et deplora ob futura supplicia; neque justum illum miserum existimaveris ob præsentem paupertatem, sed pro beato habe ob subsequentes bonorum divitias, et in tuo animo sermonem hunc de resurrectione radices agere cura : ut si bonus fueris et tenteris, probatior evadas, majoremque alacritatem per spem futurorum accipias : sin malus, a malitia desistas, et continentior fias ob timorem futuri supplicii.

2. Idcirco et Paulus de resurrectione nobis subinde verba facit, quemadmodum et hodie audivistis ipsum clamantem, et dicentem : *Scimus enim quod si terrestre nostrum domicilium tabernaculi hujus dissolvatur, domum ex Deo habemus non manufactam, æternam, in cœlis* (2. *Cor.* 5. 1). Imo altius sermonem ducamus, et videamus quomodo in sermonem de resurrectione inciderit. Neque enim simpliciter neque fortuito hanc nobis afferre solet doctrinam : sed quia simul docere vult quæ futura sunt, et athletas pietatis confirmare studet. Nunc quidem gratia Dei multa pace fruimur : etenim Imperatores piam religionem sectantur, et principes veritatem agnoverunt, et populi, et civitates, et gentes erroribus liberati, Christum omnes adorant : tunc autem in principio prædicationis, cum nuper pietatis semina jacta essent, magnum prælium erat multiplexque ac varium. Nam principes et reges et domestici et cognati et omnes impugnabant fideles : et repugnante natura ipsa bellum oriebatur. Pater enim filium tradebat sæpe, et filiam mater, et servum herus. Neque enim civitates solæ, neque regiones, sed et domus nonnumquam in seipsas sectæ erant, eratque tumultus, qui tunc sæviebat, atrocior quam intestinum quodvis bellum. Nam facultates rapiebantur, libertas auferebatur, et vitæ periculum imminebat, non quod barbari in nos incursionem facerent, sed qui videbantur nobis præesse et dominari, pejus erga subditos, quam bellatores omnes affecti erant. Et hoc declarat Paulus, ac dicit : *Grave certamen passionum sustinuistis : et in altero quidem opprobriis et tribulationibus spectaculum facti : in altero autem socii taliter conversantium effecti. Nam et vinculis meis compatiebamini, et direptionem facultatum vestrarum cum gaudio tulistis* (*Hebr.* 10. 32-34). Ad Galatas autem dicit : *Tanta passi estis frustra, si modo et frustra* (*Gal.* 3. 4). Thessalonicensibus quoque, et Philippensibus, et in genere omnibus, Paulus scribens, multa ejusmodi testatur. Neque hoc solum erat grave, quod foris frequens bellum gerebatur, et continuum; sed quod et inter fideles ipsos exorta fuerunt nonnulla scandala, et lites, et contentiones, et æmulationes : quæ et ipsa manifestat Paulus dicens : *Foris pugnæ, intus timores* (2. *Cor.* 7. 5). Verum istud ipsum bellum multo atrocius erat et subditis et præceptoribus : profecto non tantum inimicorum insidias formidabat Paulus, quantum domesticas, et quæ intra Ecclesiam contingebant, ruinas et transgressiones. Nam cum apud Corinthios scortatus esset quidam (1. *Cor.* 5. *et* 2. *Cor.* 2), omni tempore illum lugens perseverabat, ita ut viscera sua disrumperet, et amare ejularet.

Christianæ vitæ perfectio. — Erat et tertium genus quoddam non minus molestiarum, quam dictum est,

μὲν καὶ ἐπιεικείας ἀντέχεσθαι καὶ τῆς ἄλλης ἀρετῆς, ἀκολασίαν δὲ καὶ θρασύτητα καὶ τὴν ἄλλην ἅπασαν πονηρίαν φεύγειν· καὶ τοὺς κατηγοροῦντας δὲ τῆς τοῦ Θεοῦ προνοίας μετὰ πολλῆς τῆς περιουσίας ἐντεῦθεν ἐπιστομίσαι οὗτος δυνήσεται.

Ὅταν γὰρ ὁρῶντές τινες τοὺς μὲν ἐπιεικεῖς καὶ σώφρονας καὶ ἐν δικαιοσύνῃ ζῶντας [423] ἀγχομένους ὑπὸ πενίας, ἐπηρεαζομένους, συκοφαντουμένους, μόλις τῆς ἀναγκαίας εὑποροῦντας τροφῆς, πολλάκις δὲ καὶ νόσῳ μακρᾷ καὶ χαλεποῖς νοσήμασι ταριχευομένους, καὶ οὐδεμιᾶς τυγχάνοντας προστασίας, ἀνθρώπους δὲ γόητας καὶ μιαροὺς καὶ πολλῶν γέμοντας κακῶν πλοῦτον περιβεβλημένους, τρυφῶντας, λαμπρὰ περικειμένους ἱμάτια, ἑτμὸν οἰκετῶν ἐπισυρομένους πολὺν, θαυμαζομένους, δυναστείας ἀπολαύοντας, παρὰ βασιλεῖ πολλὴν κεκτημένους παῤῥησίαν· εἶτά τινες ὑπὲρ τούτων κατηγοροῦσι[a] τῆς τοῦ Θεοῦ προνοίας, καὶ λέγωσι· Ποῦ ταῦτα προνοίας; ποῦ δὲ δικαίας κρίσεως; ὁ σώφρων καὶ ἐπιεικὴς ἐν κακοῖς, ὁ ἀκόλαστος καὶ διεφθαρμένος ἐν ἀγαθοῖς καὶ οὗτος μὲν θαυμάζεται, ἐκεῖνος δὲ καταφρονεῖται· οὗτος ἀπολαύει τρυφῆς πολλῆς, ἐκεῖνος ἐν πενίᾳ καὶ τοῖς ἐσχάτοις ἐστὶ κακοῖς· ὁ μὲν περὶ τῶν μελλόντων ἀμφιβάλλων σιωπηθήσεται, καὶ οὐδὲν ὅλως ἐρεῖ· ὁ δὲ περὶ ἀναστάσεως φιλοσοφεῖν εἰδὼς, ῥᾳδίως τὴν βλασφημίαν ἐφέξει, καὶ πρὸς τοὺς τὰ τοιαῦτα ἀποδυσπετοῦντας ἐρεῖ· Παύσασθε κατὰ τοῦ πεποιηκότος ὑμᾶς Θεοῦ τὴν γλῶτταν ἀκονῶντες τὴν ἑαυτῶν. Οὐ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα ἔστηκε πράγματα, ἀλλὰ πρὸς ἑτέραν ζωὴν ἐπειγόμεθα πολλῷ μακροτέραν, μᾶλλον δὲ πέρας οὐκ ἔχουσαν· κἀκεῖ πάντως ὁ μὲν πένης οὗτος καὶ μετὰ δικαιοσύνης ζῶν, τῶν πόνων τούτων λήψεται τὰς ἀμοιβὰς, ὁ δὲ ἀκόλαστος καὶ γόης, τῆς πονηρίας ταύτης καὶ τῆς ἀδίκου τρυφῆς δώσει τὴν δίκην. Μὴ τοίνυν ἀπὸ τῶν παρόντων μόνον περὶ τῆς τοῦ Θεοῦ ψηφισώμεθα προνοίας, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων. Τὰ γὰρ παρόντα ἀγών ἐστι καὶ σκάμματα καὶ στάδιον, τὰ δὲ μέλλοντα ἔπαθλα καὶ στέφανοι καὶ βραβεῖα. Ὥσπερ οὖν τὸν ἀθλητὴν, ἐν τῷ σκάμματι καὶ ἱδρῶτι καὶ κόνει καὶ θέρμῃ πολλῇ καὶ πόνοις καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ, οὕτω καὶ τὸν δίκαιον ἐνταῦθα πολλὰ ὑπομένειν χρὴ καὶ φέρειν ἅπαντα γενναίως, εἴ γε μέλλοι λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους ἐκεῖ. Εἰ δὲ αἱ τῶν πονηρῶν εὐημερίαι θορυβοῦσί τινας, καὶ ἐπὶ τούτων ἐκεῖνο λογιζέσθωσαν πάλιν, ὅτι, καθάπερ λῃσταὶ καὶ τυμβωρύχοι καὶ ἀνδροφόνοι καὶ οἱ τὴν Σάλασσαν πλέοντες πειραταὶ, πρὶν ἢ εἰς τὸ δικαστήριον εἰσελθεῖν, πολλῆς ἀπολαύουσι τρυφῆς, οἰκείαν εὐπορίαν τὰς ἀλλοτρίας ποιούμενοι συμφορὰς, καὶ τὸν ἄδικον κτώμενοι πλοῦτον, καὶ καθ' ἑκάστην μεθύοντες τὴν ἡμέραν· ἐπειδὰν δὲ ὑπὸ ταῖς τοῦ δικαστοῦ γένωνται ψήφοις, πάντων ἐκείνων διδόασι δίκην· οὕτω καὶ οὗτοι οἱ πόρνας ἀγοράζοντες, καὶ τὰς Συβαριτικὰς παρατιθέμενοι τραπέζας, καὶ τὰς ὀφρῦς ἀνασπῶντες, καὶ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ τοὺς πένητας σπαράττοντες, ὅταν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ παραγένηται μετὰ τῶν ἀγγέλων τῶν ἑαυτοῦ, καὶ ἐπὶ τοῦ βήματος ἐκείνου καθίσῃ, καὶ τὴν οἰκουμένην εἰς μέσον παραγάγῃ, γυμνοὶ καὶ πάσης ἔρημοι τῆς φαντασίας εἰσενεχθέντες, καὶ οὐδένα συνήγορον οὐδὲ προστάτην ἔχοντες, χωρὶς συγγνώμης ἁπάσης εἰς τοὺς τοῦ πυρὸς ἀπενεχθήσονται ποταμούς. Μὴ τοίνυν μήτε τούτους μακαρίσῃς διὰ τὴν ἐνταῦθα τρυφὴν, ἀλλὰ δάκρυσον διὰ τὴν μέλλουσαν τιμωρίαν· μηδὲ τὸν δίκαιον ταλαίνισῃς διὰ τὴν ἐνταῦθα πενίαν, ἀλλὰ μακάρισον διὰ [424] τὸν μέλλοντα τῶν ἀγαθῶν πλοῦτον, καὶ τὸν περὶ τῆς ἀναστάσεως λόγον ἐν τῇ σαυτοῦ διανοίᾳ ῥίζωσον, ἵνα, κἂν ἀγαθὸς ᾖς καὶ πειράζῃ, δοκιμώτερος γένῃ, ταῖς μελλούσαις ἐλπίσι προθυμίαν μείζονα προσλαμβάνων· κἂν κακὸς ᾖς, ἀποστῇς τῆς πονηρίας, τῷ φόβῳ τῆς μελλούσης κολάσεως σωφρονέστερον σεαυτὸν κατασκευάζων.

β'. Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς ἡμῖν τὸν περὶ ἀναστάσεως κινεῖ λόγον, καθάπερ οὖν καὶ σήμερον ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· *Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἐκ Θεοῦ ἔχομεν ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐρανοῖς.* Μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, καὶ ἴδωμεν πόθεν ἐνέπεσεν εἰς τὸν περὶ ἀναστάσεως λόγον. Οὐ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, ταύτην συνεχῶς κινεῖ τὴν διδασκαλίαν· ἀλλ' ὁμοῦ τε διδάξαι βουλόμενος τὰ μέλλοντα, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπιῤῥῶσαι θέλων. Νῦν μὲν γὰρ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλῆς ἀπολαύομεν τῆς εἰρήνης· καὶ γὰρ βασιλεῖς ἐν εὐσεβείᾳ ζῶσι, καὶ ἄρχοντες τὴν ἀλήθειαν ἐπέγνωσαν, καὶ δῆμοι καὶ πόλεις καὶ ἔθνη τῆς πλάνης ἀπαλλαγέντες, τὸν Χριστὸν ἅπαντες προσκυνοῦσι· τότε δὲ ἐν ἀρχῇ τοῦ κηρύγματος, ἅρτι τῶν σπερμάτων τῆς εὐσεβείας καταβαλλομένων, πολὺς ὁ πόλεμος καὶ διάφορος καὶ ποικίλος. Καὶ γὰρ ἄρχοντες καὶ βασιλεῖς καὶ οἰκεῖοι καὶ συγγενεῖς καὶ πάντες τοῖς πιστοῖς ἐπολέμουν, καὶ διὰ τῆς φύσεως αὐτῆς ὁ πόλεμος ἦρετο. Καὶ γὰρ πατὴρ τέκνον παρέδωκε πολλάκις, καὶ θυγατέρα μήτηρ, καὶ οἰκέτην δεσπότης. Οὐδὲ γὰρ αἱ πόλεις μόνον, οὐδὲ αἱ χῶραι, ἀλλὰ καὶ οἰκίαι πολλάκις καθ' ἑαυτὰς ἐμάχοντο· καὶ παντὸς ἐμφυλίου πολέμου χαλεπώτερος ἦν ὁ τότε κατέχων θόρυβος. Καὶ γὰρ καὶ χρήματα ἁρπάζετο, καὶ ἐλευθερία προεδίδοτο, καὶ περὶ αὐτῆς τῆς ζωῆς ὁ κίνδυνος ἐπεκρέματο, οὐχὶ βαρβάρων ἐπιτρεχόντων καὶ ἐπηρεαζόντων, ἀλλ' αὐτῶν τῶν δοκούντων προεστάναι καὶ ἄρχειν, πολεμίων ἁπάντων χαλεπώτερον τοὺς ἀρχομένους διατιθέντων. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν, ὅτι *Πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε.* Καὶ Γαλάταις δέ φησι· *Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴ γε καὶ εἰκῇ.* Καὶ Θεσσαλονικεῦσι δὲ, καὶ Φιλιππησίοις, καὶ πᾶσιν ἁπλῶς οἷς ἐπιστέλλει, πολλὰ τοιαῦτα μαρτυρεῖ. Καὶ οὐ τοῦτο μόνον ἦν τὸ χαλεπὸν, ὅτι πολὺς ὁ πόλεμος ἔξωθεν κεκίνητο καὶ διηνεκὴς, ἀλλ' ὅτι καὶ ἐν αὐτοῖς τοῖς πιστοῖς συνέβαινε γίνεσθαί τινα σκάνδαλα καὶ ἔριδας καὶ φιλονεικίας καὶ ζηλοτυπίας· καὶ ταῦτα αὐτὰ δηλῶν ὁ Παῦλος ἔλεγεν· *Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι.* Καὶ οὗτος ἐκείνου χαλεπώτερος ὁ πόλεμος ἦν, καὶ τοῖς ἀρχομένοις καὶ τοῖς διδασκάλοις. Οὐχ οὕτω γοῦν τῶν ἐχθρῶν ἐδεδοίκει τὰς ἐπιβουλὰς ὁ Παῦλος, ὡς τὰ ἔνδον πτώματα, καὶ τὰς τῶν οἰκείων παρανομίας. [425] Ὅτε γοῦν ἐπόρνευσέ τις παρὰ Κορινθίοις, ἅπαντα τὸν χρόνον ἐκεῖνον πενθῶν διετέλεσε, τὰ σπλάγχνα σπαράττων τὰ ἑαυτοῦ, καὶ πικρὸν ὀλολύζων.

Ἦν τι καὶ τρίτον οὐκ ἔλαττον τῶν εἰρημένων, πολὺν ἐπάγον τοῖς πιστεύουσι πόνον, αὐτὴ τῶν πρα-

[a] Colbert. κατηγοροῦσι, et paulo post λέγουσι.

γμάτων ἡ φύσις πολλῶν ἱδρώτων ἐμοῦσα καὶ πόνων. Οὐ γὰρ εὐκολος καὶ ῥᾳδία τις ἦν ἡ ὁδὸς, ἐφ' ἣν ἦγον αὐτοὺς οἱ ἀπόστολοι, ἀλλὰ τραχεῖα καὶ δυσκατόρθωτος καὶ φιλοσόφου τινὸς καὶ ἀγρύπνου δεομένη ψυχῆς καὶ ἠκριβωμένης πανταχόθεν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς στενὴν καὶ τεθλιμμένην αὐτὴν ἐκάλεσεν. Οἱ γὰρ ἐξῆν ἀδεῶς ζῆν, καθάπερ παρὰ τοῖς Ἕλλησιν, ἐν αἰσχρότητι καὶ μέθῃ καὶ ἀδδηφαγίᾳ καὶ τρυφῇ καὶ πολυτελείᾳ· ἀλλ' ἔδει καὶ θυμὸν χαλινοῦν, καὶ ἐπιθυμίας ἀτόπου κρατεῖν, καὶ χρημάτων ὑπερορᾶν, καὶ δόξαν καταπατεῖν, καὶ φθόνου καὶ βασκανίας ἀνώτερον εἶναι. Ταῦτα δὲ ἦλιξον πόνον παρέχει, ἴσασιν οἱ καθ' ἡμέραν αὐτοῖς πυκτεύοντες. Τί γὰρ ἐπιθυμίας ἀτόπου χαλεπώτερον εἰπέ μοι, ἢ, καθάπερ κύων λυττῶν, συνεχῶς ἡμῖν ἐπιπηδᾷ, καὶ καθ' ἡμέραν ἡμῖν διενοχλεῖ, καὶ δεῖται διηνεκῶς ἐγρηγορυίας ψυχῆς; Τί δὲ καὶ ὀργῆς πικρότερον; Γλυκὺ μὲν γὰρ τὸ τὸν ἠδικηκότα ἀμύνασθαι, ἀλλὰ τοῦτο οὐκ ἐξῆν. Καὶ τί λέγω, τὸν ἠδικηκότα οὐκ ἐξῆν ἀμύνασθαι; Εὐεργετεῖ ἔδει τοὺς λυποῦντας, καὶ εὐλογεῖν τοὺς λοιδορουμένους, καὶ μηδὲ ῥῆμα πικρὸν ἐκβάλλειν ποτέ· καὶ σωφροσύνην δὲ, οὐ τὴν μέχρι τῶν ἔργων μόνον, ἀλλὰ καὶ τὴν μέχρι τῆς ἐννοίας ἐπιδείκνυσθαι ἔδει. Οὐ γὰρ μόνον αὐτῆς τῆς ἀκολάστου πράξεως, ἀλλὰ καὶ ὄψεως τῆς τοιαύτης ἀπέχεσθαι δεῖ, καὶ μηδὲ ἐντρυφᾷν ταῖς ὄψεσι τῶν εὐμόρφων γυναικῶν, ὡς καὶ ὑπὲρ τῆς θεωρίας ταύτης τὴν ἐσχάτην μέλλοντας ὑποστήσεσθαι δίκην. Ἐπεὶ οὖν πολὺς ὁ πόλεμος ἦν παρὰ τῶν ἔξωθεν, πολὺς ὁ φόβος παρὰ τῶν ἔνδοθεν, πολὺς ὁ πόνος ὁ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. Προσῆν δέ τι καὶ τέταρτον, ἡ ἀπειρία τῶν μελλόντων ἀγωνίζεσθαι τὸν μέγαν τοῦτον ἀγῶνα. Οὐ γὰρ ἐκ προγόνων τὴν εὐσέβειαν διαδεξαμένους τοὺς ἀνθρώπους ἔλαβον οἱ ἀπόστολοι, ἀλλ' ἐν βλακείᾳ καὶ τρυφῇ καὶ μέθῃ καὶ αἰσχρότητι καὶ ἀκολασίᾳ τραφέντας. Οὐ μικρὸν δὲ τοῦτο εἰς δυσκολίαν τῶν ἀγώνων ἦν, τὸ μὴ ἄνωθεν, μηδὲ ἐκ προγόνων ταύτην πεπαιδεῦσθαι τὴν φιλοσοφίαν, ἀλλὰ νῦν πρῶτον πρὸς τοὺς ἀγῶνας ἀποδύεσθαι τούτους.

γ'. Ἐπεὶ οὖν τοσαύτη ἦν ἡ δυσκολία τοῖς ἀγωνιζομένοις τότε, παραμυθούμενος αὐτῶν τὸν πόνον συνεχῶς τὸν περὶ ἀναστάσεως ἐκίνει λόγον. Καὶ οὐ ταύτῃ προτρέπει μόνον καὶ ἀλείφει τοὺς ἀθλητὰς, ἀλλὰ καὶ τῇ διηγήσει τῶν οἰκείων παθῶν. Διόπερ πρὶν ἐμπεσεῖν εἰς τοὺς περὶ ἀναστάσεως λόγους, τὰ αὐτοῦ πάθη διηγεῖται, λέγων οὕτως· *Ἐν παντὶ θλιβόμενοι* [a], *ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι·* διὰ τούτων τοὺς καθημερινοὺς θανάτους δηλῶν, ὅτι καθάπερ ἔμψυχοι νεκροὶ περιῆσαν εἰς θάνατον παραδιδόμενοι καθ' ἡμέραν. Ὅτε τοίνυν & [426] πρὸς αὐτοὺς ἐπήγοντο, τότε τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον· *Πιστεύομεν γὰρ*, φησὶν, *ὅτι ὁ ἐγείρας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. Διὸ οὐκ ἐκκακοῦμεν, μεγίστην παράκλησιν ἔχοντες ἐν τοῖς ἀγῶσι, τὴν τῶν μελλόντων ἐλπίδα.* Καὶ οὐκ εἶπε πρὸς αὐτούς· Διὸ μὴ ἐκκακεῖτε· ἀλλὰ τί; *Διὸ οὐκ ἐκκακοῦμεν*, δεικνὺς καὶ αὐτὸν ἐν τοῖς ἀγῶσιν ὄντα διηνεκῶς. Ἐπὶ μὲν γὰρ τῶν Ὀλυμπιακῶν ἀγώνων, ὁ μὲν ἀθλητὴς ἔνδον ἀγωνίζεται, ὁ δὲ παιδοτρίβης πόρρω καθήμενος, τὴν ἀπὸ τῶν λόγων εἰσάγει βοήθειαν, τοσοῦτον συντελῶν τῷ παλαίοντι μόνον, ὅσον βοῆσαι καὶ φθέγξασθαι· παραστῆναι δὲ ἐγγὺς, καὶ τὴν ἀπὸ τῶν χειρῶν συμμαχίαν εἰσενεγκεῖν οὐδεὶς ἐπιτρέπει νόμος αὐτῷ. Ἐπὶ δὲ τῶν τῆς εὐσεβείας ἀγώνων οὐχ οὕτως, ἀλλ' ὁμοῦ καὶ παιδοτρίβης ἐστὶ καὶ ἀθλητὴς ὁ αὐτός. Διὰ τοῦτο οὐκ ἔξω τοῦ σκάμματος καθήμενος, ἀλλ' εἰς αὐτοὺς ἐμβεβληκὼς [b] τοὺς ἀγῶνας, ἀλείφει τοὺς μετ' αὐτοῦ πυκτεύοντας, λέγων· *Διὸ οὐκ ἐκκακοῦμεν.* Καὶ οὐκ εἶπε, Διὸ οὐκ ἐκκακῶ, ἀλλὰ, *Διὸ οὐκ ἐκκακοῦμεν*, τοῖς ἐγκωμίοις αὐτοὺς ἀναστῆσαι βουλόμενος. *Ἀλλ' εἰ καὶ ὁ ἔξω ἄνθρωπος ἡμῶν διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.* Ὅρα σύνεσιν ἀποστολικήν. Προέτρεψεν αὐτοὺς ἀφ' ὧν ἔπασχον, ὅτι *Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι·* προέτρεψεν ἀπὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ, εἰπὼν, *Ὅτι ὁ ἐγείρας τὸν Ἰησοῦν καὶ ἡμᾶς ἐγερεῖ.*

Εἶτα καὶ ἕτερόν τινα κινεῖ παρακλήσεως τρόπον. Ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων μικρόψυχοί τινες ὄντες καὶ ἀσθενεῖς καὶ ταλαίπωροι, κἂν πεπεισμένοι περὶ τῆς ἀναστάσεως ὦσιν, ὀλιγωροῦσι πρὸς τὸ μῆκος τοῦ χρόνου καὶ ἰλιγγιῶσι καὶ ἀναπίπτουσι, καὶ ἕτερον αὐτοῖς πρὸ τῆς ἀναστάσεως δίδωσι μισθὸν καὶ ἀμοιβήν. Ποίαν δὴ ταύτην; *Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ·* ἔξω ἄνθρωπον τὸ σῶμα καλῶν, ἔσω ἄνθρωπον τὴν ψυχὴν λέγων. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Καὶ πρὶν ἀναστῆναι, καὶ πρὶν ἀπολαῦσαι τῆς δόξης τῆς μελλούσης, ἐντεῦθεν ἤδη τῶν πόνων οὐ μικρὰν ἀπείληφας τὴν ἀμοιβὴν, ἐν αὐτῷ τῷ θλίβεσθαι τῆς ψυχῆς ἡμῖν ἀνανεουμένης, σοφωτέρας γινομένης καὶ εὐλαβεστέρας, πλείονα κτωμένης ὑπομονὴν, εὐτονωτέρας ναθισταμένης καὶ δυνατωτέρας. Καθάπερ γὰρ οἱ τὴν σωματικὴν ἀθλοῦντες [c] ἄθλησιν, καὶ πρὸ τῶν στεφάνων, καὶ πρὸ τῶν βραβείων ἀπ' αὐτῆς τῆς γυμνασίας καὶ τοῦ παλαίειν μέγαν λαμβάνουσι τὸν μισθὸν, ὑγιεινότερα καὶ δυνατώτερα αὐτῶν τὰ σώματα διὰ τῆς γυμνασίας κατασκευάζοντες, καὶ πᾶσαν διαφεύγοντες ἀῤῥωστίαν· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀγώνων τῆς ἀρετῆς, καὶ πρὶν ἢ τὸν οὐρανὸν ἀνοιγῆναι, καὶ πρὶν ἢ τὸν Υἱὸν τοῦ Θεοῦ παραγενέσθαι, καὶ πρὶν ἢ τὰς ἀμοιβὰς ἡμᾶς ἀπολαβεῖν, μέγαν ἐντεῦθεν καρπούμεθα τὸν μισθὸν, τῆς ψυχῆς ἡμῖν φιλοσοφωτέρας καθισταμένης. Καὶ γὰρ οἱ πολλὴν πλεύσαντες θάλασσαν, καὶ μυρίων ἀνασχόμενοι κυμάτων, καὶ πολλοῖς θηρίοις πυκτεύσαντες, καὶ πολλοὺς χειμῶνας ἐνεγκάντες, καὶ πρὸ τῆς ἐμπορίας αὐτῆς οὐ μικρὸν ἀπὸ τῆς μακρᾶς ἀποδημίας [427] ταύτης καρποῦνται τὸ κέρδος τῷ θαῤῥεῖν καὶ κατατολμᾷν τοῦ πελάγους, καὶ ἀδεῶς καὶ μεθ' ἡδονῆς τὰς διαποντίους ταύτας ποιεῖσθαι ἀποδημίας· οὕτω δὴ καὶ ἐπὶ τοῦ παρόντος βίου, ὁ πολλὰς ἐνεγκὼν θλίψεις διὰ τὸν Χριστὸν, ὁ πολλὰ δεινὰ παθὼν, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν μεγάλην ἔλαβεν ἀμοιβὴν, παῤῥησίαν κτησάμενος πρὸς τὸν Θεὸν ἐντεῦθεν

[a] Colb. θλιβώμενος, et sic sequentia in singulari.

[b] Colb. ἐμβεβηκώς.
[c] Colb. ἀσκοῦντες.

fidelibus afferens, ipsa scilicet rerum natura, quæ frequentes labores et sudores exigebat. Neque enim facilis et levis erat via, ad quam illos ducebant apostoli : sed aspera et inexpedita, quæ animam requirebat sobriam, et vigilem, et undique diligentem. Propterea et Christus angustam et arctam ipsam vocavit. Neque enim vivere licenter et absque metu fas erat, sicut apud gentes in turpitudine et ebrietate, et belluatione, et deliciis, et luxu : sed oportebat etiam frenare iracundiam, et imperare illicitæ concupiscentiæ, et despicere opes, et conculcare gloriam, et superiorem esse invidia et livore. Quæ qualem laborem requirunt, sciunt ii, qui cum illis quotidie certant. Quid enim, dic, oro, infestius illicita concupiscentia, quæ veluti rabidus canis in nos continuo insilit, et quotidie nos obturbat, atque adeo opus habet perpetuo vigilanti anima? Jam quid amarius ira? Nam jucundum quidem est ulcisci eum, qui nos injuria affecit, at hoc non licebat. Quid dico, non licuisse ulcisci? imo oportebat et contristantibus benefacere, et scommatis nos incessantibus benedicere, et ne ullum quidem unquam amarum verbum proferre. Quin et continentiam non in solis operibus, sed et cogitatione ipsa monstrare oportet. Non enim solum ab incontinentiæ opere, sed et a tali aspectu abstinendum est, neque ex formoso mulierum aspectu voluptas accipienda : nam et ob talem contemplationem extremum supplicium irrogatur. Cum igitur et tantum bellum ab iis, quæ foris, et tantus timor ab iis, quæ intus : magnus quoque erat labor in exercendis virtutibus. Accedit autem et quartum. Nam inexperti erant certaminis tanti, quod certandum erat : neque enim apostoli eos, qui a progenitoribus suis pietatem exceperant, erudiendos sortiti sunt, sed educatos in mollitie et deliciis, et ebrietate, et turpitudine, et intemperantia. Neque hoc parvi momenti erat, ut difficilius redderetur certamen, quod eam philosophiam neque superiora tempora, neque parentes docuerant : sed tunc primum ad hujusmodi certamina instruebantur.

3. Cum igitur tanta tunc esset certandi difficultas, Paulus, ut solaretur certantium laborem, subinde de resurrectione sermonem movebat : et non hac solum adhortabatur athletas, sed et suarum passionum enarratione : eaque de causa antequam in sermonem de resurrectione incidat, suas passiones exponit, sic dicens : *In omnibus premimur, at non anxii reddimur : laboramus, at non destituimur : persequutionem patimur, at non in ea deserimur : dejicimur, at non perimus*[1] (2 *Cor.* 4. 8. 9). Quibus verbis quotidianas mortes designat, eo quod quasi animati mortui quotidie ad mortem tradebantur : cum ergo hæc infligerentur, hinc sermonem hunc de resurrectione movit. *Credimus enim*, ait, *quod is qui suscitavit Dominum nostrum Jesum Christum, et nos per Jesum suscitabit, et vobiscum constituet : propterea malis non succumbimus, maximam in certaminibus ipsis consolationem habentes, spem futurorum* (2 *Cor.* 4. 14. 16). Et non dixit ad ipsos Propter quod ne succumbatis malis : sed quid ait? *Propter quod non succumbimus malis.* Declarat se quoque in continuis conflictationibus esse. Enimvero in Olympicis certaminibus athleta intra stadium certat, magister autem ludi foris considens, sermonibus affert auxilium, catenusque certantem dumtaxat juvat, quatenus acclamationibus sermonibusque valet : neque enim ulla ei lege permittitur propius assistere et manibus illum adjuvare. At secus res habent in pietatis certaminibus. Idem enim est et athleta et magister ludi : et idcireo non extra stadium sedet : sed ingressus ad certamina ipsa, firmat compugiles, dicens : *Propter quod malis non succumbimus.* Et non dixit, Propter quod malis non succumbo, sed, *Malis non succumbimus* laudibus ipsos erigere volens. *Sed quamvis homo noster externus corrumpatur, tamen internus renovatur in dies singulos* (*Ibid.*). Vide quanta sit Apostoli prudentia. Admonuit primum eos ab afflictionibus quas ferebant, dicens : *In omnibus premimur, at non anxii reddimur* (*Ib. v.* 8). Admonuit item a resurrectione Jesu, dicens, *Nam qui suscitavit Jesum, et nos suscitabit* (*Ib. v.* 14).

Etiam in hac vita merces bonorum operum tribuitur. — Nunc aliam quamdam adhortandi rationem inducit. Quandoquidem enim homines plerique pusillo animo sunt, et infirmi, ac miseri, ac licet resurrectionem docti negligentes sunt, et ob temporis longitudinem vacillant ac recidunt : ideo aliam illis ante resurrectionem constituit mercedem ac retributionem. Et quænam illa? *Tametsi externus homo noster corrumpitur, internus tamen innovatur in dies singulos* (*Ib. v.* 16). Externum hominem corpus, internum, animam vocat. Quod autem dicit hujusmodi est : antequam resurgamus, et antequam fruamur gloria futura, etiam non parva hic laborum remuneratio datur, cum inter angustias ipsas anima nostra junior, sapientior et magis pia evadit, majore pollet patientia, et fortior atque constantior persistit. Nam sicut ii, qui in corporali certamine pugnant, ante coronam et bravium in exercitatione et palæstra ipsa magnam accipiunt mercedem, eo quod corpora sua firmiora et validiora exercitando faciunt, et infirmitatem omnem effugiunt : ita et nos virtutis certamen certantes, priusquam aperiatur cælum, priusquam Filius Dei adsit, priusquam retributiones nobis dentur, magnam mercedem accipimus, eo quod anima sapientiæ fiat amantior. Etenim qui mare navigarunt, et innumeras procellas tulerunt, et multas tempestates perpessi sunt, et cum multis bestiis certarunt, ante mercem ipsam non parvum e parva peregrinatione ista reportant lucrum, confidere scilicet et mare temnere, ac intrepide, imo cum voluptate transmarinas illas agere peregrinationes : ita et qui in præsenti vita propter Christum multas fert afflictiones, multaque gravia patitur, etiam ante regnum cælorum magnam illam retributionem assequitur : dum magna hic potitur fiducia, animamque suam ita excelsam of-

[1] Colb., *premor*, et sic totius sequentia phraseos in singulari.

ficit, ut posthac gravia omnia quasi e sublimi derideat.

Pauli merces ante resurrectionem. — Ut autem quod dicimus, adhuc manifestius pateat, exemplo illud declarare volumus. Paulus ille, exantlatis innumeris malis, nonne insignes retributiones accepit cum irrideret tyrannos, cum furibundos populos incitaret, cum omnes pœnas contemneret, impavidusque et imperculsus maneret contra bestias, contra ferrum, in mari, in præcipitiis, in seditionibus, in insidiis, denique in malis omnibus? Quid huic conferri potest? Enimvero hominem non exercitatum, et nihil mali expertum vel levia quæque turbare solent: imo non solum res ipsæ, sed et leves exspectationes, et quid dico leves exspectationes? etiam rerum umbræ pavidum reddunt et perterrent. Verum qui exercitatus in certamen ingreditur, ac multa ante mala perpessus est, is omnibus postea superior fit, et, tamquam gra-culos crocitantes, eos qui minantur, contemnit. Non parva autem est hæc corona, neque exigua merces, quod illum nihil humanarum rerum movere possit: nam quæ aliis multum formidanda videntur, ab hoc facile contemnuntur: et propter quæ alii tremunt et metu obstupescunt, ea multum ridet ipse, quia per excellentem patientiam angelicarum virtutum philosophiam est adeptus. Si enim corpus recte beatum dicimus, quod potest absque offensa ferre frigus, et calorem, et famem, et inopiam, et viæ difficultates, ærumnasque alias: quanto magis beatam vocare oportet animam quæ viriliter ac fortiter omnes omnium molestiarum ferre incursus, et per omnia servare cor suum nulli servituti obnoxium potest? Plane hic magis rex est, quam ipsi reges. Regem enim satellites, milites, amici et inimici nunc insidiando, nunc aperte vim faciendo offendere possunt: huic autem, cui animus qualem nunc dixi, neque rex, neque stipator, neque familiaris, neque amicus, neque inimicus, neque diabolus ipse aliqua ex parte poterit nocere. Qui enim posset, cum is omni studio in hoc incumbat, ne inter mala computet, quæ vulgo mala haberi solent?

4. Talis erat beatus Paulus, atque propterea dicebat: *Quis nos separabit a caritate Christi? tribulatio, vel angustia, vel persecutio, vel fames, vel nuditas, vel gladius, vel periculum? Sicut scriptum est: Quia propter te morte conficimur tota die, reputati sumus ut oves mactationis: sed in illis omnibus egregie vincimus propter eum, qui nos dilexit* (*Rom.* 8. 35. 36. 37; *Psal.* 43, 22). Istud etiam hoc loco insinuans dicebat: *Tametsi externus homo noster corrumpitur, interius tamen renovatur in dies singulos* (2. *Cor.* 4. 16). Infirmum fit corpus, ait, sed validior et potentior animus, quin et multo alacrior et agilior. Et sicut miles, si gestarit arma sese gravantia, licet admodum strenuus sit et in militia exercitatus, non est terrori hostibus, qui sciunt armaturæ gravitatem pedum velocitati et belandi usui obesse: sin levia acceperit et tractabilia, sicut avis aliqua obvium se feret hostibus. Sic et qui carnem suam non ebrietate neque indulgentia neque deliciis incrassarit, sed jejuniis, et precibus diuturnaque afflictionum tolerantia leviorem et tenuiorem effecerit: sicut volucris aliqua supernе devolans, ita valido impetu in phalanges dæmonum irruit, et adversarias virtutes facile invadit sibique subjicit. In hunc modum et Paulus multis affectus plagis, et in vincula conjectus, et ligneis vinctus compedibus, corpus quidem habuit valde infirmum, laboribusque emaceratum, animam vero fortem et invictam: atque adeo fortis erat vinctus, ut ad solam ejus vocem fundamenta carceris commoverentur, et solutum carceris custodem vinctum ad pedes suos adduceret, aperirenturque januæ clausæ. Itaque haud parvam nobis consolationem Paulus exhibuit, eamque etiam ante resurrectionem, nempe quod tentationibus meliores et sapientiores reddamur: idcirco dicit: *Afflictio patientiam operatur, patientia probationem, et probatio spem, spes vero non confundit* (*Rom.* 5. 4. 5). Et iterum alius quidam dicit: *Vir qui non tentatur, non est probatus: et qui non est probatus, nullius pensi est* (*Eccli.* 34. 11). Et ita non parum nobis conferunt afflictiones ante resurrectionem, cum anima reddatur probatior patientia, et intelligentia præstantior et ab omni libera formidine. Et idcirco dicit: *Etiam si externus noster homo corrumpatur, internus tamen renovatur in dies singulos* (2. *Cor.* 4. 16). Quomodo quæso, renovatur? Effugatur enim omnis effeminatio, exstinguuntur concupiscentiæ absurdæ, et avaritia, et inanis gloria, et in summa interimuntur omnes aliæ malæ perversæque cogitationes. Ut ergo anima ignaviæ socordiæque dedita facile hujusmodi affectionibus est obnoxia: ita si continuis est implicita pro pietate certaminibus, non tantum habet otii, ut de his vel cogitet aliquando, curis videlicet ipsam ab his omnibus ad palæstræ studia avocantibus. Propterea dicebat, *Innovatur in dies singulos*. Postea ut denuo soletur animas dolentes in malis quibus affliguntur, et philosophari nescientes spe futurorum erigat, sic dicit: *Quæ enim nunc levis est afflictio, mire supra modum æternum gloriæ pondus operatur in nobis, dum non spectamus ea quæ videntur, sed quæ non videntur. Nam quæ videntur, temporalia sunt: quæ vero non videntur, æterna* (2. *Cor.* 4. 17. 18). Quasi diceret: Plurima igitur et in hac vita afflictio nobis bona confert, nempe quod animam nostram sapientiorem prudentioremque faciat, innumera quoque et futura bona conciliat: non ea quæ laboribus ex æquo rependuntur, sed ampliora certaminibus debentur tam secundum qualitatem, quam secundum quantitatem. Et ambo ista declarans, cum magnitudine periculorum excellentiam præmiorum confert, et opponit brevitatem æternitati, levitati pondus, afflictioni gloriam. Afflictio enim, ait, temporalis est et levis; delectatio autem, imo non dixit, delectatio, sed gloria, quæ delectatione multo est major, æterna, et continua, et magna: pondus autem hic non ærumnosum et onerosum, sed magnificum et pretiosum aliquid vocat vulgari consuetudine, qua pretiosa gravioris esse ponderis dicere solemus. Cum

ἤδη, καὶ ὑψηλοτέραν τὴν ἑαυτοῦ κατασκευάσας ψυχήν, ὡς ἁπάντων λοιπὸν καταγελᾷν τῶν δεινῶν.

Ἵνα δὲ καὶ σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ παραδείγματος αὐτὸ βούλομαι ποιῆσαι φανερόν. Αὐτὸς γὰρ οὗτος ὁ Παῦλος μυρίων ἀνασχόμενος δεινῶν, οὐ μικρὰς καὶ ἐντεῦθεν ἔλαβε τὰς ἀμοιβάς, καταγελῶν τυράννων, κατεξανιστάμενος μαινομένων δήμων, πάσης ὑπερορῶν τιμωρίας, καὶ πρὸς θηρία, καὶ πρὸς σίδηρον, καὶ πρὸς πελάγη, καὶ πρὸς κρημνούς, καὶ πρὸς ἐπαναστάσεις, καὶ πρὸς ἐπιβουλάς, καὶ πρὸς ἅπαντα τὰ δεινὰ ἀκατάπληκτος μένων, οὔ τί γένοιτ' ἂν ἴσον; Τὸν μὲν γὰρ ἀγύμναστον καὶ μηδὲν παθόντα δεινὸν καὶ τὰ τυχόντα θορυβεῖν εἴωθε· μᾶλλον δὲ οὐκ αὐτὰ τὰ πράγματα μόνον, ἀλλὰ καὶ προσδοκίαι ψιλαί· καὶ τί λέγω προσδοκίαι ψιλαί; αἱ σκιαὶ φοβοῦσι καὶ δεδίττουσι τὸν τοιοῦτον· ὁ δὲ ἀποδυσάμενος πάντα, καὶ εἰς τοὺς ἀγῶνας ἐμβάς, καὶ μυρία δεινὰ παθών, ἁπάντων λοιπόν ἐστιν ἀνώτερος, ὥσπερ κολοιῶν κραζόντων, οὕτω τῶν ἀπειλούντων καταγελῶν. Οὐ μικρὸς δὲ οὗτος ὁ στέφανος, οὐδὲ ὁ τυχὼν μισθός, ὅταν μηδὲν αὐτὸν τῶν ἀνθρωπίνων δυνήσηται λυπεῖν, ὅταν τὰ τοῖς ἄλλοις φοβερὰ τούτῳ εὐκαταφρόντητα γίνηται, ὅταν ὑπὲρ ὧν ἄλλοι φρίττουσι καὶ ἐξίστανται, ὑπὲρ τούτων μέλλῃ γελᾷν αὐτὸς, τῇ τῆς ὑπομονῆς ὑπερβολῇ εἰς τὴν τῶν ἀγγελικῶν δυνάμεων φιλοσοφίαν ἑαυτὸν μεταστήσας. Εἰ γὰρ δὴ σῶμα μακαρίζομεν τὸ δυνάμενον καὶ ψῦχος καὶ καῦμα ἀλυπως φέρειν, καὶ λιμὸν, καὶ ἔνδειαν, καὶ ὁδοιπορίαν, καὶ ταλαιπωρίας ἑτέρας· πολλῷ μᾶλλον ψυχὴν μακαρίζειν δεῖ τὴν δυναμένην καρτερῶς καὶ γενναίως ἁπάσας τῶν δεινῶν φέρειν τὰς προσβολὰς, καὶ διατηρεῖν ἀδούλωτον αὐτῆς διὰ πάντων τὸ φρόνημα. Ὁ τοιοῦτος τῶν βασιλέων αὐτῶν ἐστι βασιλικώτερος. Ἐκεῖνον μὲν γὰρ καὶ δορυφόροι καὶ φίλοι καὶ ἐχθροὶ πολλὰ δύναιντ' ἂν ἀδικῆσαι ἐπιβουλεύοντες καὶ κακουργοῦντες· τὸν δὲ τοιαύτην ἔχοντα ψυχὴν, οἵαν εἶπον νῦν, οὐ βασιλεὺς, οὐ δορυφόρος, οὐκ οἰκέτης, οὐ φίλος, οὐκ ἐχθρὸς, οὐκ αὐτὸς ὁ διάβολος παραβλάψαι δυνήσεται. Πῶς γὰρ, τὸν μελετήσαντα μηδὲν τῶν νομιζομένων εἶναι δεινῶν ἡγεῖσθαι δεινόν;

δ'. Τοιοῦτος ἦν ὁ μακάριος Παῦλος· διὰ τοῦτο ἔλεγε· *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καθὼς γέγραπται, ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.* Τοῦτο δὴ καὶ ἐνταῦθα αἰνιττόμενος ἔλεγεν, ὅτι: *Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ* [428] *ἡμέρᾳ·* ἀσθενέστερον τὸ σῶμα γίνεται, φησὶν, ἀλλὰ δυνατωτέρα ἡ ψυχὴ καὶ ἰσχυροτέρα, καὶ πτεροῦται μᾶλλον. Καὶ καθάπερ στρατιώτης βαρύνοντα μὲν ἔχων ὅπλα, κἂν σφόδρα γενναῖος ᾖ καὶ πολεμικὸς, οὐκ ἂν γένοιτο τοῖς πολεμίοις φοβερὸς, τῆς τῶν ὅπλων βαρύτητος τῇ τῶν ποδῶν ταχύτητι καὶ τῇ τῶν πολεμικῶν ἐμπειρίᾳ λυμαινομένης· εἰ δὲ κοῦφα λάβοι καὶ εὐμεταχείριστα, πτηνοῦ παντὸς δίκην ἐπέρχεται τοῖς ἐναντίοις· οὕτω καὶ ὁ τὴν σάρκα τὴν ἑαυτοῦ μὴ μέθῃ, μηδὲ ἀνέσει καὶ τρυφῇ καταλιπαίνων, ἀλλὰ νηστείαις καὶ εὐχαῖς, καὶ τῇ πολλῇ τῶν θλίψεων ὑπομονῇ κουφοτέραν καὶ λεπτοτέραν[a] κατασκευάζων, καθάπερ τις ὑπόπτερος ἄνωθεν καταβαίνων, οὕτω μετὰ πολλῆς τῆς ῥύμης εἰς τὰς τῶν δαιμόνων ἐμπίπτων φάλαγγας, καταφέρει ῥᾳδίως τὰς ἀντικειμένας δυνάμεις, καὶ ὑποχειρίους ποιεῖ. Οὕτω καὶ ὁ Παῦλος λαβὼν πολλὰς πληγὰς, καὶ εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, καὶ ἐν τῷ ξύλῳ δεθεὶς, τὸ μὲν σῶμα ἀσθενέστερον εἶχε πόνοις κατατεινόμενον, τὴν δὲ ψυχὴν ἰσχυρὰν καὶ εὔτονον· καὶ οὕτως ἦν ἰσχυρὸς ὁ δεδεμένος, ὡς διὰ φωνῆς μόνης σαλεῦσαι τὰ θεμέλια τοῦ δεσμωτηρίου, καὶ τὸν λελυμένον δεσμοφύλακα δέσμιον εἰς τοὺς πόδας ἀγαγεῖν τοὺς ἑαυτοῦ, καὶ τὰς θύρας ἀποκεκλεισμένας ἀνοῖξαι. Οὐ μικρὰν οὖν ἡμῖν παραμυθίαν ἔδωκεν ὁ Παῦλος ταύτην καὶ πρὸ τῆς ἀναστάσεως, τὸ βελτίους ἡμᾶς γίνεσθαι καὶ φιλοσοφωτέρους τοῖς πειρασμοῖς. Διὰ τοῦτό φησιν· *Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.* Καὶ πάλιν ἄλλος τίς φησιν· *Ἀνὴρ ἀπείραστος ἀδόκιμος, ὁ δὲ ἀδόκιμος οὐδενὸς ἄξιος λόγου.* Ὥστε οὐ μικρὰ ἀπὸ τῆς θλίψεως καρπούμεθα καὶ πρὸ τῆς ἀναστάσεως, τὸ τὴν ψυχὴν ἔχειν δοκιμωτέραν καὶ σοφωτέραν καὶ συνετωτέραν, καὶ πάσης ἀπηλλάχθαι δειλίας. Διὰ τοῦτό φησιν· *Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.* Πῶς ἀνακαινοῦται, εἰπέ; Ἀνανδρίας ἐξελαυνομένης ἀπάσης, ἐπιθυμίας σβεννυμένης ἀτόπου, φιλοχρηματίας, κενοδοξίας, τῶν ἄλλων ἁπλῶς τῶν διεφθαρμένων λογισμῶν ἀναιρουμένων ἁπάντων. Ὥσπερ οὖν ἡ ἀργίας καὶ ἀδείας ἀπολαύουσα ψυχὴ εὐκόλως ὑπὸ τῶν παθῶν ἁλίσκεται τούτων· οὕτως ἡ διηνεκῶς τοῖς ἀγῶσι τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐσχολακυῖα, οὐδὲ σχολὴν ἄγει ταῦτα ἐννοῆσαί ποτε, τῆς περὶ τὰ παλαίσματα μεριμνῆς πάντων αὐτὴν ἀπαγούσης ἐκείνων. Διὰ τοῦτο ἔλεγεν· *Ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.* Εἶτα πάλιν παραμυθούμενος τὰς ψυχὰς τὰς ὀδυνωμένας ἐπὶ τοῖς δεινοῖς τοῖς ἐπαγομένοις, καὶ οὐκ εἰδυίας φιλοσοφεῖν, διὰ τῆς ἐλπίδος τῶν μελλόντων αὐτὰς ἀνίστησιν, οὕτω λέγων· *Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.* Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Μάλιστα μὲν οὖν καὶ ἐνταῦθα ἡμᾶς ὀνίνησιν ἡ θλῖψις, σοφωτέραν ἡμῶν ποιοῦσα τὴν ψυχὴν καὶ φιλοσοφωτέραν· μετὰ δὲ τοῦτο καὶ μυρία ἡμῖν προξενεῖ κατὰ τὸ μέλλον ἀγαθὰ, οὐκ ἀντίρροπα τῶν πόνων, ἀλλὰ πολλῷ [429] μείζονα τῶν παλαισμάτων καὶ κατὰ τὴν ποσότητα καὶ κατὰ τὴν ποιότητα. Ταῦτα ἀμφότερα, λέγω, δηλῶν ὁ Παῦλος, καὶ τὴν ὑπεροχὴν τῶν κινδύνων, καὶ τῶν ἄθλων ποιεῖται τὴν σύγκρισιν, καὶ ἀντιτίθησι τῷ παραυτίκα τὸ αἰώνιον, τῷ ἐλαφρῷ τὸ βάρος, τῇ θλίψει τὴν δόξαν. Ἡ μὲν γὰρ θλῖψις πρόσκαιρος, φησὶ, καὶ κούφη, ἡ δὲ ἄνεσις (μᾶλλον δὲ οὐκ εἶπεν, ἄνεσις, ἀλλὰ, δόξα, ὃ πολλῷ μεῖζον τῆς ἀνέσεως) αἰώνιος καὶ διηνεκὴς καὶ μεγάλη. Βάρος δὲ ἐνταῦθα, οὐ τὸ ἐπίπονον καὶ φορτικὸν εἶπεν, ἀλλὰ τὸ πολυτελὲς καὶ ἔντιμον, κατὰ τὸ τῶν πολλῶν ἔθος, οἳ τὰ πολύτιμα οὕτω καὶ βαρύτιμα κα-

[a] Editi χαλεπωτέραν, Colb. λεπτοτέραν, atque ita legit interpres.

λεῖν εἰώθασιν. Ὅταν οὖν εἴπῃ βάρος δόξης, μέγεθος δόξης λέγει. Μὴ τοίνυν τοῦτο μόνον λογίζου, φησίν, ὅτι μαστίζῃ καὶ ἐλαύνῃ, ἀλλὰ καὶ τοὺς στεφάνους καὶ τὰς ἀμοιβάς, ὅτι πολλῷ μείζους καὶ λαμπρότεραι τῶν παρόντων ἐκεῖναι, καὶ τέλος οὐκ ἔχουσιν, οὐδὲ πέρας. Ἀλλὰ ταῦτα, φησίν, ἐν πείρᾳ, ἐκεῖνα δὲ ἐν ἐλπίσι· καὶ ταῦτα μὲν φανερά, ἐκεῖνα δὲ οὐ φαίνεται, ἀλλ' ἐκκρεμῆ καὶ μετέωρά εἰσιν· ἀλλ' εἰ καὶ ἀφανῆ, ἀλλὰ τῶν φαινομένων ἐστὶ φανερώτερα. Τί λέγω φανερώτερα; Ἐκεῖνα δύνασαι μᾶλλον ὁρᾷν, ἢ ταῦτα. Ταῦτα μὲν γὰρ παρέρχεται, ἐκεῖνα δὲ μένει. Διὸ ἐπήγαγε, λέγων· *Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.*

ε'. Εἰ δὲ λέγοις· Καὶ πῶς δυνήσομαι τὰ ἀφανῆ βλέπειν, τὰ δὲ παρόντα μὴ βλέπειν; ἀπὸ τῶν βιωτικῶν σε εἰς ταύτην ἐναγαγεῖν πειράσομαι τὴν πίστιν. Οὐδὲ γὰρ τῶν ἐν τῷ κόσμῳ πραγμάτων τῶν ἐπικήρων τούτων ἅψαιτό τις ἂν ῥᾳδίως, μὴ τὰ ἀφανῆ πρὸ τῶν φανερῶν ἰδών. Οἷόν τι λέγω· Ὁ ἔμπορος ὑπομένει μὲν χειμῶνας πολλοὺς καὶ κυμάτων ἐπαναστάσεις καὶ ναυάγια καὶ μυρίας δυσκολίας, ἀπολαύει δὲ καὶ πλούτου μετὰ τοὺς χειμῶνας, τὰ φορτία διατιθέμενος, καὶ πολλὴν ἐργαζόμενος πραγματείαν. Ἀλλ' οἱ μὲν χειμῶνες πρότεροι, τὰ δὲ φορτία ὕστερα· καὶ τὰ μὲν πελάγη καὶ τὰ κύματα φαίνεται ἐξελθόντι τοῦ λιμένος, ἡ ἐμπορία δὲ οὐ φαίνεται· ἐν ἐλπίσι γάρ ἐστιν ἔτι. Ἀλλ' ὅμως ἂν μὴ πρὸς ἐκείνην ἴδῃ πρῶτον τὴν ἀφανῆ καὶ μὴ παροῦσαν, μηδὲ ἐν χερσὶν οὖσαν, ἀλλ' ἐν ἐλπίσιν, οὐκ ἂν ἅψαιτο τούτων τῶν παρόντων καὶ φαινομένων. Οὕτω καὶ γεωργὸς ζεύγνυσι βόας, καὶ ἄροτρον ἕλκει, καὶ βαθεῖαν αὖλακα ἀνατέμνει, καὶ σπέρματα καταβάλλει, καὶ τὰ ὄντα ἅπαντα δαπανᾷ, καὶ κρυμὸν καὶ πάγον καὶ ὄμβρους καὶ ἑτέρας ἀνέχεται ταλαιπωρίας πολλάς, καὶ μετὰ τὸν πόνον τοῦτον προσδοκᾷ κομῶντα ὄψεσθαι τὰ λήϊα, καὶ πεπληρωμένην τὴν ἅλωνα. Ὁρᾷς πῶς καὶ ἐνταῦθα πρότερος ὁ πόνος, καὶ μετὰ ταῦτα ὁ μισθός· καὶ ὁ μὲν μισθὸς ἄδηλος, ὁ δὲ πόνος δῆλος καὶ φανερός· κἀκεῖνος μὲν ἐν ἐλπίσιν, οὗτος δὲ ἐν χερσίν; Ἀλλ' ὅμως καὶ οὗτος ἂν μὴ πρότερον πρὸς ἐκεῖνον ἴδῃ τὸν ἄδηλον καὶ ἀφανῆ καὶ μὴ βλεπόμενον τοῖς ὀφθαλμοῖς τοῦ σώματος μισθὸν, οὐ μόνον οὐ ζεύξει βόας, οὐδὲ ἄροτρον ἕλξει, οὐδὲ σπέρματα καταβαλεῖ, ἀλλ' οὐδὲ κινηθήσεται ὁπόθεν πρὸς τὴν ἐργασίαν ταύτην ποτέ. Πῶς οὖν ἄτοπον ἐπὶ μὲν τῶν βιωτικῶν πραγμάτων πρὸ τῶν [430] φανερῶν τὰ ἀφανῆ βλέπειν, καὶ πρὸ τῶν μισθῶν ὑπομένειν τοὺς πόνους, καὶ πρότερον τὰ δυσχερῆ πάντα φέροντας, τότε τὰ ἐξ αὐτῶν ἀναμένειν χρηστά, καὶ ταῖς τῶν ἀφανῶν ἐλπίσι προτρεπομένους οὕτως ἅπτεσθαι τῶν φανερῶν· ἐπὶ δὲ τοῦ Θεοῦ διστάζειν καὶ ἀμφιβάλλειν, καὶ πρὸ τῶν πόνων ἀπαιτεῖν τὰς ἀμοιβάς, καὶ γεωργῶν καὶ ναυτῶν μικροψυχοτέρους φαίνεσθαι; Οὐ γὰρ δὴ μόνον κατὰ τοῦτο αὐτῶν φανούμεθα χείρους, ἀσχάλλοντες πρὸς τὸ μέλλον, ἀλλὰ καὶ καθ' ἕτερον οὐκ ἔλαττον τούτου. Ποῖον δὴ τοῦτο; Ὅτι ἐκεῖνοι μὲν οὐδὲ περὶ τοῦ τέλους θαῤῥεῖν ἔχοντες πάντως, οὐδὲ οὕτω τῶν πόνων ἀφίστανται· σὺ δὲ ἀξιόπιστον τῶν στεφάνων ἔχων ἐγγυητὴν, οὐδὲ οὕτω μιμῇ τὴν ἐκείνων καρτερίαν. Ὁ μὲν γὰρ γεωργὸς πολλάκις μετὰ τὸ τὰ σπέρματα καταβαλεῖν, καὶ θεραπεῦσαι τὴν γῆν, καὶ κομῶντα τὰ λήϊα ἰδεῖν, ἢ χαλάζης, ἢ ἐρυσίβης, ἢ ἀκρίδος, ἢ ἄλλης τινὸς τοιαύτης ἐπενεχθείσης πληγῆς, ἐξέπεσε τῆς τῶν πόνων ἀμοιβῆς, καὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας κεναῖς οἴκαδε ὑποστρέφει χερσί. Καὶ ὁ ἔμπορος δὲ πάλιν, μετὰ τὸ διαδραμεῖν πολὺ πέλαγος πεπληρωμένην ἄγων τὴν ὁλκάδα, πρὸς αὐτὸ πολλάκις τὸ στόμα τοῦ λιμένος ἐμπεσόντων ἀνέμων σκοπέλῳ τινὶ προσαράξας, μόλις ἐξῆλθε τὸ σῶμα διασώσας γυμνός. Καὶ ἐπὶ πάντων ἁπλῶς τῶν βιωτικῶν πολλὰς πολλάκις πρὸς τῷ τέλει συμφορὰς τοιαύτας συμβαίνειν εἰκός. Ἐπὶ δὲ τῶν ἀγώνων τῶν σῶν οὐκ ἔστι τοῦτο· ἀλλὰ ἀνάγκη πάντως τὸν ἀγωνισάμενον, τὸν σπείραντα τὴν εὐσέβειαν, καὶ πολλοὺς ἐνεγκόντα πόνους, ἐπιτυχεῖν τοῦ τέλους. Οὐ γὰρ ἀέρων ἀνωμαλίαις, οὐδὲ πνευμάτων ῥύμαις τῶν πόνων τούτων τὰς ἀμοιβὰς ἐπέτρεψεν ὁ Θεός· ἀλλ' ἐν τοῖς οὐρανοῖς ἀπόκεινται, ἐν τοῖς ἀσύλοις θησαυροῖς. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· *Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.* Μὴ τοίνυν εἴπῃς ὅτι ἀφανῆ τὰ μέλλοντα· εἰ γὰρ βουληθείης μετὰ ἀκριβείας ἐξετάσαι, τῶν ἐν χερσίν ἐστι πολὺ φανερώτερα. Καὶ τοῦτο αὐτὸ πάλιν ἐνδεικνύμενος ἡμῖν ὁ Παῦλος, *Τὰ μὲν αἰώνια καλεῖ, τὰ δὲ πρόσκαιρα*, τῷ προσκαίρῳ τὸ φθαρτὸν αὐτῶν δηλῶν. Πρὶν ἢ γὰρ φανῆναι ἀφίπταται, καὶ ἀποτρέχει πρὶν ἐπιστῆναι, καὶ ὀξύῤῥοποι μὲν αὐτῶν αἱ μεταβολαὶ, ἄπιστος δὲ ἡ κτῆσις. Τοῦτο καὶ ἐπὶ πλούτου καὶ δόξης καὶ δυναστείας, καὶ ἐπὶ τῆς τῶν σωμάτων εὐμορφίας, τοῦτο καὶ ἐπὶ ῥώμης καὶ ἐπὶ τῶν ἄλλων ἁπλῶς τῶν βιωτικῶν συμβαῖνον ἴδοι τις ἄν. Διὰ τοῦτο καὶ ὁ προφήτης κωμῳδῶν τοὺς τρυφῶντας καὶ περὶ χρήματα μαινομένους καὶ τὴν ἄλλην ἅπασαν φαντασίαν, *Ὡς ἑστῶτα*, φησίν, *ἐλογίσαντο ταῦτα, καὶ οὐχ ὡς φεύγοντα.* Ὥσπερ γὰρ σκιᾶς οὐκ ἔστιν ἐπιλαβέσθαι, οὕτως οὐδὲ τῶν βιωτικῶν πραγμάτων· ἀλλὰ τὰ μὲν τῇ τελευτῇ καταλύεται, τὰ δὲ καὶ πρὸ τῆς τελευτῆς χειμάῤῥου παντὸς ὀξυῤῥεπέστερον παραῤῥεῖ. Τὰ δὲ μέλλοντα οὐ τοιαῦτα· οὐκ οἶδε γὰρ μεταβολὴν, οὐ δέχεται τροπὴν, οὐκ ἐπίσταται γῆρας, οὐκ ἔχει τινὰ ἀλλοίωσιν, ἀλλ' ἀκμάζει διηνεκῶς, καὶ ἐπὶ τῆς αὐτῆς εὐπρεπείας μένει. Ὥστε εἰ δεῖ ἀφανῆ καὶ ἄδηλα εἰπεῖν καὶ ἄπιστα, τὰ παρόντα δεῖ λέγειν πράγματα, καὶ μὴ παραμένοντα τοῖς κεκτημένοις, [431] ἀλλ' ἀμείβοντα τοὺς δεσπότας, καὶ καθ' ἑκάστην ἡμέραν ἀπὸ τούτου πρὸς ἕτερον μεταπηδῶντα, καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον. Ταῦτα δὴ πάντα δηλώσας ἡμῖν ὁ Παῦλος, καὶ διὰ τοῦτο τὰ μὲν παρόντα πρόσκαιρα, τὰ δὲ μέλλοντα αἰώνια καλέσας, τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, οὕτω λέγων· *Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἐκ Θεοῦ ἔχομεν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.*

ς'. Ὅρα πάλιν καὶ ἐνταῦθα πῶς ταῖς λέξεσιν κέχρηται· κυρίως, δι' αὐτῶν τῶν ὀνομάτων τὴν δύναμιν ἐμφαίνων τῶν νοημάτων. Οὐ γὰρ ἁπλῶς σκῆνος τὸ σῶμα ἐκάλεσεν, ἀλλὰ τὸ πρόσκαιρον τῆς παρούσης ζωῆς ἡμῖν ἐνδεικνύμενος, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν δηλῶν, μονονουχὶ λέγων· Τί στενάζεις καὶ δακρύεις, ἀγαπητὲ, ὅτι τύπτῃ καὶ ἐλαύνῃ καὶ εἰς δεσμωτήριον ἐμπίπτεις; τί θρηνεῖς τὰς κατὰ μέρος ταύτας κακώσεις, ὀφείλων τὴν ὁλόκληρον δέξασθαι κατάλυσιν τοῦ σώματος· μᾶλλον δὲ οὐχ ἁπλῶς τοῦ

igitur dicit, pondus gloriæ, magnitudinem gloriæ dicit. Ne hoc reputes, inquit, quod flagellaris et expelleris, sed potius cogita corona, et retributiones, quod illæ longiores, majores et clariores sint præsentibus, nullumque finem habeant, aut terminum. At enim, inquit, hæc jam experimur, illa vero in spe sunt posita : et hæc quidem apparent, illa vero non apparent, sed excelsa sublimiaque sunt. Imo invisibilia multo magis apparent, quam visibilia, poterisque illa magis videre, quam hæc : hæc enim transeunt, illa autem permanent. Eapropter addit : *Dum nos non spectamus ea quæ videntur, sed quæ non videntur : quæ enim videntur, temporalia : quæ non videntur, æterna sunt* (2. *Cor.* 4. 18).

5. At si dixeris, Quomodo possum videre ea quæ non videntur, et ea quæ præsentia sunt, non videre? a sæcularibus negotiis te ad hanc fidem inducere satagam. Nam in rebus hujus mundi nemo statim aliquid agit, nisi priusquam videat visibilia, spectet invisibilia. Dicam autem exemplum : negotiator multas fert tempestates, fluctuum insultus, naufragia, multaque alia incommoda : verum non nisi cum negotiationem aliquamdiu exercuerit, et merces vendiderit, divitiis partis fruitur. Et præcedunt quidem tempestates, sequuntur autem merces : et videt quidem pelagus ac fluctus, cum e litore solvit, merces autem non videntur, tantum autem sperantur. At nisi ad eam respiciat, quæ non apparet et absens est, et non in manu, sed in spe, numquam etiam præsentia et quæ apparent attentabit. Similiter et agricola jungit boves, trahit aratrum, profundos facit sulcos, seminaque spargit, et omnia, quæ sibi sunt, insumit, et frigora, et glacies, et imbres, et alias fert ærumnas multas : tandemque post labores exspectat, ut videat campos virentes et plenam aream. En et hic prior est labor, posterior vero merces : et merces incerta, labor vero certus et manifestus : et illa quidem tantum in spe, labor autem in manibus. Verumtamen et ipse nisi primum hanc spectet, quæ dubia et non apparens, et corporeis oculis inconspicua, non solum non junget boves, neque aratrum trahet, neque semina sparget, sed neque umquam ad id operis vel domo egredietur. Quomodo igitur absurdum non fuerit in rebus sæcularibus non conspecta prius, quam conspecta præ oculis habere, et ante mercedem sustinere labores, et post exantlatos labores bona ex iis manantia exspectare, atque spe non apparentium ea quæ videntur aggredi; in iis autem quæ ad Deum spectant dubitare, hæsitare, et poscere mercedem ante labores, esseque animi abjectioris quam sint agricolæ et nautæ? Non enim in hoc solo ipsis videmur esse deteriores, quod ægre futura exspectamus, sed etiam in alio quodam non minore illis. Et quodnam est hoc? Illi enim non satis fidere possunt fini suo; attamen nec sic a laboribus deterrentur : at tu fidejussorem coronarum habes fide dignissimum : et neque sic imitaris illorum perseverantiam. Etenim nonnumquam agricola postquam sementem jecerit, agrum coluerit, jam segetem increscere viderit, spe tamen ac retributione laborum excidit, si vel grando, vel erucæ, vel locustæ, vel alia quædam talia acciderint, et post multos sudores vacuis manibus domum regreditur. Mercator quoque post longam navigationem ducens oneratam navim sæpe in ipso portus ostio, irruentibus ventis, impingit in scopulum, et vix nudo corpore salvo egreditur. Et in summa, in sæcularibus negotiis omnibus sæpe sub finem ejusmodi calamitates eveniunt. Cæterum non idem in tuis contingit certaminibus; sed necesse omnino est, ut qui certaverit, et pietatem seminaverit, multosque labores tulerit, finem ipsum assequatur. Neque enim aeris intemperie neque ventorum tempestate laborum mercedes subverti sinit Deus; sed repositæ sunt illæ in cælestibus et indepræ-dabilibus thesauris. Propter hoc et Paulus dicebat : *Afflictio patientiam operatur, patientia probationem, probatio spem, spes autem non confundit* (*Rom.* 5. 4. 5).

Temporalium incertitudo. — Igitur ne dixeris futura invisibilia : si enim accurate examinare volueris, longe manifestiora videbuntur, quam illa ipsa, quæ in manibus sunt. Quod ipsum Paulus nobis monstrans, dicit : *Illa quidem æterna, hæc vero temporalia*, nomine temporalium declarans nobis corruptibilitatem ipsorum. Nam antequam appareant, aufugiunt, et avolant antequam consistant, mutationesque eorum celeres sunt, incerta possessio. Hoc in divitiis, gloria, potentatu, corporis forma : et hoc in quocumque sæculari alio bono contueri licet. Eapropter propheta reprehendens agentes in deliciis, et in divitias vel quamvis aliam rem temporalem insanientes, *Quasi stantia*, dicit, *reputarunt hæc, non quasi fugientia* (*Amos* 6. 5). Nam sicut umbram nemo comprehenderit, ita neque temporales res; sed eorum aliqua fine suo consummantur et dissolvuntur, alia ante finem velocius quovis torrente diffluunt. Futura autem non sunt talia : mutationem enim nesciunt, vicissitudinem non patiuntur : non ea urget senectus, nullam alterationem experiuntur, sed perpetuo vigent, et in eodem decore permanent. Itaque si qua oporteat dicere invisibilia, incerta et obscura, ea sunt præsentia : nam apud possidentes non manent, sed quotidie dominos mutant, et ab illis ad alios transeunt, et rursum ab illis ad alios. Postquam hæc omnia Paulus declaravit, ideoque præsentia temporanea, futura vero æterna vocavit, de resurrectione sermonem orditur his verbis : *Scimus quod si terrestris nostra domus hujus tabernaculi dissolvatur, domum ex Deo habemus non manufactam, æternam in cælis* (2. *Cor.* 5. 1).

6. Vide iterum quam proprie etiam hoc loco dictionibus utatur, et vim sententiæ suæ ipsis nominibus declaret. Non enim simpliciter tabernaculum corpus vocavit, sed indicat nobis vitam hanc præsentem momentaneam esse, ac declarat quomodo commutanda sit in meliorem, quasi dicat : Quid ingemiscis et lacrymaris, dilecte, quod verberibus pulsaris, quod ab hominum cœtu expelleris, quod in carcerem intruderis? Quid luges afflictiones illas particulares, cum perfectam corporis solutionem exspectare debeas, imo

non simpliciter corporis, sed corruptionis in corpore? Nam ut ostendat, quod particulares afflictiones non solum contristare nos non debeant, sed et lætificare, indicat optandam esse universalem et postremam consummationem, dissolutionem, inquam, per mortem. Sic enim dicit: *Etenim in hoc tabernaculo ingemiscimus, habitationem nostram, quæ de cælo est, superindui cupientes* (2. *Cor.* 5. 2.) Domum autem tabernaculi corpus dicit, rem unam duobus nominibus explicando: vel domum tabernaculi vocat domos, in quibus habitamus, civitates, et figuram præsentis vitæ. Et non simpliciter dixit: Scio: sed, *Scimus*: et auditorum sententiam assumens: Non de rebus ambiguis disputo, inquit, non de iis quæ nesciuntur, sed de quibus jampridem fidem suscepistis, credentes in resurrectionem Domini: et ob hoc tabernacula vocamus corpora eorum, qui hinc decedunt. Vide autem quomodo et verbo apposite sit usus. Non dixit, Occisum est, vel disparuit, sed *Dissolutum est*: quo declaravit, ipsum dissolvi, ut resurgat fulgidius, ut inveniatur clarius: sicut etiam labores et præmia comparabat a qualitate, quantitate et tempore; ita et hic facit, corpus deciduum, tabernaculi, quod autem resurgit, domus nomine vocat: et non simpliciter domum, sed æternam; nec solum æternam, sed cælestem: excellentiam ejus tam a tempore, quam a loco subindicans. Hæc enim terrestris est, illa cælestis: hæc temporalis, illa æterna. Et nunc quidem opus nobis est corpore ac domicilio propter carnis infirmitatem: tunc vero idem et corpus erit et domicilium: neque tecto, neque aliis velamentis habens opus, cum pro omnibus his sufficiat incorruptibilitas. Postea indicando eminentiam bonorum nobis repositorum, dicit: *Etenim in hoc ingemiscimus tabernaculo*. Non dixit, Ingemisco; sed communem reddit sententiam: *Etenim in hoc*, inquit, *ingemiscimus;* volens eos ad suam philosophiam trahere, et sui judicii facere participes. *Etenim in hoc ingemiscimus, desiderantes domicilium nostrum e cælo superindui*: non dixit simpliciter, Indui; sed *Superindui*: et adjicit, *Si tamen vestiti, non nudi inveniamur* (*Ibid.* v. 3). Et videtur quidem obscurum esse, quod dictum est; fit vero manifestius per ea quæ subduntur: *Etenim qui sumus in hoc tabernaculo, ingemiscimus gravati, eo quod nolumus exui, sed superindui* (*Ibid.* v. 4).

Adversus Manichæos naturam nostram ut malam incusantes; cur ingemiscamus in hac vita. — Vides quomodo sui ipsius non obliviscitur, neque vocat domum hoc corpus, sed tabernaculum, *Eo quod nolumus exui, sed superindui?* Hic letale vulnus infligit iis, qui naturam corporis et carnem nostram accusant. Quia enim dixit quod ingemiscimus, et exui volumus: ut ne putes quod corpus quasi malum aliquod, et causam malitiæ, et inimicum, et hostem fugiat, audi quomodo suspicionem excludit: primum quidem cum dicit: *Ingemiscimus domicilium nostrum cæleste superindui desiderantes* (*Ibid.* v. 2). Qui enim superinduitur, revera aliud quid superinduit. Deinde cum dicit, *Ingemiscimus gravati, eo quod nolumus exui, sed superindui desiderantes.* Quod autem dixit hoc est, non carnem volumus deponere, sed corruptionem: non corpus, sed mortem. Aliud est corpus, aliud mors: et aliud corpus, aliud corruptio: neque corpus corruptio, neque corruptio est corpus, et corruptibile quidem corpus est, non autem corruptio corpus: item corpus mortale est, sed non mors est. Nam corpus opus est Dei, corruptio autem et mors a peccato invectæ sunt. Igitur ait, id quod alienum est exuere volo, non quod proprium: alienum autem est, non corpus, sed corruptio. Et propter hoc ait, *Eo quod nolumus exui:* hoc est, auferri corpus, sed superindui in corpore incorruptionem. Corpus medio se modo habet inter corruptionem et incorruptionem. Exuit igitur corruptionem, et induit incorruptionem · abjicit quod accepit a peccato, et possidet quod dedit Dei gratia. Ut discas quod exuere non de corpore dicit, sed de corruptione et morte, audi ea, quæ mox subjiciuntur. Nam postquam dixit, *Nolumus exui, sed superindui:* non dixit, Ut absorbeatur corpus ab incorporeitate, sed quid? *Ut absorbeatur mortalitas a vita*, hoc est, ut evanescat, ut aboleatur: ita abolitionem non corporis vocat, sed corruptionis et mortis. Adveniens enim vita non corpus abolet et absumit, sed mortem et corruptionem quæ illud invaserant. Gemitus ergo ille non propter corpus est, sed propter corruptionem quæ illi inest. Etenim corpus grave est et onerosum ac molestum, non secundum suam naturam, sed secundum mortalitatem, quæ postea illi supervenit: verumtamen corpus non est corruptibile, sed incorruptibile et immortale. Tanta quippe ipsius est nobilitas, ut in ipsa corruptione suam dignitatem ostenderit. Nam apostolorum umbræ incorporeas expulerunt virtutes: item cinis et pulvis eorum dæmonas vicit, et anicula, quæ illorum adhæserant corporibus, morbos fugarunt, sanitatemque contulerunt.

7. *Unde corporum sordes ac vilitas; corruptibilitas corporis quid prosit.* — Nihil ergo mihi de phlegmate, et bili, et sudore, et sordibus, atque aliis dixeris, quæ corporis accusatores narrant: neque enim ex natura corporis hæc fuerunt, sed a posteriore corruptione invecta sunt. Nam si ejus virtutem addiscere voles, considera membrorum omnium formationem, figuram, operationes, mutuamque concordiam: et accuratius quavis civitate dispositam optimis legibus gubernata, quæ nonnisi sapientes cives habeat, videbis diligentem membrorum inter se administrationem. Sin sursum deorsum obiterque hæc prætercurris, et objicis solam corruptibilitatem et mortalitatem, ne sic quidem deerit nobis responsio. Nam quod hinc humano generi non solum nihil damni, sed etiam plurimum commodi accesserit, inde liquet: sancti enim omnes in corpore viventes angelicum exhibuere vivendi genus, nullumque hinc ipsis ad virtutis cursum accidit detrimentum. Iis vero qui ad impietatem propensi erant, non parum impedimento fuit corporis corruptio, ne longius per iniquitatem suam progrederentur. Cum enim homines nonnulli, etiam mortali et

σώματος, ἀλλὰ τῆς ἐν τῷ σώματι φθορᾶς; Ἵνα γὰρ δείξῃ, ὅτι αἱ κατὰ μέρος αὗται κακώσεις οὐ μόνον ἡμᾶς λυπεῖν οὐκ ὀφείλουσιν, ἀλλὰ καὶ εὐφραίνειν, δείκνυσιν ὅτι ἡ καθολικὴ καὶ τελευταία καθαίρεσις, εὐχῆς ἔργον ἐστὶν ἡμῖν, τὴν διὰ τοῦ θανάτου κατάλυσιν οὕτω λέγων. Καὶ πάλιν· *Καὶ γὰρ ἐν τούτῳ στενάζομεν τῷ σκήνει, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες.* Οἰκίαν δὲ σκήνους ἤτοι τὸ σῶμα δι' ἀμφοτέρων καλεῖ τῶν ὀνομάτων· ἢ οἰκίαν σκήνους τὰς οἰκίας ἐν αἷς κατοικοῦμεν, τὰς πόλεις, τὸ σχῆμα τοῦ παρόντος βίου. Καὶ οὐχ ἁπλῶς εἶπεν, Οἶδα, ἀλλ', *Οἴδαμεν*, καὶ τὴν τῶν ἀκουόντων προσλαμβάνων γνώμην. Οὐ περὶ πραγμάτων ἀμφιβαλλομένων διαλέγομαι, φησὶν, οὐδὲ περὶ τῶν ἀγνοουμένων, ἀλλ' ὑπὲρ ὧν ἤδη τὴν πίστιν ἐδέξασθε, εἰς τὴν τοῦ Κυρίου πιστεύσαντες ἀνάστασιν. Διὰ τοῦτο καὶ σκηνώματα καλοῦμεν τῶν ἀπελθόντων τὰ σώματα. Καὶ ὅρα πῶς καὶ τῇ λέξει κυρίως κέχρηται. Οὐκ εἶπεν, Ἀνῃρέθη καὶ ἠφανίσθη, ἀλλὰ, *Κατελύθη*, δεικνὺς ὅτι καταλύεται, ἵνα φαιδρότερον, ἵνα λαμπρότερον ἀναστῇ. Εἶτα ὥσπερ ἐπὶ τῶν πόνων καὶ τῶν ἐπάθλων ἐποιήσατο σύγκρισιν, ἀπὸ τῆς ποιότητος, ἀπὸ τοῦ χρόνου καὶ τῆς ποσότητος· οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, τὸ μὲν πῖπτον σῶμα σκῆνος καλῶν, τὸ δὲ ἀνιστάμενον οἰκίαν· καὶ οὐχ ἁπλῶς, οἰκίαν, ἀλλ' αἰώνιον· καὶ οὐχ ἁπλῶς, αἰώνιον, ἀλλ' οὐράνιον, καὶ ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τοῦ τόπου δεικνὺς τὴν ὑπεροχήν. Αὕτη μὲν γὰρ ἐπίγειος, ἐκείνη δὲ οὐράνιος· αὕτη πρόσκαιρος, ἐκείνη αἰώνιος. Καὶ νῦν μὲν καὶ σώματος δεῖ καὶ οἰκημάτων ἡμῖν διὰ τὴν ἀσθένειαν τῆς σαρκός· τότε δὲ τὸ αὐτὸ καὶ σῶμα ἔσται καὶ οἴκημα, οὐ δεόμενον στέγης, οὐδὲ καλυμμάτων τινῶν, ἀντὶ πάντων ἀρκούσης αὐτῷ τῆς ἀφθαρσίας. Εἶτα δεικνὺς τὴν ὑπεροχὴν τῶν ἐναποκειμένων αὐτῷ ἀγαθῶν, φησί· *Καὶ γὰρ ἐν τούτῳ στενάζομεν τῷ σκήνει.* Οὐκ εἶπε, Στενάζω, ἀλλὰ κοινὴν ποιεῖται τὴν γνώμην. *Καὶ γάρ ἐν τούτῳ*, φησὶ, *στενάζομεν*, βουλόμενος αὐτοὺς εἰς τὴν οἰκείαν ἑλκύσαι φιλοσοφίαν, καὶ τῆς αὐτοῦ κρίσεως ποιῆσαι κοινωνούς. *Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανῶν ἐπενδύσασθαι* [432] *ἐπιποθοῦντες.* Οὐκ εἶπεν ἁπλῶς, Ἐνδύσασθαι, ἀλλ' Ἐπενδύσασθαι· καὶ ἐπάγει· *Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.* Καὶ δοκεῖ μὲν ἀσαφὲς εἶναι τὸ εἰρημένον, γίνεται δὲ σαφέστερον διὰ τῶν ἑξῆς ἐπαγομένων· *Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι.*

Ὁρᾷς πῶς ἑαυτοῦ οὐκ ἐπιλανθάνεται, οὐδὲ καλεῖ οἰκίαν τὸ σῶμα τοῦτο, ἀλλὰ σκῆνος πάλιν· *Ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι;* Ἐνταῦθα τοῖς τοῦ σώματος διαβάλλουσι τὴν φύσιν, καὶ τῆς σαρκὸς τῆς ἡμετέρας κατηγοροῦσι καιρίαν ἔδωκε πληγήν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι στενάζομεν καὶ ἐκδύσασθαι οὐ βουλόμεθα, ἵνα μὴ νομίσῃς, ὅτι ὡς κακὸν φεύγει τὸ σῶμα καὶ πονηρίας αἴτιον καὶ ἐχθρὸν καὶ πολέμιον, ἄκουσον πῶς διορθοῦται τὴν ὑπόνοιαν· πρῶτον μὲν τῷ εἰπεῖν, ὅτι *Στενάζομεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες*· ὁ γὰρ ἐπενδυόμενος τῷ ὄντι ἕτερον ἐπενδύεται· ἔπειτα τῷ εἰπεῖν, *Στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι ἐπιποθοῦντες.* Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐ τὴν σάρκα ἀποθέσθαι βουλόμεθα, φησὶν, ἀλλὰ τὴν φθοράν· οὐ τὸ σῶμα, ἀλλὰ τὸν θάνατον. Ἄλλο σῶμα, καὶ ἄλλο θάνατος· ἄλλο σῶμα, καὶ ἄλλο φθορά· οὔτε τὸ σῶμα φθορὰ, οὔτε ἡ φθορὰ σῶμα. Καὶ φθαρτὸν μὲν τὸ σῶμα, οὐ φθορὰ δὲ τὸ σῶμα· καὶ θνητὸν μὲν τὸ σῶμα, οὐ θάνατος δὲ τὸ σῶμα· ἀλλὰ τὸ μὲν σῶμα ἔργον ἐγένετο τοῦ Θεοῦ, ἡ δὲ φθορὰ καὶ ὁ θάνατος ὑπὸ τῆς ἁμαρτίας εἰσήχθη. Τὸ γοῦν ἀλλότριον ἀποδύσασθαι βούλομαι, φησὶν, οὐ τὸ οἰκεῖον· ἀλλότριον δὲ, οὐ τὸ σῶμα, ἀλλ' ἡ φθορά. Διὰ τοῦτό φησιν· *Ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι*, τουτέστι, τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι τῷ σώματι τὴν ἀφθαρσίαν. Μέσον ἐστὶ τὸ σῶμα φθορᾶς καὶ ἀφθαρσίας. Ἀποδύεται τοίνυν φθοράν, καὶ ἐπενδύεται ἀφθαρσίαν· ἀποβάλλει ὅπερ ἔλαβεν ἀπὸ τῆς ἁμαρτίας, καὶ κτᾶται ὅπερ ἔδωκεν ἡ τοῦ Θεοῦ χάρις. Καὶ ἵνα μάθῃς, ὅτι τὸ ἐκδύσασθαι οὐ περὶ τοῦ σώματός φησιν, ἀλλὰ περὶ τῆς φθορᾶς καὶ τοῦ θανάτου, ἄκουσον τῶν ἐπαγομένων εὐθέως. Εἰπὼν γὰρ, *Οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι*, οὐκ εἶπεν· Ἵνα καταποθῇ τὸ σῶμα ὑπὸ τῆς ἀσωματότητος· ἀλλὰ τί; *Ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς*, τουτέστιν, ἵνα ἀφανισθῇ, ἵνα ἀπόληται· ὥστε ἀπώλειαν οὐχὶ τοῦ σώματος λέγει, ἀλλὰ θανάτου καὶ φθορᾶς. Ἐπερχομένη γὰρ ἡ ζωὴ οὐχὶ τὸ σῶμα ἀφανίζει καὶ δαπανᾷ, ἀλλὰ τὴν ἐπιγινομένην αὐτῷ φθορὰν καὶ τὸν θάνατον. Ὁ τοίνυν στεναγμὸς οὐ διὰ τὸ σῶμα, ἀλλὰ διὰ τὴν ἐπικειμένην φθοράν· καὶ γὰρ τὸ σῶμα βαρύ ἐστι καὶ φορτικὸν καὶ ἐπαχθὲς, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ὕστερον αὐτῷ προσγενομένην θνητότητα. Ἀλλ' οὐχὶ σῶμα φθαρτὸν, ἀλλ' ἄφθαρτόν ἐστι. Τοσαύτη γὰρ αὐτοῦ ἐστιν ἡ εὐγένεια, ὡς καὶ ἐν αὐτῇ τῇ φθορᾷ τὴν ἀξίαν ἐπιδείκνυσθαι τὴν αὐτοῦ. Αἱ γοῦν σκιαὶ τῶν ἀποστόλων τὰς ἀσωμάτους ἀπήλασαν δυνάμεις, καὶ ἡ κόνις καὶ ἡ τέφρα δαιμόνων περιεγένετο, καὶ τὰ ἱμάτια τὰ ὁμιλήσαντα τοῖς σώμασιν αὐτῶν νόσους ἀνεῖλον, καὶ ὑγίειαν ἐπανήγαγον.

ζ'. Μὴ γάρ μοι φλέγμα καὶ χολὴν εἴπῃς, καὶ ἰδρῶτα, καὶ ῥῦπον, καὶ τὰ ἄλλα, ἅπερ οἱ κατηγοροῦντες τοῦ [433] σώματος λέγουσιν· οὐ γὰρ τῆς τοῦ σώματος φύσεως ταῦτα ἦν, ἀλλὰ τῆς ὕστερον ἐπιγενομένης φθορᾶς. Εἰ δὲ θέλεις αὐτοῦ καταμαθεῖν τὴν ἀρετὴν, ἔπελθε τῶν μελῶν ἁπάντων τὴν διάπλασιν, τὸ σχῆμα, τὰς ἐνεργείας, τὴν πρὸς ἄλληλα συμφωνίαν· καὶ πάσης πόλεως εὐνομουμένης καὶ φιλοσόφους ἅπαντας τοὺς πολίτας ἐχούσης ἀκριβεστέραν ὄψει τὴν τῶν μελῶν τούτων πρὸς ἄλληλα πολιτείαν. Εἰ δὲ ἄνω καὶ κάτω ταῦτα παρατρέχων, τὸ φθαρτὸν αὐτοῦ καὶ τὸ θνητὸν μόνον προτείνοις, οὐδὲ ἐντεῦθεν ἀπορήσομεν ἀπολογίας. Ὅτι γὰρ οὐ μόνον οὐδεμία γέγονεν ἐντεῦθεν ἡ βλάβη, ἀλλὰ καὶ πολὺ τὸ κέρδος τῷ γένει τῶν ἀνθρώπων, δῆλον ἐκεῖθεν. Οἵ τε γὰρ ἅγιοι πάντες μετὰ τούτου ζῶντες, τὴν ἀγγελικὴν ἐκείνην ἐπεδείξαντο πολιτείαν, καὶ οὐδεμία τις αὐτοῖς ἐντεῦθεν ἐγίνετο βλάβη πρὸς τὸν τῆς ἀρετῆς δρόμον· οἵ τε πρὸς ἀσέβειαν βλέποντες οὐ μικρὸν ἔσχον κώλυμα, τοῦ σώματος τὴν φθοράν, πρὸς τὸ μὴ ποῤῥωτέρω προελθεῖν τῆς οἰκείας παρανομίας. Εἰ γὰρ τὸ φθαρτὸν τοῦτο καὶ παθητὸν σῶμα περικείμενοι πολλοὶ

τῶν ἀνθρώπων ἰσοθεΐαν ἐφαντάσθησαν, καὶ ὑπὲρ τοῦ τοιαύτην ἑαυτοῖς περιθεῖναι δόξαν πολλὰ ἐπραγματεύσαντο· εἰ μὴ παθητὸν εἶχον τὸ σῶμα καὶ φθαρτόν, ἐλέγχον αὐτῶν τὴν ἀσθένειαν, τίνας οὐκ ἂν ἡπάτησαν τῶν ἀνοητοτέρων; Ὅταν οὖν καὶ ἀσεβείας, ὅπερ ἐστὶν ἔσχατος ὅρος κακίας, κώλυμα φαίνηται γινόμενον, καὶ τοῖς ἁγίοις παρέχῃ τῆς ψυχῆς τὴν ἀνδρείαν ἐπιδείκνυσθαι, τίνος ἂν τύχοιεν συγγνώμης οἱ διαβάλλοντες αὐτὸ καὶ κακίζοντες; Οὐ γὰρ δὴ ταῦτα ἂν ἔχοιμεν περὶ αὐτοῦ μόνα εἰπεῖν, ἀλλ' ὅτι καὶ θεογνωσίας ἡμῖν αἴτιον γέγονεν αὐτό. Εἰ γὰρ τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, καὶ ἡ πίστις ἐξ ἀκοῆς, εὔδηλον ὅτι δι' ὀφθαλμῶν καὶ ὤτων χειραγωγηθεῖσα ἡ ψυχὴ τὸν ποιήσαντα αὐτὴν ἐπέγνω Θεόν. Διὰ τοῦτο αὐτὸ φιλεῖ Παῦλος, καὶ βοᾷ λέγων, ὅτι *Οὐ θέλομεν αὐτὸ ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι αὐτῷ τὴν ἀθανασίαν.*

Καὶ μή μοι λέγε· Πῶς δύναται ἀναστῆναι τὸ σῶμα πάλιν καὶ γενέσθαι ἄφθαρτον; Ὅταν γὰρ ἡ τοῦ Θεοῦ δύναμις ἐργάζηται, τὸ πῶς μὴ προσκείσθω. Καὶ τί λέγω ἐπὶ Θεοῦ; Σὲ δημιουργὸν αὐτὸν ἐποίησεν ἀναστάσεως γενέσθαι, τοῦτο μὲν ἐπὶ τῶν σπερμάτων, τοῦτο δὲ ἐπὶ τῶν τεχνῶν, τοῦτο δὲ ἐπὶ τῶν ὑλῶν τῶν μεταλλικῶν. Καὶ γὰρ τὰ σπέρματα ἂν μὴ πρότερον ἀποθάνῃ καὶ σαπῇ καὶ διαφθαρῇ, οὐ τίκτει τὸν ἄσταχυν. Ὥσπερ οὖν ὁρῶν ἐκεῖ τὸν κόκκον σηπόμενον καὶ διαλυόμενον, οὐκ ἀμφιβάλλεις περὶ τῆς ἀναστάσεως, ἀλλ' ἀπόδειξιν σαυτοῦ ποιεῖσαι σαφεστάτην· ἂν γὰρ μὴ μείνῃ σηπόμενος μηδὲ φθειρόμενος, οὐκ ἂν ἀνασταίη ποτέ· οὕτω καὶ ἐπὶ τοῦ σώματος λογίζου τοῦ σοῦ· ὅταν ἴδῃς τὴν φθορὰν, τότε μάλιστα περὶ τῆς ἀναστάσεως φιλοσόφει. Ὁ γὰρ θάνατος οὐδὲν ἕτερόν ἐστιν, ἢ τῆς φθορᾶς λοιπὸν ἀναίρεσις· οὐ γὰρ δὴ τὸ σῶμα ἁπλῶς, ἀλλὰ τὴν φθορὰν αὐτοῦ δαπανᾷ ὁ θάνατος. Τοῦτο καὶ ἐπὶ τῶν μεταλλικῶν ἔστιν ἰδεῖν ὑλῶν συμβαῖνον. Τὴν γοῦν χρυσῖτιν γῆν λαμβάνουσιν οἱ περὶ ταῦτα ἔμπειροι, καὶ τῷ [434] χωνευτηρίῳ παραδιδόντες χρυσίον ἐργάζονται, καὶ ἄμμον καὶ ἑτέραν ὕλην ἀναμιγνύντες, ὕελον καθαρὸν ἐποίησαν. Εἶτα ὅπερ ἡ τοῦ πυρὸς δύναμις, τοῦτο ἡ τοῦ Θεοῦ οὐ δυνήσεται χάρις, εἰπέ μοι; καὶ τίς ἂν ταῦτα εἴποι τῶν ὁπωσοῦν νοῦν ἐχόντων; Πῶς σε παρὰ τὴν ἀρχὴν ἐποίησεν, ἐννόησον, καὶ μηκέτι ἀμφίβαλλε περὶ τῆς ἀναστάσεως. Οὐχὶ γῆν ἔλαβε καὶ ἔπλασε; καίτοι τί δυσκολώτερον, ἀπὸ γῆς ποιῆσαι σάρκας καὶ φλέβας καὶ δέρμα καὶ ὀστᾶ καὶ ἶνας καὶ νεῦρα καὶ ἀρτηρίας, καὶ τὰ ὀργανικὰ, καὶ τὰ ἁπλᾶ σώματα, ὀφθαλμοὺς, ὦτα, ῥῖνας, πόδας καὶ χεῖρας, καὶ ἑκάστῳ τούτων καὶ ἰδίαν καὶ κοινὴν ἐνθεῖναι τὴν ἐνέργειαν, ἢ φθαρτὰ γενόμενα ἀθάνατα ἐργάσασθαι; Οὐχ ὁρᾷς πῶς μονοειδὴς μὲν ἡ γῆ, ποικίλον δὲ καὶ πολυειδὲς τὸ σῶμα, καὶ κατὰ τὰς ἐνεργείας, καὶ κατὰ τὰ χρώματα, καὶ κατὰ τὴν διάπλασιν, καὶ κατὰ τὰς οὐσίας, καὶ κατὰ τὰ ἄλλα πάντα; Πῶς οὖν ὑπὲρ τῶν μελλόντων ἀμφιβάλλεις, εἰπέ μοι; καὶ τί χρὴ λέγειν περὶ σωμάτων; Τὰς γὰρ ἀπείρους δυνάμεις, καὶ τοὺς δήμους τῶν ἀγγέλων, τοὺς ἀρχαγγέλους, τὰ ἀνώτερα τάγματα τούτων, πῶς ἐποίησεν, εἰπέ μοι; Ἐγὼ μὲν γὰρ τὸν τρόπον οὐκ ἂν ἔχοιμι λέγειν, ὅτι δὲ ἤρκεσεν αὐτῷ τὸ θελῆσαι μόνον. Εἶτα ὁ τοσαύτας στρατιὰς ἀσωμάτους ἐργασάμενος, ἀνθρώπου σῶμα διαφθαρὲν ἀνανεῶσαι πάλιν οὐ δύναται, καὶ εἰς μείζονα ἀγαγεῖν ἀξίαν; Καὶ τίς οὕτως ἀναίσθητος, ὡς ὑπὲρ τούτων ἀμφιβάλλειν, καὶ τὴν ἀνάστασιν ἀναιρεῖν; Εἰ γὰρ μὴ ἀνίσταται σῶμα, οὐκ ἀνίσταται ἄνθρωπος· ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι ψυχὴ μόνον, ἀλλὰ ψυχὴ καὶ σῶμα. Εἰ τοίνυν ψυχὴ μόνον ἀνίσταται, ἐξ ἡμισείας τὸ ζῶον ἀνίσταται, ἀλλ' οὐχ ὁλόκληρον· ἄλλως δὲ ἐπὶ ψυχῆς οὐκ ἂν λεχθείη κυρίως ἀνάστασις. Ἀνάστασις γάρ ἐστι τοῦ πεσόντος καὶ διαλυθέντος, ψυχὴ δὲ οὐ διαλύεται, ἀλλὰ σῶμα. Τί δέ ἐστι τὸ, *Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα;* Μυστήριον μέγα καὶ ἀπόῤῥητον ἡμῖν ἐνταῦθα αἰνίττεται. Ποῖον δὴ τοῦτο; Ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ φησιν· ὅτι *Πάντες ἀναστησόμεθα, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι.* Τί δέ ἐστι τὸ λεγόμενον; ὅτι καὶ Ἕλλην καὶ Ἰουδαῖος καὶ αἱρετικὸς καὶ πᾶς ἄνθρωπος εἰς τὸν κόσμον τοῦτον παρελθὼν, κατ' ἐκείνην ἀναστήσεται τὴν ἡμέραν. Καὶ τοῦτο αὐτὸ δηλῶν ἔλεγε· *Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι.*

ιʹ. Ἐπεὶ οὖν καθολικὴ πᾶσίν ἐστιν ἡ ἀνάστασις, καὶ κοινὴ καὶ εὐσεβῶν καὶ ἀσεβῶν, καὶ πονηρῶν καὶ χρηστῶν ἀνθρώπων, ἵνα μὴ ἀπὸ τούτου νομίσῃς ἄδικόν τινα γίνεσθαι κρίσιν, μηδὲ λέγῃς πρὸς σεαυτόν· Τί ποτε τοῦτό ἐστιν; ἐγὼ ὁ σπουδαῖος καὶ τοσαῦτα πονέσας καὶ ταλαιπωρηθεὶς ἀνίσταμαι, καὶ ὁ Ἕλλην, καὶ ὁ ἀσεβήσας, καὶ προσκυνήσας εἰδώλοις, καὶ τὸν Χριστὸν ἀγνοήσας, καὶ αὐτὸς ἀνίσταται ὁμοίως, καὶ τῆς αὐτῆς ἀπολαύει τιμῆς; ἵνα μὴ ταῦτα λέγων θορυβηθῇς, ἄκουσον τί φησιν· *Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.* Καὶ πῶς ἐστι, φησὶν, ἐνδυσάμενον ἀφθαρσίαν [435] καὶ ἀθανασίαν γυμνὸν εὑρεθῆναι; πῶς; Ὅταν δόξης ὦμεν ἔρημοι, καὶ τῆς πρὸς τὸν Θεὸν παῤῥησίας ἀπεστερημένοι. Καὶ γὰρ τὰ σώματα τῶν ἁμαρτωλῶν ἄφθαρτα ἀνίστανται καὶ ἀθάνατα· ἀλλ' ἡ τιμὴ αὕτη ἐφόδιον αὐτοῖς κολάσεως γίνεται καὶ τιμωρίας· ἄφθαρτα γὰρ ἀνίσταται, ἵνα διαπαντὸς κάηται. Ἐπειδὴ γὰρ τὸ πῦρ ἄσβεστόν ἐστιν ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ καὶ σωμάτων μηδέποτε δαπανωμένων. Διὰ τοῦτό φησιν· *Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.* Οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον μόνον, ἵνα ἀναστῶμεν καὶ ἐνδυσώμεθα ἀθανασίαν, ἀλλ' ἵνα ἀναστάντες καὶ ἐνδυσάμενοι τὴν ἀθανασίαν, μὴ γυμνοὶ δόξης εὑρεθῶμεν, καὶ τῆς πρὸς τὸν Θεὸν παῤῥησίας· ἵνα μὴ τῷ πυρὶ παραδοθῶμεν. Διὰ τοῦτό φησιν· *Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.* Εἶτα πάλιν ἀξιοπιστότερον ποιῶν τὸν περὶ τῆς ἀναστάσεως λόγον, εἰπὼν, ὅτι μέλλει *καταπίνεσθαι τὸ θνητὸν ὑπὸ τῆς ζωῆς*, ἐπήγαγεν· *Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός.* Ὃ δὲ λέγει τοῦτό ἐστιν· Ἐξ ἀρχῆς διὰ τοῦτο τὸν ἄνθρωπον ἔπλασεν, οὐχ ἵνα ἀπόληται, ἀλλ' ἵνα πρὸς ἀφθαρσίαν ὁδεύῃ. Ὥστε καὶ ἡνίκα τὸν θάνατον συνεχώρησε, μετὰ τοιαύτης αὐτὸν συνεχώρησε γνώμης, ἵνα σωφρονισθῇς ἀπὸ τῆς κολάσεως, καὶ βελτίων γενόμενος, δυνηθῇς πρὸς τὴν ἀθανασίαν ἀχθῆναι πάλιν. Καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς αὕτη παρὰ τῷ Θεῷ ἐκράτει ἡ βουλὴ καὶ ἡ γνώμη, καὶ μετὰ ταύτης τῆς ψήφου τὸν πρῶτον διέπλασεν ἄνθρωπον· τοῦτο εὐθέως καὶ ἐξ αὐτῶν ἡμῖν ἠνίξατο τῶν προοιμίων. Εἰ γὰρ μὴ ἐβούλετο τὰς θύρας ἡμῖν ἐξ ἀρχῆς τῆς ἀναστάσεως ἀνοῖξαι, οὐκ ἂν ἀφῆκε τὸν Ἄβελ πᾶσαν ἀρετὴν ἐπιδειξάμενον, καὶ φίλον αὐτῷ γεγενημένον, παθεῖν

patibili hoc corpusculo circumdati, æquales se Deo esse sibi visi sint, et ad talem gloriam sibi adscribendam multa moliti sint, quos non ex stolidioribus decepissent, si non passioni corruptionique obnoxium corpus, utpote certum infirmitatis suæ indicium, sortiti fuissent? Quia ergo corpus obstat impietati, quæ summa est malitia, et in sanctis efficit, ut animæ fortitudinem declarent : quam veniam consequentur ii, qui ipsum accusant, et malum clamant? Non enim hæc solum nobis de illo dicenda suppetunt; sed etiam quod hinc nobis ad Dei notitiam patet via. Si enim invisibilia ejus a conditione mundi in facturis considerata, conspiciuntur (*Rom.* 1. 20) et fides ex auditu est (*Rom.* 10. 17), satis manifestum, quod per oculos et aures manuducitur anima, ut agnoscat Deum, qui illam fecit. Idcirco istuc ipsum Paulus amat et clamat, dicens quod *Nolumus illud exui, sed superindui ipsi immortalitatem* (2. *Cor.* 5. 4).

Resurrectionis veritas probatur. — Neque vero mihi illud objicias, quo possit modo resurgere corpus, fierique corruptionis immune? Cum enim Dei potentia operatur, illud, Quomodo, non est addendum. Sed quid de Deo loquor? Teipsum fecit Deus, ut resurrectionis esses opifex, id quod patet in seminibus, artibus, materiisque metallorum. Etenim semina nisi prius moriantur et putrescant et corrumpantur, non pariunt spicam. Sicut igitur qui vides ibi granum quod corrumpitur et dissolvitur, non dubitas de resurrectione, sed certissimam demonstrationem facis : etenim si ita maneret, et non corrumperetur, vel dissolveretur, certum quod numquam resurgeret : sic cogita et de corpore tuo : cum vides corruptionem, tunc potissimum de resurrectione philosophare. Nam mors nihil aliud est, quam plena corruptionis consumptio : neque enim mors simpliciter corpus, sed corruptionem corporis absumit. Hoc etiam in metallorum materiis vides evenire. Terram enim aureis ramentis plenam accipiunt ejus artis periti, et in conflatorium mittentes faciunt aurum : et ex arena aliaque materia purum vitrum conficiunt. Jam si tantum potest ignis vis, cur, quæso, non et divina gratia? Et quis mentis compos hæc diceret? Cogita quomodo te a principio fecit, nec erit quod de resurrectione ambigas. Nonne terram accepit, et formavit? tametsi quid operosius, an formari e terra carnem et venas, et cutem, et ossa, et fibras, et nervos, et arterias, et instrumentalia, et simplicia corpora, oculos, aures, nares, pedes, manus, et cuique horum tam propriam quam communem indi operationem, an corruptibilia facta efficere incorruptibilia? Annon vides quomodo uniformis quidem terra, corpus autem multiforme et varium, nempe in operationibus, coloribus, figuratione, essentiis et aliis omnibus? Dic igitur quid ita de futuris dubitas? Et quid opus est dicere de corporibus? Quomodo, quæso, fecit virtutes immensas, turmas cælestes angelorum et archangelorum, superioraque his agmina? Dic, oro, modum, quo fecit. Hic nihil dicere aliud possum, quam quód sola voluntas ad hæc suffecerit. Ergone qui tot incorporeos formavit exercitus, hominis corpus corruptum renovare iterum, et in majorem provehere dignitatem nequit? Et quis sic insensatus est, qui de his dubitet, et resurrectionem fore inficias eat? Ad hæc, si non resurgit corpus, non resurgit homo : homo enim non est anima sola, sed corpus et anima. Si ergo anima sola resurget, dimidium animal resurget, et ita non integrum; alias vero de anima non proprie dicitur resurrectio. Resurrectio enim ejus est quod cecidit, et quod dissolutum est : anima autem non dissolvitur, sed corpus. Quid ergo id est, quod ait : *Si quidem et induti, non nudi inveniamur* (2. *Cor.* 5. 3)? Sacramentum magnum et ineffabile nobis ibi adumbratur. Quale autem hoc? Nempe id quod et in Epistola ad Corinthios dicit : *Omnes quidem resurgemus, unusquisque autem in suo ordine* (1. *Cor.* 15. 22. 23). Quid autem est, quod hic dicitur? Hoc videlicet, quod Græcus, et Judæus, et hæreticus, et omnis homo, qui venit in hunc mundum, in illo die resurget : et hoc ipsum declarat, dicens : *Omnes quidem non dormiemus, omnes autem immutabimur, in momento, in ictu oculi, in novissima tuba* (1 *Cor.* 15. 51. 52).

8. Quia ergo communis est omnibus resurrectio, et piis et impiis, et malis et bonis hominibus, ut ne ideo putes injustum quoddam fieri judicium, neque dicas apud te ipsum : Quidnam hoc est? ego, qui multo studio et labore et in miseria vixi, resurgo, et Græcus, et impius, et idololatra, et qui ignorat Christum, etiam ipse resurgit, et simili honore mecum fruitur? ut ne talia dicens conturberis, audi quid dicit : *Si quidem induti, non nudi inveniamur* (2. *Cor.* 5. 3). Et quomodo dicit eum, qui indutus est incorruptionem et immortalitatem, inveniri nudum? Videlicet si gloria privamur, et fiducia ad Deum destituimur. Etenim peccatorum quoque corpora incorruptibilia resurgunt et immortalia : sed hic honor fomentum et viaticum ipsis erit suppliciorum et ultionis : incorruptibilia enim resurgunt, ut semper urantur. Nam cum ille ignis sit inexstinguibilis, opus est illis corporibus, quæ et ipsa numquam consumantur. Eapropter dicit : *Si quidem et induti, non nudi inveniamur.* Non enim hoc solum est, quod quæritur, ut resurgamus et immortalitatem induamus : sed ut cum resurrexerimus, indutique fuerimus immortalitatem, non inveniamur nudi a gloria fiduciaque erga Deum, neve igni illi tradamur; et ob hoc dicit : *Si quidem et induti, non nudi inveniamur.* Post hæc iterum fide digniorem de resurrectione sermonem reddit : et cum dixit futurum *Ut absorbeatur mortale hoc a vita* (*Ibid.* v. 4), adjicit, *Qui autem nos fecit ad hoc ipsum Deus* (*Ibid.* v. 5); ac si diceret, A principio propter hoc hominem formavit, inquit, non ut pereat, sed ut ad incorruptionem pergat. Ita ut quando mortem permisit, hoc ipsam consilio permiserit, ut supplicio prudentior factus et melior, possis denuo ad immortalitatem reduci. Ratum atque firmum hoc consilium, et hæc sententia ab initio apud Deum, atque hac ratione primum hominem formavit, idque statim nobis ex proœmiis ipsis subindicavit. Nisi enim voluisset ab initio nobis resurrectionis ja-

nuas aperire, non permisisset Abelem omni virtute præditum, factumque sibi amicum, quæ passus est pati. Nunc autem nobis ut demonstraret, quod ad aliam vitam pergimus, et aliud quoddam sæculum justis relictum est, in quo coronas et retributiones sibi repositas accipiant : permisit, ut is qui primum hic juste vixerat, laborum suorum mercedes hic non acciperet, sed hinc abiens, clamaret per ea quæ hic passus est, et ad omnes diceret : Post hanc vitam est aliqua et merces et remuneratio. Propterea etiam Enoch transtulit, et Eliam rapuit, per eos adumbrans dogma resurrectionis. Sufficit igitur ad argumentorum copiam sola conditoris potentia : at si quis est infirmior, et aliam insuper demonstrationem habere vult, et pignus futuræ resurrectionis, etiam idipsum nobis Deus magna liberalitate et copia dedit, Spiritus scilicet gratiam. Quocirca cum Paulus de resurrectione fide dignum sermonem habuisset ex Christi resurrectione, eo quod Deus ejus auctor esset, adducit et hoc dictum : Et arrhabonem nobis dedit, non opum nec auri nec argenti, sed arrhabonem Spiritus (2. *Cor.* 5. 5); arrhabo autem pars est totius, et de toto fidem facit. Nam sicut in conviviis, qui acceperit arrhabonem, fidem habet, et securus est de toto reliquo : ita et tu cum acceperis arrhabonem, Spiritus dona inquam, non jam dubitare debes de cæteris bonis tibi repositis. Qui enim excitasti mortuos, qui curas cæcos, dæmones expellis, leprosos mundas, morbos emendas, mortem solvis, et tot tantaque potes facere in fragili et mortali corpore, quam assequeris veniam, de resurrectione dubitans ? Si enim cum nondum resurrectionis tempus advenit, sed cum adhuc certatur, tantas tribuit tibi coronas Deus : cogita quanta præmiorum tempore bona tibi daturus sit. At si quis dicat, Sed non videmus hæc signa nunc fieri, neque nobis tanta virtus concredita est : illud respondeam, nihil differre, sive nunc, sive olim hæc facta sint. Nam quæ prius ab apostolis sunt facta, testantur per omnem orbem Ecclesiæ, et populi, et civitates, et gentes quæ ad idiotas ac piscatores recurrerunt. Neque enim toti orbi prævaluissent illiterati, et inopes, et pauperes, et viles [1], nisi miraculis adjuti. Verum nec tu gratiæ Spiritus factus es expers; sed etiamnum multa manent donationis illius symbola, atque iis, quæ enumerata sunt, multo majora, et magis admiranda. Non enim æquale est, corpus mortuum suscitare et animam a peccatis occisam ab interitu liberare, quod per baptismum fit : non æquale est, pellere morbum carnis, et abjicere pondus peccatorum : non est æquale, oculum cæcatum restituere, et animam obtenebratam illustrare. Nisi enim nunc etiam esset arrhabo Spiritus, neque baptisma adhibitum esset, neque peccatorum remissio, neque justitia et sanctificatio facta esset neque adoptionem filiorum Dei accepissemus, neque percepissemus mysteria : corpus enim et sanguis mysticus non fiunt absque Spiritus gratia : neque sacerdotes habuissemus; neque enim has ordinationes sine tali descensu fieri est possibile. Sed multa alia possemus dicere gratiæ Spiritus symbola. Itaque etiam tu Spiritus arrhabonem habes, et mortem animæ pellis, cæcitatemque cogitationum, et vitam exuisti immundam. Ne igitur dubitemus de futuris, præsertim cum talia acceperimus pignora; sed undequaque de resurrectione sermonem solidum colligentes, vitam tantis dogmatis dignam exhibeamus, ut et assequamur hic bona immobilia, quæ sermonem ac mentem humanam transcendunt. Quæ nos omnes assequi contingat, gratia et benignitate Domini nostri Jesu Christi, per quem, et cum quo Patri gloria simulque Spiritui sancto, in sæcula sæculorum. Amen.

[1] Colb., *piscatores*, pro, *viles*.

MONITUM

Eodem ipso anno hæc concio habita est, quo secunda illa de Juda proditore; videlicet in die Resurrectionis Domini Quadragesimam illam consequente, in qua triginta duas priores in Genesim homilias habuerat. Eodem autem ipso anno post Pascha Chrysostomus homilias illas novem habuit, quarum priores quinque in principium Actorum habitæ sunt : posteriores vero quatuor De mutatione nominum. Id autem aperte demonstratur in Monitis ad easdem conciones, ubi ipse Chrysostomus luculentus testis in medium affertur. Eo lectorem mittimus, necnon ad Monitum superius ad Homilias de Juda proditore : res item pluribus agetur ad Homilias in Genesim.

Hanc porro concionem sic memorat Chrysostomus homilia 1 in principium Actorum, quæ paulo post Resurrectionis diem habita est, num. 2 : *Non sunt igitur malum divitiæ, sed illegitimus earum usus est malum, et sicut nuper de ebrietate verba faciens, non vinum accusabam, quippe cum omnis creatura Dei bona sit, quæ cum gratiarum actione percipitur; sed malum usum*, etc. Quæ verba cum hac concione mire

ἅπερ ἔπαθε. Νυνὶ δὲ ἡμῖν ἐνδεικνύμενος, ὅτι πρὸς ἑτέραν ζωὴν ὁδεύομεν, καί τις αἰὼν ἕτερος ὑπολέλειπται τῶν δικαίων, ἔχων τὰς ἀμοιβὰς καὶ τοὺς στεφάνους ἀποκειμένους, τὸν πρῶτον γενόμενον δίκαιον μὴ λαβόντα ἐνταῦθα τοὺς μισθοὺς, ὧν ἐπόνεσεν, ἀφῆκεν ἀπελθεῖν βοῶντα, δι' ὧν ἔπαθε, πᾶσι καὶ λέγοντα, ὅτι μετὰ τὴν ἐντεῦθεν ζωὴν ἔστιν ἀνταπόδοσίς τις καὶ μισθὸς καὶ ἀμοιβή. Διὰ τοῦτο καὶ τὸν Ἐνὼχ μετέθηκε, καὶ τὸν Ἠλίαν ἀνήρπασεν, αἰνιττόμενος ἡμῖν τὸ περὶ τῆς ἀναστάσεως δόγμα [a]. Ἀρκεῖ μὲν οὖν εἰς πληροφορίαν ἡ τοῦ ποιοῦντος δύναμις· εἰ δὲ ἀσθενέστερός τίς ἐστι, καὶ βούλεται ἀπόδειξιν ἑτέραν λαβεῖν καὶ ἐνέχυρον τῆς μελλούσης ἀναστάσεως, καὶ τοῦτο μετὰ πολλῆς τῆς δαψιλείας ἔδωκεν ὁ Θεὸς, τὴν τοῦ Πνεύματος χάριν μετὰ πολλῆς ἐπαφεὶς τῆς ἀφθονίας. Διὰ τοῦτο καὶ ὁ Παῦλος ποιήσας ἀξιόπιστον τὸν περὶ τῆς ἀναστάσεως λόγον ἀπὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἀπὸ τοῦ Θεὸν εἶναι τὸν δημιουργοῦντα, ἐπάγει καὶ τοῦτο τὸ ῥητὸν, λέγων, ὅτι καὶ ἀῤῥαβῶνα ἡμῖν ἔδωκεν, οὐ χρημάτων οὐδὲ χρυσοῦ καὶ ἀργύρου, ἀλλ' ἀῤῥαβῶνα Πνεύματος· ὁ δὲ ἀῤῥαβὼν μέρος ἐστὶ τοῦ παντὸς, καὶ ὑπὲρ τοῦ παντὸς πιστός. Καθάπερ γὰρ ἐπὶ τῶν συμβολαίων ὁ τὸν ἀῤῥαβῶνα δεξάμενος ὑπὲρ τοῦ παντὸς θαῤῥεῖ λοιπὸν καὶ πεπίστευκεν, οὕτω καὶ σὺ λαβὼν ἀῤῥαβῶνα, τοῦ Πνεύματος τὰ χαρίσματα λέγω, μηκέτι ἀμφίβαλε περὶ τῶν ἀποκειμένων ἀγαθῶν. Ὁ γὰρ νεκροὺς ἀνιστὰς, ὁ τυφλοὺς θεραπεύων, ὁ δαίμονας ἀπελαύνων, ὁ λεπροὺς [436] καθαίρων, ὁ νοσήματα διορθούμενος, ὁ θάνατον λύων, ὁ τοσαῦτα καὶ τηλικαῦτα δυνάμενος ἐν ἐπικήρῳ καὶ θνητῷ σώματι, ποίας τεύξῃ συγγνώμης ἀμφιβάλλων περὶ τῆς ἀναστάσεως; Εἰ γὰρ μηδέπω τοῦ καιροῦ τῆς ἀντιδόσεως παραγενομένου, ἀλλ' ἔτι τῶν παλαισμάτων ἐστώτων, τοσούτοις ἡμᾶς ἠμείψατο στεφάνοις ὁ Θεὸς, ἐννόησον ὅσα σοι κατὰ τὸν καιρὸν τὸν τῶν βραβείων δώσει τὰ ἀγαθά. Εἰ δὲ λέγοι τις· Ἀλλ' οὐχ ὁρῶμεν ταῦτα νῦν γινόμενα τὰ σημεῖα, οὐδὲ ἡμεῖς τοσαύτην ἔχομεν δύναμιν· ἐκεῖνο ἂν εἴποιμι, ὅτι οὐδὲν διαφέρει, εἴτε νῦν, εἴτε πρότερον ταῦτα γεγένηται. Ὅτι γὰρ ἔμπροσθεν ἐγένετο παρὰ τῶν ἀποστόλων, μαρτυροῦσιν αἱ πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαι, καὶ δῆμοι, καὶ πόλεις, καὶ ἔθνη προσδραμόντα τοῖς ἰδιώταις καὶ ἁλιεῦσιν. Οὐ γὰρ ἂν τῆς οἰκουμένης ἐκράτησαν οἱ ἀγράμματοι καὶ πτωχοὶ καὶ πένητες καὶ εὐτελεῖς [b], εἰ μὴ τὴν τῶν σημείων εἶχον βοήθειαν. Πλὴν ἀλλ' οὔτε σὺ τῆς τοῦ Πνεύματος ἔρημος γέγονας χάριτος, ἀλλὰ πολλὰ ἔτι καὶ νῦν μένει τῆς δωρεᾶς ἐκείνης σύμβολα, αὐτῶν τούτων τῶν ἀπηριθμημένων πολλῷ μείζονα καὶ θαυμαστότερα· οὐ γάρ ἐστιν ἴσον σῶμα τελευτῆσαν ἀναστῆσαι, καὶ ψυχὴν νεκρωθεῖσαν ὑπὸ τῶν ἁμαρτημάτων ἀπαλλάξαι τῆς ἀπωλείας ἐκείνης, ὃ διὰ τοῦ βαπτίσματος γίνεται· οὐκ ἔστιν ἴσον νοσήματα ἀπελάσαι σαρκὸς, καὶ ἁμαρτιῶν φορτίον ἀποθέσθαι [c]· οὐκ ἔστιν ἴσον ὅμμα πεπηρωμένον διορθῶσαι, καὶ ψυχὴν ἐσκοτισμένην φωτὶ καταλάμψαι. Εἰ γὰρ μὴ ἦν ἀῤῥαβὼν τοῦ Πνεύματος καὶ νῦν, οὐκ ἂν συνέστη τὸ βάπτισμα, οὐκ ἂν ἁμαρτημάτων ἄφεσις ἐγένετο, οὐκ ἂν δικαιοσύνη καὶ ἁγιασμὸς, οὐκ ἂν υἱοθεσίαν ἐλάβομεν, οὐκ ἂν μυστηρίων ἀπελαύσαμεν· σῶμα γὰρ καὶ αἷμα μυστικὸν οὐκ ἄν ποτε γένοιτο τῆς τοῦ Πνεύματος χάριτος χωρίς· οὐκ ἂν ἱερέας ἐσχήκαμεν· οὐδὲ γὰρ ταύτας δυνατὸν τὰς χειροτονίας ἄνευ ἐκείνης τῆς ἐπιφοιτήσεως γίνεσθαι. Καὶ ἄλλα δὲ πολλὰ ἔχοι τις ἂν εἰπεῖν τῆς τοῦ Πνεύματος χάριτος σύμβολα. Ὥστε καὶ σὺ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἔχεις, καὶ νέκρωσιν ἀπέθου ψυχῆς, καὶ πήρωσιν λογισμῶν, καὶ τὸν ἀκάθαρτον ἀπεδύσω βίον. Μὴ τοίνυν ἀσχάλλωμεν περὶ τῶν μελλόντων, τοιαῦτα λαβόντες ἐνέχυρα· ἀλλὰ πανταχόθεν τὸν περὶ τῆς ἀναστάσεως συλλέξαντες λόγον, καὶ βίον ἄξιον τῶν δογμάτων ἐπιδειξώμεθα τούτων, ἵνα καὶ τῶν ἀκινήτων ἀγαθῶν ἐπιτύχωμεν, τῶν πάντα λόγον ὑπερβαινόντων καὶ νοῦν ἀνθρώπινον· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ ἡ δόξα τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Colb. ἡμῖν τὴν περὶ τῆς ἀναστάσεως ὑπόληψιν.

[b] Colb. πένητες καὶ ἁλιεῖς. [c] Colb. φορτίον καταπονῆσαι.

IN HOMILIAM CONTRA EBRIOSOS, ET DE RESURRECTIONE.

consonant, maxime vero cum ejusdem loco : *Abstineamus ab ebrietate : non dico hoc, Abstineamus a vino; sed, Ab ebrietate abstineamus. Non vinum efficit ebrietatem : est enim Dei creatura. Dei porro creatura nihil efficit mali, sed voluntas maligna efficit ebrietatem*, etc. Eodem igitur ipso anno Chrysostomus homilias triginta duas per Quadragesimam habuit, item secundam de Juda proditore in die Cœnæ Domini; hanc de Resurrectione et contra ebriosos in die Paschatis, quinque homilias in principium Actorum post Pascha, et consequenter quatuor De mutatione nominum. Subinde autem intermissas in Genesim homilias resumpsit a trigesimâ tertia. Hic cernis magnam seriem homiliarum uno eodemque anno : quis autem ille sit annus nondum vel certis vel saltem probabilibus indiciis expiscari potuimus. In hac concione hiatum ingentem ex uno Regio codice sarcimus.

Interpretatio Latina est Frontonis Ducæi.

ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ,

Καὶ εἰς τὴν ἀνάστασιν, λόγος λεχθεὶς τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

—

α'. Ἀπεθέμεθα τῆς νηστείας τὸ φορτίον, ἀλλὰ μὴ ἀποθώμεθα τῆς νηστείας τὸν καρπόν· ἔστι γὰρ φορτίον ἀποθέσθαι νηστείας, καὶ καρπὸν δρέπεσθαι [a] νηστείας. Παρῆλθεν ὁ πόνος τῶν ἀγώνων, ἀλλὰ μὴ παρέλθῃ ἡ σπουδὴ τῶν κατορθωμάτων· ἀπῆλθεν ἡ νηστεία, ἀλλὰ μενέτω ἡ εὐλάβεια· μᾶλλον δὲ οὐδὲ ἡ νηστεία ἀπῆλθεν. Ἀλλὰ μὴ φοβηθῆτε· τοῦτο γὰρ εἶπον οὐχὶ ἑτέραν ὑμῖν κ[illegible]σσων Τεσσαρακοστὴν, ἀλλὰ τὴν αὐτὴν ὑμῖν ἀρετὴν καταγγέλλων. Παρῆλθεν ἡ νηστεία ἡ σωματικὴ, ἀλλ' οὐ παρῆλθεν ἡ νηστεία ἡ πνευματικὴ· αὕτη βελτίων ἐκείνης, κἀκείνη διὰ ταύτην ἐγίνετο. Ὥσπερ, ὅτε ἐνηστεύετε, ἔλεγον ὑμῖν ὅτι ἔστι νηστεύοντα μὴ νηστεύειν [b], οὕτω καὶ νῦν λέγω ὅτι ἔστι μὴ νηστεύοντα νηστεύειν. Τάχα αἴνιγμα εἶναι δοκεῖ τὸ λεγόμενον, ἀλλ' ἐγὼ τὴν λύσιν ἐπάγω [438] τῷ ζητήματι· Πῶς ἔστι νηστεύοντα μὴ νηστεύειν; Ὅταν τις βρωμάτων μὲν ἀπέχηται, ἁμαρτημάτων δὲ μὴ ἀπέχηται. Πῶς ἔστι μὴ νηστεύοντα νηστεύειν; Ὅταν τις τροφῆς μὲν ἀπολαύῃ, ἁμαρτίας δὲ μὴ γεύηται. Αὕτη βελτίων ἐκείνης ἡ νηστεία, οὐ βελτίων δὲ μόνον, ἀλλὰ καὶ κουφοτέρα· ἐπ' ἐκείνης τῆς νηστείας ἀσθένειαν προεβάλλοντο πολλοὶ σωματικὴν, κνησμὸν χαλεπόν. Ψώρας ἐμπέπλησμαι, φησὶν, ἁλουσίαν οὐχ ὑπομένω, ἡ ὑδροποσία με διαφθείρει, λαχάνων ἀπογεύεσθαι οὐ δύναμαι. Πολλὰ τοιαῦτα ἦκουον τότε λεγόντων πολλῶν· ἐπὶ τῆς νηστείας ταύτης [c] οὐδὲν τοιοῦτον ἔστιν εἰπεῖν. Ἀπόλαυε λουτρῶν, μέτεχε τραπέζης, οἰνοποσίᾳ κέχρησο συμμέτρῳ, κἂν κρεῶν ἀπογεύεσθαι μέλλῃς, ὁ κωλύων οὐδείς· πάντων ἀπόλαυσον, μόνον ἁμαρτίας ἀπόστηθι. Εἶδες πῶς πᾶσιν αὕτη ῥᾳδία ἡ νηστεία; Οὐκ ἔστι σώματος ἀσθένειαν προβάλλεσθαι· τῆς ψυχῆς καθαρόν ἐστι τὸ κατόρθωμα. Ἔστι καὶ μὴ πίνοντα οἶνον, μεθύειν, καὶ πίνοντα οἶνον σωφρονεῖν· καὶ ὅτι ἔστιν ἄνευ οἴνου μέθη, ἄκουσον τοῦ προφήτου λέγοντος· *Οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου*· καὶ πῶς ἔστιν ἄνευ οἴνου μεθύειν; Ὅταν τὸ ἄκρατον τῶν παθῶν μὴ κεράσῃς εὐσεβεῖ λογισμῷ. Ἔστι καὶ πίνοντα οἶνον μὴ μεθύειν· καὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν τοῦτο ἐπέταξεν ὁ Παῦλος τῷ Τιμοθέῳ γράφων οὕτως· *Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας*. Μέθη γὰρ οὐδὲν ἕτερόν ἐστιν ἀλλ' ἢ ἔκστασις τῶν κατὰ φύσιν φρενῶν, παρατροπὴ λογισμῶν, ἐρημία διανοίας, πενία συνέσεως. Ταῦτα δὲ οὐχ ἡ μέθη ποιεῖ μόνη ἡ ἐξ οἴνου, ἀλλὰ καὶ μέθη ἡ ἐξ ὀργῆς καὶ ἐπιθυμίας ἀτόπου. Καθάπερ γὰρ πυρετὸν μὲν ποιεῖ ἀγρυπνία, ποιεῖ δὲ κόπος, ποιεῖ δὲ ἀθυμία, ποιεῖ δὲ χυμὸς διεφθαρμένος, καὶ διάφορος μὲν ἡ ὑπόθεσις, ἓν δὲ τὸ πάθος καὶ τὸ νόσημα· οὕτω καὶ ἐπὶ τούτων· ποιεῖ μὲν οἶνος μέθην, ποιεῖ δὲ ἐπιθυμία, ποιεῖ δὲ χυμὸς διεφθαρμένος, καὶ διάφορος μὲν ἡ ὑπόθεσις, ἓν δὲ τὸ πάθος καὶ τὸ νόσημα. Ἀπεχώμεθα μέθης· οὐ λέγω ἀπεχώμεθα οἴνου, ἀλλ' ἀπεχώμεθα μέθης· οὐκ οἶνος ποιεῖ μέθην· κτίσμα γάρ ἐστι Θεοῦ, Θεοῦ δὲ κτίσμα οὐδὲν ποιεῖ πονηρὸν, ἀλλὰ προαίρεσις πονηρὰ ποιεῖ μέθην. Καὶ ὅτι ἔστι καὶ ἄλλως μεθύειν οὐχὶ οἴνῳ μόνῳ, ἄκουσον τί φησιν ὁ Παῦλος· *Μὴ μεθύσκεσθε οἴνῳ*· δεικνὺς ὅτι ἔστι καὶ ἄλλως μεθύσκεσθαι· *Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία*. Θαυμασίως ἐν βραχεῖ ῥήματι πᾶσαν τῆς μέθης τὴν κατηγορίαν εἶπε. Τί ἐστι, *Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία*; Ἀσώτους τῶν νέων ἐκείνους καλοῦμεν, τοὺς πατρῷον διαδεξαμένους κλῆρον, καὶ πάντα ἀθρόον ἐκφοροῦντας, καὶ μὴ λογιζομένους, τίνι χρὴ δοῦναι, καὶ πότε δοῦναι, ἀλλ' ἁπλῶς, καὶ ἱμάτια, καὶ χρυσίον, καὶ ἀργύριον, καὶ πάντα τὸν πατρῷον πλοῦτον διανέμοντας εἰς πόρνας καὶ λάγνους. Τοιοῦτόν ἐστιν ἡ μέθη· ὥσπερ ἄσωτον λαβοῦσα νέον τὴν διάνοιαν [439] τῶν μεθυόντων, καὶ αἰχμαλωτίσασα τὸν λογισμὸν, ἅπασαν ἡμῶν τὴν οὐσίαν τῶν νοημάτων ἀπερισκέπτως καὶ χωρὶς τινος ἀκριβείας ἐκχέειν καταναγκάζει. Ὁ μεθύων οὐκ οἶδε τί μὲν εἰπεῖν χρὴ, τί δὲ σιγῆσαι, ἀλλ' ἀθύρωτον αὐτοῦ τὸ στόμα διηνεκῶς· μοχλὸς οὐκ ἐπίκειται, οὐδὲ θύρα τοῖς χείλεσιν· ὁ μεθύων οὐκ οἶδεν οἰκονομῆσαι τοὺς λόγους αὐτοῦ ἐν κρίσει, οὐκ οἶδε διαθεῖναι τὸν πλοῦτον τῆς διανοίας, οὐκ οἶδε τὰ μὲν ἀποθέσθαι, τὰ δὲ ἀναλῶσαι, ἀλλὰ πάντα ἐκεῖνα δαπάνη καὶ ἔξοδος. Ἑκούσιος μανία μέθη, προδοσία λογισμῶν· μέθη συμφορὰ καταγελωμένη [d], νόσημα χλευαζόμενον, δαίμων αὐθαίρετος, καὶ παραφροσύνης χαλεπωτέρα.

β'. Βούλει μαθεῖν πῶς ὁ μεθύων καὶ τοῦ δαιμονῶντός ἐστι χείρων; Τὸν δαιμονῶντα πάντες ἐλεοῦμεν, τοῦτον δὲ μισοῦμεν· ἐκείνῳ συνάλγοῦμεν, τούτῳ δὲ ὀργιζόμεθα καὶ ἀγανακτοῦμεν. Τί δήποτε; Ἐκείνῳ [e] μὲν ἐπήρεια, τούτῳ δὲ ῥᾳθυμία τὸ πάθος· ἐκείνῳ ἐπιβουλὴ ἐχθρῶν, τούτῳ δὲ ἐπιβουλὴ λογισμῶν· καὶ τοιαῦτα πάσχει [f] τῷ δαιμονῶντι ὁ μεθύων, ὁμοίως περιφέρεται, ὁμοίως ἐξέστηκεν, ὁμοίως καταπίπτει, ὁμοίως διαστρέφει τὰς κόρας, ὁμοίως σπαίρει κείμενος ἐπὶ τῆς γῆς [g]· ἀφρὸν ἐκ τοῦ στόματος προΐεται,

[a] Reg. 2 δρέψασθαι.
[b] Reg. et Coisl. ἔστι μὴ νηστεύοντα νηστεύειν, καὶ ἔστι νηστεύοντα μὴ νηστεύειν.
[c] Reg. 2 et Coislin. ταύτης τῆς πνευματικῆς.
[d] Reg. 2 φορὰ καταγ. Alii omnes συμφορὰ καταγ.
[e] Coislin. τί δήποτε; Ἐπειδὴ ἐκείνῳ.
[f] Savil. in marg. τὰ αὐτὰ πάσχει.
[g] Coislin. ἐπ' ἐδάφους.

ADVERSUS EBRIOSOS

ET DE RESURRECTIONE, SERMO HABITUS IN SANCTA ET MAGNA DOMINICA PASCHÆ (*a*).

1. *Veri jejunii ratio.*—Jejunii sarcinam deposuimus, sed ne fructum jejunii deponamus : possumus enim jejunii sarcinam deponere et jejunii fructum decerpere. Præteriit labor certaminum, sed non prætereat studium recte factorum : jejunium abiit, sed religio maneat : imo vero ne jejunium quidem abiit. Verumtamen nolite timere : hoc enim dixi, non ut alteram vobis Quadragesimam promulgarem, sed ut vobis eamdem virtutem annuntiarem : jejunium præteriit corporale, sed jejunium non præteriit spirituale : hoc melius est illo, et illud propter hoc est institutum. Quemadmodum, cum jejunaretis, dicebam vobis fieri posse, ut quis jejunando non jejunet, ita et nunc dico fieri posse, ut quis non jejunando jejunet. Ænigma fortasse videtur id quod dictum est, verum ego quæstioni solutionem adjungam : qui fieri potest ut quis jejunando non jejunet ? Cum quis a cibis quidem abstinet, non abstinet autem a peccatis. Qui potest fieri, ut non jejunando quis jejunet? Cum quis alimentis quidem fruitur, peccatum vero non gustat; hoc melius est illo jejunium, neque melius tantum, sed etiam levius : illius jejunii tempore multi corporis imbecillitatem obtendebant, molestum pruritum : Scabie repletus sum, inquit, illuviem non fero : aquæ potus me enecat : olera degustare non possum. Multa ejusmodi qui tum dicerent audiebam multos : de hoc jejunio [1] nihil tale dici potest. Fruere balneis, mensæ particeps esto, vini utere potu moderato; licet degustare carnes pariter, est qui prohibeat nemo : omnibus fruere, tantum abstine a peccato. Vides ut omnibus facile sit hoc jejunium? Non corporis imbecillitatem licet obtendere : merum est animæ recte factum. Potest etiam quispiam non bibendo vinum ebrius esse, et vinum bibendo sobrius esse. Atque ebrietatem esse absque vino disce ex propheta dicente, *Væ qui ebrii estis absque vino* (*Isai.* 28. 1),et quomodo fieri potest ut absque vino quis inebrietur? Cum perturbationum merum religiosa ratione, pia cogitatione minime temperaris. Potest et aliquis bibendo vinum ebrius non esse : ac ni ita esset, non hoc Timotheo Paulus imperasset, ad eum scribens in hæc verba : *Modico vino utere propter stomachum tuum et frequentes tuas infirmitates* (1. *Tim.* 5. 23). Nihil quippe aliud est ebrietas, quam animi de nativa sanitate deturbatio, depravatio ratiocinationum, mentis penuria, vacuitas intellectus. Ista vero non ebrietas efficit tantum ex vino, verum ebrietas etiam ex ira et cupiditate a ratione aliena. Nam quemadmodum febrem gignunt vigiliæ, gignit et fatigatio, gignit tristitia, gignit quoque vitiatus humor, et diversa quidem est causa, una vero passio et ægritudo : sic et in istis ebrietatem parit quidem vinum, parit et cupiditas, parit et humor corruptus ; et diversa quidem est materia, una vero passio et ægritudo. Abstineamus ab ebrietate : non dico, abstineamus a vino, sed, ab ebrietate abstineamus, non vinum efficit ebrietatem : est enim Dei creatura ; Dei porro creatura nihil efficit mali : sed voluntas maligna efficit ebrietatem. Atque ut scias aliter etiam posse quempiam ebrium fieri non solo vino, audi quid dicat Paulus : *Nolite inebriari vino* (*Ephes.* 5. 18), indicans aliter etiam ebrios esse nos posse. *Nolite inebriari vino, in quo est luxuria :* mirabili quadam ratione paucis verbis omnem ebrietatis accusationem complexus est. Quid est, *Nolite inebriari vino, in quo est luxuria?* Luxuriosos inter juvenes eos vocamus, qui cum paternam acceperunt hereditatem, cuncta confestim dilapidant, nec perpendunt cui dandum sit, et quando sit dandum, sed nullo delectu et vestes et aurum et argentum omnesque paternas opes in meretrices et impudicos distribuunt. Tale quiddam est ebrietas : tamquam juvenem luxuriosum invadens mentem ebriorum, ratione servituti mancipata, nostras omnes animi sensorum opes inconsiderate ac sine ulla animi attentione cogit effundere. Qui ebrius est, nescit quid dicendum sit, quid tacendum ; sed perpetuo patens nullaque obstructum janua est os ejus : non vectis appositus est labris, non janua. Qui ebrius est, disponere sermones suos in judicio nescit, mentis divitias administrare nescit : non novit hæc quidem recondere, illa vero expendere, sed omnia illa ad impensas et effusiones traducuntur. Spontaneus est furor ebrietas, proditio cogitationum ; ebrietas ridicula calamitas, morbus sannis expositus, voluntarius dæmon, et ipsa molestior insania.

2. *Ebrietatis imago.*— Vin' tu discere, quo pacto dæmoniaco ebrius sit deterior? Miseremur ejus qui a dæmonio vexatur, at hunc odisse solemus; illi condolemus, huic autem irascimur et indignamur. Quid ita (*b*)? Illius enim morbus injuria, hujus vero negligentia est appellandus ; in illo insidiæ inimicorum, in hoc insidiæ consiliorum ; nec aliter affectus est ebrius ac dæmoniacus : pariter circumagitur, pariter de statu mentis dejectus est, pariter concidit, pariter oculorum pupillas contorquet, pariter jacens in terra pe-

[1] Reg. 2. et Coislin. addunt, *spirituali.*

(*a*) Collata cum Ms. Reg. 2124, ubi admodum pauca discrimina. Item cum Reg. 2027, et cum Coisliniano 107.

(*b*) Hic multum variat Reg. 2.

des jactat : spumam ex ore projicit, et ita fœtentem salivam effundit, atque os ejus intolerabili fœtore repletum est. Injucundus amicis est vir ejusmodi, ridiculus inimicis, contemptibilis famulis, uxori ingratus, omnibus odiosus, ipsis bestiis molestior : bestiæ eousque bibunt quousque fert sitis, et cupiditatem sistunt necessitate : hic intemperantia cupiditatem transilit, et ratione carentibus a ratione alienior apparet. Verum illud multo intolerabilius est, quod morbus tot malis redundans, totque secum invehens calamitates, ne crimen quidem censetur; sed in divitum mensis hujus turpitudinis gratia pugna oritur atque certamen, atque inter se majori studio contendunt, quis seipsum magis infamet, quis majorem subsannandi occasionem præbeat, quis nervos amplius infringat, quis vires [1] amplius debilitet, quis communem Dominum gravius irritet : ac videre est stadium certamenque diabolicum. Ebrius mortuis miserior est : siquidem ille sensu destitutus jacet, neque bona ulla vel mala potest operari; hic vero ad mala exsequenda promptus est, et anima in corpore tamquam in monumento defossa mortuum corpus circumfert. Vides ut miserior sit dæmoniaco, ut magis quam mortui sensu destitutus? Vin' tu dicam id quod his omnibus majus est et gravius? Ebrius homo in regnum cœlorum intrare non potest : quis hæc dicit? Paulus. *Nolite errare : neque fornicarii, neque idolis servientes, neque adulteri, neque molles, neque masculorum concubitores, neque fures, neque avari, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt* (1. *Cor.* 6. 9. 10). Audisti qualem in turbam ipsum conjecerit? Cum impudicis, cum scortatoribus, cum idololatris, cum adulteris, cum maledicis, cum avaris, cum rapacibus. Quid ergo? dicet aliquis, idemne est ebrius et impudicus? idem ebrius et idololatra? Noli mihi hæc objicere, mi homo : leges divinas ego recitavi, a me rationem ne exigas : Paulum interroga, tum ipse respondebit : num enim cum ipsis aut seorsim ab ipsis supplicio addicatur, non possum dicere : porro non minus quam idololatram, illum a regno cœlorum excidere, id vero oppido confirmabo. Cum igitur hoc in confesso sit, quid a me deinceps rationem reposcis de peccati mensura? Cum enim extra fores remaneat, cum a regno excidat, cum expers fiat salutis, cum ad supplicium amandetur æternum, quid tu mihi peccatorum mensuras et bilances et trutinas profers? Indigna prorsus res est ebrietas, dilectissimi, et importuna valde. Non mea vos spectat oratio : absit : plane siquidem credo vestram animam ab ægritudine hac et morbo esse immunem : ac vestræ sanitatis argumentum est, quod hic versemini, quod huc diligenter conveniatis, quod attente audiatis : nemo, qui vino inebrietur, divinorum esse cupidus eloquiorum potest. *Nolite inebriari vino, in quo est luxuria, sed implemini Spiritu* (*Ephes.* 5. 18). Præclara est hæc ebrietas : hac Spiritus crapula tuam animam sopora, ne ebrietate sopores : præoccupa mentem et cogitationes, ne locum impudens ille morbus inveniat. Propterea non dixit, Participes estote Spiritus, sed *Implemini Spiritu* : ad summum usque mentem tamquam calicem imple Spiritu, ut nihil deinceps injicere possit diabolus : non enim quovis modo participes nos fieri Spiritu jam oportet, sed Spiritu impleri, psalmis, hymnis, canticis spiritualibus, quibus hodie repleti estis : quapropter de temperantia vestra confido. Præclarus est nobis ebrietatis calix : est calix ebrietatis, qui temperantiam gignit, non paralysim. Quisnam ille porro? Calix spiritualis, calix salutaris, calix impollutus Dominici sanguinis : non gignit ebrietatem ille calix, non paralysim gignit. Non enim vires dissolvit, sed vires excitat, ille nervos non infringit, sed intendit : sobrietatem quippe affert; ille angelis venerandus est, dæmonibus tremendus, hominibus pretiosus, Domino amabilis. Vides quid dicat David de spirituali calice isto, qui propositus est in hac mensa? *Parasti in conspectu meo mensam adversus eos, qui tribulant me : impinguasti in oleo caput meum, et calix tuus inebrians quam præclarus est* (*Psal.* 22. 5). Etenim ne audito nomine ebrietatis subito meteres, et ejusmodi putares esse, ut infirmitatem inducat, adjunxit esse præclarum et firmum. Novum ebrietatis genus, robur immittit et validum reddit ac potentem : quippe quod ex spirituali petra profluxerit : non est depravatio cogitationum, sed spiritualium cogitationum accumulatio.

3. Hac ebrietate ebrii simus, ab illa vero abstineamus, ne præsentem solemnitatem dedecore afficiamus : non enim terræ tantum, sed et cæli est præsens solemnitas; hodie gaudium est in terra, hodie gaudium in cælo : si enim uno peccatore converso gaudium est in terra et cælo (*Luc.* 15. 10), multo magis extorto de diaboli manibus toto orbe terrarum gaudium erit in cælo. Nunc exsultant angeli, nunc lætantur archangeli, nunc Cherubim et Seraphim hoc nobiscum festum celebrant : non illos pudet conservorum, sed nostris bonis gratulantur. Etsi enim nostrum est quod a Domino accepimus donum, communis est tamen et cum illis voluptas. Sed quid ego conservos commemoro? ipsum Dominum illorum ac nostrum nobiscum celebrare festum non pudet : at quid ego rursus non eum pudere dico? *Desiderio*, inquit, *desideravi hoc Pascha manducare vobiscum* (*Luc.* 22. 15) : quod si Paschæ festum celebrare desideravit nobiscum, haud dubium quin et Resurrectionem quoque. Quando igitur angeli gaudent, et archangeli, omniumque Dominus cælestium virtutum nobiscum festum concelebrat, quæ tandem superesse occasio tristitiæ potest?

Nulla personarum distinctio in participatione Mysteriorum.—Nullus pauper ob paupertatem sit mœstus; hæc enim celebritas est spiritualis : nullus dives efferatur ob divitias; nihil enim ex pecuniis ad hujus celebritatis voluptatem potest conferre. Nam in externis quidem et sæcularibus festis, ubi multum merum, ubi mensa referta et ad satietatem comessatio, ubi turpitudo et risus, ubi omnis pompa satanica : merito

[1] Coislin., *mentem*, pro, *vires* : quæ lectio non est spernenda.

καὶ οὕτως ἐχεῖ σίελον σεσηπότα, καὶ δυσωδίας ἐμπεπλησται τὸ στόμα ἀφορήτου. Φίλοις ἀηδὴς ὁ τοιοῦτος, ἐχθροῖς καταγέλαστος, οἰκέταις εὐκαταφρόνητος, γυναικὶ ἀτερπὴς, πᾶσι φορτικὸς, τῶν ἀλόγων αὐτῶν ἀτερπέστερος. Τὰ ἄλογα μέχρι τότε πίνει ἕως ἂν διψῇ, καὶ τῇ χρείᾳ τὴν ἐπιθυμίαν ἵστησιν· οὗτος δὲ τῇ ἀκολασίᾳ παρέρχεται τὴν ἐπιθυμίαν, καὶ γέγονε τῶν ἀλόγων ἀλογώτερος· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι νόσημα τοσούτων γέμον κακῶν καὶ τοσαύτας ἔχον συμφορὰς οὐδὲ ἔγκλημα εἶναι νομίζεται· ἀλλ' ἐν ταῖς τῶν πλουτούντων τραπέζαις ἄμιλλα καὶ ἀγὼν ὑπὲρ τῆς ἀσχημοσύνης γίνεται ταύτης, καὶ φιλονεικοῦσι μειζόνως πρὸς ἀλλήλους, τίς ἑαυτὸν παραδειγματίσει, τίς πλείονα παράσχῃ γέλωτα, τίς μᾶλλον διαλύσει τὰ νεῦρα, τίς μᾶλλον καταλύσει τὴν δύναμιν [a], τίς τὸν κοινὸν Δεσπότην παροξυνεῖ πλέον· καὶ ἔστιν ἰδεῖν στάδιον καὶ ἄμιλλαν διαβολικήν. Ὁ μεθύων τῶν νεκρῶν ἀθλιώτερος· ἐκεῖνος μὲν γὰρ ἀναίσθητος κεῖται, καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος· οὗτος δὲ πρὸς τὴν τῶν κακῶν ἐργασίαν ἐστὶν ἐπιτήδειος· καὶ καθάπερ ἐν μνήματι τῷ σώματι τὴν ψυχὴν κατορύξας, νεκρὸν περιφέρει τὸ σῶμα. Εἶδες πῶς τοῦ δαιμονῶντός ἐστιν ἀθλιώτερος; πῶς τῶν νεκρῶν ἀναισθητότερος; Βούλει τὸ πάντων τούτων μεῖζον εἴπω καὶ χαλεπώτερον; Μεθύων ἄνθρωπος εἰς βασιλείαν οὐρανῶν εἰσελθεῖν οὐ δύναται· τίς ταῦτά φησι; Παῦλος. *Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες* [440] *βασιλείαν Θεοῦ κληρονομήσουσιν.* Ἤκουσας εἰς ποῖον αὐτὸν ἔταξε χορόν; Μετὰ τῶν ἡταιρηκότων, μετὰ τῶν πορνευσάντων, μετὰ τῶν εἰδωλολατρῶν, μετὰ τῶν μοιχῶν, μετὰ τῶν λοιδόρων, μετὰ τῶν πλεονεκτῶν, μετὰ τῶν ἁρπάγων. Τί οὖν, φησίν; ὁ μεθύων καὶ ὁ ἡταιρηκὼς τὸ αὐτό; ὁ μεθύων καὶ ὁ εἰδωλολάτρης τὸ αὐτό; Μή μοι λέγε ταῦτα, ἄνθρωπε· νόμους ἀνέγνων θείους, ἐμὲ τὰς εὐθύνας μὴ ἀπαίτει· Παῦλον ἐρώτησον, καὶ αὐτὸς ἀποκρίνεται. Εἰ μὲν γὰρ σὺν αὐτοῖς ἢ μὴ μετ' αὐτῶν κατατάττεται τῇ κολάσει, οὐκ ἔχω λέγειν· ὅτι δὲ καὶ ὁμοίως τῷ εἰδωλολάτρῃ τῆς βασιλείας τῶν οὐρανῶν ἐκπίπτει, τοῦτο σφόδρα ἂν διισχυρισαίμην· τούτου δὲ ὁμολογουμένου, τί λοιπὸν ἐμὲ εὐθύνας ἀπαιτεῖς τοῦ μέτρου τῆς ἁμαρτίας; Ὅταν γὰρ ἔξω μείνῃ τῶν θυρῶν, ὅταν ἐκπέσῃ τῆς βασιλείας, ὅταν ἔρημος γένηται τῆς σωτηρίας, ὅταν εἰς τὴν κόλασιν αἰώνιον παραπεμφθῇ· τί μοι μέτρα ἁμαρτημάτων καὶ ζυγὰ καὶ στάθμια προτείνεις; Ὄντως, ἀγαπητοὶ, δεινὸν ἡ μέθη καὶ χαλεπὸν πάνυ. Οὐ πρὸς [b] ὑμᾶς λέγω· μὴ γένοιτο· πάνυ γὰρ πέπεισμαι, ὅτι καθαρὰ ὑμῶν ἡ ψυχὴ τοῦ νοσήματος καὶ τοῦ πάθους τούτου, καὶ τεκμήριον τῆς ὑγείας ἡ ἐνταῦθα διατριβὴ, ἡ μετὰ σπουδῆς σύνοδος, ἡ νήφουσα ἀκρόασις· οὐδεὶς γὰρ οἴνῳ μεθύων ἐπιθυμεῖν θείων λογίων δύναται. *Μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι* [c]. Αὕτη ἡ καλὴ μέθη· κάρωσόν σου τὴν ψυχὴν τῷ Πνεύματι, ἵνα μὴ καρώσῃς τῇ μέθῃ· προκατάλαβε τὴν διάνοιαν καὶ τοὺς λογισμοὺς, ἵνα μὴ εὕρῃ χώραν ἐκεῖνο τὸ πάθος τὸ ἀναίσχυντον. Διὰ τοῦτο οὐκ εἶπε, Μετέχετε Πνεύματος, ἀλλὰ *Πληροῦσθε Πνεύματος.* Ἕως ἄνω τὴν διάνοιαν καθάπερ ποτήριον τοῦ Πνεύματος πλήρωσον, ἵνα μηδὲν ἐμβαλεῖν δυνηθῇ λοιπὸν ὁ διάβολος· οὐ γὰρ ἁπλῶς ὀφεῖ μετέχειν λοιπὸν τοῦ Πνεύματος, ἀλλὰ πληροῦσθαι Πνεύματος, ψαλμοῖς, ὕμνοις, ᾠδαῖς πνευματικαῖς, ὧν ἐπληρώθητε σήμερον. Διὰ τοῦτο θαῤῥῶ περὶ τῆς σωφροσύνης ὑμῶν. Ἔστιν ἡμῖν ποτήριον μέθης καλὸν, ἔστι ποτήριον μέθης σωφροσύνην ποιοῦν, οὐ παράλυσιν. Ποῖον δὲ τοῦτο; Τὸ ποτήριον τὸ πνευματικὸν, τὸ ποτήριον τὸ ἄχραντον τοῦ αἵματος τοῦ Δεσποτικοῦ. Ἐκεῖνο οὐ ποιεῖ μέθην, ἐκεῖνο οὐ ποιεῖ παράλυσιν· οὐ γὰρ παραλύει δύναμιν, ἀλλ' ἐγείρει δύναμιν· ἐκεῖνο οὐ καταλύει τὰ νεῦρα, ἀλλὰ τονοῖ τὰ νεῦρα· ἐκεῖνο γὰρ νῆψιν ποιεῖ, ἐκεῖνο αἰδέσιμον ἀγγέλοις, φοβερὸν δαίμοσι, τίμιον τοῖς ἀνθρώποις, ἐπέραστον τῷ Δεσπότῃ. Ὁρᾷς πῶς φησιν ὁ Δαυὶδ περὶ τοῦ ποτηρίου τούτου τοῦ πνευματικοῦ τοῦ ἐν τῇ τραπέζῃ ταύτῃ κειμένου; *Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον.* Ἵνα γὰρ μὴ ἀκούσας μέθης ὄνομα φοβηθῇς εὐθέως, καὶ νομίσῃς ἀσθενείας εἶναι ποιητικὸν, ἐπήγαγεν ὅτι κράτιστόν ἐστι καὶ ἰσχυρόν. Καινὸς τρόπος μέθης, ἰσχὺν ἐντίθησιν, ἐγκρατῆ ποιεῖ καὶ δυνατόν· ἀπὸ γὰρ τῆς πέτρας ἔῤῥευσε τῆς πνευματικῆς· οὐκ ἔστι παρατροπὴ λογισμῶν, ἀλλὰ προσθήκη λογισμῶν πνευματικῶν.

γ'. Ταύτην μεθύωμεν τὴν μέθην· ἐκείνης δὲ [441] ἀπεχώμεθα, ἵνα μὴ καταισχύνωμεν τὴν παροῦσαν ἑορτήν· ἑορτὴ γὰρ ἡ παροῦσα οὐχὶ τῆς γῆς μόνον, ἀλλὰ καὶ τοῦ οὐρανοῦ. Σήμερον ἐν γῇ χαρὰ, σήμερον ἐν οὐρανῷ χαρά· εἰ γὰρ ἑνὸς ἁμαρτωλοῦ ἐπιστρέφοντος, χαρὰ ἐπὶ γῆς καὶ οὐρανοῦ, πολλῷ μᾶλλον τῆς οἰκουμένης ἁπάσης ἐξαρπασθείσης τῶν χειρῶν τοῦ διαβόλου χαρὰ ἔσται ἐν οὐρανῷ. Νῦν σκιρτῶσιν ἄγγελοι, νῦν χαίρουσιν ἀρχάγγελοι, νῦν τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ μεθ' ἡμῶν ἑορτάζει τὴν παροῦσαν ἑορτήν· οὐκ ἐπαισχύνονται τοὺς συνδούλους, ἀλλὰ συγχαίρουσι τοῖς ἡμετέροις ἀγαθοῖς. Εἰ γὰρ ἡμετέρα ἡ χάρις ἡ παρὰ τοῦ Δεσπότου, ἀλλὰ κοινὴ καὶ ἐκείνων ἡ ἡδονή. Καὶ τί λέγω τοὺς συνδούλους; Αὐτὸς ὁ Δεσπότης αὐτῶν τε καὶ ἡμῶν οὐκ ἐπαισχύνεται συνεορτάζειν. Καὶ τί χρὴ λέγειν, ὅτι οὐκ ἐπαισχύνεται; *Ἐπιθυμίᾳ*, φησὶν, *ἐπεθύμησα τὸ Πάσχα τοῦτο μεθ' ὑμῶν φαγεῖν*· εἰ δὲ τὸ Πάσχα ἐπεθύμησεν ἡμῖν συνεορτάσαι, δῆλον ὅτι καὶ τὴν ἀνάστασιν. Ὅταν οὖν ἄγγελοι χαίρωσι, καὶ ἀρχάγγελοι, καὶ πασῶν τῶν οὐρανίων δυνάμεων ὁ Δεσπότης ἡμῖν συνεορτάζῃ, τίς λείπεται λοιπὸν εἰς ἀθυμίαν [d] λόγος;

Μηδεὶς πένης ἔστω κατηφὴς διὰ τὴν πενίαν· ἑορτὴ γὰρ αὕτη πνευματική· μηδεὶς πλούσιος ἐπαιρέσθω διὰ τὸν πλοῦτον· οὐδὲν γὰρ ἀπὸ τῶν χρημάτων εἰς τὴν ἡδονὴν τῆς ἑορτῆς εἰσενεγκεῖν δύναται ταύτης. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἑορτῶν τῶν βιωτικῶν, ἔνθα πολὺς ἄκρατος, ἔνθα τράπεζα πλήθουσα καὶ ἀδηφαγία, ἔνθα ἀσχημοσύνη, καὶ γέλως, ἔνθα πᾶσα πομπὴ

[a] Coislin. τὴν διάνοιαν.

[b] Reg. προκρίνεις; Δεινὸν ἡ μέθη, οὐ πρός. Reg. vero 2 in multis ubique variat. Nos ea tantum quæ sunt alicujus momenti notamus.

[c] Reg. 2 πληροῦσθε Πνεύματος.

[d] Reg. 1 εἰς ἐπιθυμίαν. R. 2 εἰς εὐθυμίας. Hic postremus ubique in levissimis variat. Coislin. [illegible] Præstat lectio Editi.

Σατανικὴ, εἰκότως· ὁ μὲν πένης κατηφὴς, ὁ δὲ πλούσιος ἐν φαιδρότητι· τί δήποτε; Ὅτι ὁ μὲν πλούσιος δαψιλῆ παρατίθεται τράπεζαν, καὶ μᾶλλον ἀπολαύει τρυφῆς, ὁ δὲ πένης ἀπὸ τῆς πενίας κωλύεται τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείξασθαι· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· μία τράπεζα καὶ τῷ πλουσίῳ καὶ τῷ πένητι, κἂν πλούσιός τις ᾖ, οὐδὲν τῇ τραπέζῃ προσθεῖναι δύναται· κἂν πένης, οὐδὲν ἔλαττον παρὰ τῆς πενίας τὰ τῆς κοινωνίας διακείσεται· θεία γάρ ἐστιν ἡ χάρις· καὶ τί θαυμάζεις εἰ πλουσίῳ καὶ πένητι; Αὐτῷ γὰρ τῷ βασιλεῖ τῷ τὸ διάδημα περικειμένῳ, τῷ τὴν ἀλουργίδα ἔχοντι, τῷ τὴν ἐξουσίαν ἐγκεχειρισμένῳ τῆς γῆς, ἐκείνῳ τῷ βασιλεῖ, καὶ τῷ πτωχῷ τῷ πρὸς τὴν ἐλεημοσύνην καθεζομένῳ μία τράπεζα πρόκειται. Τοιαῦτα τὰ δῶρα τὰ Δεσποτικά· οὐ τοῖς ἀξιώμασι διαιρεῖ τὴν κοινωνίαν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ διανοίᾳ.

[Ὅταν γὰρ ἴδῃς ἐν ἐκκλησίᾳ πένητα πλουσίῳ παρεστῶτα, ἰδιώτῃ ἄρχοντα, εὐτελῆ τῷ ὑπερέχοντι, τὸν ἔξω τρέμοντα τὴν δυναστείαν, ἔσω ἀδεῶς συμπαρεστῶτα τῇ δυναστείᾳ, νόησον τί ἐστι, *Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνῶν*. Λύκον τοίνυν καλεῖ ἡ Γραφὴ τὸν πλούσιον, ἀρνίον τὸν πτωχόν. Καὶ πόθεν τοῦτο, ὅτι Κοινωνήσει λύκος ἀρνίῳ, ὃν τρόπον πλούσιος μετὰ πτωχοῦ; Πρόσεχε ἀκριβῶς. Ἔστηκε πολλάκις πλούσιος καὶ πένης ἐν ἐκκλησίᾳ· [442] κατέλαβεν ἡ ὥρα τῶν θείων μυστηρίων· ἐξωθεῖται ὁ πλούσιος ὡς ἀμύητος, ἵσταται δὲ ὁ πένης ἐντὸς τῶν οὐρανίων σκηνῶν, καὶ οὐκ ἀγαναχτεῖ ὁ πλούσιος· οἶδε γὰρ ἑαυτὸν ἀλλότριον τῶν θείων μυστηρίων. Ἀλλ' ὦ τῆς θείας χάριτος! οὐ μόνον ὁμοτιμία ὑπάρχει ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλὰ καὶ ἡνίκα ἵστανται, πολλάκις ὁ πένης τὸν πλούσιον πρωτεύει ἐν τῇ εὐσεβείᾳ, καὶ οὐδὲν ὠφέλησεν ὁ πλοῦτος τὸν ἔχοντα ἐκτὸς εὐσεβείας, οὐδὲ πενία τὸν πιστὸν ἐζημίωσε παρεστῶτα αὐτὸν μετὰ θάρρους τῷ ἁγίῳ θυσιαστηρίῳ. Ταῦτα δὲ λέγω, ἀγαπητοὶ, περὶ τῶν κατηχουμένων, καὶ οὐ περὶ τῶν ἁπλῶς πλουσίων. Ἐννόησον, ἀγαπητὲ, πῶς ὑποχωρεῖ τῆς ἐκκλησίας δεσπότης, καὶ παρεδρεύει τοῖς μυστηρίοις πιστὸς οἰκέτης· ἀναχωρεῖ δέσποινα, καὶ μένει ἡ θεράπαινα· *Πρόσωπον γὰρ ἀνθρώπου Θεὸς οὐ λαμβάνει*. Οὐκ ἔστι τοίνυν ἐν τῇ Ἐκκλησίᾳ δοῦλος καὶ ἐλεύθερος· ἀλλ' ἐκεῖνον οἶδε δοῦλον ἡ Γραφὴ τὸν τῇ ἁμαρτίᾳ δεδουλωμένον. Ὁ γὰρ *ποιῶν*, φησὶ, *τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας*· καὶ ἐκεῖνον οἶδεν ἐλεύθερον τὸν ὑπὸ τῆς θείας χάριτος ἠλευθερωμένον.]

Μετὰ τῆς αὐτῆς παῤῥησίας καὶ ὁ βασιλεὺς καὶ ὁ πένης πρὸς τὴν τράπεζαν ἔρχονται τσύτην, μετὰ τῆς αὐτῆς τιμῆς, πολλάκις δὲ ὁ πένης καὶ μετὰ πλείονος τιμῆς· τί δήποτε; Ὅτι ὁ μὲν βασιλεὺς μυρίοις ἐμπεπλεγμένος [a] πράγμασιν, ὥσπερ ναῦς πανταχόθεν περιῤῥαντίζεται, καὶ πολλὰ προστρίβεται ἁμαρτήματα· ὁ δὲ πένης ὑπὲρ ἀναγκαίας φροντίζων μόνον τροφῆς, καὶ τὸν ἀπράγμονα καὶ ἡσύχιον ἐπανῃρημένος βίον, ἠρεμῶν, ὥσπερ ἐν λιμένι καθήμενος μετὰ πολλῆς τῆς ἀσφαλείας τῇ τραπέζῃ προσέρχεται. Πάλιν ἐν ταῖς ἑορταῖς ταῖς ἔξωθεν ὁ μὲν πένης ἐν κατηφείᾳ, ὁ δὲ πλούσιος ἐν φαιδρότητι, οὐ διὰ τὴν τράπεζαν μόνον, ἀλλὰ καὶ διὰ τὰ ἱμάτια· ὅπερ γὰρ ἐπὶ τῆς τραπέζης πάσχουσι, τοῦτο καὶ ἐπὶ τῶν ἱματίων ὑπομένουσιν. Ὅταν γὰρ ἴδῃ ὁ πένης τὸν εὔπορον καὶ πολυτελεστέραν περιβεβλημένον στολὴν, πλήττεται, καὶ ταλανίζει παρὰ πάντας ἑαυτόν. Ἐνταῦθα δὲ καὶ αὕτη ἡ ἔνδεια ἀνῄρηται· ἓν γὰρ παρὰ πᾶσίν ἐστιν ἱμάτιον, τὸ λουτρὸν τὸ σωτήριον· Ὅσοι γὰρ, φησὶν, *εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*. Μὴ τοίνυν καταισχύνωμεν τὴν ἑορτὴν ταύτην τῇ μέθῃ· καὶ γὰρ ὁ Δεσπότης ἡμῶν πλουσίους καὶ πένητας ὁμοίως ἐτίμησε, καὶ δούλους καὶ δεσπότας· ἀλλὰ ἀμειψώμεθα τὸν Δεσπότην τῆς περὶ ἡμᾶς εὐνοίας· ἀμοιβὴ δὲ ἀρίστη, πολιτεία καθαρὰ, καὶ ψυχὴ νήφουσα. Αὕτη ἡ ἑορτὴ καὶ ἡ πανήγυρις οὐ χρημάτων δεῖται, οὐδὲ δαπάνης, ἀλλὰ προαιρέσεως καὶ διανοίας ἀρίστης· τοιαῦτα γὰρ ἐνταῦθα τὰ ὤνια. Οὐδὲν σωματικὸν ἐνταῦθα πωλεῖται, ἀλλὰ ἀκρόασις θείων λογίων, εὐχαὶ Πατέρων, εὐλογίαι ἱερέων, ὁμόνοια, καὶ εἰρήνη καὶ συμφωνία, πνευματικὰ τὰ δῶρα, πνευματικὸς ὁ μισθός.

Ἑορτάσωμεν τὴν ἑορτὴν ταύτην τὴν μεγίστην καὶ λαμπράν, ἐν ᾗ ἀνέστη ὁ Κύριος· ἑορτάσωμεν δὲ αὐτὴν φαιδρῶς ὁμοῦ καὶ θεοσεβῶς· ἀνέστη γὰρ ὁ Κύριος, καὶ τὴν οἰκουμένην ἑαυτῷ συνανέστησεν· αὐτὸς μὲν ἀνέστη, [443] τοῦ θανάτου τὰ δεσμὰ διαῤῥήξας. Ἥμαρτεν Ἀδὰμ καὶ ἀπέθανεν· ἀλλ' οὐχ ἥμαρτεν ὁ Χριστὸς, καὶ ἀπέθανε. Καινὸν καὶ παράδοξον τοῦτο· ἐκεῖνος ἥμαρτε, καὶ ἀπέθανεν, οὗτος οὐχ ἥμαρτε, καὶ ἀπέθανε· διὰ τί; Ἵνα ὁ ἁμαρτὼν καὶ ἀποθανὼν διὰ τοῦ μὴ ἁμαρτόντος μὲν, ἀποθανόντος δὲ, δυνηθῇ τοῦ θανάτου τὰς λαβὰς ἀποδύσασθαι. Οὕτω καὶ ἐπὶ χρημάτων γίνεται· Ὀφείλει τις πολλάκις, καὶ οὐκ ἔχων καταβαλεῖν κατέχεται ἐν δεσμοῖς· ἄλλος οὐκ ὀφείλων, δυνάμενος δὲ καταβαλεῖν, καταθεὶς, ἀπέλυσε τὸν ὑπεύθυνον· οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονεν· Ὤφειλεν ὁ Ἀδὰμ, κατείχετο ὑπὸ τοῦ διαβόλου, ἀλλ' οὐκ εἶχε καταβαλεῖν· οὐκ ὤφειλεν ὁ Χριστὸς, οὐδὲ κατείχετο ὑπὸ τοῦ διαβόλου, ἀλλ' ἠδύνατο καταθεῖναι τὸ χρέος. Ἦλθε, κατέβαλε θάνατον ὑπὲρ τοῦ κατεχομένου ὑπὸ τοῦ διαβόλου, ἵνα ἐκεῖνον ἀπολύσῃ.

δ'. Εἶδες τῆς ἀναστάσεως τὰ κατορθώματα; Διπλοῦν ἀπεθάνομεν ἡμεῖς θάνατον, οὐκοῦν διπλῆν προσδοκήσωμεν τὴν ἀνάστασιν. Αὐτὸς ἁπλοῦν ἀπέθανε θάνατον· διὰ τοῦτο καὶ ἁπλῆν ἀνέστη ἀνάστασιν· πῶς; Ἐγὼ λέγω· Ἀπέθανεν ὁ Ἀδὰμ καὶ τῷ σώματι, καὶ τῇ ψυχῇ· ἀπέθανε καὶ τῇ ἁμαρτίᾳ καὶ τῇ φύσει· *Ἢ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε*. Καὶ μὴν οὐχ αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανε τῇ φύσει, ἀλλὰ τῇ ἁμαρτίᾳ ἀπέθανεν [b]· ἐκεῖνος ὁ θάνατος τῆς ψυχῆς, οὗτος ὁ θάνατος τοῦ σώματος. Ὅταν δὲ ἀκούσῃς ὅτι θάνατος ψυχῆς, μὴ νομίσῃς ψυχὴν ἀποθνήσκειν· ἀθάνατος γάρ ἐστι· θάνατος δὲ ψυχῆς, ἁμαρτία καὶ κόλασις αἰωνία. Διὰ τοῦτο καὶ ὁ Χριστός φησι, *Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ*· τὸ δὲ ἀπολλύμενον ὑφέστηκε μὲν, ἔξω δὲ τῆς ὄψεως τοῦ ἀπολέσαντός ἐστιν. Ἀλλ' ὅπερ ἔλεγον, ἐφ' ἡμῶν διπλοῦς ὁ θάνατος· οὐκοῦν καὶ τὴν ἀνάστασιν διπλῆν γενέσθαι δεῖ. Ἐπὶ τοῦ Χριστοῦ ἁπλοῦς ὁ θάνατος· οὐ γὰρ

[a] Reg 2 ἐμβεβλημένος. Eodem in codice multa hinc inde verba interseruntur, quæ nihil addunt ad seriem.

[b] Reg. 1 ἁμαρτίᾳ, τῇ δὲ φύσει ὕστερον· χαλεπώτερον δὲ τῇ ἁμαρτίᾳ ἀπέθανεν.

pauper quidem subtristis, hilaris autem est dives: quid ita? Quia dives quidem opiparam mensam apponit, deliciisque amplius fruitur: pauper autem a paupertate prohibetur, ne tantam magnificentiam præ se ferat: hic vero nihil tale est: una diviti et pauperi mensa est: licet dives sit quispiam, nihil adjicere mensæ potest; licet pauper sit, nihilo deteriori conditione ob paupertatem in iis quæ ad communionem pertinent, erit; divina enim est gratia: et quid miraris si diviti et pauperi? Ipsi enim Imperatori diademate redimito, purpura convestito, cui mundi regimen est commissum, illi Imperatori, et pauperi ad eleemosynam sedenti una est mensa proposita: talia sunt Dominica dona; non pro ratione dignitatum distinguit communicandi rationem, sed pro conditione voluntatis ac mentis.

(*a*) [Cum enim videris in ecclesia diviti pauperem adstantem, privato homini principem, plebeium optimati, eum qui foris ejus potentiam tremebat, intus eidem potentiæ sine formidine admotum; cogita quid sit illud: *Tunc una pascetur lupus cum agnis* (*Isai.* 11. 6). Lupum vocat Scriptura divitem, agnum pauperem. At quo pacto intelligendum illud, Communicabit lupus cum agno, quemadmodum dives cum paupere? Animum diligenter adverte. Stant sæpe dives et pauper in ecclesia: instat hora divinorum mysteriorum: ejicitur dives, utpote non initiatus, pauper vero intromittitur in cælestia tabernacula; neque indignatur dives; novit enim se alienum esse a divinis mysteriis. Sed, o divinam gratiam! non solum ex Dei munere par utrique honor est in ecclesia; sed etiam stantibus ambobus pauper diviti anteponitur in pietatis ratione; nihilque prosunt illi divitiæ sine pietate, nihil fidelem ledit paupertas, quando cum fiducia ad sacrum accedit altare. Hæc autem dico, carissimi, de catechumenis, non vero simpliciter de divitibus. Animadverte, dilecte, quomodo ex ecclesia recedat dominus, dum mysteriis admovetur fidelis domesticus: recedit domina, et manet ancilla. *Deus* quippe *non accipit personam hominis* (*Galat.* 2. 6). Non est itaque in ecclesia servus et liber: sed eum novit Scriptura servum, qui peccato subditus est. Nam *Qui facit peccatum*, inquit, *servus est peccati* (*Joan.* 8. 34); et eum novit liberum, qui per divinam gratiam liberatus est.]

Cum eadem fiducia et Imperator et pauper ad hanc mensam accedunt, cum eodem honore, imo etiam persæpe cum honore pauper ampliori: quid ita? Quod Imperator quidem sexcentis negotiis implicatus tamquam navis undique aspergatur, ac multa contrahat peccata; pauper autem de necessario tantum victu sollicitus, negotiorum expertem ac tranquillam transigens vitam, velut in portu sedens, cum multa securitate ad mensam accedat. Rursus in externis solemnitatibus pauper quidem in mœrore, dives autem in hilaritate versatur, non ob mensam tantum, sed etiam ob vestimenta: quod enim in mensa illis evenit, hoc et in vestimentis patiuntur. Cum enim inops pretiosiori amictum stola viderit opulentum, percellitur, sequeque præ omnibus infelicem ducit. Illic vero et ista sublata est penuria: unum enim apud omnes vestimentum est salutare lavacrum. *Quicumque enim in Christo baptizati estis, Christum induistis* (*Galat.* 3. 27). Ne igitur ebrietate solemnitatem istam dehonestemus; etenim Dominus noster et divites et pauperes pariter honoravit, et servos et dominos; sed ob hanc erga nos benevolentiam Dominum remuneremur: optima porro est remuneratio conversatio munda et mens sobria. Hæc solemnitas et panegyricus conventus non pecuniis indiget neque sumptibus, sed voluntate ac mente optima: tales enim hic prostant merces: nihil corporeum hic venditur; sed divinorum auditio eloquiorum, preces patrum, benedictiones sacerdotum, concordia et pax et consensus, spiritualia dona, spirituale pretium.

Resurrectionis Christi fructus. — Festum hoc maximum celebremus et illustre, in quo Dominus resurrexit: celebremus autem illud cum gaudio simul atque cum pietate; resurrexit enim Dominus secumque suscitavit orbem terrarum, ipse siquidem disruptis mortis vinculis resurrexit. Peccavit Adamus et mortuus est: at non peccavit Christus, et est mortuus. Novum est hoc et admirabile; ille peccavit, et mortuus est; hic non peccavit, et mortuus est: quid ita? Quo is qui peccavit et mortuus est, ejus opera qui non peccavit quidem, mortuus est autem, mortis nexus possit evadere. Ita fit et in pecuniis: sæpenumero debet quispiam, et cum non habeat unde solvat, in vinculis detinetur; alius qui non debet, sed habet unde solvat, eum qui obnoxius est liberare solet: sic et evenit in Adamo; debebat Adamus, a diabolo detinebatur, sed unde solveret non habebat: non debebat Christus, nec a diabolo detinebatur, sed debitum poterat numerare: venit, mortem persolvit pro eo qui a diabolo detinebatur, ut illum exsolveret.

4. Vides præclara resurrectionis effecta? Nos duplici morte mortui eramus; duplicem itaque resurrectionem exspectemus: ipse simplici mortuus est morte; propterea simplici quoque resurrectione resurrexit. Quid hæc sibi volunt? Mortuus, inquam, est Adamus, et corpore et anima: mortuus est peccato et natura. *In quocumque die comederitis de ligno, morte moriemini* (*Gen.* 2. 17). Atqui non eadem die mortuus est natura, sed peccato est mortuus [1], illa mors est animæ, hæc mors est corporis. Sed cum audieris mortem esse animæ, noli mori animam arbitrari: est enim immortalis; verum animæ mors est peccatum et supplicium æternum: propterea ait Christus, *Nolite timere eos qui occidunt corpus, animam autem non possunt occidere; sed potius timete eum, qui potest et animam et corpus perdere in gehennam* (*Matth.* 10. 28): quod autem est perditum, subsistit quidem, sed aciem oculorum ejus qui perdidit, fugit. Verum ut dicebam, duplex in nobis mors est; quapropter et duplicem fieri in nobis resurrectionem opor-

(*a*) Quæ uncinis clauduntur, in Edito deerant, exque Reg. 2. desumpta sunt.

[1] Reg. 1, *natura autem, posterius; tristiusque mortuus est peccato.*

tet : in Christo simplex mors fuit : non enim Christus peccavit, sed ipsa mors simplex propter nos est susceptа : non enim mortem debuit ille, neque enim reus erat peccati, quocirca nec mortis : propterea ille quidem resurrectione simplici a simplici morte resurrexit : nos autem, qui duplici morte mortui sumus, duplici quoque resurrectione resurgimus : una quidem antea resurreximus, quæ est a peccato : consepulti enim sumus ipsi in baptismo, et consurreximus cum ipso per baptismum. Una hæc resurrectio est liberatio a peccatis ; altera vero resurrectio est corporis : dedit majorem, exspecta etiam minorem : hæc enim multo major est illa : multo enim majus est a peccatis liberari, quam corpus resurgens intueri. Propterea cecidit corpus, quia peccavit : si igitur principium cadendi est peccatum, principium resurgendi est a peccato liberari. Resurreximus deinceps resurrectione majori, abjecta gravi morte peccati, et veteri exuta veste : ne igitur de minori desperemus. Hac et nos olim resurrectione resurreximus, quando baptizati fuimus, atque hi qui heri vesperi baptismate digni habiti sunt, hi agni præclari [1]. Nudiustertius crucifixus est Christus, sed nocte præterita resurrexit : et hi nudiustertius a peccato detinebantur, sed simul cum eo resurrexerunt : ille corpore mortuus est, et corpore resurrexit : hi mortui peccato erant, et a peccatis liberati resurrexerunt. Ac terra quidem verno hoc tempore rosas et violas aliosque flores nobis edit ; aquæ vero terra nobis pratum delectabilius exhibuerunt. Ne mireris quod ab aquis flores germinarint ; nec ipsa terra ex propria natura, sed ex Domini mandato germen edit : animalia quoque motu prædita in principio edit aquarum natura ; *Producant* enim, inquit, *aquæ reptilia animarum viventium* (*Gen.* 1. 20) ; et mandatum opus evasit, illaque animæ expers substantia animata protulit animalia. Ita nunc etiam producant aquæ, non reptilia viventium animarum, sed spiritualia dona. Produxerunt tum aquæ pisces rationis expertes ac mutos ; nunc ratione præditos ac spirituales pisces effuderunt, pisces, quos apostoli sunt piscati. *Venite* enim, inquit, *et faciam vos piscatores hominum* (*Matth.* 4. 19) : hæc est illa piscatio de qua tum loquebatur : novus revera piscationis modus : qui piscantur ex aquis ejiciunt, nos in aquas injicimus, atque ita piscamur. Fuit olim et stante Judæorum lege piscina : disce quid potuerit illa piscina, ut Judaicam discas egestatem, ut divitias discas Ecclesiæ. Piscina erat aquarum, illucque angelus descendebat, et aquas movebat ; deinde post aquæ motionem æger unus ingrediebatur, et sanabatur (*Joan.* 5. 2. *sqq.*) : unus solus quotannis sanabatur, statimque gratia consumebatur, non propter ejus qui dabat egestatem, sed propter eorum qui accipiebant infirmitatem. Descendebat igitur angelus in piscinam, et aquam movebat, ac sanabatur unus : descendit Dominus angelorum in Jordanem, et aquam movit, atque universum terrarum orbem sanavit. Propterea illic quidem is, qui post primum secundus descenderat, minime sanabatur ; Judæis quippe gratia data erat infirmis, egenis : hic vero post primum secundus, post secundum tertius, post tertium quartus : licet decem, licet viginti, licet centum, licet decies mille, licet universum orbem terrarum immiseris in piscinam, non consumitur gratia, non exhauritur donum, non latices inquinantur : novus purgationis modus : non enim est corporalis : nam in corporibus quidem, quo plures abluuntur, eo majores sordes latices contrahunt ; hic vero quo plures abluunt, eo puriores evadunt.

5. Vides magnitudinem doni ? At tu doni hujus magnitudinem conserva, mi homo. Non licet tibi indifferenter vivere ; legem tibi ipsi cum omni diligentia scisce ; agon est et lucta quædam hæc vita ; qui autem in agone contendit, ab omnibus se abstinet. Visne optimum quemdam ac securum recte factorum modum te doceam ? Quæ nimirum indifferentia quidem videntur, sed peccata pariunt, ex mente pellamus : nam inter actiones quædam quidem peccata, quædam vero non peccata, sed peccatorum sunt causæ : sic risus quidem peccatum natura non est ; fit autem peccatum, si ultra modum effundatur : nam ex risu facetiæ, ex facetiis verborum obscœnitas, ex obscœnitate verborum turpia facta, ex turpibus factis supplicia oriuntur, ac pœnæ : tolle igitur antea radicem, ut totam ægritudinem tollas : si enim nobis ab iis quæ indifferentia sunt caveamus, numquam in ea, quæ prohibita sunt, prolabemur. Ita mulierem aspexisse indifferens multis videtur ; at ex hoc cupiditas lasciva gignitur, ex cupiditate fornicatio, ex fornicatione rursum supplicium ac pœna. Ita delicate vivere ac laute nihil grave esse videtur ; verum inde ebrietas, quæque ex ebrietate mala sexcenta nascuntur. Tollamus igitur ubique peccatorum principia. Idcirco quotidie continua doctrina perfruimini : idcirco septem dierum spatio consequenter collectam agimus (*a*), ac spiritualem mensam vobis apponimus, ut nostra opera divinis eloquiis perfruamini, ut vos singulis diebus instruamus, atque adversus diabolum armemus : nunc enim ferocius invadit : quanto majus est donum, tanto etiam majus est bellum. Si enim cum unum in paradiso vidisset, minime tulit, cum tam multos videat in cælo, dic, quæso, qui feret ? Exasperasti belluam, sed noli timere ; majorem gratiam accepisti, gladium exacutum ; illo punge serpentem. Idcirco illum Deus adversum te exasperari permisit ; ut virium tuarum potentiam ipso experimento cognoscas. Et quemadmodum cum optimus palæstræ magister squalidum quempiam, enervatum athletam ac despectum acceperit, ubi eum unctum instruxerit, exercuerit, corpulentum reddiderit, otiari deinceps non sinit ; verum in certamina jubet descendere, ut eum doceat experientia, quantum ipsi robur indiderit ; ita Christus etiam fecit ; poterat siquidem inimicum e medio tollere, sed ut gratiæ excellentiam, ac virtutis spiritualis, quam ex baptismate nactus es, magnitudinem discas, tecum illum con-

[1] Reg. 2, *hi surculi præclari*.

(*a*) Septem dierum spatio quotidie concionabatur Chrysostomus.

ἥμαρτεν ὁ Χριστός· ἀλλὰ καὶ αὐτὸς ὁ ἁπλοῦς θάνατος δι' ἡμᾶς· οὐ γὰρ ὤφειλε τὸν θάνατον ἐκεῖνος· οὐ γὰρ ἦν ὑπεύθυνος ἁμαρτίᾳ, διὸ οὐδὲ θανάτου· διὰ τοῦτο ἐκεῖνος μὲν ἀνέστη τὴν ἀνάστασιν τὴν ἀπὸ τοῦ ἁπλοῦ θανάτου· ἡμεῖς δὲ διπλοῦν ἀποθανόντες θάνατον, διπλῆν καὶ τὴν ἀνάστασιν ἀνιστάμεθα· μίαν μὲν ἀνέστημεν τέως τὴν ἀπὸ τῆς ἁμαρτίας· συνετάφημεν γὰρ αὐτῷ ἐν τῷ βαπτίσματι, καὶ συνηγέρθημεν αὐτῷ διὰ τοῦ βαπτίσματος. Μία αὕτη ἀνάστασις ἀπαλλαγὴ ἁμαρτημάτων· δευτέρα δὲ ἀνάστασις ἡ τοῦ σώματος· ἔδωκε τὴν μείζονα, προσδόκα καὶ τὴν ἐλάττονα· αὕτη γὰρ πολὺ μείζων ἐκείνης· πολὺ γὰρ μεῖζον ἁμαρτιῶν ἀπαλλαγῆναι, ἢ σῶμα ἰδεῖν ἀνιστάμενον. Διὰ τοῦτο ἔπεσε τὸ σῶμα, ἐπειδὴ ἥμαρτεν· οὐκοῦν εἰ ἀρχὴ τοῦ πεσεῖν ἡ ἁμαρτία, ἀρχὴ τοῦ ἀναστῆναι τὸ ἀπαλλαγῆναι τῆς ἁμαρτίας. Ἀνέστημεν λοιπὸν τὴν μείζονα ἀνάστασιν, τὸν χαλεπὸν θάνατον τῆς ἁμαρτίας ῥίψαντες, καὶ ἀποδυσάμενοι τὸ παλαιὸν ἱμάτιον· μὴ τοίνυν ὑπὲρ τῆς ἐλάττονος ἀπαγορεύσωμεν. Ταύτην καὶ ἡμεῖς πάλαι τὴν ἀνάστασιν ἀνέστημεν, ὅτε ἐβαπτίσθημεν· καὶ οἱ τὴν τοῦ βαπτίσματος δὲ νῦν ἑσπέραν [444] καταξιωθέντες, τὰ καλὰ ταῦτα ἀρνία [a]. Πρὸ τῆς χθὲς ὁ Χριστὸς ἐσταυρώθη, ἀλλ' ἀνέστη τῇ παρελθούσῃ νυκτί· καὶ οὗτοι πρὸ τῆς χθὲς ὑπὸ τῆς ἁμαρτίας κατείχοντο, ἀλλὰ συνανέστησαν· ἐκεῖνος σώματι ἀπέθανε, καὶ σώματι ἀνέστη· οὗτοι ἁμαρτίᾳ ἦσαν τεθνηκότες, καὶ ἀπὸ ἁμαρτιῶν ἀνέστησαν ἐλευθερωθέντες. Ἡ μὲν οὖν γῆ κατὰ τὸν καιρὸν τοῦτον τοῦ ἔαρος ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἡμῖν ἐκδίδωσιν ἄνθη· τὰ δὲ ὕδατα τῆς γῆς ἡμῖν τερπνότερον λειμῶνα ἔδειξε. Μὴ θαυμάσῃς εἰ ἀπὸ τῶν ὑδάτων ἐβλάστησαν ἄνθη· οὐδὲ ἡ γῆ κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ κατὰ τὸ ἐπίταγμα τοῦ Δεσπότου τὴν βλάστην ἐκδίδωσιν. Ἐξέδωκε καὶ ἐν ἀρχῇ τῶν ὑδάτων ἡ φύσις ζῶα κινούμενα· *Ἐξαγαγέτω γὰρ, φησὶ, τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν*, καὶ τὸ ἐπίταγμα ἔργον ἐγένετο, καὶ ἡ ἄψυχος ἐκείνη οὐσία ἔμψυχα ζῶα ἐξέφερεν· οὕτω καὶ νῦν, ἐξαγαγέτω τὰ ὕδατα, οὐχὶ ἑρπετὰ ψυχῶν ζωσῶν, ἀλλὰ πνευματικὰ χαρίσματα. Ἐξήγαγε τότε τὰ ὕδατα ἰχθύας ἀλόγους καὶ ἀφώνους, ἐξέβαλε νῦν ἰχθύας λογικοὺς καὶ πνευματικούς, ἰχθύας ὑπὸ τῶν ἀποστόλων ἁλιευθέντας· *Δεῦτε γὰρ, φησὶ, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων*· ταύτην ἔλεγε τὴν ἁλιείαν τότε. Καινὸς ὄντως τῆς ἁλιείας ὁ τρόπος· οἱ ἁλιεύοντες ἐκ τῶν ὑδάτων ἐκβάλλουσιν, ἡμεῖς εἰς τὰ ὕδατα ἐνεβάλλομεν, καὶ οὕτως ἡλιεύσαμεν. Ἦν ποτε καὶ ἐπὶ τῶν Ἰουδαίων κολυμβήθρα· μάθε τί ἴσχυσεν ἡ κολυμβήθρα ἐκείνη, ἵνα μάθῃς τὴν πτωχείαν τὴν Ἰουδαϊκὴν, ἵνα μάθῃς τὸν πλοῦτον τῆς Ἐκκλησίας. Κολυμβήθρα ὑδάτων ἦν, καὶ κατήρχετο ἄγγελος ἐκεῖ, καὶ ἐτάρασσε τὰ ὕδατα· εἶτα μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ἐπέβαινεν εἷς ἀσθενῶν καὶ ἐθεραπεύετο· εἷς μόνος τοῦ ἐνιαυτοῦ ἐθεραπεύετο, καὶ εὐθέως ἀνηλοῦτο ἡ χάρις, οὐ διὰ τὴν πτωχείαν τοῦ διδόντος, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῶν λαμβανόντων. Κατέβαινεν ἄγγελος τοίνυν εἰς τὴν κολυμβήθραν, καὶ ἐτάρασσε τὸ ὕδωρ, καὶ εἷς ἐθεραπεύετο· κατῆλθεν ὁ τῶν ἀγγέλων Δεσπότης εἰς τὸν Ἰορδάνην, καὶ ἐτάραξε τὸ ὕδωρ, καὶ τὴν οἰκουμένην ἅπασαν ἐθεράπευσε. Διὰ τοῦτο ἐκεῖ μὲν μετὰ τὸν πρῶτον ὁ δεύτερος κατελθὼν οὐκ ἐθεραπεύετο· Ἰουδαίοις γὰρ ἐδίδοτο ἡ χάρις τοῖς ἀσθενέσι, τοῖς πτωχοῖς· ἐνταῦθα δὲ μετὰ τὸν πρῶτον ὁ δεύτερος, μετὰ τὸν δεύτερον ὁ τρίτος, μετὰ τὸν τρίτον ὁ τέταρτος, κἂν δέκα, κἂν εἴκοσι, κἂν ἑκατὸν, κἂν μυρίους, κἂν τὴν οἰκουμένην ἅπασαν ἐμβάλῃς εἰς τὴν κολυμβήθραν, οὐκ ἀναλίσκεται ἡ χάρις· οὐ δαπανᾶται ἡ δωρεά· οὐ ῥυποῦται τὰ νάματα. Καινὸς καθάρσεως τρόπος· οὐ γάρ ἐστι σωματικός· ἐπὶ μὲν γὰρ τῶν σωμάτων ὅταν πλείονας ἀποπλύνῃ τὰ νάματα, πλείονα τὴν κηλῖδα δέχεται· ἐνταῦθα δὲ ὅσῳ πλύνει πλείονας, τοσούτῳ καθαρώτερα γίνεται.

ε'. Εἶδες μέγεθος δωρεᾶς; Διατήρησον τὸ μέγεθος τῆς δωρεᾶς ταύτης, ὦ ἄνθρωπε. Οὐκ ἔξεστί σοι ἀδιαφόρως ζῆν· νόμον σαυτῷ θὲς μετὰ ἀκριβείας ἁπάσης· ἀγών ἐστι καὶ παλαίσματα· ὁ δὲ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. Εἶπω σοι τρόπον ἕνα ἄριστον καὶ ἀσφαλῆ κατορθωμάτων; Τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, [445] τίκτοντα δὲ ἁμαρτίας, ἐκβάλωμεν τῆς διανοίας. Ἔστι γὰρ τῶν πραγμάτων τὰ μὲν ἁμαρτήματα, τὰ δὲ οὐχ ἁμαρτήματα, ἁμαρτημάτων δὲ αἴτια· οἷον γέλως μὲν ἁμάρτημα οὐκ ἔστι φύσει, γίνεται δὲ ἁμάρτημα προενεχθεὶς ἐπὶ πλέον· ἀπὸ γὰρ γέλωτος εὐτραπελία, ἀπὸ εὐτραπελίας αἰσχρολογία, ἀπὸ αἰσχρολογίας αἰσχρὰ πράγματα, ἀπὸ πραγμάτων αἰσχρῶν κολάσεις καὶ τιμωρίαι. Ἄνελε οὖν τὴν ῥίζαν ἄνωθεν, ἵνα ἀνέλῃς ὅλον τὸ νόσημα· ἐὰν γὰρ τὰ ἀδιάφορα φυλαττώμεθα, οὐδέποτε εἰς τὰ κεκωλυμένα ἐμπεσούμεθα. Οὕτω καὶ γυναῖκας ἰδεῖν ἀδιάφορον εἶναι δοκεῖ πολλοῖς, ἀλλ' ἀπὸ τούτου ἐπιθυμία ἀκόλαστος τίκτεται, ἐκ τῆς ἐπιθυμίας πορνεία, ἀπὸ πορνείας πάλιν κόλασις καὶ τιμωρία. Οὕτω δὲ τρυφᾷν οὐδὲν δεινὸν εἶναι δοκεῖ, ἀλλ' ἐντεῦθεν μέθη καὶ τὰ ἐκ τῆς μέθης μυρία κακά. Ἀνέλωμεν τοίνυν πανταχοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων. Διὰ τοῦτο συνεχοῦς ἀπολαύετε διδασκαλίας καθ' ἡμέραν· διὰ τοῦτο ἑπτὰ ἡμέρας ἐφεξῆς σύναξιν ἐπιτελοῦμεν, τὴν πνευματικὴν ὑμῖν παρατιθέμενοι τράπεζαν, ποιοῦντες ὑμᾶς ἀπολαύειν θείων λογίων, ἀλείφοντες ὑμᾶς καθ' ἑκάστην ἡμέραν, καθοπλίζοντες ὑμᾶς κατὰ τοῦ διαβόλου· ἀγριώτερον γὰρ νῦν ἐπιτίθεται· ὅσῳ μείζων ἡ δωρεὰ, τοσούτῳ μείζων καὶ ὁ πόλεμος. Εἰ γὰρ ἐν τῷ παραδείσῳ ἕνα ὁ διάβολος ἰδὼν οὐκ ἤνεγκεν, ἐν τῷ οὐρανῷ τοσούτους ὁρῶν πῶς οἴσει, εἰπέ μοι; Ἐξηγρίανας τὸ θηρίον, ἀλλὰ μὴ φοβηθῇς· μείζονα δύναμιν ἔλαβες, μάχαιραν ἠκονημένην· ἐκείνῃ κέντησον τὸν ὄφιν. Διὰ τοῦτο ὁ Θεὸς ἀφῆκεν αὐτὸν ἀγριωθῆναι κατὰ σοῦ, ἵνα διὰ τῆς πείρας αὐτῆς μάθῃς τῆς ἰσχύος τῆς σῆς τὴν δύναμιν. Καὶ καθάπερ παιδοτρίβης ἄριστος τινὰ ῥυπῶντα, ἐκνενευρισμένον ἀθλητὴν, ἠμελημένον λαβὼν, ἀλείψας, γυμνάσας, εἰς εὐσαρκίαν ἀγαγὼν, οὐκ ἀφίησιν ἡσυχάζειν λοιπὸν, ἀλλ' εἰς τοὺς ἀγῶνας κατιέναι κελεύει, ἵνα αὐτὸν διδάξῃ διὰ τῆς πείρας ὅσην ἐνέθηκεν αὐτῷ δύναμιν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. Ἠδύνατο μὲν γὰρ ἐχθρὸν ἐκ τοῦ μέσου λαβεῖν· ἀλλ' ἵνα σὺ μάθῃς τῆς χάριτος τὴν ὑπερβολὴν, τῆς πνευματικῆς δυνάμεως τὸ μέγεθος, ἣν ἔλαβες ἐκ τοῦ βαπτίσματος, ἀφίητιν

[a] Reg. 2 τὰ καλὰ ταῦτα ἔρνη. Quæ lectio non spernenda.

αὐτὸν συμπλέκεσθαι, πολλάς σοι τῶν στεφάνων παρέχων τὰς ὑποθέσεις. Διὰ τοῦτο ἑπτὰ ἡμέρας ἐφεξῆς ἀπολαύετε διδασκαλίας, ὥστε ἀκριβῶς μαθεῖν τὰ παλαίσματα. Ἄλλως δὲ καὶ γάμος ἐστὶ πνευματικὸς τὰ γινόμενα· ἐπὶ δὲ γάμων ἕως ἑπτὰ ἡμερῶν αἱ παστάδες ἑστήκασι. Διὰ τοῦτο καὶ ἡμεῖς ἑπτὰ ἡμέρας ὑμῖν ἐνομοθετήσαμεν ἐνταῦθα πρὸς τὰς ἱερὰς ἑστάναι παστάδας [a]. Ἀλλ' ἐκεῖ μὲν μετὰ τὰς ἑπτὰ ἡμέρας λύονται, ἐνταῦθα δὲ ἂν θέλῃς διὰ παντὸς ἐπὶ τῆς ἱερᾶς ἵστασαι παστάδος· καὶ ἐπὶ μὲν τῶν ἔξωθεν γάμων ἡ νύμφη μετὰ πρότερον μῆνα ἢ καὶ δεύτερον οὐκ ἔστιν οὕτως ἐπέραστος τῷ νυμφίῳ· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ὅσῳ ὁ χρόνος πρόεισι, τοσούτῳ θερμότεροι οἱ ἔρωτες τοῦ νυμφίου, τοσούτῳ γνησιώτεραι αἱ περιπλοκαὶ, τοσούτῳ πνευματικωτέρα ἡ συνουσία, ἐὰν [446] νήφωμεν. Πάλιν ἐπὶ τῶν σωμάτων μετὰ νεότητα γῆρας· ἐνταῦθα μετὰ γῆρας νεότης, καὶ νεότης οὐδέποτε τέλος ἔχουσα, ἐὰν θέλωμεν. Μεγάλη ἡ χάρις, ἀλλ' ἔσται μείζων, ἐὰν θέλωμεν· καὶ ὁ Παῦλος μέγας ἦν ὅτε ἐβαπτίζετο, ἀλλὰ πολλῷ μείζων ἐγένετο μετὰ ταῦτα, ὅτε ἐκήρυσσε, συνέχυνε τοὺς Ἰουδαίους· μετὰ ταῦτα εἰς παράδεισον ἡρπάγη· εἰς τρίτον ἀνῆλθεν οὐρανόν. Ὥστε ἔξεστι καὶ ἡμῖν, ἐὰν θέλωμεν, αὐξῆσαι, καὶ τὴν δοθεῖσαν ἡμῖν χάριν μεγαλῦναι διὰ τοῦ βαπτίσματος· αὔξεται δὲ δι' ἔργων ἀγαθῶν, καὶ λαμπροτέρα γίνεται καὶ φαιδρότερον ἡμῖν παρέχει τὸ φῶς. Κἂν τοῦτο γένηται, μετὰ πολλῆς τῆς παῤῥησίας εἰς τὸν νυμφῶνα συνελευσόμεθα τῷ νυμφίῳ, καὶ τῶν ἀγαθῶν ἀπολαύσομεν τῶν ἀποκειμένων τοῖς ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Reg. unus ἑπτὰ ἡμέρας ὑμῖν ἐνομοθετήσαμεν ἐνταῦθα τῆς ἱερᾶς ἵστασαι (sic) τραπέζης.

MONITUM

Hæc homilia extra urbem Antiochiam habita fuit in martyrio, seu ecclesia loci cujusdam, cui Romanesia nomen. Quid autem martyrii nomine intelligatur, vide supra in prima nota ad homiliam De cœmeterii appellatione. De anno quo hæc habita est homilia, ne conjectando quidem dicere possumus. Nam quod Tillemontius ex initio hujus homiliæ, nempe, *Etiam cum crucis memoriam recoluimus, extra urbem ejus solemnitatem celebravimus*, arguit eodem anno hanc habuisse, quo illam De cœmeterio et cruce, quæ, ut initio ibidem dicitur, extra urbem pronuntiata fuit, idque anno, ut probabile existimat, 392 : ille, inquam, Tillemontii calculus vel primis concionis illius verbis confutatur : sic enim orditur Chrysostomus : *Sæpe apud animum meum disquisivi, cujus gratia majores nostri, relictis ædibus, quas in urbibus habent, lege*

[447] *Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐλέχθη δὲ ἐν τῷ μαρτυρίῳ τῆς Ῥωμανησίας, ἔνθα μαρτύρων σώματα, ὑπὸ τὸ ἔδαφος κείμενα ἐγγὺς λειψάνων αἱρετικῶν, ἀνηνέχθησαν, καὶ ἄνω κατ' ἰδίαν ἐτάφησαν* [a].

α'. Καὶ ὅτε τοῦ σταυροῦ μνείαν ἐπετελοῦμεν, ἔξω τῆς πόλεως τὴν ἑορτὴν ἐπετελέσαμεν, καὶ νῦν ὅτε τοῦ σταυρωθέντος τὴν ἀνάληψιν ἄγομεν τὴν φαιδρὰν ταύτην καὶ ἐξαστράπτουσαν ἡμέραν, ἔξω τῆς πόλεως πάλιν τὴν ἑορτὴν ἐπιτελοῦμεν. Ποιοῦμεν δὲ τοῦτο, οὐχὶ τὴν πόλιν ἀτιμάσαι βουλόμενοι, ἀλλὰ τιμῆσαι τοὺς μάρτυρας σπεύδοντες. Ἵνα γὰρ μὴ ἐγκαλῶσιν ἡμῖν οἱ ἅγιοι οὗτοι, καὶ λέγωσιν· ἡμεῖς οὐκ ἦμεν ἄξιοι μίαν ἡμέραν τοῦ Δεσπότου ἡμῶν ἐν ταῖς ἡμετέραις σκηναῖς ἐπιτελουμένην ἰδεῖν· ἵνα μὴ ἐγκαλέσωσιν ἡμῖν οἱ ἅγιοι οὗτοι καὶ λέγωσιν· ὅτι τὸ μὲν αἷμα ἡμῶν ὑπὲρ αὐτοῦ ἐξεχέαμεν, καὶ τὰς κεφαλὰς ἡμῶν ἀποτμηθῆναι κατηξιώθημεν· τὴν δὲ ἡμέραν τῆς ἑορτῆς αὐτοῦ οὐ κατηξιώθημεν ἰδεῖν ἐν τοῖς ἡμετέροις καταγωγίοις τελουμένην· διὰ ταῦτα τὴν πόλιν ἀφέντες, πρὸς τοὺς πόδας τῶν ἁγίων τούτων ἐδράμομεν, διὰ τῆς παρούσης ἡμέρας, καὶ ὑπὲρ τοῦ χρόνου τοῦ παρελθόντος ἀπολογούμενοι πρὸς αὐτούς. Εἰ γὰρ καὶ πρὸ τούτου ἔδει πρὸς τοὺς γενναίους τούτους τῆς εὐσεβείας ἀθλητὰς τρέχειν, ὅτε ὑπὸ τὸ

[a] In Regio 2124, in titulo Ῥωμανησίας, καὶ εἰς μαρτύρων σώματα ὑπὸ ἐδάφους... αἱρετικῶν, ἅπερ ἀνηνέχθη, καὶ κατ' ἰδίαν ἐτάφη, καὶ τί νοητέον τὸ ῥητὸν τοῦ Χριστοῦ τὸ λέγον, ὅτι εὑρεθήσονται δύο ἐν τῷ μύλωνι ἀλήθουσαι.

gredi sinit, ac multas tibi occasiones suppeditat coronarum. Idcirco septem consequentibus his diebus concionum doctrina fruimini, ut in luctarum palæstra diligenter instituamini. Alioquin autem etiam spirituales sunt nuptiæ ea, quæ jam fiunt; in nuptiis vero ad septem dies thalami prostant. Propterea nos quoque lege sanximus vobis, ut hic septem dierum spatio ad sacros thalamos vos sistatis [1]. Verum illic quidem post septem dies solvuntur : hic autem, si velis, in sacro thalamo perpetuo stare potes; atque in sæcularibus quidem nuptiis post unum vel alterum mensem sponsa non adeo sponso est amabilis : hic vero non ita, sed quanto temporis fit major progressus, tanto ardentiores sponsi sunt amores; tanto suaviores complexus, tanto spiritualior congressus, si diligentes ac vigilantes simus. In corporibus rursus post juventutem senectus; hic post senectutem juventus, et juventus quæ finem nullum habet, si voluerimus. Magna gratia, sed major erit si voluerimus : magnus erat etiam Paulus, cum baptizaretur; at multo deinde major est factus : cum prædicaret, confundebat Judæos; postea raptus est in paradisum, in tertium cælum ascendit. Itaque nobis etiam licet crescere, si velimus, et collatam per baptismum gratiam augere : bonis autem operibus augetur, ac fit illustrior, lucemque nobis splendidiorem suppeditat. Quod si ita fiat, multa cum fiducia in conclave sponsi una cum ipso intrabimus, et iis bonis perfruemur, quæ reposita sunt iis qui diligunt illum. Quæ nobis omnibus consequi detur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri et Spiritui sancto gloria et adoratio in sæcula sæculorum. Amen.

[1] Reg. unus, *septem dierum spatio ad sacram mensam vos sistatis.*

IN HOMILIAM DE ASCENSIONE.

lata statuerint, ut extra civitatem hodie, et quidem in hoc loco conveniremus. Ergo ex lata lege quotannis extra urbem in die Parasceves, de quo agitur, eo in loco conventus habebantur : nec potest quidpiam ex supra allatis verbis ad annum statuendum colligi.

Hic vides magnam Flaviani Antiocheni episcopi erga reliquias martyrum reverentiam : nam cum antea sub ecclesiæ pavimento jacuissent, eas hinc eductas in sublimi, puro mundoque loco posuit, ut populi venerationi paterent.

Interpretationem Gerardi Vossii, multis in locis emendatam, e regione Græci textus posuimus.

IN ASCENSIONEM DOMINI NOSTRI JESU CHRISTI, SERMO RECITATUS IN MARTYRIO ROMANESIÆ, UBI MARTYRUM CORPORA, SUB PAVIMENTO PROPE CADAVERA HÆRETICORUM CONDITA, ABLATA FUERUNT, ET EDITIORE LOCO SEPARATIM SEPULTA (*a*).

1. *Cur extra civitatem conventus habitus.* — Etiam cum crucis memoriam recoluimus, extra urbem ejus solemnitatem celebravimus : et nunc quando crucifixi ascensionem agimus, illustrem hunc atque refulgentem diem, extra civitatem rursus festum peragimus. Atqui hoc, non quod civitatem despicere velimus, sed martyres potius honorare cupiamus. Ne enim viri sancti de nobis merito conquerantur, ac dicant : Nos ne digni quidem eramus, qui unum Domini nostri diem in tabernaculis nostris celebrari videremus; neve nobiscum expostulando dicant : Sanguinem quidem nostrum pro ipso effudimus, et digni habiti sumus, quibus pro eo caput amputaretur, ipsius autem salutiferum festum celebrari diem videre non sumus promeriti in habitaculis nostris : ideo relicta civitate ad pedes sanctorum horum properamus, occasione præsentis diei, et de tempore præterito excusantes nos apud ipsos. Nam si antea ad strenuos hos pietatis athletas currere oportebat, quando adhuc sub pavimento reconditi jacebant, multo sane magis

(*a*) Collata cum Mss. Regiis 1970, 2027, et 2424, et cum Colbertino 2443. Regius 2424, in titulo, *Romanesiæ, et in martyrum corpora sub pavimento prope cadavera hæreticorum condita, quæ ablata fuerunt et separatim sepulta, et quomodo explicandum verbum Christi dicens : « Invenientur duæ molentes in mola. »* Si Regii lectio vera esset, non martyrum corpora loco mota fuisse viderentur, sed hæreticorum. At præstat Vossii et Savilii lectio : non solum enim quia prope hæreticorum corpora, sed etiam quia sub pavimento erant martyrum reliquiæ, translatæ et in sublimiore et honestiore loco positæ fuerunt; quod etiam initio concionis declaratur. Hæreticorum autem ossa non translata fuisse paulo postea dicit Chrysostomus. Eadem ipsa lectio habetur etiam in Reg. 1970.

id jam peragere oportebit, quando seorsim repositas videmus margaritas, quando a lupis liberatæ sunt oves, quando a mortuis recesserunt vivi. Ne antea quidem ullum detrimentum passi sunt ex communi cum illis sepultura : quorum enim spiritus in cœlis sunt, eorum neque corpora ex propinquitate lædebantur; quorum animæ in manu Dei sunt, neque reliquiæ eorum ex loco, in quo reconditæ sunt, aliquid pati poterant. Nihil ergo iis antehac detrimenti accessit : populus tamen noster non exiguum a loco damnum ferebat : quippe qui currebat quidem ad martyrum reliquias, at cum ambiguitate et hæsitatione preces offerebat, quod sanctorum sepulcra ignoraret, ac ubi veri illi thesauri reconditi essent. Idemque factum est veluti si greges ovium adducti ad perfruendum alveis puris, qui, ubi ad fontes limpidos venerint, tetro quodam odore atque fœtore aliunde cominis erumpente, iterum inhibeantur : ita et in isto ovili contigit. Ibat quidem populus ad puros illos martyrum fontes, sed dum fœtorem hæreticorum inde cominus erumpentem sentiret, iterum inhibebatur. Quod quidem conspiciens prudens hic pastor atque magister, cuncta ad Ecclesiæ ædificationem disponens, non est passus diu hoc damnum pro levi haberi, fervens hic amator et æmulator martyrum (*a*). Sed quid agit? Aspicite sapientiam ejus : turbida quidem ac fœtida fluenta obruit, atque obstruxit deorsum : puros autem martyrum fontes seorsum in puro mundoque loco collocavit. Considerate etiam quantam erga vita functos exhibuerit humanitatem, atque erga martyres honorem, et in populum curam. Erga mortuos quidem humanitatem, quod eos loco non moverit, sed ubi erant, ibi reliquerit; erga martyres autem honorem, eos ab improba vicinitate eximens : erga populum vero curam atque sollicitudinem, non permittens eos amplius cum discrimine et hæsitatione suas preces fundere.

Angeli adsunt in ecclesia et ubique. — Propterea vos huc adduximus, ut illustrior conventus fieret, splendidiusque spectaculum non hominum solum, sed et martyrum collectorum, neque martyrum dumtaxat, verum etiam angelorum. Etenim et angeli præsentes sunt, angelorum et martyrum concursus fit hodie. Videre cupis angelos pariter ac martyres? Aperi oculos fidei et cernes spectaculum illud. Nam si omnis aer angelis repletus sit, quanto amplius ecclesia : si vero ecclesia, quanto magis dies jam præsens, quando eorum assumptus est Dominus? Quod autem omnis aer angelis sit repletus, audi quid dicat Apostolus, admonens mulieres, ut velato sint capite : *Debent* enim, inquit, *mulieres velamen habere supra caput suum, propter angelos* (1. *Cor.* 11. 10). Rursusque Jacob : *Angelus qui eruit me a juventute mea* (*Gen.* 48. 16). Et qui in domo cum apostolis erant, ad Rhoden puellam dicebant : *Angelus ejus est* (*Act.* 12 15). Ac iterum Jacob : *Vidi*, inquit, *castra angelorum* (*Gen.* 32. 2). Sed quorsum angelorum castra ac copias super terram vidit? Sicut rex jubet per singulas civitates suas milites disponi, ne grave aliquod bellum imminens incursionibus infestet eas : ita et Deus dæmonibus in aere isto, barbaris atque immanibus, semper bella suscitantibus, pacisque inimicis, angelorum castra opponit, ut dum vel apparent solum, ipsos reprimant, nobisque pacem perpetuam concilient. Atque ut discas angelos pacis esse, audi in precationibus diaconos semper dicentes : *Angelum pacis rogate* (*a*). Vides angelos adesse et martyres? Quid igitur miserabilius iis, qui se a conventu hodierno abstraxerunt? et quid beatius nobis qui advenimus, et celebritate ista perfruimur? Cæterum isti de angelis[1] sermones in aliud nobis tempus referendi. Jam vero ad institutum præsentis festi revertamur.

2. Quæ igitur præsens est ista celebritas? Veneranda utique et magna, carissime, sensumque ac intellectum omnem humanum excedens, Deique munificentia, qui illam fecit, digna. Hodie enim humanum genus reconciliatum est Deo : hodie diuturna simultas, longumque bellum deletum est atque sublatum : hodie pax quædam nobis admirabilis rediit, non antea unquam exspectata. Quis enim sperasset fore, ut Deus homini reconciliaretur? non quod inhumanus sit Dominus, sed quia segnis famulus et iners; non quod crudelis ac sævus Dominus, sed quia servus contumax atque ingratus. Vis discere, quo pacto benignissimum hunc atque lenissimum Dominum nostrum exacerbaverimus? Æquum namque est prioris nostræ simultatis cognoscere fundamentum, ut quando aspexeris nos inimicos et hostes honore affectos, ipsius honorantis admireris benignitatem, ne ex propriis rectefactis illam factam mutationem arbitreris, et beneficii immensitate perspecta, de magnitudine munerum gratias illi agere non desistas. Vis ergo nosse quomodo Dominum tam liberalem, mansuetum, bonum, omniaque ad salutem nostram disponentem exacerbaverimus? Deliberavit aliquando de universo nostro genere omnino delendo, atque ita nobis iratus erat, ut perdere nos vellet cum uxoribus ac liberis, bestiis atque jumentis, et cum universa terra. Et si velis, curabo ut ipsam quoque sententiam ejus audias : *Delebo*, inquit, *hominem quem creavi a facie omnis terræ, et bruta animalia et jumenta, quia pœnitet me fecisse hominem* (*Gen.* 6. 7). Et ut discas eum non nostram odisse naturam, sed malitiam abominatum esse, qui dicebat, *Delebo hominem, quem creavi in terra* (*Ibid. v.* 13), etiam dixit homini : *Tempus omnis hominis venit ad me.* Nam si hominem odisset, non cum homine verba faceret. Nunc autem vides ipsum noluisse facere, quod comminatus fuerat; quin et servum excusabat, ac cum eo, velut ejusdem conditionis amico, verba faciebat Dominus, causasque superventuræ perditionis enarrabat : non quidem ut causas discat homo, sed ut aliis quoque eas insinuans temperantiores eos reddat. At quod modo dicebam, ita male nostrum genus se gerebat antea, ut periculum esset, ne ex ipsa terra

(*a*) De Flaviano Episcopo loquitur.

[1] Reg., *de martyribus*; Editi, *de angelis*.
(*a*) Verba Liturgiæ.

ἔδαφος ἔκειντο· πολλῷ μᾶλλον νῦν τοῦτο ποιεῖν χρὴ, ὅτε καθ' ἑαυτοὺς οἱ μαργαρῖται, ὅτε [a] ἀπηλλάγη τῶν λύκων τὰ πρόβατα, ὅτε ἀπέστησαν τῶν νεκρῶν οἱ ζῶντες. Αὐτοῖς μὲν γὰρ οὐδὲ πρὸ τούτου βλάβη τις ἦν ἀπὸ τῆς κοινωνίας τῆς κατὰ τὴν ταφήν· ὧν γὰρ τὰ πνεύματα ἐν τοῖς οὐρανοῖς, οὐδὲν τὰ σώματα ἐβλάπτετο ἀπὸ τῆς γειτνιάσεως· ὧν ἡ ψυχὴ ἐν τῇ χειρὶ τοῦ Θεοῦ, οὐδὲν τὰ λείψανα ἀπὸ τῆς θέσεως ἔπασχεν. Αὐτοῖς μὲν οὖν οὐδεμία βλάβη ἦν, οὐδὲ πρὸ τούτου· ὁ δὲ λαὸς ἡμῖν οὐ τὴν τυχοῦσαν ζημίαν ὑπέμεινεν ἀπὸ τῶν τόπων, τρέχων μὲν πρὸς τὰ λείψανα τῶν μαρτύρων, μετὰ δὲ ἀμφιβολίας καὶ διακρίσεως ποιούμενος τὰς εὐχὰς διὰ τὸ ἀγνοεῖσθαι [b] τὰς θήκας τῶν ἁγίων, καὶ ποῦ κεῖνται οἱ θησαυροὶ οἱ ἀληθινοί. Καὶ ταυτὸν ἐγίνετο, ὥσπερ ἂν εἰ ποίμνια προβάτων καθαρῶν ἀπολαῦσαι ῥείθρων ἐπειγόμενα ἔρχοιτο μὲν ἐπὶ τὰς πηγὰς τὰς καθαρὰς, βρώμου δέ πόθεν ἐγγύθεν καὶ δυσωδίας ἐμπεσούσης ἀναχαιτίζοιτο πάλιν· οὕτω καὶ ἐπὶ τῆς ποίμνης ταύτης συνέβαινεν. Ἐβάδιζε μὲν ὁ λαὸς πρὸς τὰς καθαρὰς τῶν μαρτύρων πηγάς· αἰσθανόμενος δὲ δυσωδίας αἱρετικῆς ἐγγύθεν ἀνιούσης, ἀνεχαιτίζετο πάλιν. Ὅπερ οὖν συνειδὼς ὁ σοφὸς οὗτος ποιμὴν καὶ κοινὸς διδάσκαλος, ὁ πάντα πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας [448] οἰκονομῶν, οὐκ ἠνέσχετο μέχρι πολλοῦ ταύτην τὴν ζημίαν περιιδεῖν οὗτος ὁ θερμὸς ἐραστὴς καὶ ζηλωτὴς τῶν μαρτύρων. Ἀλλὰ τί ποιεῖ; Θεάσασθε τὴν σοφίαν· τὰ μὲν θολερὰ καὶ δυσώδη ῥεύματα κατέχωσε καὶ ἀπέφραξε κάτω, τὰς δὲ καθαρὰς τῶν μαρτύρων πηγὰς ἐν καθαρῷ χωρίῳ κατέστησε. Καὶ σκοπεῖτε ὅσην καὶ περὶ τοὺς κατοιχομένους τὴν φιλανθρωπίαν ἐπεδείξατο, καὶ περὶ τοὺς μάρτυρας τὴν τιμὴν, καὶ περὶ τὸν λαὸν τὴν κηδεμονίαν. Περὶ μὲν τοὺς κατοιχομένους φιλανθρωπίαν ἐπεδείξατο, μὴ κινήσας αὐτῶν τὰ ὀστᾶ, ἀλλ' ἀφεὶς ἐπὶ τοῦ τόπου [c] μένειν· περὶ δὲ τοὺς μάρτυρας τιμὴν, ἀπαλλάξας αὐτοὺς τοῦ πονηροῦ γειτονήματος· περὶ δὲ τὸν λαὸν κηδεμονίαν, οὐκ ἀφεὶς αὐτοὺς μετὰ διακρίσεως ποιεῖσθαι τὰς εὐχάς.

Διὰ ταῦτα ὑμᾶς ἐνταῦθα ἠγάγομεν [d], ἵνα φαιδρότερος ὁ σύλλογος γένηται, ἵνα λαμπρότερον τὸ θέατρον, οὐχὶ ἀνθρώπων μόνον, ἀλλὰ καὶ μαρτύρων συλλεγομένων· οὐχὶ μαρτύρων μόνον, ἀλλὰ καὶ ἀγγέλων. Καὶ γὰρ καὶ ἄγγελοι πάρεισιν, ἀγγέλων καὶ μαρτύρων ἡ σύνοδος γέγονε σήμερον. Καὶ εἰ βούλει ἰδεῖν καὶ μάρτυρας καὶ ἀγγέλους, ἄνοιξον τῆς πίστεως τοὺς ὀφθαλμοὺς, καὶ ὄψει τὸ θέατρον ἐκεῖνο· εἰ γάρ πως ὁ ἀὴρ ἀγγέλων ἐμπέπληται, πολλῷ μᾶλλον ἡ ἐκκλησία· εἰ δὲ ἐκκλησία, πολλῷ μᾶλλον ἡ παροῦσα ἡμέρα, ὅτε ὁ Δεσπότης αὐτῶν ἀναλαμβάνεται. Ὅτι γὰρ ἅπας ὁ ἀὴρ ἀγγέλων ἐμπέπληται, ἄκουσον τί φησιν ὁ Ἀπόστολος, ἐντρέπων τὰς γυναῖκας ὥστε ἔχειν κάλυμμα ἐπὶ τῆς κεφαλῆς· *Ὀφείλουσιν αἱ γυναῖκες ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους.* Καὶ πάλιν ὁ Ἰακὼβ, *Ὁ ἄγγελος*, φησὶν, *ὁ ῥυόμενός με ἐκ νεότητός μου.* Καὶ οἱ ἐν τῇ οἰκίᾳ δὲ μετὰ τῶν ἀποστόλων ὄντες πρὸς τὴν Ῥόδην ἔλεγον· *Ὁ ἄγγελος αὐτοῦ ἐστι·* καὶ πάλιν ὁ Ἰακὼβ, *Εἶδον*, φησὶ, *παρεμβολὴν ἀγγέλων.* Καὶ τίνος ἕνεκεν παρεμβολὴν ἀγγέλων εἶδεν ἐπὶ τῆς γῆς καὶ στρατιάν; Καθάπερ βασιλεὺς κελεύει τὰ στρατόπεδα ἐν ἑκάσταις καθέζεσθαι πόλεσι, μήποτε βαρβαρικὸς πόλεμος ἐπαναστὰς καταδράμῃ τὰς πόλεις· οὕτω δὴ καὶ ὁ Θεὸς, ἐπειδὴ καὶ δαίμονές εἰσιν ἐν τῷ ἀέρι τούτῳ βάρβαροι καὶ ἄγριοι, καὶ πολέμους ἐγείροντες ἀεὶ καὶ τῆς εἰρήνης ἐχθροὶ, ἀντικατέστησεν αὐτοῖς τὰ στρατόπεδα τῶν ἀγγέλων, ἵνα φαινόμενοι μόνον αὐτοῖς καταστέλλωσιν, ἵνα τὴν εἰρήνην ἡμῖν ἀεὶ πρυτανεύσωσι. Καὶ ἵνα μάθῃς ὅτι ἄγγελοι εἰρήνης εἰσὶν, ἄκουσον ἐν ταῖς προσευχαῖς ἀεὶ λεγόντων τῶν διακόνων· *Τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε.* Ὁρᾷς ὅτι καὶ ἄγγελοι πάρεισι καὶ μάρτυρες; Τί οὖν ἀθλιώτερον τῶν ἀπολειφθέντων σήμερον; τί μακαριώτερον ἡμῶν τῶν παραγενομένων καὶ ἀπολαυόντων τῆς πανηγύρεως ταύτης; Ἀλλ' οἱ μὲν περὶ τῶν ἀγγέλων [e] λόγοι ἐν ἑτέροις ἡμᾶς ἀναμεινάτωσαν καιροῖς· ἡμεῖς δὲ ἐπὶ τὴν ὑπόθεσιν τῆς παρούσης ἑορτῆς τὸν λόγον ἀγάγωμεν.

β'. Τίς οὖν ἐστιν ἡ παροῦσα ἑορτή; Σεμνὴ καὶ μεγάλη, ἀγαπητὲ, καὶ τὸν τῶν ἀνθρώπων ὑπερβαίνουσα νοῦν, καὶ τῆς μεγαλοδωρεᾶς ἀξία τοῦ ποιήσαντος αὐτὴν Θεοῦ. Σήμερον γὰρ καταλλαγαὶ τῷ Θεῷ πρὸς τὸ τῶν ἀνθρώπων γεγόνασι γένος· σήμερον ἡ χρονία ἔχθρα κατελύθη, καὶ ὁ μακρὸς πόλεμος ἀνῃρέθη· σήμερον εἰρήνη θαυμασία τις ἐπανῆλθεν, οὐδέποτε [449] προσδοκηθεῖσα πρότερον. Τίς γὰρ ἂν ἤλπισεν ὅτι Θεὸς ἀνθρώπῳ καταλλάττεσθαι ἔμελλεν; οὐχ ὅτι ἀπάνθρωπος ὁ Δεσπότης, ἀλλ' ὅτι ῥᾴθυμος ὁ οἰκέτης· οὐχ ὅτι ὠμὸς ὁ Κύριος, ἀλλ' ὅτι ἀγνώμων ὁ δοῦλος. Βούλει μαθεῖν πῶς παρωξύναμεν τὸν φιλάνθρωπον τοῦτον, τὸν ἥμερον ἡμῶν Δεσπότην; Καὶ γὰρ δίκαιον μαθεῖν τῆς προτέρας ἡμῶν ἔχθρας τὴν ὑπόθεσιν, ἵν', ὅταν ἴδῃς τιμηθέντας ἡμᾶς, τοὺς ἐχθροὺς καὶ πολεμίους, θαυμάσῃς τοῦ τιμήσαντος τὴν φιλανθρωπίαν, ἵνα μὴ νομίσῃς ἐξ οἰκείων κατορθωμάτων γεγενῆσθαι τὴν μεταβολὴν, ἵνα μαθὼν αὐτοῦ τῆς χάριτος τὴν ὑπερβολὴν, μὴ παύσῃ διαπαντὸς εὐχαριστῶν αὐτῷ ὑπὲρ τοῦ μεγέθους τῶν δωρεῶν. Βούλει τοίνυν μαθεῖν, πῶς παρωξύναμεν ἡμῶν τὸν Δεσπότην, τὸν φιλάνθρωπον, τὸν ἥμερον, τὸν ἀγαθὸν, τὸν πάντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας οἰκονομοῦντα; Ἐβουλεύσατό ποτε περὶ παντελοῦς ἀφανισμοῦ τοῦ γένους ἡμῶν, καὶ οὕτως ἡμῖν ὠργίσθη, ὡς ἀπολέσαι ἡμᾶς μετὰ γυναικῶν καὶ παίδων καὶ θηρίων καὶ κτηνῶν καὶ τῆς γῆς ἁπάσης. Καὶ εἰ βούλει, ἐγώ σε ποιήσω καὶ τῆς ἀποφάσεως αὐτῆς ἀκοῦσαι· Ἐξαλείψω γὰρ, φησὶ, *τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου πάσης τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ κτήνη, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα τὸν ἄνθρωπον.* Καὶ ἵνα μάθῃς ὅτι οὐ τὴν φύσιν ἡμῶν ἐμίσει, ἀλλὰ τὴν κακίαν ἀπεστρέφετο, ὁ εἰπὼν, ὅτι *Ἐξαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς*, λέγει τῷ ἀνθρώπῳ· *Καιρὸς παντὸς ἀνθρώπου ἥκει πρός με.* Εἰ δὲ τὸν ἄνθρωπον ἐμίσει, οὐκ ἂν ἀνθρώπῳ διελέχθη. Νῦν δὲ ὁρᾷς αὐτὸν οὔτε βουλόμενον ποιῆσαι, ὅπερ ἠπείλησε ποιῆσαι, ἀλλὰ καὶ ἀπολογούμενον τῷ δούλῳ τὸν Κύριον, καὶ ὡς ὁμοτίμῳ φίλῳ διαλεγόμενον καὶ λέγοντα τὰς αἰτίας τῆς μελλούσης ἀπωλείας ἔσεσθαι, οὐχ ἵνα μάθῃ τὰς αἰτίας ὁ ἄνθρωπος, ἀλλ' ἵνα τοῖς ἄλλοις εἰπὼν, σωφρονεστέρους αὐτοὺς ἐργάσηται. Ἀλλ' ὅπερ ἔλεγον, οὕτω κακῶς ἡμῶν ἔπραττε τὸ γένος ἔμπροσθεν, ὡς κινδυνεῦσαι καὶ τῆς γῆς αὐτῆς ἐκπεσεῖν. Ἀλλ' ἡμεῖς

[a] Reg. 3 μαργαρῖται κεῖνται ὅτε.
[b] Reg. 3 ἀγνοεῖν.
[c] Regii duo ἐπὶ τῷ τόπῳ.
[d] Sic mss. recte, atque ita legit interpres. Editi ἤγαγεν
[e] Reg. περὶ τῶν μαρτύρων. Editi περὶ τῶν ἀγγέλων.

οἱ τῆς γῆς ἀνάξιοι φανέντες, τήμερον εἰς οὐρανοὺς ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι, πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω, ὑπερέβημεν τοὺς οὐρανοὺς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ· καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ Χερουβὶμ, αὕτη ἐπάνω τῶν Χερουβὶμ κάθηται σήμερον.

Ἀλλὰ πῶς τοῦτο γέγονε τὸ θαυμαστὸν καὶ μέγα; πῶς ἡμεῖς οἱ προσκεκρουκότες, οἱ τῆς γῆς ἀνάξιοι φανέντες, καὶ τῆς ἀρχῆς τῆς κάτωθεν ἐκπεσόντες πρὸς τοσοῦτον ὕψος ἀνήχθημεν; πῶς ὁ πόλεμος κατελύθη, πῶς ἡ ὀργὴ ἀνῃρέθη; Πῶς; τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, ὅτι οὐχὶ τῶν ἀδίκως ὀργιζομένων τῷ Θεῷ, ἀλλ' αὐτοῦ τοῦ δικαίως ἀγανακτοῦντος. παρακλέσαντος ἡμᾶς, οὕτως εἰρήνη γέγονεν. *Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν.* Τί τοῦτο; [450] αὐτὸς ὕβρισται, καὶ αὐτὸς παρακαλεῖ; Ναί· Θεὸς γάρ ἐστι, καὶ διὰ τοῦτο ὡς φιλάνθρωπος πατὴρ παρακαλεῖ.

Καὶ ὅρα τί γίνεται· Μεσίτης ὁ τοῦ παρακαλοῦντος Υἱὸς, οὐκ ἄνθρωπος, οὐδὲ ἄγγελος, οὐδὲ ἀρχάγγελος, οὐδὲ τῶν οἰκετῶν οὐδείς. Καὶ τί ποιεῖ ὁ μεσίτης; Ἔργον μεσίτου. Καθάπερ γὰρ δύο τινῶν ἀποστρεφομένων ἀλλήλους καὶ οὐ βουλομένων διαλλαγῆναι [a], ἕτερός τις ἐλθὼν, καὶ μέσον ἑαυτὸν ἐμβαλὼν ἑκατέρων λύει τὴν ἔχθραν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. Ὠργίζετο ἡμῖν ὁ Θεὸς, ἀπεστρεφόμεθα ἡμεῖς τὸν Θεὸν, τὸν φιλάνθρωπον Δεσπότην· μέσον ἑαυτὸν ἐμβαλὼν ὁ Χριστὸς ἑκατέραν τὴν φύσιν κατήλλαξε. Καὶ πῶς μέσον ἑαυτὸν ἐνέβαλε; Τὴν τιμωρίαν τὴν ὀφειλομένην ἡμῖν παρὰ τοῦ Πατρὸς αὐτὸς ἐνεδέξατο, καὶ τὴν ἐκεῖθεν τιμωρίαν καὶ τὰ ἐνταῦθα ὀνείδη ὑπέμεινε. Βούλει μαθεῖν πῶς ἑκάτερα αὐτὸς ἐδέξατο; *Χριστὸς ἡμᾶς* [b], φησὶν, *ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα.* Εἶδες πῶς ἄνωθεν τὴν φερομένην τιμωρίαν ἐδέξατο· ὅρα πῶς καὶ τὰ κάτωθεν φερόμενα ὀνείδη ὑπέμεινεν· *Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε,* φησὶν, *ἐπέπεσον ἐπ' ἐμέ.* Εἶδες πῶς διέλυσε τὴν ἔχθραν, πῶς οὐ πρότερον ἀπέστη πάντα ποιῶν καὶ πάσχων καὶ πραγματευόμενος, ἕως τὸν πολέμιον καὶ ἐχθρὸν ἀνήγαγεν αὐτῷ τῷ Θεῷ, καὶ φίλον ἐποίησε; Καὶ τούτων τῶν ἀγαθῶν ὑπόθεσις ἡ σήμερον ἡμέρα· καθάπερ γὰρ ἀπαρχὴν τῆς φύσεως ἡμῶν λαβὼν, οὕτως ἀνήγαγε τῷ Δεσπότῃ. Καὶ ὅπερ γίνεται ἐπὶ τῶν πεδίων τῶν σταχυηφόρων, ὀλίγους τις στάχυας λαβὼν, καὶ μικρὸν δράγμα ποιήσας, καὶ προσενεγκὼν τῷ Θεῷ, διὰ τοῦ μικροῦ πᾶσαν τὴν ἄρουραν εὐλογεῖ· τοῦτο καὶ ὁ Χριστὸς ἐποίησε, δι' ἐκείνης τῆς μιᾶς σαρκὸς καὶ τῆς ἀπαρχῆς τὸ γένος τὸ ἡμέτερον εὐλογηθῆναι ἐποίησεν. Ἀλλὰ διὰ τί οὐ πᾶσαν τὴν φύσιν ἀνήνεγκεν; Ὅτι οὐκ ἔστι τοῦτο ἀπαρχῆς [c], ἐὰν τὸ ὅλον τις προσενέγκῃ, ἀλλ' ἐάν τις μικρὸν προσενεγκὼν, διὰ τοῦ μικροῦ τὸ ὅλον εὐλογηθῆναι παρασκευάσῃ. Καὶ μὴν εἰ ἀπαρχὴ, φησὶν, ἦν, ἐχρῆν τὸν πρῶτον ἄνθρωπον γενόμενον αὐτὸν ἀνενεχθῆναι· ἀπαρχὴ γάρ ἐστι τὸ πρῶτον ἐκφερόμενον, τὸ πρῶτον βλαστάνον. Οὐκ ἔστι τοῦτο ἀπαρχὴ, ἀγαπητὲ, ἐὰν τὸν πρῶτον προσενέγκωμεν καρπὸν ἐξίτηλον ὄντα καὶ ἀσθενῆ, ἀλλ' ἐὰν τὸν δόκιμον προσενέγκωμεν. Ἐπεὶ οὖν ἐκεῖνος ὁ καρπὸς ὑπεύθυνος ἁμαρτίας ἦν, διὰ τοῦτο οὐκ ἀνηνέχθη, εἰ καὶ πρῶτος ἐγένετο· ἀλλ' οὗτος ἀπηλλαγμένος ἁμαρτίας· διὰ τοῦτο καὶ ἀνηνέχθη, εἰ καὶ μετὰ ταῦτα ἐγένετο· τοῦτο γὰρ ἀπαρχή [d].

γ'. Καὶ ἵνα μάθῃς, ὅτι οὐχὶ ὁ πρῶτος βλαστάνων καρπὸς, τοῦτο ἀπαρχὴ, ἀλλ' ὁ δόκιμος καὶ γενναῖος καὶ εἰς ἀκμὴν ἥκων τὴν προσήκουσαν, ἀπὸ τῶν Γραφῶν σοι παρέξω τὴν μαρτυρίαν. *Ἐὰν εἰσέλθῃς,* φησὶν ὁ Μωϋσῆς πρὸς τὸν λαὸν, *εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ φυτεύσῃς* [451] *ἐν αὐτῇ πᾶν ξύλον ποιοῦν καρπὸν βρώσιμον, τρία ἔτη οὐ περικαθαριεῖς τὸν καρπὸν αὐτοῦ· τῷ δὲ τετάρτῳ ἔτει ὁ καρπὸς αὐτοῦ ἅγιος ἔσται τῷ Κυρίῳ.* Καὶ μὴν εἰ ἀπαρχὴ ἦν τὸ πρῶτον ἐκφερόμενον, τὸν ἐν τῷ πρώτῳ ἐνιαυτῷ καρπὸν, αὐτὸν ἔδει δοῦναι τῷ Κυρίῳ· νυνὶ δέ φησι· *Τρία ἔτη οὐ περικαθαριεῖς τὸν καρπὸν αὐτοῦ,* ἀλλὰ ἀφήσεις αὐτὸν, διότι ἐξίτηλον τὸ δένδρον ἐστὶ, διότι ἀσθενὴς, διότι ἄωρος ἡ γονή· ὁ δὲ τέταρτος, φησὶν, ἅγιος ἔσται τῷ Κυρίῳ. Καὶ σκόπει σοφίαν νομοθέτου· οὔτε φαγεῖν αὐτὸν εἴασεν, ἵνα μὴ πρὸ τοῦ Θεοῦ αὐτὸς λάβῃ τὸν καρπόν· οὔτε προσενεχθῆναι αὐτὸν ἐπέτρεψεν, ἵνα μὴ ἄωρος προσενεχθῇ τῷ Κυρίῳ. Ἀλλὰ, Ἄφες μὲν, φησὶν, ἐπειδὴ πρώτων ἐστὶ· μὴ προσενέγκῃς δὲ, ἐπειδὴ ἀνάξιόν ἐστι τῆς τιμῆς τοῦ λαμβάνοντος. Ὁρᾷς ὅτι οὐ τὸ πρῶτον ἐκφερόμενον, ἀλλὰ τὸ δόκιμον, τοῦτό ἐστιν ἀπαρχή; Καὶ ταῦτα ἡμῖν διὰ τὴν σάρκα ἣν προσήνεγκεν εἴρηται. Ἀνήνεγκε τοίνυν τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας τῷ Πατρί· καὶ οὕτως ἐθαύμασε τὸ δῶρον ὁ Πατὴρ, καὶ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ διὰ τὸ ἄμωμον τοῦ προσενεχθέντος, ὡς οἰκείαις αὐτὸ δέξασθαι χερσὶ, καὶ θεῖναι πλησίον τὸ δῶρον, καὶ εἰπεῖν· *Κάθου ἐκ δεξιῶν μου.* Πρὸς ποίαν φύσιν εἶπεν ὁ Θεὸς, *Κάθου ἐκ δεξιῶν μου;* Πρὸς ἐκείνην τὴν ἀκούσασαν, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.* Οὐ γὰρ ἦρκει ὑπερβῆναι τοὺς οὐρανούς; οὐ γὰρ ἦρκει μετὰ ἀγγέλων στῆναι; οὐκ ἦν ἄφατος καὶ αὕτη ἡ τιμή; Ἀλλ' ὑπερέβη ἀγγέλους, παρῆλθεν ἀρχαγγέλους. ὑπερέβη τὰ Χερουβὶμ, ἀνέβη ἀνώτερον τῶν Σεραφεὶμ, παρέδραμε τὰς ἀρχὰς, οὐ πρότερον ἔστη, ἕως οὗ τοῦ θρόνου ἐπελάβετο τοῦ Δεσποτικοῦ. Οὐχ ὁρᾷς τουτὶ τὸ μέσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν; μᾶλλον δὲ κάτωθεν ἀρξώμεθα· οὐχ ὁρᾷς, ἀπὸ τοῦ ᾅδου πρὸς τὴν γῆν τὸ διάστημα ὅσον; ἀπὸ τῆς γῆς πάλιν πρὸς τὸν οὐρανόν; ἀπὸ τοῦ οὐρανοῦ πάλιν πρὸς τὸν οὐρανὸν τὸν ἀνώτερον; ἀπ' ἐκείνου πρὸς τοὺς ἀγγέλους, πρὸς τοὺς ἀρχαγγέλους, πρὸς τὰς ἄνω δυνάμεις, πρὸς αὐτὸν τὸν θρόνον τὸν βασιλικόν; Τοῦτο ὅλον τὸ διάστημα καὶ τὸ ὕψος τὴν φύσιν τὴν ἡμετέραν ἀνήγαγε. Βλέπε ποῦ κάτω ἔκειτο, καὶ ποῦ ἀνέβη· οὔτε

[a] Editi, διαλεχθῆναι. Hunc locum affert Leo papa in fine epist. 134.

[b] Reg. παρὰ τοῦ Σωτῆρος αὐτὸς ἐδέξατο καὶ τὰς ὕβρεις καὶ τὰ ὀνείδη, ἃ ἐποιησάμεθα κατὰ τοῦ Θεοῦ, αὐτὸς ὑπέμεινε. Βούλει μαθεῖν πῶς ἑκάτερα αὐτὸς ἐδέξατο, καὶ τὴν ἐκεῖθεν τιμωρίαν, καὶ τὰ ἐκεῖθεν ὀνείδη, Χριστὸς ἡμᾶς.

[c] Reg. ἀπαρχή.

[d] Sic Regii, atque ita sensus quadrat; in editis series mutila est, εἰ καὶ πρῶτος ἐγένετο. Τοῦτο γὰρ ἀπαρχή. Ubi aliqua haud dubie desiderantur. Aliud legit Vossius, cujus interpretatio ad nostram lectionem quadrat.

excideret. Cæterum nos qui terra videbamur indigni, hodie in cælum sublati sumus : qui ne terreno quidem principatu eramus digni, ad supernum cæleste regnum ascendimus, cælos pervasimus, thronum regalem atque Dominicum apprehendimus ; et natura, propter quam paradisum servabant Cherubim, ipsa supra Cherubim sedet hodie. At quo pacto admirabile hoc et magnum accidit? quo pacto nos qui tantam clementiam offenderamus, terraque ipsa videbamur indigni, ac terreno omni principatu atque honore excideramus, ad tantam altitudinem sumus evecti? quo pacto bellum dissolutum est? quo pacto ira sublata? Quomodo? nam istud admirabile est, non quod iis, qui injuria irascebantur Deo, sed quod ipso Deo, qui jure nobis succensebat, provocante nos atque invitante, pax facta sit. *Pro Christo enim legatione fungimur*, inquit Apostolus, *tamquam Deo exhortante per nos* (2. *Cor.* 5. 20). Quid istud? ipse est violatus injuria, et ipse ad pacem invitat? Ita sane : quippe qui Deus sit; atque ob id ut benignus pater hortatur et allicit.

Christus quomodo mediator. — Sed vide quid agatur : mediator utique est invitantis et adhortantis Filius, non homo purus, non angelus, neque archangelus, neque famulorum ullus. Et quid efficit mediator? Opus mediatoris. Quemadmodum enim duobus se invicem aversantibus, et ad concordiam pacemque mutuam adduci nolentibus [1], tertius quispiam veniens, et se medium interponens, utriusque inimicitiam diluit : ita et Christus egit. Iratus siquidem nobis erat Deus, et nos Deum benignissimum Dominum aversabamur ; medium igitur se Christus interponens, utramque naturam reconciliavit. Sed quo pacto se mediatorem constituit? Pœnam quæ nobis a Patre infligenda erat, in se suscepit, suppliciumque cælitus immissum ac contumelias in hoc mundo sustinuit. Vis nósse quomodo utraque ipse susceperit? *Christus*, inquit Apostolus, [2] *nos redemit de maledicto legis, factus pro nobis maledictum* (*Gal.* 3. 13). Vidisti quo pacto pœnam cælitus latam ipse susceperit? vide etiam quomodo opprobria in terris sustinuerit : *Opprobria exprobrantium*, inquit, *tibi, ceciderunt super me* (*Psal.* 68. 10). Cernis quo pacto diremerit inimicitiam? quo pacto non ante destiterit quidvis agere, pati atque moliri, quam hostem et inimicum cum Deo reduxerit in gratiam. Et istorum tantorum bonorum causa est hodierna dies : quemadmodum enim primitias naturæ nostræ assumpsit, sic restituit Domino. Et quod de campis accidit spicarum plenis, ubi quis ex paucis spicis collectis parvum manipulum conficiens, eumque Deo offerens, paucitate illa toti arvo benedicit : ita Christus fecit, qui per unam illam carnem atque primitias totum genus nostrum benedicendum curavit. Sed cur non totam naturam obtulit? Eo quod non sit hoc offerre primitias, si totum quis offerat : sed si parvum aliquid quis offerens, per parvum, totum benedicendum curet. Atqui si primitiæ, dicet quispiam, essent, primum ipsum hominem procreatum offerri oportuit : primitiæ enim sunt, quæ primum tolluntur, et primum germinant. Non sunt primitiæ censendæ, carissime, si primum fructum obtulerimus exilem et evanescentem, sed si probum atque perfectum offeramus. Quoniam igitur fructus ille peccato obnoxius erat, ideo non est oblatus, etiam si primus esset ; at hic a peccato liber erat ; ideoque oblatus est, licet posterius exstiterit : hæ enim sunt primitiæ.

3. Et ut discas, non primum germinantem fructum primitias dici, sed probatum, generosum, et qui ad vigorem opportunum perfectionemque perveniat, e Scripturis tibi depromam testimonium : *Si ingressus fueris in terram promissionis, quam Dominus Deus tuus dat tibi*, Moyses ad populum ait, *et plantaveris in ea omne lignum pomiferum, faciens fructum ad vescendum, tribus annis non mundabis fructum ejus : quarto autem anno fructus ejus sanctus erit Domino* (*Levit.* 19. 23. 24). Atqui si essent primitiæ primus qui producitur fructus, eum qui primo anno nascebatur offerri Domino oportebat. Nunc vero ait : *Tribus annis non mundabis fructum ejus :* sed relinques illum, propterea quod evanida adhuc et imbecilla est arbor, et fructus præcoces et immaturi. Quarto autem anno, inquit, fructus ejus sanctus erit Domino. Et in hoc cerne sapientiam legislatoris, qui illo vesci non permisit, ne ante Deum quisquam fructum sumeret : neque offerri illum mandavit, ne crudus et immaturus offeratur Domino. Sed dimitte, inquit, quia primus est : ne offeras autem, quoniam indignus est honore acceptantis. Vides ergo non primum fructum, qui producitur, sed bonum atque probatum primitias dici. Et hæc a nobis propter carnem, quam obtulit, dicta sunt. Obtulit ergo (*a*) primitias nostræ naturæ Patri, atque ita donum oblatum admiratus est Pater, propter dignitatem offerentis puritatemque ipsius oblati, ut propriis illud manibus acceperit, sibique proximum constituerit, dicens : *Sede a dextris meis* (*Psal.* 109. 1). Sed ad quam dixit naturam Deus, *Sede a dextris meis?* Clarissimum est, ad eam hoc dictum, quæ audivit : *Terra es, et in terram reverteris* (*Gen.* 3. 19). Nonne satis erat superare cælos? nonne satis erat cum angelis consistere? an non esset etiam hic honos ineffabilis? At ascendit super angelos, præterivit archangelos, superavit Cherubim, ascendit supra Seraphim, prælergressus est Potestates, nec prius substitit, quam thronum ipsum Domini comprehendit. Non vides quid medium a cælo ad terram? sed ab imo potius incipiamus : non vides ab inferno ad terram intervallum quantum? rursus a terra in cælum? rursus a cælo ad cælum sublimius, et ab illo ad angelos, ad archangelos, ad supernas Potestates, ad ipsum quoque thronum regalem? Supra hoc totum intervallum ac spatium naturam nostram sustulit. Cerne quam humili ante loco illa erat, et quam alte ascenderit :

[1] Ita Regii melius quam Editi, qui habent, *colloqui nolentibus.*

[2] Reg., *Pœnam quam pro nobis solvere oportebat Salvatorem, in se suscepit, injuriasque et contumelias, quarum nos adversus Deum feceramus reos, ipse sustinuit. Vis discere quomodo utraque susceperit, et hanc pœnam, et has contumelias? Christus, inquit apostolus*, etc.

(*a*) Locum hunc, *Obtulit ergo*, etc., Leo Papa effert ad calcem epistolæ 131.

neque enim descendere licuisset inferius, quam quo descenderat homo, neque ascendere sublimius, quam quo eum rursus evexerat Christus. Atque ista perspicue Paulus dicebat : *Qui descendit, ipse est qui et ascendit* (*Ephes.* 4. 10). Et quo descendit? *In inferiores partes terræ* (*Ib. v.* 9) ; ascendit autem supra omnes cælos. Disce quis ascenderit, et cujusmodi natura, ac quemadmodum antea sese haberet : libenter enim versor circa vilitatem generis nostri, ut excellentius honorem, qui a benignitate Domini ad nos derivatur, perdiscam. Terra et cinis eramus nos : sed nondum hoc culpa : naturæ enim infirmitas erat. Irrationabilibus facti sumus insipientiores : *Comparatus est* enim *jumentis insipientibus homo, et similis factus est illis* (*Psal.* 48. 21). Animantibus autem irrationalibus fieri similis hoc est deterior illis. Siquidem rationis expertem esse natura, et sic permanere, naturale est: sed mente ac ratione ornatos in illam amentiam delabi, voluntatis est culpa. Itaque cum audieris quod similis factus sit rationis expertibus, ne arbitreris hoc dicere, ut ostendat homines esse belluis pares, sed illis pejores ostendere voluisse. Etenim rationis expertibus evasimus pejores et insulsiores : non quod ut homines illuc delapsi simus, at quod etiam ad majorem ingratitudinem prosilierimus. Et hoc patefaciens Isaias dicebat : *Cognovit bos possessorem suum, et asinus præsepe domini sui ; Israel autem me non cognovit* (*Isai.* 1. 3). Cæterum non confundamur super prioribus : *Ubi* enim *abundavit delictum, superabundavit et gratia* (*Rom.* 5. 20). Vidisti quomodo jumentis insipientiores eramus : cupis et volucribus ipsis nos irrationabiliores aspicere? *Turtur, et hirundo, et passeres agri cognoverunt tempus adventus sui : populus autem meus non cognovit judicia mea* (*Jer.* 8. 7). Ecce et asinis et bobus, ecce et volucribus, turture atque hirundine nos insipientiores ostendimur. Vis discere et aliam nostram insipientiam? Ad formicas quoque nos, ut ab iis discamus, remittit; ita naturalem mentem amiseramus : *Vade* enim *ad formicam*, inquit, *et considera vias ejus* (*Prov.* 6. 6). Formicæ facti sumus discipuli, nos qui ad imaginem Dei facti eramus : at non qui nos fecit, est auctor, sed nos ipsi qui imaginem ejus retinere noluimus. Et quid dico formicis? imo lapidibus ipsis stupidiores evasimus. Visne horum quoque proferam testimonium? *Audite convalles et fundamenta terræ ; quia judicium Domino adversus populum suum* (*Mich.* 6. 2). Cum hominibus judicium exerces, et vocas fundamenta terræ? Imo vero inquit : nam et terræ fundamentis stolidiores sunt homines. Quem ergo adhuc quæris in iis excessum malitiæ, quando et asinis stupidiores, et bobus irrationabiliores, et hirundine ac turture ingratiores, et formicis dementiores, ipsisque lapidibus stupidiores, quin et serpentium similes videamur? *Furor* enim *illis*, inquit, *secundum similitudinem serpentis : venenum aspidum sub labiis eorum* (*Psal.* 57. 4. *et* 13. 3). Quid autem est opus rationis expertium stuporem atque stoliditatem commemorare, quando et ipsius diaboli videmur filii dicti? *Vos* enim, inquit, *filii diaboli estis* (*Joan.* 8. 44).

4. Verumtamen nos stupidi atque ingrati, insipientes, et lapidibus ipsis insensibiliores, qui cunctis inferiores eramus, abjectissimi atque vilissimi : quo pacto dicam (*a*), aut quid eloquar, quomodo istud verbum efferam? Vilissima illa nostra natura, quæ cunctis insipientior erat, cunctis est hodie facta sublimior. Hodie recuperarunt angeli, quod dudum desideraverant : hodie aspexerunt archangeli, quod diu concupierant : hodie nostram naturam de throno regali fulgoris instar resplendentem gloria et pulchritudine immortali viderunt. Id enim multo ante desiderabant angeli, et concupiscebant archangeli. Nam licet eos natura humana concesso sibi honore superaret, attamen de bonis nostris gaudebant : nam et quando cruciabamur, dolebant; et licet Cherubim custodirent paradisum, vicem tamen nostram dolebant. Et sicut minister, conservum ex mandato domini apprehensum et carceri traditum, custodit quidem, commiseratione tamen conservi ductus, super illo quod accidit, dolet et angitur : ita et Cherubim susceperant quidem custodiendum paradisum, ac de custodia dolebant. Et ut discas quod doluerint, ab hominibus illud tibi perspicuum reddam. Quando enim homines conservis compati vides, jam non amplius dubitandi tibi locus relinquitur de Cherubim : multo enim sunt illæ potestates indulgentiores hominibus. Quis igitur justorum non doluit, cum juste punirentur homines, etiam post sexcenta peccata? Hoc enim est admiratione dignissimum, quod cum illorum scelera nossent, atque intelligerent illos in Dominum offendisse, ex ea tamen re dolorem animo capiebant. Utique Moyses post populi idololatriam dicebat : *Aut dimitte eis hanc noxam : sin vero, dele etiam me de libro, quem scripsisti* (*Exod.* 32. 31. 32). Quid sibi vult istud? vides impietatem hominum, et illorum doles afflictiones? Propterea, inquit, doleo, tum quia puniuntur, tum quia justas præbent suæ punitionis causas. Ezechiel quoque aspiciens angelum percutientem populum, magna exclamans voce cum ejulatu dixit : *Heu mihi, Domine Deus : consummationem tu facis reliquiarum Israel* (*Ezech.* 9. 8) ? Et Jeremias : *Corripe nos, Domine, verumtamen in judicio, et non in furore tuo, ne nos paucissimos facias* (*Jer.* 10. 24). Ergo si Moyses, Ezechiel, atque Jeremias super istis tristati sint : an potestates illæ nihil nostris movebantur malis? At qua ratione id esset ulla ex parte credibile? Quod enim res nostras pro suis ducant, disce quantum gaudium conceperint, videntes nobis conciliatum esse Dominum. Si enim antea non doluissent, non sane ea essent postea lætitiæ voluptate perfusæ. Quod autem gavisæ sint, patet ex iis quæ et Christus ipse dixit : *Quoniam gaudium erit in cælo*, et in terra *super uno peccatore pœnitentiam agente* (*Luc.* 15. 7). Porro si unum peccatorum convertentem se videntes angeli gaudent : quomodo hodie per primitias universam naturam humanam aspicientes in cælum illatam, non maximo gaudio sint affecti? Audi igitur et aliunde

(*a*) Hunc etiam locum, *quo pacto dicam*, etc., affert Leo Papa ad calcem Epist. 134.

καταδῆναι ἦν κατώτερον, οὗ κατέβη ὁ ἄνθρωπος, οὔτε ἀναβῆναι ἀνώτερον, οὗ ἀνήγαγεν αὐτὸν πάλιν. Καὶ ταῦτα δηλῶν ὁ Παῦλος ἔλεγεν· *Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβάς.* Καὶ ποῦ κατέβη; *Εἰς τὰ κατώτερα μέρη τῆς γῆς*, καὶ ἀνέβη ὑπεράνω πάντων τῶν οὐρανῶν. Μάθε τίς ἀνέβη, ἢ ποία φύσις, ἢ πῶς πρὸ τούτου διακειμένη· ἡδέως γὰρ ἐνδιατρίβω τῇ εὐτελείᾳ τοῦ γένους τοῦ ἡμετέρου, ἵνα μεθ' ὑπερβολῆς μάθω τὴν τιμὴν τὴν ἀπὸ τῆς φιλανθρωπίας τοῦ Δεσπότου. Γῆ καὶ σποδὸς ἦμεν ἡμεῖς· ἀλλ' οὔπω τοῦτο ἔγκλημα· τῆς φύσεως γὰρ ἦν ἡ ἀσθένεια. Ἀλόγων διεκείμεθα ἀνοητότερον· *Παρασυνεβλήθη γὰρ ὁ ἄνθρωπος τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.* [452] Τοῦτο δέ ἐστιν. ἀλόγων χείρονα, γενέσθαι ὅμοιον τοῖς ἀλόγοις. Τὸ μὲν γὰρ εἶναι ἄλογον φύσει, καὶ μένειν ἐπὶ τῆς ἀλογίας, τῆς φύσεως ἐστί· τὸ δὲ λόγῳ τιμηθέντας πρὸς ἐκείνην τὴν ἄνοιαν καταπεσεῖν, τῆς προαιρέσεώς ἐστιν ἔγκλημα. Ὥστε ὅταν ἀκούσῃς, ὅτι ὡμοιώθη τοῖς ἀλόγοις, μὴ νομίσῃς, ὅτι τῶν ἀλόγων ἴσους δεῖξαι τοὺς ἀνθρώπους, ἀλλ' ὅτι κἀκείνων χείρους ἀποφῆναι βουλόμενος, τοῦτο εἴρηκε. Καὶ γὰρ τῶν ἀλόγων ἐγενόμεθα χείρους καὶ ἀναισθητότεροι, οὐχ ὅτι ἄνθρωποι ὄντες ἐκεῖ κατεπέσομεν, ἀλλ' ὅτι καὶ πρὸς μείζονα ἠλάσαμεν ἀγνωμοσύνην. Καὶ τοῦτο δηλῶν Ἡσαΐας ἔλεγεν· *Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω. Ἀλλὰ μὴ αἰσχυνώμεθα ἐπὶ τοῖς προτέροις· Οὗ γὰρ ἐπλεύνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις.* Εἶδες πῶς τῶν κτηνῶν ὀλιγώτεροι ἦμεν· βούλει καὶ τῶν πετεινῶν ἀλογωτέρους ἡμᾶς ἰδεῖν; *Τρυγὼν καὶ χελιδὼν, στρουθία ἀγροῦ ἔγνωσαν καιροὺς εἰσόδου αὐτῶν· ὁ δὲ λαός μου οὐκ ἔγνωσαν τὰ κρίματά μου.* Ἰδοὺ καὶ τῶν ὄνων καὶ τῶν βοῶν, ἰδοὺ καὶ τῶν πετεινῶν, τῆς τρυγόνος καὶ τῆς χελιδόνος ἡμεῖς ἀλογώτεροι. Βούλει μαθεῖν ἄλλην ἀναισθησίαν ἡμῶν; Τῶν μυρμήκων ἡμᾶς ποιεῖ μαθητάς· οὕτως ἀπωλέσαμεν τὰς κατὰ φύσιν φρένας· *Πορεύθητι γὰρ, φησὶ, πρὸς τὸν μύρμηκα, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ.* Μυρμήκων ἐγενόμεθα μαθηταὶ, οἱ κατ' εἰκόνα Θεοῦ γενόμενοι. Ἀλλ' οὐχ ὁ ποιήσας αἴτιος, ἀλλ' ἡμεῖς μὴ μείναντες ἐπὶ τῆς εἰκόνος. Καὶ τί λέγω μυρμήκων; λίθων ἐγενόμεθα ἀναισθητότεροι. Βούλει καὶ τούτων παράγω τὴν μαρτυρίαν; *Ἀκούσατε, φάραγγες καὶ τὰ θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ.* Πρὸς ἀνθρώπους δικάζῃ, καὶ τὰ θεμέλια τῆς γῆς καλεῖς; Ναὶ, φησί· τῶν γὰρ θεμελίων τῆς γῆς ἀναισθητότεροί εἰσιν οἱ ἄνθρωποι. Ποίαν οὖν ἔτι ζητεῖς ὑπερβολὴν κακίας, ὅταν καὶ ὄνων ἀναισθητότεροι, καὶ βοῶν ἀλογώτεροι, καὶ χελιδόνος καὶ τρυγόνος ἀγνωμονέστεροι, καὶ μυρμήκων ἀσυνετώτεροι, καὶ λίθων ἀναισθητότεροι, καὶ ὄφεων ἴσοι φαινώμεθα; *Θυμὸς γὰρ αὐτοῖς*, φησὶ, *κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.* Καὶ τί χρὴ λέγειν τῶν ἀλόγων τὴν ἀναισθησίαν, ὅταν καὶ αὐτοῦ τοῦ διαβόλου φαινώμεθα τέκνα καλούμενοι; *Ὑμεῖς γὰρ*, φησὶν, *υἱοὶ τοῦ διαβόλου ἐστέ.*

δ'. Ἀλλ' ὅμως ἡμεῖς οἱ ἀναίσθητοι καὶ ἀγνώμονες, οἱ ἀνόητοι, οἱ τῶν λίθων ἀναισθητότεροι, οἱ πάντων κατώτεροι, οἱ ἄτιμοι, οἱ εὐτελέστατοι· πῶς εἴπω; τί λαλήσω; πῶς ἐξενέγκω τὸ ῥῆμα τοῦτο; ἡ φύσις ἡ εὐτελὴς, ἡ πάντων ἀσυνετωτέρα, πάντων ἀνωτέρα γέγονε σήμερον. Σήμερον ἀπέλαβον ἄγγελοι, ὃ πάλαι ἐπόθουν· σήμερον εἶδον ἀρχάγγελοι, ὃ πάλαι ἐπεθύμουν, τὴν φύσιν τὴν ἡμετέραν ἀπὸ τοῦ θρόνου ἀστράπτουσαν τοῦ βασιλικοῦ, δόξῃ καὶ κάλλει [453] στίλβουσαν ἀθανάτῳ. Τοῦτο γὰρ πάλαι ἐπόθουν ἄγγελοι, τοῦτο γὰρ πάλαι ἐπεθύμουν ἀρχάγγελοι. Εἰ γὰρ καὶ ὑπερέβαινεν αὐτοὺς ἡ τιμὴ, ἀλλ' ὅμως ἔχαιρον καὶ ἐπὶ τοῖς ἡμετέροις ἀγαθοῖς· καὶ γὰρ ὅτε ἐκολαζόμεθα, ἤλγουν· εἰ γὰρ καὶ ἐφύλαττε τὰ Χερουβὶμ τὸν παράδεισον, ἀλλ' ὅμως ἤλγουν. Καὶ καθάπερ οἰκέτης σύνδουλον λαβὼν εἰς φυλακὴν, διὰ τὸ πρόσταγμα τοῦ δεσπότου φυλάττει μὲν τὸν σύνδουλον, ἀλγεῖ δὲ ἐπὶ τῷ γινομένῳ διὰ τὴν συμπάθειαν τὴν περὶ τὸν ὁμόδουλον· οὕτω καὶ τὰ Χερουβὶμ ἔλαβε μὲν φυλάττειν τὸν παράδεισον, ἤλγει δὲ ὅμως ἐπὶ τῇ φυλακῇ. Καὶ ἵνα μάθῃς ὅτι ἤλγει, ἀπὸ τῶν ἀνθρώπων σοι τοῦτο ποιῶ φανερόν. Ὅταν γὰρ ἴδῃς τοὺς ἀνθρώπους συμπαθοῦντας ταῖς συνδούλοις, μηκέτι λοιπὸν ἀμφιβάλλῃς περὶ τῶν Χερουβίμ· πολὺ γὰρ τῶν ἀνθρώπων φιλοστοργότεραι αἱ δυνάμεις ἐκεῖναι. Τί; οὖν δικαίων οὐκ ἤλγησε, κολαζομένων ἀνθρώπων δικαίως, καὶ μεθ' ἁμαρτήματα μυρία; Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, ὅτι τὰς ἁμαρτίας αὐτῶν μαθόντες, καὶ ἰδόντες ὅτι προσέκρουσαν τῷ Δεσπότῃ, ἤλγησαν· ὁ μὲν Μωϋσῆς μετὰ τὴν εἰδωλολατρείαν· διὸ καὶ ἔλεγεν· *Εἰ μὲν ἀφὶης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας.* Τί τοῦτο; ὁρᾷς τὴν ἀσέβειαν, καὶ ἀλγεῖς ὑπὲρ τῶν κολαζομένων; Διὰ τοῦτο γὰρ, φησὶν, ἀλγῶ, ὅτι καὶ κολάζονται καὶ δικαίας κολάσεως παρέχονται τὰς αἰτίας. Ὁ δὲ Ἰεζεκιὴλ ἰδὼν τὸν ἄγγελον κατακόπτοντα τὸν λαὸν, ἀνεβόησε μέγα καὶ ὠλόλυξε, καὶ φησιν· *Οἴμοι, Κύριε, ὅτι ἐξαλείψεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ.* Καὶ ὁ Ἱερεμίας, *Παίδευσον ἡμᾶς, Κύριε*, φησὶ, *πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς.* Εἶτα Μωϋσῆς μὲν καὶ Ἰεζεκιὴλ καὶ Ἱερεμίας ἀλγοῦσιν, αἱ δὲ δυνάμεις ἐκεῖναι οὐδὲν ἔπασχον ἐπὶ τοῖς ἡμετέροις κακοῖς; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ὅτι γὰρ οἰκειοῦνται τὰ ἡμέτερα, μάθε ὅσην χαρὰν ἐπεδείξαντο, ὅτε εἶδον ἡμῖν καταλλαγέντα τὸν Δεσπότην. Εἰ δὲ μὴ πρὸ τούτου ἤλγουν, οὐκ ἂν οὐδὲ μετὰ ταῦτα ἥσθησαν. Ὅτι δὲ ἔχαιρον, δῆλον ἐξ ὧν φησιν ὁ Χριστὸς, *Ὅτι χαρὰ ἔσται ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐπὶ ἑνὶ ἁμαρτωλῷ ἐπιστρέφοντι.* Εἰ δὲ ἕνα ἁμαρτωλὸν ἐπιστρέφοντα ὁρῶντες ἄγγελοι χαίρουσι, διὰ τῆς ἀπαρχῆς σήμερον ὁρῶντες τὴν φύσιν ἅπασαν εἰσενηνεγμένην εἰς οὐρανὸν, πῶς οὐκ ἂν μεγίστην ἐδέξαντο ἡδονήν; Ἄκουσον γοῦν καὶ ἑτέρωθεν τῶν ἄνω ὧν ἡμῶν τὴν εὐφροσύνην τὴν ἐπὶ τῇ ἡμετέρᾳ καταλ-

λαγῇ· ὅτε γὰρ ἐτέχθη ὁ Κύριος ἡμῶν τὸ κατὰ σάρκα, ἰδόντες ὅτι κατηλλάγη λοιπὸν τοῖς ἀνθρώποις· οὐ γὰρ ἂν, εἰ μὴ κατηλλάγη, τοσοῦτον κατέβη ἰδόντες οὖν τοῦτο, χορὸν στησάμενοι ἐπὶ τῆς γῆς ἐβόων καὶ ἔλεγον· *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.* Καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο δοξάζουσι τὸν Θεὸν, ἐπειδὴ ἀπέλαβεν ἡ γῆ τὰ ἀγαθά, ἐπήγαγον καὶ τὴν αἰτίαν, *Ἐπὶ γῆς εἰρήνη* [454], λέγοντες, *ἐν ἀνθρώποις εὐδοκία*, τοῖς ἐκπεπολεμωμένοις, τοῖς ἀγνώμοσιν. Εἶδες πῶς δοξάζουσι τὸν Θεὸν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, μᾶλλον δὲ ἐπὶ τοῖς ἰδίοις· τὰ γὰρ ἡμέτερα ἀγαθὰ, ἑαυτῶν νομίζουσιν εἶναι· βούλει μαθεῖν, ὅτι καὶ μέλλοντες ὁρᾷν αὐτὸν ἀναβαίνοντα, ἔχαιρον καὶ ἐσκίρτων; Ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ὅτι ἀνέβαινον καὶ κατέβαινον συνεχῶς. Τοῦτό δὲ ἐπιθυμούντων ἔστιν ἰδεῖν τὸ παράδοξον θέαμα. Καὶ πόθεν δῆλον, ὅτι ἀνέβαινον, καὶ κατέβαινον; Αὐτοῦ ἄκουσον λέγοντος· *Ἀπάρτι ὄψεσθε τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου*· τοιοῦτον γὰρ τῶν ἐρώντων τὸ ἔθος· οὐδὲ τὸν καιρὸν ἀναμένουσιν, ἀλλὰ προλαμβάνουσι τὴν προθεσμίαν τῇ ἡδονῇ. Διὰ τοῦτο καταβαίνουσιν, ἐπειγόμενοι τὸ καινὸν καὶ παράδοξον ἐκεῖνο ἰδεῖν θέαμα, ἄνθρωπον ἐν οὐρανῷ φανέντα· διὰ τοῦτο πανταχοῦ ἄγγελοι, καὶ ὅτε ἐτίκτετο, καὶ ὅτε ἀνίστατο, καὶ σήμερον ὅτε ἀνέβη. *Ἰδοὺ* γὰρ *δύο*, φησὶν, *ἐν ἐσθῆτι λαμπρᾷ*, διὰ τοῦ σχήματος τὴν ἡδονὴν δηλοῦντες· καὶ εἶπον πρὸς τοὺς μαθητάς· *Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.*

ε'. Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε. Τί δήποτε ταῦτα λέγουσι; μὴ γὰρ οὐκ εἶχον ὀφθαλμοὺς οἱ μαθηταί; μὴ γὰρ οὐχ ἑώρων τὸ γινόμενον; οὐκ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι βλεπόντων αὐτῶν ἐπήρθη; Τίνος οὖν ἕνεκεν παρεστήκασιν οἱ ἄγγελοι διδάσκοντες αὐτοὺς, ὅτι εἰς τὸν οὐρανὸν ἀνέβη; Διὰ δύο ταύτας αἰτίας, μίαν μὲν, ἐπειδὴ ἤλγουν ἀεὶ ἐπὶ τῇ ἀναχωρήσει τοῦ Χριστοῦ· ὅτι γὰρ ἤλγουν, ἄκουσον τί πρὸς αὐτοὺς φησιν· *Οὐδείς με ἐρωτᾷ ἐξ ὑμῶν, Ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα εἶπον, ἡ λύπη πεπλήρωσεν ὑμῶν τὴν καρδίαν.* Εἰ γὰρ φίλους ἔχοντες καὶ συγγενεῖς χωριζόμενοι τούτων οὐ φέρομεν, πῶς οἱ μαθηταὶ τὸν Σωτῆρα, τὸν διδάσκαλον, τὸν κηδεμόνα, τὸν φιλάνθρωπον, τὸν ἥμερον, τὸν ἀγαθὸν ὁρῶντες χωριζόμενον αὐτῶν, πῶς οὐκ ἂν ἤλγησαν; πῶς οὐκ ἂν ὠδυνήθησαν; Διὰ τοῦτο ἔστηκεν ὁ ἄγγελος τὴν ἀπὸ τῆς ἀνόδου γινομένην λύπην διὰ τῆς ἐπανόδου πάλιν παραμυθούμενος. *Οὗτος* γὰρ, φησὶν, *ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται.* Ἠλγήσατε, φησὶν, ὅτι ἀνελήφθη; Ἀλλὰ μηκέτι ἀλγεῖτε· καὶ γὰρ ἐλεύσεται πάλιν. Ἵνα γὰρ μὴ ποιήσωσιν, ὅπερ ἐποίησεν ὁ Ἐλισσαῖος ἰδὼν τὸν διδάσκαλον ἀναλαμβανόμενον, καὶ διαῤῥήξας τὸν χιτωνίσκον· οὐδὲ γὰρ εἶχέ τινα παρεστῶτα καὶ λέγοντα, ὅτι πάλιν ἥξει Ἠλίας· ἵνα οὖν μὴ τοῦτο ποιήσωσιν οὗτοι, διὰ τοῦτο οἱ ἄγγελοι παρεστήκεισαν παραμυθούμενοι τὴν ἀθυμίαν. Καὶ μία μὲν αὕτη αἰτία τῆς τῶν ἀγγέλων παρουσίας· δευτέρα δὲ ταύτης οὐκ ἐλάττων, δι' ἣν αἰτίαν καὶ προσέθηκεν, *Ὁ ἀναληφθεὶς*. Τίς οὖν ἐστιν αὕτη; Εἰς τὸν οὐρανὸν ἀνελαμβάνετο. Πολὺ δὲ τὸ [455] διάστημα ἦν, καὶ οὐκ ἤρκει ἡ δύναμις τῆς ἡμετέρας ὄψεως σῶμα ἀναλαμβανόμενον ἰδεῖν μέχρι τῶν οὐρανῶν· ἀλλὰ καθάπερ πετεινὸν εἰς ὕψος ἱπτάμενον, ὅσῳπερ ἂν εἰς ὕψος ἀνέλθῃ, τοσούτῳ μᾶλλον ἀποκρύπτεται ἀπὸ τῆς ἡμετέρας ὄψεως· οὕτω δὴ καὶ τὸ σῶμα ἐκεῖνο ὅσῳπερ ἂν εἰς ὕψος ἀνῇει, τοσούτῳ μᾶλλον ἐκρύπτετο, οὐκ ἀρχούσης τῆς ἀσθενείας τῶν ὀφθαλμῶν παρακολουθῆσαι τῷ μήκει τοῦ διαστήματος. Διὰ τοῦτο παρειστήκεισαν οἱ ἄγγελοι, διδάσκοντες τὴν εἰς τὸν οὐρανὸν ἄνοδον, ἵνα μὴ νομίσωσιν ὅτι ὡς εἰς τὸν οὐρανὸν ἀνέβη ὡς Ἠλίας, ἀλλ' ὅτι εἰς τὸν οὐρανὸν ἀνέβη· διὰ τοῦτό φησιν, *Ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν*. Οὐδὲ γὰρ ἂν ἁπλῶς τοῦτο προσέθηκεν. Ἠλίας μὲν οὖν ὡς εἰς τὸν οὐρανὸν ἀνελήφθη, δοῦλος γὰρ ἦν· ὁ δὲ Ἰησοῦς εἰς τὸν οὐρανὸν, Δεσπότης γὰρ ἦν· ἐκεῖνος ἐν ἅρματι πυρίνῳ, οὗτος ἐν νεφέλῃ. Ὅτε μὲν γὰρ τὸν δοῦλον ἔδει κληθῆναι, ἅρμα ἐπέμπετο· ὅταν δὲ τὸν Υἱὸν, θρόνος βασιλικός· καὶ οὐχὶ ἁπλῶς βασιλικὸς θρόνος, ἀλλ' αὐτὸς ὁ πατρικός. Καὶ γὰρ περὶ τοῦ Πατρός φησιν ὁ Ἡσαΐας, *Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης*. Ἐπεὶ οὖν ὁ Πατὴρ ἐπὶ νεφέλης κάθηται, διὰ τοῦτο καὶ τῷ Υἱῷ τὴν νεφέλην ἔπεμψε. Καὶ ὁ μὲν Ἠλίας ἀνελθὼν ἀφῆκε μηλωτὴν ἐπὶ τὸν Ἐλισσαῖον· ὁ δὲ Ἰησοῦς ἀναβὰς ἀφῆκε χαρίσματα ἐπὶ τοὺς μαθητὰς, οὐχ ἕνα προφήτην ποιοῦντα, ἀλλὰ μυρίους Ἐλισσαίους· μᾶλλον δὲ ἐκείνου πολλῷ μείζους καὶ λαμπροτέρους. Διαναστῶμεν τοίνυν, ἀγαπητοὶ, καὶ πρὸς τὴν ἐπάνοδον ἐκείνην βλέψωμεν. Καὶ γὰρ ὁ Παῦλός φησιν, *Αὐτὸς καταβήσεται ἀπ' οὐρανοῦ ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου· καὶ ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, ἀλλ' οὐ πάντες.* Ὅτι γὰρ οὐ πάντες ἁρπαγησόμεθα, ἀλλ' οἱ μὲν μενοῦσιν, οἱ δὲ ἁρπαγήσονται, ἄκουσον τί φησιν ὁ Χριστός· *Πότε εὑρεθήσονται δύο ἐν τῷ μύλωνι ἀλήθουσαι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται· καὶ δύο ἔσονται ἐπὶ κλίνης μιᾶς· εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται.* Τί βούλεται τὸ αἴνιγμα τοῦτο; τί βούλεται τὸ μυστήριον τοῦτο τὸ ἀπόῤῥητον; Διὰ τοῦ μύλου τοὺς ἐν πενίᾳ ζῶντας καὶ ταλαιπωρίᾳ πάντας ἡμῖν ἐδήλωσε· διὰ δὲ τῆς κλίνης καὶ τῆς ἀναπαύσεως τοὺς ἐν πλούτῳ καὶ τιμῇ πάντας ἠνίξατο. Καὶ βουλόμενος δεῖξαι ὅτι καὶ ἀπὸ πενήτων σώζονται καὶ ἀπόλλυνται, εἶπεν, ὅτι καὶ τῶν ἐν τῷ μύλωνι μία παραλαμβάνεται, καὶ μία ἀφίεται· καὶ τῶν ἐν τῇ κλίνῃ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται· δηλῶν ὅτι οἱ μὲν ἁμαρτωλοὶ ἀφίενται ἐνταῦθα καὶ μένουσι τὴν τιμωρίαν· οἱ δὲ δίκαιοι ἁρπάζονται εἰς τὰς νεφέλας. Καθάπερ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἐν ἀξιώμασι καὶ ἀρχαῖς, καὶ πολλὴν πρὸς αὐτὸν παῤῥησίαν ἔχοντες,

supernæ turbæ lætitiam super nostra reconciliatione. Quando enim Dominus noster natus est secundum carnem, ex eo deinceps hominibus ipsum reconciliatum cernentes; non enim, si reconciliatus non fuisset, usque adeo descendisset; cernentes ergo istud, choris in terra statutis exclamabant : *Gloria in excelsis Deo : et in terra pax, in hominibus bona voluntas* (*Luc.* 2. 14). Et ut discas, quod ob id glorificaverint Deum, postquam terra recepit bona, etiam causam adduxerunt, dicentes : *In terra pax, in hominibus bona voluntas :* hominibus, inquam, qui erant antea hostes declarati, et ingrati. Vidisti quo pacto Deum de alienis bonis laudent, aut potius de propriis, cum nostra bona sua esse ducant : vis etiam nosse quomodo etiam ipsum ascendentem aliquando visuri, tum gavisi sint et exsultarint? Ipsum Christum dicentem audi : Quoniam ascendebant, inquit, et descendebant continue. Atque hoc proprium est desiderantium, contemplari inopinatum spectaculum. Et unde constat assidue illos ascendere atque descendere? Ipsum dicentem audi : *Amodo videbitis cælum apertum, et angelos Dei ascendentes et descendentes supra Filium hominis* (*Joan.* 1. 51). Talis siquidem amantium mos est; neque tempus exspectant, sed tempus præfinitum lætitia anticipant. Idcirco descendunt novi et inauditi illius spectaculi visendi desiderio impulsi, hominem scilicet in cælo apparentem : ideoque ubique se angeli manifestant, et quando natus est, et quando resurrexit, ac hodie quando in cœlos ascendit : *Ecce* enim *duo viri*, inquit, *in vestimentis albis* (*Act.* 1. 10), per habitum lætitiam declarantes : et dixerunt ad discipulos : *Viri Galilæi, quid statis? hic Jesus, qui assumptus est a vobis in cælum, sic veniet, quemadmodum vidistis eum euntem in cælum* (*Ib.* v. 11).

5. *Cur angeli in ascensione Domini visi fuerint.* — Hic jam mihi diligenter attendite. Quamobrem ita dicunt? an quod oculos non haberent discipuli? aut quia quod acciderat, non viderent? nonne ait evangelista, quod videntibus ipsis elevatus est? Qua ergo de causa assistebant angeli docentes eos, quod in cælum ascendisset? Propter duas nimirum istas causas : unam quidem quod dolerent illi ob Christi ab ipsis discessionem : quod autem dolerent, audi quid ad eos dicat : *Nemo ex vobis*, inquit, *interrogat me, Quo vadis? sed quia hæc loquutus sum vobis, tristitia implevit cor vestrum* (*Joan.* 16. 5. 6). Nam si amicos et consanguineos nostros separari a nobis non ferimus, quomodo discipuli suum ab ipsis separari cernentes Salvatorem, magistrum, ac curatorem benignissimum, mansuetissimum et optimum, plane non dolerent? quomodo non contristarentur? Idcirco astitit angelus, qui dolorem ex ascensu provenientem reditus commemoratione iterum mitigaret, consolareturque ipsos. *Hic* enim *Jesus*, ait, *qui assumptus est a vobis in cælum, sic veniet* (*Act.* 1. 11). Doluistis, inquit, de assumptione ipsius? Sed nolite amplius dolere; etenim rursus veniet. Nam ut ne facerent quod egit Elisæus, aspiciens magistrum suum assumi, qui discidit vestimentum (4. *Reg.* 2) : non enim habebat aliquem adstantem sibi atque dicentem quod iterum venturus esset Helias; ne igitur hoc et isti facerent, ideo angeli adstiterunt, qui tristitiam illorum lenirent ac consolarentur.

Differentia inter ascensionem Eliæ, et Christi Salvatoris. — Et hæc quidem una est causa præsentiæ angelorum : posterior autem ea non inferior est, propter quam etiam causam adjecit, *Qui assumptus est.* Et quæ est ista? In cælum assumptus est. Ingens autem interstitium erat, neque sufficiebat vis nostri aspectus, ut corpus ad cælos usque assumi prospiceret : sed sicut avis in sublime volitans, quanto magis in altum ascenderit, tanto amplius a nostro aspectu subtrahitur : ita et corpus illud, quanto altius evehebatur, tanto magis abscondebatur; cum non posset oculorum infirmitas intervalli longitudinem assequi. Propterea astiterunt angeli, qui docerent ascensionem in cælum, ne arbitrarentur eum quasi in cælum ascendisse instar Heliæ; sed quod vere in cælum ascenderit, ob id ait : *Qui assumptus est a vobis in cælum.* Neque enim hoc simpliciter adjectum est. Quinimo Helias tamquam in cælum assumptus est : servus enim erat; Jesus autem in cælum, quia Dominus erat : ille in curru igneo, hic in nube. Nam quando servum vocari oportebat, currus mittebatur; quando autem Filium, thronus regalis; neque simpliciter thronus regalis, sed ipsemet paternus. Etenim de Patre ait Isaias : *Ecce Dominus sedet super nubem levem* (*Isai.* 19. 1). Quia ergo Pater in nube sedet, ideo et Filio nubem misit. Atque Helias quidem ascendens ovinam pellem super Elisæum demisit, Jesus autem ascendens gratiarum dona in discipulos demisit, non unum prophetam facientia, sed infinitos Elisæos, atque adeo illo multo majores et illustriores. Exsurgamus igitur, dilectissimi, et ad reditum illum oculos mentis dirigamus. Etenim Paulus ait : *Ipse descendet de cælis, in jussu, in voce archangeli : et nos qui vivimus et residui sumus, obviam rapiemur in nubibus in occursum Domini in aera*, at non omnes (1. *Thess.* 4. 15. 16). Quod autem non omnes rapiemur, sed alii permansuri sint, alii vero rapiendi, audi quid dicat Christus : *Tunc invenientur duæ molentes in mola, una assumetur, et una relinquetur : duo in lecto uno erunt, unus assumetur, et unus relinquetur* (*Matth.* 24. 40. 41). Quid sibi vult ænigma istud? quid denotat mysterium hoc reconditum? Per molam omnes in paupertate et miseria viventes nobis demonstrat; per lectum autem ac requiem cunctos divitiis affluentes, et honoribus conspicuos innuit : volensque ostendere etiam ex pauperibus salvandos fore atque perdendos, dixit quod in mola una assumetur, et una relinquetur; et eorum qui in lecto erunt unus assumetur, et unus relinquetur, declarare volens, quod peccatores quidem hic relinquantur, supplicium exspectantes; justi autem in nubes rapiantur. Sicut enim rege aliquo in civitatem introeunte, alii quidem in dignitatibus atque honoribus constituti, et qui plurimum gratia apud illum valent, extra civitatem ei progrediuntur obviam, rei

autem et criminibus obnoxii intus servantur, sententiam a rege exspectantes : ita etiam quando Dominus advenerit, alii quidem qui fiduciam habent, in medium ei occurrent aerem, damnati vero et qui multorum sibi conscii fuerint peccatorum, hic præstolabuntur judicem.

Chrysostomi humilitas. — Tunc et nos rapiemur : non equidem meipsum in numerum ac calculum rapiendorum referens dixi, Nos : non equidem ita sum expers sensus ac rationis, ut propria ignorem peccata. Et nisi jam metuerem conturbare lætitiam præsentis festivitatis, flerem sane amarissime, istius dicti memor et mea peccata in memoriam revocans. Cum autem præsentis festi lætitiam confundere nolim, hic sermonem finiam, vigentem ac recentem vobis illius diei memoriam relinquens, ne glorietur dives in divitiis suis, neque pauper seipsum miserum reputet in paupertate sua, sed quisque prout sibi conscius fuerit, vel hoc, vel illud faciat. Neque enim dives felix, neque pauper miserabilis : sed beatus, imo beatissimus, qui rapto illo in nubibus habitus fuerit dignus, licet omnium fuerit pauperrimus : quemadmodum vicissim qui exciderit, miser, imo miserrimus, quamvis omnium sit ditissimus. Propterea dico, ut qui peccatis obnoxii sumus, lugeamus nos ipsos : at qui bonis operibus clarent, confidant ; imo non solum confidant, sed et confirmentur : neque illi lugeant solum, sed et mutentur ac convertantur. Licet enim et ei, qui male vitam ducit, improba postposita vita, ad virtutem transire, iisque qui a principio bene vixerunt, similem fieri ; quod et nos studeamus. Et qui bonæ sibi conscii fuerint vitæ, in pietate perseverent, bonam hanc possessionem semper augentes, et priori fiduciæ aliquid continuo addentes : qui autem diffidentes sumus ac timidi, multorumque nobis peccatorum conscii, mutemur in melius ; ut ad illorum quoque fiduciam pertingentes, pariter cuncti atque unanimes cum debita gloria angelorum Regem suscipiamus, beataque illa lætitia perfruamur in Christo Jesu Domino nostro, cui gloria et imperium cum Patre et sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM

In homilia quinta de Anna Samuelis matre, queritur initio Chrysostomus, se præcedenti concione die Pentecostes habita frustra monuisse, non diebus solum festis, sed etiam aliis per annum ecclesiam esse frequentandam : ea vero de re multa verba facit Chrysostomus initio prioris in Pentecosten homiliæ, unde statim videatur hinc temporis calculus peti posse. Verum huic opinioni reclamant ea, quæ mox subjicit Chrysostomus in homilia illa de Anna. *In hoc enim*, inquit, *vobis commemoravimus filium illum paternarum facultatum absumptorem, tandem ad paternam domum postliminio reversum, universamque ejus miseriam, famem, dedecus, opprobria, et quidquid apud exteros pertulit, adduximus in medium, ut hoc exemplo ad sobrietatem vos redigeremus.* Hæc tam multa se retulisse dicit in illa, quam memorat, de Pentecoste homilia : quorum ne γρῦ quidem in hac occurrit. Quamobrem hæc ad aliam pertinere homiliam nemo negaverit. Neque id mirum est : tam frequenter enim conqueritur Chrysostomus de paucitate convenientium in ecclesiam, ut facile potuerit, duodecim annorum, quibus Antiochiæ concionatus est, spatio, in solemnitatibus Pentecostes eamdem querimoniam pluries repetere.

Non parva autem oritur difficultas ex enumeratione insigniorum festivitatum, quas sub initium hujus concionis commemorat : ibi namque prima, πρώτη, dicitur esse Epiphaniæ festivitas ; secunda Paschatis ; tertia Pentecostes. Quæritur vero cur Natalis Christi solemnitatem omittat Chrysostomus, et cur Epiphania prima ponatur. Cum enim certum exploratumque sit diem Natalem Christi tempore Chrysostomi Antiochiæ celebratam fuisse 25 Decembris, et Epiphaniam sexta Januarii, certe debuit ille dies Natalis in recensione memorari ; imo primas tenere : nam cum Antiocheni annum inchoarent, ut creditur, mense

πρὸ τῆς πόλεως ἐξελθόντες ἀπαντῶσιν, οἱ δὲ κατάδικοι καὶ οἱ κατακεκριμένοι ἔνδον φυλάττονται τὴν ψῆφον τὴν παρὰ τοῦ βασιλέως ἀναμένοντες· οὕτω καὶ ὅταν ὁ Κύριος παραγίνηται, οἱ μὲν παῤῥησίαν ἔχοντες εἰς μέσον αὐτῷ ἀπαντῶσι τὸν ἀέρα, οἱ δὲ κατάδικοι καὶ πολλὰ ἑαυτοῖς συνειδότες ἁμαρτήματα ἐνταῦθα ἀναμένουσι τὸν δικαστήν. Τότε καὶ ἡμεῖς ἁρπαγησόμεθα· οὐκ ἐμαυτὸν ἀριθμῶν εἰς τὴν ψῆφον τῶν ἁρπαζομένων [456] εἶπον, ἡμεῖς· οὐχ οὕτως ἀναίσθητός εἰμι καὶ ἀγνώμων, ὡς ἀγνοεῖν τὰ οἰκεῖα ἁμαρτήματα. Εἰ γὰρ μὴ συνταράξαι ἐφοβούμην τὴν ἡδονὴν τῆς παρούσης ἑορτῆς, κἂν ἐδάκρυσα πικρὸν ταύτης ἀναμνησθεὶς τῆς φωνῆς, ἐπειδὴ καὶ τῶν οἰκείων ἁμαρτιῶν ἐμνήσθην. Ἐπειδὴ δὲ οὐ βούλομαι συγχεῖν τῆς παρούσης ἑορτῆς τὴν εὐφροσύνην, ἐνταῦθα καταλύσω τὸν λόγον, ἀχμάζουσαν ὑμῖν τῆς ἡμέρας ἐκείνης τὴν μνήμην ἐπαφείς, ἵνα μήτε ὁ πλούσιος ἐπὶ τῷ πλούτῳ χαίρῃ, μήτε ὁ πένης ἐπὶ τῇ πενίᾳ ταλανίζῃ ἑαυτόν· ἀλλ' ἕκαστος, ἀφ' ὧν ἑαυτῷ σύνοιδεν, ἢ τοῦτο ἢ ἐκεῖνο ποιῇ. Οὔτε γὰρ ὁ πλούσιος μακάριος, οὔτε ὁ πένης ἐλεεινός· ἀλλ' ὃς ἐὰν τῆς ἁρπαγῆς ἐκείνης καταξιωθῇ τῆς ἐν νεφέλαις, μακάριος καὶ τρισμακάριος, κἂν ἁπάντων πενέστατος ᾖ ὥσπερ οὖν ὁ ἐκπεσών, ἐλεεινὸς καὶ τρισάθλιος, κἂν ἁπάντων εὐπορώτατος ᾖ. Διὰ τοῦτο λέγω, ἵνα οἱ μὲν ἐν ἁμαρτήμασιν ὄντες, θρηνῶμεν ἑαυτούς· οἱ δὲ ἐν κατορθώμασι ζῶντες, θαῤῥείτωσαν ἅπαντες· μᾶλλον δὲ, μὴ θαῤῥείτωσαν μόνον, ἀλλὰ καὶ ἀσφαλιζέσθωσαν· μήτε ἐκεῖνοι θρηνείτωσαν μόνον, ἀλλὰ καὶ μεταβαλέσθωσαν. Ἔξεστι γὰρ καὶ τὸν ἐν κακίᾳ, μεταστάντα τῆς πονηρίας, πρὸς ἀρετὴν ἐπανελθεῖν, καὶ δυνηθῆναι γενέσθαι τῶν ἐξ ἀρχῆς εὖ βεβιωκότων ἴσον· ὅπερ καὶ ἡμεῖς σπουδάσωμεν· καὶ οἱ μὲν ἀρετὴν ἑαυτοῖς συνειδότες, μενέτωσαν ἐπὶ τῆς εὐσεβείας, αὔξοντες ἀεὶ τοῦτο τὸ καλὸν κτῆμα, καὶ τῇ παῤῥησίᾳ προστιθέντες τῇ προτέρᾳ· οἱ δὲ ἀπαῤῥησίαστοι, καὶ συνειδότες ἑαυτοῖς ἁμαρτήματα πολλὰ, μεταβαλλώμεθα, ἵνα καὶ πρὸς τὴν ἐκείνων παῤῥησίαν φθάσαντες, κοινῇ πάντες καὶ ὁμοθυμαδὸν μετὰ τῆς ὀφειλομένης δόξης τὸν τῶν ἀγγέλων ὑποδεξώμεθα βασιλέα, καὶ τῆς μακαρίας εὐφροσύνης ἀπολαύσωμεν ἐκείνης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD DUAS SEQUENTES IN PENTECOSTEN HOMILIAS.

Septembri, quæ prior occurrebat ex maximis festivitatibus, erat dies Natalis Domini. Respondent alii utramque fortasse festivitatem, Natalis videlicet et Epiphaniæ, uno Epiphaniæ nomine comprehendi : vel nomen Epiphaniæ utrique commune fuisse. Verum non placet hæc solutio: siquidem hasce duas festivitates tam aperte re nomineque distinguit Chrysostomus supra, homiliis in Natalem et in Epiphaniam, ut verisimile non sit, eas hic voluisse uno comprehendere nomine. Annon fortasse verisimilius dicatur, quia festum Natalis Christi a paucissimis annis Antiochiæ celebrabatur die 25 Decembris, cum antea una Epiphaniæ solemnitas, die sexta Januarii, et Natali Christi et Magorum adorationi et Christi baptismo deputata esset, hic secundum veterem solemnitates numerandi consuetudinem, a Chrysostomo Epiphaniam memorari, diemque Natalem taceri? Hic nimirum receptus ab ævo recensendi mos fuisse videtur apud Antiochenos, ut tres insigniores solemnitates dicerent, Epiphaniam, Pascha et Pentecosten; Natalem vero Domini diem, quia nuper inductus fuerat, in hoc numero nondum ponerent, sed perinde tacerent, ut tacebant Ascensionem Domini, quam item tacet Chrysostomus.

Secunda de Pentecoste homilia nullam omnino præfert temporis notam. In hac porro Pentecosten vocat *metropolin festorum*, quia videlicet, ut ibidem adjicit, fructum illa Dominicæ promissionis affert. Non pauca contra Pneumatomachos disserit, qui Spiritus sancti majestatem et numen impetebant : ac postquam de fructibus sancti Spiritus multa protulit, sic concionem claudit.

Utriusque interpretatio Latina est Frontonis Ducæi.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ,

Καὶ διὰ τί σημεῖα νῦν οὐ γίνεται, καὶ ὅτι τὰ πραττόμενα καὶ λεγόμενα παρ' ἡμῶν ἀναγράφεται.

—

Ὁμιλία α'.

α'. Πάλιν ἑορτὴ, καὶ πάλιν πανήγυρις, καὶ πάλιν ἡ Ἐκκλησία τῷ πλήθει τῶν τέκνων κομᾷ, ἡ πολύτεκνος αὕτη καὶ φιλότεκνος. Ἀλλὰ τί τῆς φιλοτεκνίας [a] ὄφελος, ὅταν ἑορταῖς μόνον, ἀλλὰ μὴ διηνεκῶς βλέπῃ τὰ ποθούμενα πρόσωπα τῶν παιδίων, ὥσπερ ἂν εἴ τις ἱμάτιον ἔχων καλὸν μὴ συγχωροῖτο αὐτῷ χρῆσθαι [b] διηνεκῶς; Ἱμάτιον γὰρ τῆς Ἐκκλησίας τῶν παραγινομένων τὸ πλῆθός ἐστι, καθάπερ καὶ ὁ προφήτης φησὶν ἄνωθεν πρὸς τὴν Ἐκκλησίαν λέγων· *Πάντας αὐτοὺς περιθήσεις ὡς κόσμον νυμφίου, καὶ ὡς στολὴν νύμφης.* Καθάπερ οὖν γυνή τις σώφρων καὶ ἐλευθέρα κατεσταλμένον μέχρι τῶν σφυρῶν ἔχουσα τὸν χιτωνίσκον εὐπρεπεστέρα φαίνεται καὶ βελτίων· οὕτω καὶ ἡ Ἐκκλησία φαιδροτέρα σήμερον δείκνυται τὰ πλήθη τῶν ὑμετέρων σωμάτων περιβαλλομένη, καὶ κατεσταλμένον ἔχουσα τὸ ἱμάτιον. Οὐδὲν γὰρ αὐτῆς σήμερον μέρος γυμνόν ἐστιν ἰδεῖν, καθάπερ ἐν ταῖς ἔμπροσθεν ἡμέραις· ἀλλὰ τῆς γυμνώσεως ἐκείνης αἴτιοι οἱ παραγενόμενοι σήμερον μόνον, οἱ μὴ ἀεὶ τὴν μητέρα περιστέλλοντες. Ὅτι δὲ οὐ μικρὸς κίνδυνος [458] γυμνὴν τὴν μητέρα περιορᾶν, ἀναμνησθῶμεν παλαιᾶς ἱστορίας· ἀναμνησθῶμεν τοῦ γυμνὸν ἰδόντος τὸν πατέρα, καὶ δόντος κόλασιν τῆς ὄψεως ἐκείνης. Καίτοι γε ἐκεῖνος οὐκ ἐποίησε γυμνὸν τὸν πατέρα· ἀλλ' εἶδε μόνον γυμνὸν ὄντα τὸν πατέρα· καὶ οὐδὲ οὕτως ἀπηλλάγη τιμωρίας, ἐπειδὴ εἶδε μόνον· οἱ δὲ σήμερον παραγενάμενοι, καὶ πρὸ τούτου μὴ παραγενόμενοι, οὐχ ὁρῶσι γυμνὴν τὴν μητέρα, ἀλλὰ γυμνὴν ποιοῦσιν αὐτήν. Εἰ δὲ ὁ γύμνωσιν ἰδὼν οὐκ ἐξέφυγε τιμωρίαν, οἱ γύμνωσιν ποιοῦντες ποίας ἂν εἶεν συγγνώμης ἄξιοι; Ταῦτα οὐχὶ πλῆξαι βουλόμενος λέγω, ἀλλ' ἵνα φύγωμεν τὴν τιμωρίαν, ἵνα φύγωμεν τὴν κατάραν τοῦ Χάμ, ἵνα μιμησώμεθα τὴν εὐνοιαν τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ, καὶ περιστέλλωμεν καὶ ἡμεῖς ἀεὶ τὴν μητέρα τὴν ἡμετέραν. Ἰουδαϊκοῦ φρονήματός ἐστι τρὶς τοῦ ἐνιαυτοῦ φαίνεσθαι μόνον τῷ Θεῷ· πρὸς ἐκείνους εἴρηται, *Τρὶς τοῦ ἐνιαυτοῦ ὀφθήσῃ Κυρίῳ τῷ Θεῷ σου*· ἡμᾶς δὲ διαπαντὸς βούλεται ὁ Θεὸς φαίνεσθαι αὐτῷ. Καὶ ἐκείνοις δὲ τῶν τόπων τὰ διαστήματα τοσαύτας ἐποίησε μόνας γίνεσθαι τὰς συνόδους· εἰς γὰρ τόπον ἕνα συνεκέκλειστο ἡ λατρεία τότε· διὰ τοῦτο καὶ τῆς συλλογῆς καὶ τῆς παρουσίας αὐτῶν εὐαρίθμητοι ἦσαν οἱ καιροί· εἰς γὰρ τὰ Ἱεροσόλυμα ἀνάγκη προσκυνεῖν ἦν, ἀλλαχοῦ δὲ οὐδαμοῦ. Διὰ τοῦτο ἐκέλευσε τρὶς τοῦ ἐνιαυτοῦ φαίνεσθαι τῷ Θεῷ· καὶ ἀπελογεῖτο ὑπὲρ αὐτῶν τῆς ὁδοῦ τὸ διάστημα· ὑπὲρ δὲ ἡμῶν οὐδεὶς ἀπολογήσεται τρόπος. Καὶ ἐκεῖνοι μὲν πανταχοῦ τῆς γῆς διεσπαρμένοι ἦσαν. Ἦσαν γὰρ, φησὶν, *ἐν Ἱεροσολύμοις κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τοῦ ὑπὸ τὸν οὐρανόν*· ἡμεῖς δὲ μίαν πόλιν οἰκοῦμεν ἅπαντες, ὑπὸ τοῖς αὐτοῖς τείχεσι καθήμεθα, καὶ πολλάκις οὐδὲ ἑνὶ στενωπῷ διειργόμεθα τῆς ἐκκλησίας, καὶ καθάπερ οἱ μακροῖς πελάγεσι διεστῶτες, οὕτως ὀλιγάκις πρὸς τὴν ἱερὰν ταύτην ἀπαντῶμεν σύνοδον. Καὶ ἐκείνους μὲν τρεῖς μόνους ἐκέλευσε καιροὺς ἑορτάζειν, ὑμᾶς δὲ ἀεὶ τοῦτο ποιεῖν ἐκέλευσεν· ἀεὶ γὰρ ἡμῖν ἐστιν ἑορτή. Καὶ ἵνα μάθητε ὅτι ἀεὶ ἑορτὴ, λέγω τῶν ἑορτῶν τὰς ὑποθέσεις, καὶ εἴσεσθε, ὅτι καθ' ἑκάστην ἡμέραν ἑορτή ἐστι. Τοίνυν παρ' ἡμῖν ἑορτὴ πρώτη τὰ ἐπιφάνια. Τίς οὖν ἡ ὑπόθεσις τῆς ἑορτῆς; *Ἐπειδὴ Θεὸς ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη*· ἐπειδὴ ὁ Θεὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς μεθ' ἡμῶν ἦν· ἀλλὰ τοῦτο ἀεί ἐστιν. *Ἰδοὺ* γάρ, φησὶ, *μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος*· διὸ πάσας τὰς ἡμέρας τὰ ἐπιφάνια δυνατὸν τελεῖν. Τοῦ Πάσχα ἡ ἑορτὴ τί βούλεται; τίς ἡ ὑπόθεσις αὐτῆς; Τὸν θάνατον τοῦ Κυρίου καταγγέλλομεν τότε· καὶ τοῦτό ἐστι τὸ Πάσχα ἀλλ' οὐδὲ τοῦτο καιρῷ ὡρισμένῳ ποιοῦμεν. Βουλόμενος γὰρ ἡμᾶς ἀπαλλάξαι ὁ Παῦλος τῆς τῶν καιρῶν ἀνάγκης, καὶ δεικνὺς ὅτι δυνατὸν ἀεὶ Πάσχα ἐπιτελεῖν, *Ὁσάκις γὰρ ἂν ἐσθίητε*, φησὶ, *τοῦτον τὸν ἄρτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε.* Ἐπεὶ οὖν ἀεὶ δυνάμεθα τὸν θάνατον τοῦ Κυρίου καταγγέλλειν, ἀεὶ Πάσχα δυνάμεθα ἐπιτελεῖν. Βούλεσθε μαθεῖν, ὅτι καὶ αὕτη ἡ σήμερον ἑορτὴ δύναται καθ' ἑκάστην πληροῦσθαι, μᾶλλον δὲ καθ' ἑκάστην ἐστίν; Ἴδωμεν τίς ἡ ὑπόθεσις τῆς παρούσης ἑορτῆς, καὶ [459] τίνος ἕνεκεν αὐτὴν ἄγομεν. Ὅτι τὸ Πνεῦμα πρὸς ἡμᾶς ἦλθε· καθάπερ γὰρ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων ἐστὶ τῶν πιστῶν· οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ. Πόθεν δῆλον; *Ὁ ἀγαπῶν με*, φησὶ, *τὰς ἐντολάς μου τηρήσει, καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα μου, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας.* Ὥσπερ οὖν ὁ Χριστὸς εἶπε περὶ ἑαυτοῦ, ὅτι *Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος*, καὶ δυνάμεθα ἀεὶ τὰ ἐπιφάνια ἐπιτελεῖν· οὕτω καὶ περὶ τοῦ Πνεύματος εἶπεν, ὅτι εἰς τὸν αἰῶνα μεθ' ὑμῶν ἐστι, καὶ δυνάμεθα ἀεὶ πεντηκοστὴν ἐπιτελεῖν.

β'. Καὶ ἵνα μάθητε, ὅτι ἔξεστιν ἡμῖν ἀεὶ ἑορτάζειν, καὶ οὐκ ἔστι καιρὸς ὡρισμένος, οὐδὲ ἀνάγκη χρόνον συγκεκλείσμεθα, ἀκούσατε τοῦ Παύλου τί φησιν·

[a] Colb. πολυτεκνίας.
[b] Unus Colb. χρήσασθαι.

[c] Τοίνυν παρ' ἡμῖν ἑορτὴ πρώτη τὰ ἐπιφάνια.

DE SANCTA PENTECOSTE,

ET CUR JAM NON FIANT MIRACULA, QUODQUE EA, QUÆ GERUNTUR AC DICUNTUR A NOBIS, PERSCRIBANTUR.

HOMILIA I (*a*).

1. Rursus festivitas, rursusque festus conventus, ac rursus Ecclesia filiorum multitudine gloriatur, hæc multorum liberorum parens, eademque filiorum amans. Sed quid prodest amor filiorum, quandoquidem in festis solum, non perpetuo, dilectos filiorum vultus intuetur, non secus ac si quis pulchram vestem habeat, nec ei semper illa uti permittatur? Est enim Ecclesiæ vestis adstantium multitudo, sicut et ait propheta sic olim Ecclesiam alloquutus, *Omnes istos circumdabis tibi ut ornamentum sponsi, et ut stolam sponsæ* (*Isai.* 49. 18). Ut igitur honesta quædam et ingenua mulier, cui tunica sit recte composita et ad talos usque demissa, multo apparet elegantior ac præstantior : sic etiam Ecclesia multo splendidior hodie redditur, dum corporum vestrorum obtegitur multitudine, ac recte composita veste amicitur. Nulla enim pars ejus hodie nuda sicut superioribus diebus cerni potest : sed illius nudationis auctores fuerunt ii, qui hodie tantum adfuerunt, qui non perpetuo matrem obtegunt. Cæterum non mediocriter periculosum esse nudam matrem negligere probe intelligemus, si veteris historiæ recordemur; si illius qui parentem nudum vidit, recordemur, et visionis illius pœnas dedit (*Gen.* 9. 21. *sqq.*) : tametsi non ille quidem patrem nudum reddidit, sed vidit solum patrem, cum nudus esset, et ne sic quidem supplicium effugit, quia vidit solum; at qui adsunt hodie, et antea non adfuerunt, non nudam matrem cernunt, sed nudam ipsam efficiunt. Quod si is qui nudationis spectator fuit, supplicium non evitavit; qui nudationis sunt auctores, quam tandem veniam merebuntur? Hæc vero dico non ut eos percellam, sed ut pœnam effugiamus, ut maledictionem Cham effugiamus, ut Sem et Japheth benevolentiam imitemur, ac matrem nos quoque nostram semper obtegamus. Judaici sensus est ter in anno tantum apparere Deo : ad illos dictum est : *Ter in anno apparebis Domino Deo tuo* (*Exod.* 23. 17) : nos autem semper sibi vult Deus apparere. Enimvero locorum etiam intervalla efficiebant, ut tot solummodo conventus illi agerent, quod uno tum loco Dei cultus conclusus esset : propterea raro admodum congregari poterant et adesse : nam Jerosolymis adorare necesse fuit, alibi nequaquam : idcirco præcepit ut ter in anno Deo apparerent, et excusabat eos itineris intervallum; nos vero nullum excusationis genus teget. Atque illi quidem ubique locorum dispersi erant : *Erant* enim, inquit, *in Jerusalem habitantes Judæi, viri religiosi ex omni natione quæ sub cælo est* (*Act.* 2. 5); nos vero civitatem unam habitamus omnes, intra eadem mœnia considemus, ac sæpenumero ne uno quidem angiportu ab ecclesia distinguimur, et perinde ac si longa maria nos dirimerent, adeo raro conventus istos celebramus.

Semper festa possumus celebrare.—Atque illis quidem tribus solum temporibus, ut festum agerent, imperavit, nobis autem ut semper id præstemus, imperavit : semper enim nobis est festivitas. Ut igitur intelligatis festivitatem nobis semper esse, festivitatum dicam occasiones, et diebus singulis festum esse cognoscetis. Itaque prima festivitas apud nos Epiphania (*a*) : quæ porro festi est occasio? Quoniam Deus *In terris visus est, et cum hominibus conversatus est* (*Baruch.* 3. 38) : quandoquidem unigenitus Dei Filius Deus nobiscum fuit; at hoc est semper : *Ecce* enim, inquit, *vobiscum sum omnibus diebus usque ad consummationem sæculi* (*Matth.* 28. 20), ideo singulis diebus Epiphania possumus celebrare. Quid sibi vult festum Paschæ, et quænam illius est occasio? Mortem Domini tum annuntiamus, et hoc est Pascha : sed ne hoc quidem tempore definito agimus. Cum enim vellet nos Paulus a temporum necessitate liberare, atque ostendens posse nos semper Pascha celebrare : *Quotiescumque enim*, inquit, *manducabitis panem hunc, et calicem bibetis, mortem Domini annuntiabitis* (1. *Cor.* 11. 26). Quando igitur semper Domini mortem possumus annuntiare, Pascha semper possumus celebrare : Vultis nosse festivitatem hanc etiam hodiernam singulis diebus impleri posse, imo vero singulis diebus esse? Videamus, quænam illius sit occasio, et cujus rei gratia ipsam agamus. Quia nimirum Spiritus sanctus ad nos venit : nam quemadmodum cum fidelibus est hominibus unigenitus Dei Filius, ita quoque Spiritus Dei. Unde hoc constat? *Qui diligit me, mandata mea servabit : et ego rogabo Patrem, et alium paracletum dabit vobis, ut maneat vobiscum in æternum, Spiritum veritatis* (*Joan.* 14. 15-17). Ut igitur de seipso dixit Christus, *Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi*, ac semper Epiphania possumus celebrare : ita quoque de Spiritu sancto dixit, Vobiscum est in æternum, semperque possumus Pentecosten celebrare.

2. Atque ut intelligatis nobis semper festum agitare licere, neque determinatum esse tempus, neque nos temporis necessitate coarctari, quid Paulus dicat

(*a*) Collata cum Codd. Regg. 2027, 2124, et Colbert. 1711, 2413, qui pauca exhibent lectionum discrimina.

(*a*) Vide quæ hac de re diximus in Monito.

audite : *Itaque festum agitemus* (1. *Cor.* 5. 8) : tametsi non erat festum quando hæc scripsit : non erat Pascha, non erat Epiphania, non erat Pentecoste; sed indicat non tempus, sed conscientiam mundam festum efficere : nihil enim aliud est festum quam lætitia : spiritualem vero lætitiam nihil aliud gignit, quam conscientia bonorum operum : porro is, cui bona sit conscientia, et talia opera, festum agere semper potest. Hoc igitur ipsum indicans Paulus dicebat : *Itaque festum agitemus, non in fermento veteri, neque in fermento malitiæ et nequitiæ, sed in azymis sinceritatis et veritatis* (*Ibid.*). Vides ut temporum necessitate nequaquam te constrinxerit, sed ad puram habendam conscientiam fuerit cohortatus? Vellem totum in hoc sermonem consumere : qui enim quosdam post longum temporis intervallum in manus sumpserint, eos facile non dimittunt : quando igitur vos, qui post annum adestis, intra retia nostra cepimus, hodie dimittere minime volumus; sed ne sermonis de hoc festo recedatis expertes, ab hac cohortatione ad festivitatis occasionem oratio traducenda est. Multa quidem sæpenumero de cœlo in terram generi humano delapsa sunt bona : qualia vero demissa sunt hodierno die, numquam antea. Cognoscite igitur qualia prius, et qualia hodierno die, ut et utrorumque discrimen animadvertatis. *Pluit in terram manna Deus et panem cœli dedit eis* (*Psal.* 77. 24) : panem enim angelorum manducavit homo; res procul dubio magna est Deique digna benignitate : postea de cælo demissus est ignis, et Judaicum populum errantem correxit, ac sacrificium abripuit ab altari. Omnibus rursus fame tabescentibus demissa est pluvia, multamque frugum attulit ubertatem (3. *Reg.* 18; 38). Magna sunt hæc et admirabilia, sed multo majora sunt præsentia : non manna, ignis, et pluvia demissa est hodie, sed imber spiritualium donorum : nimbi desuper sunt dejecti, quibus non jam ad fruges proferendas tellus excitatur, sed naturæ persuadetur humanæ, ut virtutis fructum hominum agricolæ reddat. Quique guttam inde exceperant, naturæ suæ confestim obliviscebantur, et angelis omnis terra subito replebatur, angelis non cælestibus, sed qui humano in corpore potestatum incorporearum virtutem exhiberent. Non enim illi deorsum descenderunt, sed quod mirabilius fuit, qui deorsum erant, ad illorum virtutem ascenderunt : non enim carne deposita nudis animabus incedebant, sed naturam retinentes animi proposito angeli fiebant. Atque ut intelligas, ne priorem quidem illam pœnam fuisse pœnam, quando dixit, *Terra es, et in terram reverteris* (*Gen.* 3. 19), propterea manere te permisit in terra, ut amplius potentia Spiritus ostenderetur, quæ talia per terrenum corpus perficeret. Nam videre erat luteam linguam dæmonibus imperantem : videre erat luteam manum morbos sanantem : imo vero non manum tantum luteam videre erat; sed quod multo mirabilius erat, luteorum corporum umbras et mortem et incorporeas potestates, dæmones inquam, superantes. Nam quemadmodum apparente sole tenebræ discutiuntur, feræ latibula sua ingrediuntur, homicidæ, latrones, et tumulorum prædones ad vertices montium recurrunt : sic apparente vocemque mittente Petro, erroris tenebræ discutiebantur, recedebat diabolus, fugiebant dæmones, corporum morbi tollebantur, animarum ægritudines sanabantur, malitia omnis arcebatur, in terras virtus reducebatur. Et quemadmodum regiis ex ærariis, in quibus aurum et lapides pretiosi sunt, si quis vel minimum quid efferre potuerit eorum, quæ honorifice sunt recondita, licet unum lapillum tantum, multis opibus auget possessorem : sic ex ore apostolorum; etenim regia quædam erant æraria illorum ora, in quibus sanationum reconditus inerat thesaurus; vel unumquodque verbum exiens spirituales multas opes pariebat. Tum vere licebat intueri desiderabilia esse Domini eloquia super aurum, et lapidem pretiosum multum (*Psal.* 118. 11) : quod enim aurum non poterat, neque pretiosus lapis, hoc Petri verba faciebant. Quot enim auri talenta claudo a nativitate rectum incessum reddere potuissent? sed nunc tollere naturæ defectum potuit verbum Petri; dixit, *In nomine Jesu Christi surge et ambula* (*Act.* 3. 6), et sermo factus est opus. Vides ut desiderabilia sint super aurum et lapidem pretiosum multum? vides ut æraria fuerint regia illorum ora? Vere medici orbis terrarum fuerunt illi, et agricolæ, et gubernatores : medici quidem, quoniam ægritudines curabant : agricolæ, quoniam verbum religionis seminabant : gubernatores, quoniam erroris procellam sedabant. Idcirco nonnumquam dicit, *Euntes infirmos curate* (*Matth.* 10. 8), tamquam medicos alloquens : nonnumquam, *Ecce mitto vos metere, quod vos non laborastis* (*Joan.* 4. 38), tamquam agricolas alloquens : et alibi rursus : *Faciam vos piscatores hominum* (*Matth.* 4. 19); et Petro, *Noli timere, ex hoc jam homines eris capiens* (*Luc.* 5. 10), tamquam ad gubernatores et piscatores verba faciens; et videre erat miraculis succedentia miracula. Etenim natura nostra ante decem dies ad regium thronum ascendit, et hodierno die Spiritus sanctus ad naturam nostram descendit; primitias nostras Dominus in cælum evexit, et Spiritum sanctum demisit. Alter est Dominus, qui hæc dona distribuit; nam Spiritus sanctus est Dominus, et dispensationem nostra causa susceptam Pater et Filius et Spiritus sanctus inter se diviserunt : nondum decem elapsi dies erant, ex quo Christus ascenderat, et spiritualia nobis dona misit, reconciliationis illius munera. Nam ut ambigeret nemo et quæreret, quid tandem in cælos ascendens Christus egisset; num Patri nos reconciliasset? num propitium ipsum reddidisset? ut nobis ostenderet se naturæ illum nostræ placatum reddidisse, confestim nobis reconciliationis illius dona misit. Cum enim uniti sunt et reconciliati inter se inimici, post reconciliationem statim sequuntur invitationes, convivia et munera. Misimus ergo nos fidem, et inde Spiritus dona recepimus : misimus obedientiam, et justitiam recepimus.

3. *Spiritus sancti donum est donum reconciliationis.* —

Ὥστε ἑορτάζωμεν. Καίτοι οὐκ ἦν τότε ἑορτὴ, ὅτε ταῦτα ἔγραφεν· οὐκ ἦν Πάσχα, οὐκ ἦν ἐπιφάνια, οὐκ ἦν πεντηκοστή· ἀλλὰ δεικνὺς, ὅτι οὐ καιρὸς ποιεῖ ἑορτὴν, ἀλλὰ συνειδὸς καθαρόν· ἑορτὴ γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ εὐφροσύνη· εὐφροσύνην δὲ πνευματικὴν καὶ νοερὰν οὐδὲν ἄλλο ποιεῖ, ἀλλ' ἢ συνειδὸς πράξεων ἀγαθῶν· ὁ δὲ συνειδὸς ἔχων ἀγαθὸν καὶ πράξεις τοιαύτας, ἀεὶ ἑορτάζειν δύναται. Τοῦτο οὖν αὐτὸ δεικνὺς ὁ Παῦλος ἔλεγεν· *Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.* Ὁρᾷς πῶς οὐ καιρῶν σε κατέδησεν ἀνάγκη, ἀλλὰ συνειδὸς καθαρὸν ἔχειν παρεκελεύσατο; Ἐβουλόμην πᾶσαν τὴν διάλεξιν εἰς τοῦτο καταναλῶσαι· οἱ γὰρ διὰ χρόνου τινὰς λαβόντες εἰς τὰς χεῖρας τὰς ἑαυτῶν οὐκ εὐκόλως αὐτοὺς ἀφιᾶσιν· ἐπεὶ οὖν καὶ ὑμᾶς ἡμεῖς τοὺς δι' ἐνιαυτοῦ παραγινομένους εἴσω τῶν δικτύων ἐλάβομεν τῶν ἡμετέρων, οὐ βουλόμεθα ἀφεῖναι τήμερον, ἀλλ' ἵνα μὴ κενοὶ τῶν περὶ τῆς ἑορτῆς ἀναχωρήσητε λόγων, ἀπὸ τῆς παραινέσεως ταύτης ἐπὶ τὴν ὑπόθεσιν τῆς ἑορτῆς ἀγαγεῖν χρὴ τὴν διάλεξιν [a]. Πολλὰ μὲν οὖν πολλάκις ἐξ οὐρανοῦ κατῆλθεν εἰς τὴν γῆν ἀγαθὰ τῷ κοινῷ τῶν ἀνθρώπων γένει· οἷα δὲ σήμερον, οὐδέποτε κατηνέχθη πρὸ τούτου. Μάθετε γοῦν οἷα τὰ πρότερα, οἷα τὰ σήμερον, ἵνα καὶ ἑκατέρων ἴδητε τὴν διαφοράν. *Ἔβρεξεν ὁ Θεὸς μάννα ἐπὶ τὴν γῆν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς·* ἄρτον γὰρ ἀγγέλων ἔφαγεν ἄνθρωπος· μέγα ὄντως καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἄξιον. Μετ' ἐκεῖνο κατηνέχθη πῦρ, καὶ πλανώμενον τὸν Ἰουδαϊκὸν δῆμον διώρθωσε, καὶ ἥρπασε τὴν θυσίαν ἀπὸ τοῦ βωμοῦ κατηνέχθη πάλιν ὑετὸς λιμῷ τηκομένων ἁπάντων, καὶ πολλὴν τὴν εὐετηρίαν εἰργάσατο. Μεγάλα ταῦτα καὶ θαυμαστά· ἀλλὰ τὰ παρόντα πολλῷ μείζονα· οὐ γὰρ μάννα καὶ πῦρ καὶ ὑετὸς κατηνέχθη σήμερον, ἀλλ' ὄμβρος χαρισμάτων πνευματικῶν· νιφάδες ἠνέχθησαν ἄνωθεν, οὐχὶ τὴν γῆν πρὸς καρποφορίαν ἐγείρουσαι, ἀλλὰ τὴν ἀνθρωπίνην πείθουσαι φύσιν τὸν καρπὸν τῆς ἀρετῆς τῷ τῶν ἀνθρώπων ἀποδοῦναι [460] γεωργῷ. Καὶ οἱ ῥαγίδα ἐκεῖθεν δεξάμενοι εὐθέως τῆς φύσεως ἐπελανθάνοντο τῆς ἑαυτῶν, καὶ ἐξαίφνης ἀγγέλων ἐπληροῦτο πᾶσα ἡ γῆ· ἀγγέλων οὐχὶ ἐπουρανίων, ἀλλ' ἐν ἀνθρωπίνῳ σώματι τῶν ἀσωμάτων δυνάμεων τὴν ἀρετὴν ἐπιδεικνυμένων. Οὐ γὰρ ἐκεῖνοι κάτω κατέβησαν, ἀλλ' ὃ θαυμαστότερον ἦν, οἱ κάτω πρὸς τὴν ἀρετὴν ἀνέβησαν τὴν ἐκείνων· οὐ γὰρ τὴν σάρκα ῥίψαντες γυμναῖς ταῖς ψυχαῖς περιῆεσαν, ἀλλὰ μένοντες ἐν τῇ φύσει, τῇ προαιρέσει ἄγγελοι ἐγένοντο. Καὶ ἵνα μάθῃς, ὅτι οὐδὲ ἡ προτέρα τιμωρία τιμωρία ἦν, ὅτε εἶπεν, ὅτι *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, διὰ τοῦτό σε ἀφῆκε μένειν ἐν τῇ γῇ, ἵνα μειζόνως ἡ τοῦ Πνεύματος δειχθῇ δύναμις. διὰ χοϊκοῦ σώματος τοιαῦτα ἐργαζομένη. Ἦν γὰρ ἰδεῖν γλῶτταν πηλίνην δαίμοσιν ἐπιτάττουσαν· ἦν ἰδεῖν χεῖρα πηλίνην ἰωμένην νοσήματα· μᾶλλον δὲ οὐ χεῖρα πηλίνην μόνον ἦν ἰδεῖν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, πηλίνων σωμάτων σκιὰς καὶ θανάτου καὶ δυνάμεων ἀσωμάτων περιγενομένας, (a) τῶν δαιμόνων λέγω. Καθάπερ γὰρ ἡλίου φανέντος ἐλαύνεται τὸ σκότος, καταδύεται θηρία πρὸς τοὺς οἰκείους φωλεούς, ἀνδροφόνοι καὶ λῃσταὶ καὶ τυμβωρύχοι πρὸς τὰς κορυφὰς τῶν ὀρέων ἀνατρέχουσιν· οὕτω Πέτρου φανέντος καὶ φωνὴν ἀφιέντος, ἠλαύνετο τὸ σκότος τῆς πλάνης, ἀνεχώρει διάβολος, ἐδραπέτευον δαίμονες, ἀνῄρητο παθήματα σωμάτων, ἐθεραπεύετο νοσήματα ψυχῶν, ἠλαύνετο κακία πᾶσα, ἀρετὴ πρὸς τὴν γῆν ἐπανήγετο. Καὶ καθάπερ ἐκ ταμιείων βασιλικῶν ἐχόντων χρυσίον καὶ λίθους τιμίους κἂν μικρόν τις δυνηθῇ ἐξενεγκεῖν τῶν ἀποκειμένων ἐνδόξως [b], κἂν ἕνα λίθον μόνον, πολὺν ἐργάζεται τὸν πλοῦτον τῷ κατεχομένῳ [c]· οὕτω καὶ ἀπὸ τῶν στομάτων τῶν ἀποστολικῶν· ταμιεῖα γὰρ βασιλικὰ ἦν τὰ στόματα ἐκείνων θησαυρὸν ἰαμάτων ἔχοντα ἀποκείμενον· καὶ ἕκαστον ῥῆμα ἐξιὸν πολὺν εἰργάζετο πλοῦτον πνευματικόν. Ἦν τότε ἀληθῶς ἰδεῖν, ὅτι τὰ λόγια Κυρίου ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· ὅπερ γὰρ οὐκ ἠδύναντο χρυσὸς, οὐδὲ λίθος τίμιος, τοῦτο ἐποίει τὰ ῥήματα Πέτρου. Πόσα γὰρ τάλαντα χρυσίου τὸν χωλὸν ἐκ γενετῆς διορθώσασθαι ἴσχυον; Ἀλλὰ τὸ ῥῆμα Πέτρου ἴσχυσε τῆς φύσεως ἀνελεῖν ταύτην τὴν πήρωσιν. Εἶπεν, *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι, καὶ περιπάτει*, καὶ ὁ λόγος ἔργον ἐγένετο. Εἶδες πῶς ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν; εἶδες πῶς ταμιεῖα βασιλικὰ ἦν ἐκείνων τὰ στόματα; Οὕτως ἰατροὶ τῆς οἰκουμένης ἐκεῖνοι, καὶ γεωργοὶ, καὶ κυβερνῆται· ἰατροὶ μὲν, ἐπειδὴ νοσήματα ἐθεράπευον· γεωργοὶ δὲ, ἐπειδὴ τὸν λόγον τῆς εὐσεβείας κατέσπειρον· κυβερνῆται δὲ, ἐπειδὴ τὸ κλυδώνιον τῆς πλάνης ἔπαυσαν. Διὰ τοῦτο ποτὲ μὲν φησι· *Πορευθέντες ἀσθενοῦντας θεραπεύετε*, ὡς πρὸς ἰατροὺς διαλεγόμενος· ποτὲ δὲ, *Ἰδοὺ ἀποστέλλω ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε*, ὡς πρὸς γεωργοὺς διαλεγόμενος· καὶ πάλιν ἀλλαχοῦ· *Ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων*· καὶ τῷ Πέτρῳ, *Μὴ φοβοῦ*, φησὶν, *ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν*, ὡς πρὸς κυβερνήτας καὶ ἁλιεῖς ὁμιλῶν· καὶ ἦν ἰδεῖν θαύματα ἐπὶ θαύμασι. Καὶ γὰρ ἡ φύσις ἡ ἡμετέρα πρὸ δέκα ἡμερῶν εἰς τὸν [461] θρόνον ἀνέβη τὸν βασιλικὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατέβη σήμερον πρὸς τὴν φύσιν τὴν ἡμετέραν· ἀνήνεγκεν ὁ Κύριος τὴν ἀπαρχὴν τὴν ἡμετέραν, καὶ κατήνεγκε τὸ Πνεῦμα τὸ ἅγιον. Ἕτερος Κύριος διανέμων τὰ δῶρα ταῦτα· καὶ γὰρ τὸ Πνεῦμα Κύριός ἐστι, καὶ διενείμαντο τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. Οὕπω δέκα ἡμέρας εἶχεν ἀνελθὼν ὁ Χριστὸς, καὶ χαρίσματα ἡμῖν ἔπεμψε πνευματικὰ, δῶρα τῆς καταλλαγῆς ἐκείνης. Ἵνα γὰρ μηδεὶς ἀμφιβάλλῃ, καὶ διαπορῇ τί ποτε ἄρα ἂν ἀνελθὼν ὁ Χριστὸς ἐποίησεν· ἆρα κατήλλαξε τὸν Πατέρα; ἆρα ἵλεων αὐτὸν εἰργάσατο; βουλόμενος ἡμῖν δηλῶσαι, ὅτι κατήλλαξεν αὐτὸν τῇ φύσει τῇ ἡμετέρᾳ, τὰ δῶρα τῆς καταλλαγῆς ἔπεμψεν ἡμῖν εὐθέως. Τῶν γὰρ ἐχθρῶν ἐνουμένων καὶ καταλλαγέντων ἀλλήλοις, μετὰ τὴν καταλλαγὴν εὐθὺς ἐφέπονται αἵ τε φιλοτησίαι καὶ δεξιώσεις καὶ τὰ χαρίσματα. Ἐπέμψαμεν τοίνυν ἡμεῖς πίστιν, καὶ ἐλάβομεν ἐκεῖθεν χαρίσματα· ἐπέμψαμεν ὑπακοὴν, καὶ ἐλάβομεν δικαιοσύνην.

[a] Alii τὴν διδασκαλίαν.

[b] Fort. ἐνδότερον vel ἐνδομύχως.
[c] Unus τῷ δεχομένῳ.

γ'. Καὶ ἵνα μάθητε, ὅτι τῆς καταλλαγῆς τοῦ Θεοῦ δῶρόν ἐστι τὸ δοθῆναι τὸ Πνεῦμα τὸ ἅγιον, ἀπὸ τῶν Γραφῶν ὑμᾶς πεῖσαι πειράσομαι, πρότερον ἀπὸ τοῦ ἐναντίου φανερὸν ποιῶν τὸν λόγον, καὶ δεικνὺς ὅτι ἀναστέλλει τοῦ Πνεύματος τὴν χάριν, ἐπειδὰν ἡμῖν ὀργίζηται· ἵνα ὅταν πεισθῇς, ὅτι τῆς ὀργῆς αὐτοῦ τεκμήριον τὸ μὴ εἶναι Πνεῦμα ἅγιον, καὶ ἴδῃς πάλιν Πνεῦμα καταπεμπόμενον, μάθῃς ὅτι εἰ μὴ κατηλλάγη, οὐκ ἂν ἔπεμψε Πνεῦμα ἅγιον. Πόθεν οὖν εἰσόμεθα τοῦτο; Ὁ Ἠλὶ πρεσβύτης ἄνθρωπος ἦν, τὰ μὲν ἄλλα ἐπιεικὴς καὶ σώφρων, παίδων δὲ πονηρίαν οὐκ εἰδὼς διορθώσασθαι, ἀλλὰ πέρα τοῦ μέτρου φιλῶν τὰ ἔκγονα. Ἀκούετε ὅσοι παῖδας ἔχετε, ὥστε μεμετρημένην ποιεῖσθαι τὴν φιλίαν καὶ τὴν αἰδῶ. Ὁ γὰρ Ἠλὶ ἐντεῦθεν παροξύνας τὸν Θεὸν, εἰς ὀργὴν αὐτὸν ἔρριψε τοσαύτην, ὡς ἅπαν αὐτὸν ἀποστραφῆναι τὸ ἔθνος. Δεικνὺς τοίνυν ὁ ταῦτα γράψας, ὅτι σφόδρα αὐτοὺς ἀπέστραπτο ὁ Θεὸς, ἔλεγε· *Ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα*, τίμιον ἐνταῦθα τὸ σπάνιον λέγων· διὰ γὰρ τούτων ἐδήλωσεν, ὅτι τὰ τῆς προφητείας ἐσπάνιζε τότε. Πάλιν θρηνῶν ἄλλος καὶ ἀποδυρόμενος ἐπὶ τῇ ὀργῇ τοῦ Θεοῦ ἔλεγεν· *Οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης ἐν τῷ καιρῷ τούτῳ*· καὶ πάλιν ὁ εὐαγγελιστής φησιν· *Οὐδέπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη*. Ἐπειδὴ γὰρ οὐδέπω ἐσταυρώθη, φησὶν, οὐκ ἦν Πνεῦμα ἅγιον ἐν τοῖς ἀνθρώποις δοθέν· τὸ γὰρ, ἐσταυρώθη, ἐστὶν Ἐδοξάσθη. Εἰ γὰρ καὶ φύσει τὸ πρᾶγμα ἐπονείδιστον, ἀλλ' ἐπειδὴ ὑπὲρ τῶν φιλουμένων ἐγένετο, δόξαν αὐτὸ καλεῖ ὁ Χριστός. Καὶ τίνος ἕνεκεν, εἰπέ μοι, πρὸ τοῦ σταυροῦ οὐκ ἐδόθη τὸ Πνεῦμα; Ὅτι ἐν ἁμαρτίαις ἦν ἡ οἰκουμένη, ἐν προσκρούσμασι, καὶ ἔχθρᾳ, καὶ ἀτιμίᾳ· οὐδέπω τοῦ ἁμνοῦ προσενεχθέντος τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου. Ἐπεὶ οὖν οὐδέπω [462] ἦν ὁ Χριστὸς σταυρωθεὶς, οὐδέπω ἦν καταλλαγὴ γενομένη· τῆς δὲ καταλλαγῆς μηδέπω γενομένης, εἰκότως οὐδὲ τὸ Πνεῦμα ἐπέμπετο, ὥστε καταλλαγῆς τεκμήριον τὸ Πνεῦμα ἀποσταλῆναι. Διὰ τοῦτο καὶ ὁ Χριστός φησι· *Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ· ἐὰν μὴ ἀπέλθω*, καὶ καταλλάξω τὸν Πατέρα, φησὶν, οὐ πέμπω ὑμῖν τὸν παράκλητον. Εἴδετε διὰ πόσων ἀπεδείξαμεν ὑμῖν, ὅτι τῆς ὀργῆς τοῦ Θεοῦ σημεῖόν ἐστι τὸ μὴ εἶναι Πνεῦμα ἅγιον ἐν ἀνθρώποις; *Ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα· Οὐκ ἔστι γὰρ ἄρχων οὐδὲ προφήτης ἐν τῷ καιρῷ τούτῳ· Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ*. Οὐκοῦν σημεῖόν ἐστι τῆς ὀργῆς τοῦ Θεοῦ τὸ μὴ εἶναι Πνεῦμα ἅγιον. Ὅταν ἴδῃς Πνεῦμα ἅγιον καταπεμπόμενον δαψιλῶς, μηδὲν λοιπὸν ἀμφιβάλλῃς περὶ τῆς καταλλαγῆς. Καὶ ποῦ, φησὶν, ἔστι Πνεῦμα ἅγιον νῦν; Τότε μὲν γὰρ καλῶς λέγει, ὅτε σημεῖα ἐγίνετο, καὶ νεκροὶ ἠγείροντο, καὶ λεπροὶ πάντες ἐκαθαίροντο· νῦν δὲ πόθεν δείξομεν, ὅτι πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον ἡμῖν; Μὴ δεῖσητε· ἀποδείκνυμι γὰρ, ὅτι καὶ νῦν Πνεῦμα ἅγιόν ἐστιν ἐν ἡμῖν. Πῶς καὶ τίνι τρόπῳ; Καὶ γὰρ εἰ μὴ Πνεῦμα ἅγιόν ἐστιν ἐν ἡμῖν, πῶς ἂν οὗτοι οἱ κατὰ τὴν ἱερὰν νύκτα ταύτην φωτισθέντες τῶν ἁμαρτιῶν ἀπηλλάγησαν; οὐδὲ γὰρ ἔστιν ἁμαρτημάτων ἀπαλλαγῆναι ἄνευ τῆς τοῦ Πνεύματος ἐνεργείας. Ἀκούσατε γοῦν τοῦ Παύλου λέγοντος· *Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις ποικίλαις· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου*· καὶ πάλιν ἀλλαχοῦ· *Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὐ κλέπται, οὐ πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἁρπαγες βασιλειαν Θεοῦ [οὐ] κληρονομήσουσιν*. Εἶδες ἅπαντα τὰ εἴδη τῆς κακίας; *Καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε*. Πῶς; τοῦτο γὰρ τὸ ζητούμενον, εἰ δι' τοῦ ἁγίου Πνεύματος τὴν κακίαν ἀπεθέμεθα. Οὐκοῦν ἄκουσον· *Ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν*. Εἶδες ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τὴν κακίαν ἅπασαν ἐκείνην ἀπήλειψε;

δ'. Ποῦ νῦν εἰσιν οἱ βλασφημοῦντες τοῦ Πνεύματος τὴν ἀξίαν; Εἰ μὲν γὰρ μὴ ἀφίησιν ἁμαρτήματα, εἰκῇ παραλαμβάνεται εἰς τὸ βάπτισμα· εἰ δὲ ἀφίησιν ἁμαρτήματα, εἰκῇ βλασφημεῖται ὑπὸ τῶν αἱρετικῶν. Εἰ μὴ Πνεῦμα ἦν ἅγιον, Κύριον Ἰησοῦν εἰπεῖν οὐκ ἠδυνάμεθα· *Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ*. Εἰ μὴ Πνεῦμα ἦν ἅγιον, τὸν Θεὸν παρακαλέσαι οὐκ ἠδυνάμεθα οἱ πιστοί· λέγομεν γὰρ, *Πάτερ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς*. Ὥσπερ οὖν Κύριον καλέσαι οὐκ ἠδυνάμεθα, οὕτως [463] οὐδὲ Πατέρα τὸν Θεὸν καλέσαι ἠδυνάμεθα. Πόθεν δῆλον; Ἐκ τοῦ αὐτοῦ ἀποστόλου λέγοντος, *Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον, Ἀββᾶ ὁ Πατήρ*. Ὥστε ὅταν καλέσῃς τὸν Πατέρα, ἀναμνήσθητι, ὅτι τοῦ Πνεύματος τὴν ψυχὴν κινοῦντος ἠξιώθης τῆς προσηγορίας ἐκείνης. Εἰ μὴ Πνεῦμα ἦν, λόγος σοφίας καὶ γνώσεως ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἦν· *Ὧ μὲν γὰρ δίδοται διὰ τοῦ Πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως*. Εἰ μὴ Πνεῦμα ἅγιον ἦν, ποιμένες καὶ διδάσκαλοι ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἦσαν· καὶ γὰρ οὗτοι διὰ τοῦ Πνεύματος γίνονται, καθὼς καὶ ὁ Παῦλός φησιν· *Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους*. Ὁρᾷς ὅτι καὶ τοῦτο διὰ τοῦ Πνεύματος; Εἰ μὴ Πνεῦμα ἅγιον ἦν ἐν τῷ κοινῷ τούτῳ πατρὶ καὶ διδασκάλῳ, οὐκ ἂν ὅτε πρὸ μικροῦ ἀνέβη ἐπὶ τὸ ἱερὸν βῆμα τοῦτο, καὶ πᾶσιν ὑμῖν ἔδωκεν εἰρήνην, καὶ ἐπεφθέγξασθε αὐτῷ κοινῇ πάντες, *Καὶ τῷ Πνεύματί σου*· διὰ τοῦτο οὐκ ἀναβαίνοντι μόνον, οὐδὲ διαλεγομένῳ πρὸς ὑμᾶς, οὐδὲ εὐχομένῳ ὑπὲρ ὑμῶν ταύτην ἐπιφθέγγεσθε τὴν ῥῆσιν, ἀλλ' ὅταν παρὰ τὴν ἱερὰν ταύτην ἑστήκῃ τράπεζαν, ὅταν τὴν φρικτὴν ἐκείνην θυσίαν ἀναφέρειν μέλλῃ· ἴσασι γὰρ οἱ μεμυημένοι τὸ λεγόμενον· οὐ πρότερον ἅπτεται τῶν προκειμένων, ἕως ἂν ὑμῖν αὐτὸς ἐπεύξηται τὴν παρὰ τοῦ Κυρίου χάριν, καὶ ὑμεῖς ἐπιφθέγξησθε αὐτῷ, *Καὶ τῷ Πνεύματί σου*, διὰ τῆς ἀποκρίσεως αὐτῆς

Atque ut intelligatis reconciliationis Dei donum esse, quod Spiritus sanctus est datus, ex Scripturis id persuadere vobis conabor : ac primum a contrariis probationem rei petam, et ostendam, cum iratus est, eum Spiritus gratiam inhibere : ut cum credideris ejus iræ argumentum esse, quod non adsit Spiritus sanctus, rursusque demissum videris Spiritum, discas, nisi reconciliatus fuisset, Spiritum sanctum nequaquam illum fuisse missurum. Unde igitur hoc intelligemus? Heli senex vir fuit, alias quidem æquus et probus, sed qui filiorum improbitatem nesciret corrigere, verum ultra modum liberos amaret. Audite quotquot filios habetis, ut amori vestro pudorique modum faciatis : hinc enim Heli cum Deum irritasset, in tantam illum iracundiam impulit, ut totam gentem fuerit aversatus. Itaque ut indicaret is, qui hæc scripsit, Deum illos admodum aversatum esse, dicebat : *Verbum erat pretiosum : et non erat visio distinguens* (1. *Reg.* 3. 1) : pretiosum hoc loco rarum appellans : per hæc enim ostendit rarum fuisse tum donum prophetiæ. Ac rursus lugens alius et lamentans ob iram Dei dicebat, *Et non est in hoc tempore princeps, neque propheta* (*Dan.* 3. 38); et rursus ait evangelista : *Nondum enim erat Spiritus sanctus : quia Jesus nondum erat glorificatus* (*Joan.* 7. 39). Quoniam enim nondum fuerat crucifixus, non erat Spiritus sanctus in hominibus datus : illud quippe, *glorificatus*, idem valet, quod crucifixus. Nam etsi res est natura sua ignominiosa, quia tamen eorum causa fiebat quos amabat, gloriam illam Christus appellat. Quare vero, dic quæso, ante passionem non est Spiritus datus? Quoniam in peccatis erat orbis terrarum, in offensionibus, odio et ignominia, cum nondum oblatus agnus esset, qui mundi tollit peccatum. Quoniam igitur nondum crucifixus fuerat Christus, reconciliatio nondum facta erat : cum vero nondum esset facta reconciliatio, merito neque Spiritus mittebatur, ita ut reconciliationis indicium Spiritus mitteretur. Propterea dicit etiam Christus, *Expedit vobis, ut ego vadam : si enim non abiero, ille non veniet* (*Joan.* 16. 7) : si non abiero, et Patrem reconciliavero, inquit, Paracletum vobis non mittam. Videtis quam multis ex locis vobis demonstrarim illud iræ divinæ signum esse, quod non sit in hominibus Spiritus sanctus? *Verbum erat pretiosum, et visio non erat distinguens* (1. *Reg.* 3. 1) : *Non enim est princeps, neque propheta in tempore isto* (*Dan.* 3. 38). *Nondum enim erat Spiritus sanctus : quia Jesus nondum erat glorificatus* (*Joan.* 7. 39). *Expedit vobis, ut ego vadam : si enim ego non abiero, ille non veniet* (*Joan.* 16. 7). Itaque signum est iræ divinæ, quod non sit Spiritus sanctus : cum copiose missum videris Spiritum sanctum, nihil de reconciliatione dubites amplius. Verum ubi nunc est Spiritus sanctus? dicet aliquis. Nam tum quidem recte dicit, cum signa fiebant, et mortui suscitabantur, et leprosi omnes mundabantur : jam vero unde planum faciemus adesse nobis Spiritum sanctum? Nolite timere ; ostendam enim in nobis esse nunc quoque Spiritum sanctum. Qua tandem ratione? nam si non esset in nobis Spiritus sanctus, quomodo isti, qui hac sacra nocte illuminati sunt, a peccatis liberari potuissent? Non enim absque Spiritus efficacitate possumus a peccatis liberari, quod quemadmodum doceat Paulus audite. *Eramus enim aliquando et nos insipientes, increduli, errantes, servientes desideriis variis : cum autem benignitas et humanitas apparuit Salvatoris nostri Dei, non ex operibus justitiæ, quæ fecimus nos, sed secundum misericordiam suam salvos nos fecit, per lavacrum regenerationis et renovationis Spiritus sancti* (*Tit.* 3. 3-5) : et rursus alibi, *Nolite errare : neque fornicarii, neque idololatræ, neque adulteri, neque molles, neque masculorum concubitores, neque fures, neque avari, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt* (1. *Cor.* 6. 9-10). Vides omnia genera improbitatis? *Et hæc quidem fuistis ; sed abluti estis, sed sanctificati estis, sed justificati estis.* Quo pacto? hoc enim est, quod quæritur, num per Spiritum sanctum nequitiam deposuerimus. Audi ergo : *Sed sanctificati estis, sed justificati estis in nomine Domini nostri Jesu Christi, et in Spiritu Dei nostri* (*Ib. v.* 11). Videsne Spiritum sanctum omnem illam improbitatem delevisse?

4. *Hæretici in Spiritum S. blasphemabant.* — Ubi nunc sunt, qui Spiritus majestatem blasphemant? Si enim peccata non dimittit, frustra accipitur in baptismate; si peccata dimittit, frustra blasphemiis ab hæreticis incessitur. Si non esset Spiritus sanctus, Dominum Jesum dicere non possemus : *Nemo enim potest dicere Dominum Jesum, nisi in Spiritu sancto* (1. *Cor.* 12. 3). Si non esset Spiritus sanctus, Deum orare fideles non possemus : dicimus enim *Pater noster qui es in cœlis* (*Matth.* 6. 9). Ut igitur Dominum vocare non possemus, sic neque Patrem Deum vocare possemus. Unde id constat? Ex eodem Apostolo, qui ait : *Quoniam autem estis filii, misit Deus Spiritum Filii sui in corda vestra clamantem, Abba, Pater* (*Galat.* 4. 6). Itaque dum Patrem vocas, recordare Spiritu animam commovente illa te fuisse appellatione donatum. Nisi esset Spiritus sanctus, sermo sapientiæ ac scientiæ in Ecclesia non esset : nam *Alii quidem datur per Spiritum sermo sapientiæ, alii vero sermo scientiæ* (1 *Cor.* 12. 8). Nisi esset Spiritus sanctus, pastores et doctores in Ecclesia non essent : nam et isti per Spiritum fiunt, sicut et Paulus dicit, *In quo vos Spiritus sanctus posuit pastores et episcopos* (*Act.* 20. 28). Vides hoc quoque per Spiritum fieri? Nisi esset Spiritus sanctus in hoc communi patre ac doctore (*a*), cum paulo ante sacrum hoc in tribunal ascendit, ac vobis omnibus pacem dedit, non simul omnes acclamassetis, *Et cum Spiritu tuo :* idcirco non cum ascendit tantum, neque cum vos affatur, neque cum pro vobis orat, hac illi voce acclamatis, sed cum huic sacræ mensæ assistit, cum tremendum sacrificium est oblaturus : nam quid dicam, norunt qui sunt mysteriis initiati ; non prius attingit proposita, quam vobis ipse gratiam fuerit precatus a Domino, vosque illi acclamaveritis : *Et cum Spiritu tuo*, qua responsione vo-

(*a*) Flavianum episcopum indicat.

bismet ipsis in memoriam revocatis nihil eum præstare, qui adest, neque naturæ humanæ opera esse proposita dona, sed præsentem Spiritus gratiam, et ad omnia advolantem, mysticum illud perficere sacrificium. Licet enim homo sit is, qui adest, Deus est tamen, qui per ipsum operatur. Noli ergo naturam attendere illius, quem cernis, sed gratiam ejus invisibilem considera : nihil humanum est eorum, quæ in hoc sacro geruntur sanctuario. Nisi Spiritus adesset, Ecclesia non consisteret; si vero consistit Ecclesia, dubium non est, quin adsit Spiritus.

Quare nunc signa non fiant. — Cur igitur, dicet aliquis, nunc signa non fiunt? Hic mihi vos animum diligenter attendite : a multis enim et frequenter et semper hanc mihi propositam audio quæstionem : Quare tum linguis loquebantur omnes qui baptizabantur, jam vero non item? Discamus prius, quid sit loqui linguis, ac deinde causam dicemus. Quid igitur est loqui linguis? Qui baptizabatur, statim lingua loquebatur Indorum, Ægyptiorum, Persarum, Scytharum, Thracum, ac vir unus multas linguas assumebat; et isti nunc si baptizati tum fuissent, statim illos diversis loquentes linguis audiisses. Nam Paulus invenit, ut dicitur, quosdam in Joannis baptismate baptizatos, dixitque ad eos : Si *Spiritum sanctum accepistis credentes? Dicunt illi : Sed neque si Spiritus sanctus est, audivimus* (*Act.* 19 2); statimque jussit eos baptizari; *Et cum imposuisset illis manus Paulus, venit Spiritus sanctus super eos, et loquebantur linguis omnes* (*Ibid. v.* 6). Cur igitur subducta est, et ex hominibus sublata nunc illa gratia? Non quod ignominia nos afficiat Deus, sed quod honorem etiam deferat. Quo tandem pacto? ego dicam. Stolidiores erant tum temporis homines, non ita pridem ab idolis abducti, ac porro crassior et stupidior mens illorum adhuc erat, omnibusque corporalibus intenti erant et addicti, nequedum incorporea illis dona in mentem venerant, neque noverant, quid esset gratia spiritualis, quæque sola fide percipitur : idcirco signa fiebant. Nam ex donis spiritualibus alia quidem invisibilia sunt, et sola fide comprehenduntur : alia vero signum quoddam sensibus objectum exhibent ad faciendam fidem infidelibus. Exempli causa, remissio peccatorum res est spiritualis, invisibile donum est : quomodo enim peccata nostra purgentur, carnis oculis non videmus. Quid ita? Quoniam anima est, quæ purgatur; at corporis oculis nequaquam cernitur anima. Est igitur spirituale donum quoddam purgatio peccatorum, quæ corporis oculis patere non potest; at variis loqui linguis est illud quidem spiritualis etiam Spiritus operationis : verumtamen sensibus objectum signum præbet, quodque facile ab infidelibus perspici potest : nam quæ fit intus in anima operatio, invisibilis inquam, per exteriorem linguam, quam audimus, manifestatur et ostenditur. Idcirco etiam dicit Paulus : *Unicuique autem datur manifestatio Spiritus ad utilitatem* (1. *Cor.* 12. 7). Itaque signis equidem non indigeo. Quid ita? Quippe qui absque signi largitione Domino credere didici : nam qui incredulus est, pignore indiget; ego vero credens pignore minime indigeo, neque signo : sed licet lingua non loquar, a peccatis purgatum esse me scio; at illi tum non credebant, nisi signum accepissent : propterea signa tamquam pignus quoddam fidei, qua credebant, illis dabantur. Itaque non ut fidelibus, sed ut infidelibus dabantur signa, ut fierent fideles : sic etiam ait Paulus, *Signa sunt non fidelibus, sed infidelibus* (1. *Cor.* 14. 22). Videtisne Deum signorum manifestationem subduxisse, non ut ignominia nos afficeret, sed ut honorem deferret? Nam cum fidem nostram vellet ostendere, quod absque pignoribus aut signis illi credamus, hoc fecit. Siquidem illi, nisi prius signum et pignus accepissent, ei de rebus minime apparentibus non credidissent; at ego etiam sine hoc omnem fidem exhibeo : hæc igitur causa est, cur jam signa non fiant.

5. Voluissem equidem de festivitatis occasione verba facere, ac docere, quid tandem sit Pentecoste, cur in hac festivitate donum Spiritus datum sit, cur in linguis igneis, et cur post decem dies; sed prolixiorem doctrinam esse video : quamobrem, ubi pauca quædam addidero, finem faciam dicendi. *Cum complerentur dies Pentecostes, apparuerunt illis dispertitæ linguæ tamquam ignis* (*Act.* 2. 1 *et* 3) : non ignis, sed tamquam ignis, ut nihil sensile de Spiritu sancto suspiceris. Sicut enim ad fluenta Jordanis non columba descendit, sed in specie columbæ (*Luc.* 3. 22) : ita et hic non ignis, sed in specie ignis : et rursus superius ait : *Tamquam advenientis spiritus vehementis* (*Act.* 2. 2), non spiritus vehementis, sed tamquam advenientis spiritus vehementis. Cur igitur Ezechiel quidem donum accipit prophetiæ, non in similitudine ignis, sed per librum; apostoli vero per ignem dona recipiunt? Nam de illo quidem ait Scriptura, datum fuisse in ore ejus capitulum libri, et scriptam fuisse querimoniam, et carmen, et væ : et fuisse posteriora et anteriora scripta, et comedisse illud, et factum esse in ore quasi mel dulce (*Ezech.* 2 9 *et* 3. 3). De apostolis vero non ita : sed *Apparuerunt eis linguæ tamquam ignis.* Cur igitur illic liber et literæ, hic vero lingua et ignis? Quod ille quidem abiret insectaturus peccata, calamitatesque Judaicas deploraturus; hi vero peccata orbis terrarum absumpturi exirent : propterea libellum hic accepit, qui futuras calamitates memoriæ suggereret; ignem illi accipiebant, ut orbis terrarum peccata exurerent, et cuncta delerent. Nam quemadmodum si incidat ignis in spinas, illas facile delet omnes : sic et Spiritus gratia peccata hominum absumebat. Verum stupidi Judæi, dum hæc fierent, cum illos percelli oportuisset ac tremere, denique largitorem adorare, rursus amentiam suam ostendunt, et Spiritu repletos apostolos ebrietatis accusant. *Isti* enim, inquiunt, *musto pleni sunt* (*Act.* 2. 13). Animadverte nequitiam hominum, et angelorum probitatem contemplare : nam angeli quidem cum primitias nostras ascendentes viderent, lætabantur, ac dicebant, *Attollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit rex*

ἀναμιμνήσκοντες αὐτοὺς ὅτι οὐδὲν αὐτὸς ὁ παρὼν πράττει, οὐδὲ ἀνθρωπίνης ἐστὶ φύσεως κατορθώματα τὰ προκείμενα δῶρα, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις παροῦσα καὶ πᾶσιν ἐφιπταμένη τὴν μυστικὴν ἐκείνην κατασκευάζει θυσίαν. Εἰ γὰρ καὶ ἄνθρωπός ἐστιν ὁ παρών, ἀλλ' ὁ Θεός ἐστιν ὁ ἐνεργῶν δι' αὐτοῦ. Μὴ τοίνυν πρόσεχε τῇ φύσει τοῦ ὁρωμένου, ἀλλ' ἐννόει τὴν χάριν τὴν ἀόρατον. Οὐδὲν ἀνθρώπινον τῶν γινομένων ἐν τῷ ἱερῷ τούτῳ βήματι. Εἰ μὴ Πνεῦμα παρῇν, οὐκ ἂν συνέστη ἡ Ἐκκλησία· εἰ δὲ συνίσταται ἡ Ἐκκλησία, εὔδηλον ὅτι τὸ Πνεῦμα πάρεστι.

Τίνος οὖν ἕνεκεν, φησὶ, σημεῖα οὐ γίνεται νῦν; Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε· παρὰ πολλῶν γὰρ ἀκούω τοῦτο, καὶ συνεχῶς καὶ ἀεὶ ζητούμενον· διὰ τί τότε γλώσσαις ἐλάλουν πάντες οἱ βαπτιζόμενοι, νῦν δὲ οὐκέτι; Μάθωμεν πρότερον τί τὸ λαλεῖν γλώσσαις, καὶ τότε ἐροῦμεν καὶ τὴν αἰτίαν. Τί οὖν ἐστι γλώσσαις λαλεῖν; Ὁ βαπτιζόμενος εὐθέως ἐφθέγγετο τῇ τῶν Ἰνδῶν φωνῇ, τῇ τῶν Αἰγυπτίων, τῇ τῶν Περσῶν, τῇ τῶν Σκυθῶν, τῇ τῶν Θρᾳκῶν, καὶ εἷς ἄνθρωπος πολλὰς ἐλάμβανε γλώσσας, καὶ οὗτοι οἱ νῦν εἰ ἦσαν τότε βαπτισθέντες, εὐθέως ἂν ἤκουσας αὐτῶν διαφόροις φθεγγομένων φωναῖς. Καὶ γὰρ ὁ Παῦλος, φησὶν, εὗρέ τινας βαπτισθέντας ἐν τῷ βαπτίσματι Ἰωάννου, καὶ λέγει αὐτοῖς· *Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Λέγουσιν αὐτῷ· ἀλλ' οὐδὲ εἰ ἔστι Πνεῦμα ἅγιον, ἠκούσαμεν·* καὶ εὐθέως ἐκέλευσεν αὐτοὺς βαπτισθῆναι· *Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐλάλουν ἅπαντες γλώσσαις.* Τίνος οὖν χάριν συνεστάλη, καὶ ἀνῃρέθη ἐξ ἀνθρώπων ἡ χάρις αὕτη νῦν; Οὐχὶ ἀτιμάζοντος ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ [464] καὶ σφόδρα τιμῶντος. Πῶς; ἐγὼ λέγω. Ἀνοητότερον οἱ ἄνθρωποι διέκειντο τότε, τῶν εἰδώλων προσφάτως ἀπηλλαγμένοι, καὶ παχυτέρα καὶ ἀναισθητοτέρα αὐτῶν ἡ διάνοια ἔτι ἦν, καὶ πρὸς τὰ σωματικὰ πάντα ἐπτόηντο καὶ ἐκεχήνεσαν, καὶ οὐδεμία αὐτοῖς οὐδέπω ἔννοια δωρεῶν ἀσωμάτων ἦν, οὐδὲ εἶδεσαν τί ποτέ ἐστι νοητὴ χάρις, καὶ πίστει μόνῃ θεωρουμένη· διὰ τοῦτο σημεῖα ἐγίνετο. Τῶν γὰρ χαρισμάτων τῶν πνευματικῶν τὰ μὲν ἀόρατά ἐστι, καὶ πίστει καταλαμβάνεται μόνῃ· τὰ δὲ καὶ αἰσθητὸν ἐνδείκνυται σημεῖον πρὸς τὴν τῶν ἀπίστων πληροφορίαν. Οἷόν τι λέγω· ἁμαρτιῶν ἄφεσις νοητόν ἐστι πρᾶγμα, ἀόρατόν ἐστι χάρισμα· πῶς γὰρ καθαίρονται ἡμῶν αἱ ἁμαρτίαι, οὐχ ὁρῶμεν τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς. Τί δήποτε; Ὅτι ψυχή ἐστιν ἡ καθαιρομένη· ψυχὴ δὲ ὀφθαλμοῖς σώματος οὐχ ὁρᾶται. Ἡ μὲν οὖν κάθαρσις τῶν ἁμαρτημάτων νοητὴ δωρεά τίς ἐστιν ὀφθαλμοῖς οὐ δυναμένη σώματος γενέσθαι φανερά· τὸ δὲ γλώσσαις διαφόροις λαλεῖν ἐστι μὲν καὶ αὐτὸ νοητῆς ἐνεργείας τοῦ Πνεύματος· αἰσθητὸν μέντοι παρέχεται τὸ σημεῖον, καὶ τοῖς ἀπίστοις εὐσύνοπτον. Τῆς γὰρ ἔνδον ἐν τῇ ψυχῇ γινομένης ἐνεργείας, τῆς ἀοράτου λέγω, ἡ ἔξω γλῶττα ἀκουομένη φανέρωσίς τίς ἐστι καὶ ἔλεγχος. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· *Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ συμφέρον.* Ἐγὼ μὲν οὖν νῦν χρείαν οὐκ ἔχω σημείων. Τίνος ἕνεκεν; Ὅτι καὶ χωρὶς σημείου δόσεως πιστεύειν μεμάθηκα τῷ Δεσπότῃ. Ὁ γὰρ ἀπιστῶν ἐνεχύρου δεῖται· ἐγὼ δὲ πιστεύων οὐ δέομαι ἐνεχύρου οὐδὲ σημείου· ἀλλὰ κἂν μὴ λαλήσω γλώσσῃ, οἶδα ὅτι ἐκαθάρθην ἐκ τῶν ἁμαρτιῶν. Ἐκεῖνοι δὲ τότε οὐκ ἐπίστευον, εἰ μὴ ἔλαβον σημεῖον· διὰ τοῦτο αὐτοῖς ἐδίδοτο σημεῖα, ὥσπερ ἐνέχυρον τῆς πίστεως ἧς ἐπίστευον. Ὥστε οὐχ ὡς πιστοῖς, ἀλλ' ὡς ἀπίστοις ἐδίδοτο τὰ σημεῖα, ἵνα γένωνται πιστοί· οὕτω καὶ Παῦλός φησι· *Τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις.* Ὁρᾶτε, ὅτι οὐχὶ ἀτιμάζοντος ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ τιμῶντός ἐστι τὸ συστεῖλαι τὴν τῶν σημείων ἐπίδειξιν; Βουλόμενος γὰρ δεῖξαι τὴν πίστιν ἡμῶν, ὅτι χωρὶς ἐνεχύρων καὶ σημείων αὐτῷ πιστεύομεν, τοῦτο πεποίηκεν· ἐκεῖνοι μὲν γὰρ εἰ μὴ ἔλαβον πρῶτον σημεῖον καὶ ἐνέχυρον, οὐκ ἂν αὐτῷ ἐπίστευον περὶ τῶν ἀφανῶν· ἐγὼ δὲ καὶ χωρὶς τούτου πᾶσαν ἐπιδείκνυμι πίστιν· τοῦτο οὖν αἴτιον τοῦ μὴ γίνεσθαι σημεῖα νῦν.

ε'. Ἐβουλόμην καὶ περὶ τῆς ὑποθέσεως τῆς ἑορτῆς εἰπεῖν, καὶ δεῖξαι τί ποτέ ἐστι πεντηκοστή, καὶ διὰ τί ἐν τῇ ἑορτῇ ταύτῃ τὸ χάρισμα δίδοται, καὶ διὰ τί ἐν γλώσσαις πυρίναις, καὶ διὰ τί μετὰ δέκα ἡμέρας· ἀλλ' ὁρῶ πρὸς μῆκος τὴν διδασκαλίαν ἐκτεινομένην· διὸ ὀλίγα προσθεὶς καταπαύσω τὸν λόγον· *Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός·* οὐχὶ πυρὸς, ἀλλ' ὡσεὶ πυρὸς, ἵνα μηδὲν αἰσθητὸν ὑποπτεύσῃς περὶ τοῦ Πνεύματος. Καθάπερ γὰρ ἐπὶ τῶν Ἰορδανείων ῥείθρων οὐχὶ περιστερὰ κατέβη, [465] ἀλλ' ἐν εἴδει περιστερᾶς· οὕτω καὶ ἐνταῦθα οὐχὶ πῦρ, ἀλλ' ἐν εἴδει πυρός. Καὶ πάλιν ἀνωτέρω φησίν· *Ὡσεὶ φερομένης πνοῆς βιαίας·* οὐχὶ πνοῆς βιαίας, ἀλλ' ὡς φερομένης πνοῆς βιαίας. Τίνος δὲ ἕνεκεν ὁ μὲν Ἰεζεκιὴλ οὐ δι' ὁμοιώσεως πυρὸς λαμβάνει τὸ χάρισμα τῆς προφητείας, ἀλλὰ διὰ βιβλίου, οἱ δὲ ἀπόστολοι διὰ πυρὸς λαμβάνουσι τὰ χαρίσματα; Περὶ μὲν γὰρ ἐκείνου φησὶν, ὅτι ἔδωκεν εἰς τὸ στόμα αὐτοῦ κεφαλίδα βιβλίου, καὶ ἐγγέγραπται κατάλεγμα καὶ μέλος καὶ οὐαὶ, καὶ ἦν τὰ ὀπίσω καὶ τὰ ἔμπροσθεν γεγραμμένα· καὶ ἔφαγεν αὐτὸ, καὶ ἐγένετο ἐν τῷ στόματι ὡς μέλι γλυκάζον. Περὶ δὲ τῶν ἀποστόλων οὐχ οὕτως· ἀλλ' *Ὤφθησαν αὐτοῖς γλῶσσαι ὡσεὶ πυρός.* Τίνος οὖν ἕνεκεν ἐκεῖ βιβλίον καὶ γράμματα, ἐνταῦθα δὲ γλῶσσα καὶ πῦρ; Ὅτι ἐκεῖνος μὲν ἀπῄει κατηγορήσων ἁμαρτημάτων, καὶ θρηνήσων συμφορὰς Ἰουδαϊκάς· οὗτοι δὲ ἐξῄεσαν τὰ τῆς οἰκουμένης ἁμαρτήματα δαπανήσοντες· διὰ τοῦτο ἐκεῖνος μὲν γραμματεῖον ἐλάμβανε τῶν μελλουσῶν συμφορῶν ὑπόμνησιν· οὗτοι δὲ πῦρ ἐλάμβανον, ὥστε κατακαῦσαι τὰ τῆς οἰκουμένης ἁμαρτήματα, καὶ ἀφανίσαι πάντα. Καθάπερ γὰρ πῦρ εἰς ἀκάνθας ἐμπῖπτον πάσας αὐτὰς ἀφανίσει ῥᾳδίως, οὕτω καὶ τοῦ Πνεύματος ἡ χάρις ἐδαπάνα τῶν ἀνθρώπων τὰς ἁμαρτίας. Ἀλλ' οἱ ἀναίσθητοι Ἰουδαῖοι τούτων γενομένων, δέον καταπεπλῆχθαι καὶ τρέμειν καὶ προσκυνεῖν τὸν διδόντα τὴν δωρεὰν, πάλιν τὴν οἰκείαν ἄνοιαν[a] ἐπιδείκνυνται μέθην κατηγοροῦντες τῶν πεπληρωμένων τοῦ Πνεύματος ἀποστόλων· *Οὗτοι γὰρ, φησὶ, γλεύκους μεμεστωμένοι εἰσίν.* Ἐννόησον ἀγνωμοσύνην ἀνθρώπων, καὶ σκόπησον εὐγνωμοσύνην ἀγγέλων. Οἱ μὲν γὰρ ἄγγελοι ὅτε εἶδον τὴν ἀπαρχὴν ἀναγομένην τὴν ἡμετέραν, ἔχαιρον καὶ ἔλεγον· *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης·* οἱ δὲ

[a] Reg. ἄγνοιαν.

ἄνθρωποι ἰδόντες τὴν τοῦ Πνεύματος χάριν καταβᾶσαν πρὸς ἡμᾶς λέγουσιν, ὅτι μεθύουσιν οἱ δεξάμενοι τὴν χάριν, καὶ οὐδὲ ἡ ὥρα τοῦ ἔτους αὐτοὺς ἐδυσώπησε· γλεῦκος γὰρ ἐν ἔαρος ὥρᾳ οὐκ ἂν εὑρεθείη ποτέ· τότε δὲ ἔαρ ἦν. Ἀλλ' ἐκεῖνοι μὲν ἀφείσθωσαν· ἡμεῖς δὲ σκοπῶμεν τὴν ἀντίδοσιν τοῦ φιλανθρώπου Θεοῦ. Ἔλαβε τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας ὁ Χριστὸς, καὶ ἀντέδωκεν ἡμῖν τοῦ Πνεύματος τὴν χάριν· καὶ καθάπερ ἐν μακρῷ πολέμῳ γίνεται, ὅταν μάχη λυθῇ, καὶ εἰρήνη γένηται, οἱ πρὸς ἀλλήλους ἀπεχθῶς ἔχοντες ἐνέχυρα καὶ ὅμηρα ἀλλήλοις ἀντιδιδόασιν· οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ καὶ ἐπὶ τῆς ἀνθρωπίνης ἐγένετο φύσεως· ἔπεμψεν αὐτῷ ἐνέχυρα καὶ ὅμηρα τὴν ἀπαρχὴν ἣν ἀνήνεγκεν ὁ Χριστός· ἀντέπεμψεν ἡμῖν αὐτὸς ἐνέχυρα καὶ ὅμηρα τὸ Πνεῦμα τὸ ἅγιον. Ὅτι δὲ ἐνέχυρα καὶ ὅμηρα ἔχομεν, δῆλον ἐντεῦθεν· τὰ γὰρ ἐνέχυρα καὶ ὅμηρα βασιλικοῦ γένους εἶναι χρή· διὰ τοῦτο καὶ Πνεῦμα ἅγιον ἡμῖν κατεπέμφθη, ὡς τῆς βασιλικωτάτης οὐσίας ἦν· καὶ ὁ παρ' ἡμῖν δὲ ἀνενεχθεὶς ἐκ γένους ἦν βασιλικοῦ· ἀπὸ γὰρ τοῦ σπέρματος ἦν Δαυΐδ. Διὰ τοῦτο οὐκ ἔτι δέδοικα, ὅτι ἡ ἀπαρχὴ ἡμῶν ἄνω κάθηται· διὰ τοῦτο κἂν σκύληκά μοι τις εἴπῃ ἀτελεύτητον, κἂν πῦρ [466] ἄσβεστον, κἂν ἑτέρας κολάσεις καὶ τιμωρίας, οὐ φοβοῦμαι λοιπόν· μᾶλλον δὲ φοβοῦμαι μὲν, οὐκ ἀπογινώσκω δὲ τῆς σωτηρίας τῆς ἐμαυτοῦ. Εἰ γὰρ μὴ μεγάλα ἀγαθὰ ὁ Θεὸς περὶ τοῦ γένους ἡμῶν ἐβουλεύετο, οὐκ ἂν τὴν ἀπαρχὴν ἡμῶν ἔλαβεν ἄνω. Πρὸ τούτου μὲν εἰς τὸν οὐρανὸν βλέποντες καὶ τὰς ἀσωμάτους ἐννοοῦντες δυνάμεις σαφεστέραν τὴν εὐτέλειαν ὁρῶμεν· τὴν ἡμετέραν, ἀπὸ τῆς συγκρίσεως τῶν ἄνω δυνάμεων· νῦν δὲ ὅταν βουληθῶμεν τὴν εὐγένειαν ἡμῶν ἰδεῖν, εἰς τὸν οὐρανὸν ἄνω βλέπομεν, εἰς τὸν θρόνον αὐτὸν τὸν βασιλικόν· ἐκεῖ γὰρ ἡ ἐξ ἡμῶν ἀπαρχὴ κάθηται. Οὕτω καὶ ἐλεύσεται ὁ Υἱὸς τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ κρίνων ἡμᾶς. Παρασκευαζώμεθα τοίνυν, ὥστε μὴ τῆς δόξης ἐκείνης ἐκπεσεῖν· ἥξει γὰρ πάντως καὶ οὐ χρονιεῖ ὁ κοινὸς ἡμῶν Δεσπότης· ἥξει στρατόπεδα ἐπαγόμενος, ἀγγέλων τάγματα, ἀρχαγγέλων συμμορίας, μαρτύρων φρατρίας, δικαίων χορούς, προφητῶν καὶ ἀποστόλων δήμους, καὶ ἐν μέσῳ τῶν στρατοπέδων ἀΰλων ἐκείνων ὁ βασιλεὺς φαινόμενος ἐν ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ δόξῃ.

ς'. Πάντα τοίνυν ποιῶμεν, ὥστε μὴ τῆς δόξης ἐκείνης ἐκπεσεῖν. Βούλεσθε εἴπω καὶ τὰ φοβερά; οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα διορθώσωμαι. Τότε πυρὸς ποταμὸς πρὸ τοῦ βήματος ἐκείνου σύρεται· τότε βίβλοι ἀνοίγονται· δικαστήριον ἔστη φοβερὸν καὶ φρικῶδες. Διὰ τοῦτο καθάπερ ἐν δικαστηρίῳ τὰ ὑπομνήματα τῆς ἡμετέρας ζωῆς ἀναγινώσκεται, καὶ πολλὰ περὶ τῶν βιβλίων τούτων φασὶν οἱ προφῆται. Καὶ ὁ μὲν Μωϋσῆς φησιν· *Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας·* ὁ δὲ Χριστὸς πάλιν πρὸς τοὺς μαθητὰς ἔλεγεν· *Ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς·* καὶ πάλιν ὁ προφήτης Δαυΐδ· *Ἐν τῷ βιβλίῳ σου πάντες γραφήσονται, ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς·* καὶ πάλιν· *Ἐξαλειφθήτωσαν ἐκ βιβλίου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.* Ὁρᾷς ὅτι οἱ μὲν ἐξαλείφονται, οἱ δὲ ἐγγράφονται; βούλει μαθεῖν, ὅτι οὐχ οἱ δίκαιοι ἐγγράφονται ἐν ταῖς βίβλοις ἐκείναις μόνον, ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἡμῶν ἐκεῖ ἐγγέγραπται; Ἑορτῆς καιρὸς, μάθωμεν περὶ πραγμάτων δυναμένων ἀπαλλάξαι ἡμᾶς τῆς κολάσεως· φοβερὸς ὁ λόγος, ἀλλὰ καὶ χρήσιμος καὶ λυσιτελής· ἀπαλλάττει γὰρ τῆς πείρας τῆς διὰ τῶν πραγμάτων· μάθωμεν τοίνυν ὅτι τὰ ἁμαρτήματα ἐγγράφεται, καὶ ὅπερ ἂν ἐνταῦθα φθεγξώμεθα, ἀναφέρεται εὐθέως ἐκεῖ καὶ ἐγγράφεται. Καὶ πόθεν δῆλον τοῦτο; οὐ γὰρ δεῖ ὑπὲρ τῶν τοιούτων ἁπλῶς ἀποφαίνεσθαι. Ὁ Μιχαίας φησὶ πρὸς Ἰουδαίους· *Οὐαὶ οἱ παροξύνοντες τὸν Κύριον. Καὶ πῶς, φησὶ, παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς, Πᾶς ποιῶν πονηρὸν καλὸς ἐνώπιον Κυρίου.* Οἰκετῶν ἀγνωμόνων ῥήματα· καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν· ἐν τοῖς διεφθαρμένοις, φησὶν, ἐν τοῖς μὴ δεδουλευκόσιν αὐτῷ. *Ἰδοὺ ἡμεῖς ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ μακαρίζομεν ἀλλοτρίους·* ἡμεῖς γὰρ, φησὶ, καθ' ἑκάστην δουλεύομεν, [467] καὶ ἕτεροι τῶν ἀγαθῶν ἀπολαύουσι. Τοιαῦτα καὶ δοῦλοι πολλάκις περὶ τῶν δεσποτῶν λέγουσιν· ἀλλ' ἄνθρωπον μὲν περὶ ἀνθρώπου λέγειν ταῦτα, οὐχ οὕτω δεινὸν, καίπερ ὂν δεινόν· τὸ δὲ περὶ τοῦ κοινοῦ τῆς οἰκουμένης Δεσπότου ταῦτα φθέγγεσθαι, Δεσπότου τοῦ ἐλεήμονος καὶ φιλανθρώπου, πάσης ἂν εἴη μείζονα[a] καταδίκης καὶ τῆς ἐσχάτης ἄξιον τιμωρίας. Ἀλλ' ἵνα μάθῃς, ὅτι ἐγγράφεται τὰ τοιαῦτα ῥήματα, ἄκουσον τί φησιν ὁ προφήτης· *Ἰδοὺ ταῦτα ἐγγέγραπται ἐν βίβλῳ ζώντων εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.* Ἐγγράφεται δὲ, οὐκ ἐπειδὴ ὁ Θεὸς ἀναμνήσῃ τὴν ἡμέραν, ὥσπερ ἔλεγχόν τινα καὶ κατηγορίαν εἰς μέσον παράγων τὸ βιβλίον. Τάχα κατέσεισα ὑμῶν τὴν διάνοιαν τῷ φόβῳ· οὐχὶ τὴν ὑμετέραν, ἀλλὰ τὴν ἐμαυτοῦ πρότερον. Φέρε οὖν ἐκλύσω τὸν λόγον, μᾶλλον δὲ τὸν φόβον· μᾶλλον δὲ οὐκ ἐκλύσω, ἀλλὰ παραμυθήσομαι· μενέτω γὰρ καθαίρων τὴν διάνοιαν ὑμῶν· τὸ δὲ ἀφόρητον αὐτοῦ περιέλωμεν. Πῶς οὖν αὐτὸν δυνησόμεθα περιελεῖν; Ἂν δείξωμεν, ὅτι οὐκ ἐγγράφεται μόνον, ἀλλὰ καὶ ἐξαλείφεται ἁμαρτήματα. Ἐν δικαστηρίῳ γὰρ ἅπερ ἂν ἐπὶ ὑπομνημάτων ὁ δικαζόμενος φθέγξηται, πάντως ἐγγράφεται διηνεκῶς, καὶ ἐξαλειφθῆναι οὐκ ἔνι λοιπόν· ἐν ἐκείνῳ δὲ τῷ βιβλίῳ κἂν φθέγξῃ τινὰ πονηρὰ, καὶ βουληθῇς, πάλιν ἐξαλείφεται. Πόθεν δῆλον; Ἀπὸ τῆς Γραφῆς· *Ἀπόστρεψον* γὰρ, φησὶ, *τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.* Οὐδεὶς δὲ ἐξαλείφει τὸ μὴ γεγραμμένον· ὥστε ἐπειδὴ ἐγγεγραμμένα ἦσαν, παρακαλεῖ ἐξαλειφθῆναι. Διδάσκει δὲ καὶ πῶς ἐξαλείφονται ἕτερός τις λέγων· *Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται αἱ ἁμαρτίαι.* Οὐχὶ ἐξαλείφονται μόνον, ἀλλὰ καὶ ἀποκαθαίρονται, ὥστε μηδὲ λείψανον μένειν τῆς ἁλοιφῆς. Οὐ τὰ μετὰ τὸ βάπτισμα δὲ ἐξαλείφεται μόνον, ἀλλὰ καὶ ἃ πρὸ τοῦ λουτροῦ ἐγγέγραπτο ἐξηλείφθη πάντα ἐκεῖνα τῷ τοῦ βαπτίσματος ὕδατι καὶ τῷ σταυρῷ[b] τοῦ Χριστοῦ, καθάπερ Παῦλός φησιν, ὅτι *Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ ἦν ἐναντίον ἡμῶν, καὶ αὐτὸ ἦρεν ἐκ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ.* Εἶδες πῶς ἐξηλείφθη τὸ χειρόγραφον ἐκεῖνο; καὶ οὐκ ἐξηλείφθη μόνον, ἀλλὰ καὶ διερράγη, τῶν ἥλων τοῦ

[a] Forte ἐωρῶμεν. Savil. in marg.
[a] Sic corrigendum fuit, editum enim fuerat μείζονος. Edit.

[b] Reg. 1, καὶ τῷ τοῦ σταυροῦ.

gloriæ (*Psal.* 23. 7) : homines vero descendentem ad nos Spiritus gratiam videntes dicunt ebrios esse qui gratiam receperunt, et ne anni quidem tempestas eos repressit; nam veris tempore reperiri mustum minime potest : atqui tum ver erat. Verum illi quidem relinquantur, nos autem benigni Dei retributionem consideremus. Accepit Christus primitias naturæ nostræ, ac Spiritus gratiam nobis retribuit : et quemadmodum longo in bello fit, cum dirempta pugna fuerit, et confecta pax, qui sibi invicem infensi erant, pignora mutuo sibi dant et obsides : sic et inter Deum et naturam evenit humanam : pro pignoribus et obsidibus ipsa primitias misit quas in cælum tulit Christus : nobis ille Spiritum sanctum pignoris et obsidis loco remisit. Porro nos pignora et obsides habere hinc liquet : nam ex genere regio pignora et obsides esse oportet; idcirco etiam Spiritus sanctus ad nos missus est, ut qui maxime regia sit substantia, quemadmodum et qui a nobis sursum evectus est ex genere fuit ortus regio, quippe qui Davidis esset ex semine. Quamobrem non amplius pertimesco, quandoquidem sursum primitiæ nostræ sedent : idcirco licet immortalem mihi vermem objicias, licet ignem inexstinctum, licet alias pœnas ac supplicia, non amplius reformido : imo vero reformido equidem, verumtamen de salute mea non despero. Nisi enim magna in genus nostrum congerere bona statuisset Deus, primitias nostras sursum non assumpsisset. Antea quidem nos suspicientes in cælum, incorporeas illas cogitantes virtutes, vilitatem nostram facta cum superuis virtutibus comparatione cernebamus; jam vero cum nobilitatem nostram cernere voluerimus, in cælum suspicimus, ad regium ipsum thronum : illic enim ex nobis sumptæ primitiæ considunt. Ita quoque veniet e cælis, ut nos judicet Dei Filius : quamobrem parati simus, ne ab illa gloria excidamus. Omnino enim veniet et non tardabit communis Dominus noster; veniet exercitus secum trahens, angelorum agmina, ordines archangelorum, martyrum turmas, justorum choros, prophetarum et apostolorum cœtus, et in medio spiritualium illorum exercituum ineffabili quadam et inexplicabili gloria rex circumdatus apparebit.

6. Omnem igitur operam adhibeamus, ut ab illa gloria non excidamus. Vultis dicam etiam ea, quæ terrorem incutient? non ut tristitiam afferam, sed ut ad meliorem frugem traducam. Tum flumen ignis ante tribunal illud trahitur (*Dan.* 7. 10), tunc aperiuntur libri, judicium exercetur formidabile ac tremendum : propterea tamquam in judicio vitæ nostræ diaria leguntur et commentarii, et multa de libris istis loquuntur prophetæ. Ac Moses quidem ait : *Si quidem remittis eis peccatum, remitte; sin autem, me quoque dele de libro quem scripsisti* (*Exod.* 32. 32). Christus vero rursus ad discipulos dicebat : *In hoc nolite gaudere, quod dæmonia vobis subjiciuntur : gaudete autem, quod nomina vestra scripta sunt in cælis* (*Luc.* 10. 20) : et rursus propheta David : *In libro tuo omnes scribentur : dies formabuntur; et nemo in eis* (*Psal.* 138. 16): et rursus : *Deleantur de libro viventium, et cum justis non scribantur* (*Psal.* 68. 29). Vides alios quidem deleri, alios vero inscribi? vis discere non justos modo libris in illis scribi, sed etiam peccata nostra illic esse perscripta? Festivitatis tempus est, discamus ea, quibus possumus a supplicio liberari : terribilis est oratio, sed utilis et fructuosa, siquidem impedit, ne reipsa pœnas experiamur : ergo discamus perscribi peccata, et quidquid hic loquuti fuerimus, illuc statim deferri et perscribi. Unde vero id constat? non enim talia sunt simpliciter affirmanda. Michæas [1] ad Judæos ait : *Væ qui provocatis Dominum Et quomodo*, inquiunt, *provocavimus eum? In eo quod vos dicitis : Omnis qui facit malum, bonus est in conspectu Domini* (*Malach.* 2. 17). Improborum servorum sunt ista verba, et in iis ipse sibi complacuit : in perditis, inquit, in iis, qui non servierunt ei. *Ecce custodivimus custodias ejus, et beatos dicimus alienos* (*Malach.* 3. 14. 15). Nos enim, inquit, quotidie servimus, et alii bonis potiuntur. Talia nimirum sæpenumero de dominis servi loquuntur : sed hominem quidem de homine ista dicere non ita grave est, tametsi est grave : de communi vero totius orbis terrarum Domino hæc proferre, de misericordi ac benigno Domino nulla non graviori mulcta, nullo non extremo supplicio vindicandum est. Sed ut intelligas ejusmodi verba perscribi, audi quid dicat propheta : *Ecce scripta sunt hæc in libro viventium in monumentum in conspectu Dei* (*Ib. v.* 16). Scribuntur autem, non quod Deus in memoriam revocet diem, vel tamquam criminis probandi causa et accusationis firmamentum librum proferat. Fortasse mentem vestram timore concussi; non vestram, sed meam prius. Ago igitur orationem absolvam, vel potius timorem exsolvam : imo vero non exsolvam, sed leniam; volo enim maneat, et mentem vestram purget, sed imminuam illum, ne sit intolerabilis. Quanam ergo ratione poterimus imminuere? Si non modo perscribi peccata, sed etiam deleri demonstraverimus. Nam in judicio quæcumque dixerit in commentariis perscribenda ille, qui litigat, omnino scribuntur in perpetuum, nec amplius deleri possunt; at in illo libro, licet mala quæpiam dixeris, si volueris, rursus delentur. Unde hoc liquet? Ex Scriptura. *Averte enim*, inquit, *faciem tuam a peccatis meis, et omnes iniquitates meas dele* (*Psal.* 50. 11). At nemo quod scriptum non est, delere potest : itaque quoniam scripta fuerant, deleri precatur. Docet autem et alius quidam, quonam pacto deleantur, ita dicens : *Eleemosynis et fide purgantur peccata* (*Prov.* 15. 27) : non tantum delentur, sed etiam purgantur, sic ut nec ullæ reliquiæ maneant delectionis. Neque vero quæ post baptismum scripta sunt, tantum delentur; sed etiam quæ ante lavacrum scripta fuerant, illa omnia baptismi aqua et Christi cruce delentur, sicut et Paulus ait : *Delens, quod adversus nos erat, chirographum, quod erat contrarium nobis : et ipsum tulit de medio, affigens illud cruci* (*Coloss.* 2. 14). Vides quo pacto deletum fuerit illud chirographum? ne-

[1] Sic omnes, sed est Malachias, non Michæas.

que deletum tantum, sed etiam diruptum est, cum illud crucis clavi conscidèrint, sic ut inutile redderetur. Verum illa quidem gratia et benignitate virtutis Christi crucifixi cuncta deleta sunt; quæ vero post baptismum commissa sunt, multo indigent studio, ut rursus deleantur; quandoquidem neque secundum est lavacrum, sed lacrymis indigent nostris, pœnitentia, confessione, eleemosyna, precibus, aliisque generibus omnibus pietatis: sic etiam post baptismum delentur peccata, multo cum labore et fatigatione. Omnem igitur adhibeamus diligentiam, ut ea deleamus ex hoc tempore, et in altera vita subeundis probris ac suppliciis liberemur. Licet enim sexcenta peccata commiserimus, si velimus, has omnes poterimus sarcinas peccatorum deponere. Velimus ergo; multo enim melius est ut, modico hic exantlato labore, inevitabili supplicio liberemur, quam ut ubi hoc perbrevi tempore otio ac desidiæ indulserimus, in pœnas illas æternas incidamus. Sed jam tempus est, ut quæ dicta sunt recenseamus. Objurgavimus eos, qui semel tantum per annum huc veniunt, quod denudatam esse matrem sinant; veterem illis historiam, maledictionem et benedictionem in memoriam revocavimus: de Judaicis festivitatibus disseruimus, et qua de causa ter in anno sibi apparere jubeat Deus Judæos: diximus festivitatem esse quovis tempore, Pentecosten, item Pascha, et Epiphaniam: diximus conscientiam puram efficere festivitatem, non dierum temporumve conversionem. Inde digressi sumus ad dona de cælo demissa; reconciliationis hoc indicium esse diximus: ostendimus adesse Spiritum sanctum ex remissione peccatorum, ex responsione facta pastori, ex sapientiæ scientiæque sermone, ex ordinationibus, ex mystico sacrificio: diximus obsides mutuos ac pignora nos retinere: causam addidimus, ob quam sublata nunc sunt e medio signa: tremendi postea judicii memoriam renovavimus, ac eorum qui tunc aperiuntur librorum, et quemadmodum omnia peccata nostra perscribantur: ostendimus rursus ea deleri, si velimus. Horum omnium recordamini; si vero fieri non potest ut omnium, sermonis illius de libris omnium loco recordamini, et quæcumque respouderitis, tamquam habeatis eum, qui adsit, et ea scribat, ita caute loquimini, ac semper recentem horum verborum memoriam conservate: ut eorum quidem, quorum nomina scripta sunt in libro justorum, recte factorum numerum augeatis; quorum autem multa inibi peccata sunt scripta, hic ea nemine sciente delentes divulgationem illam effugiamus. Possumus enim, ut ostendimus, adhibito studio, precibus, ac ferventi devotione, quæ scripta sunt, omnia peccata delere. Hoc igitur quovis tempore studeamus, ut cum illuc abierimus, aliquam obtinere veniam possimus, et omnes inexorabiles pœnas effugere: quibus nos utinam omnes liberatos regnum cælorum obtinere contingat, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri et Spiritui sancto gloria, honor, imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

DE SANCTA PENTECOSTE.

HOMILIA II (*a*).

1. *Pentecoste metropolis festorum.* — Magna sunt, dilectissimi, nec ulla possunt humana oratione comprehendi, quæ nobis hodierno die a benignissimo Deo impertita sunt dona. Quamobrem omnes communiter gaudeamus, et lætitia exsultantes Dominum nostrum laudemus. Festivitas enim publicusque conventus nobis est dies hodiernus. Nam quemadmodum in quatuor anni tempestatum ac solstitiorum vicissitudine alteri succedit altera: sic nimirum et in Ecclesia Domini festivitas dum festivitati succedit, ad sese mutuo nos transmittunt. Nuper itaque festum Crucis celebravimus, Passionis, Resurrectionis, ac deinde Domini nostri Jesu Christi in cælos Ascensus; hodie tandem ad ipsum culmen bonorum provecti sumus, ad ipsam metropolim festorum evasimus, ad fructum ipsum dominicæ promissionis pervenimus. *Si enim abiero*, inquit, *ego alium Paracletum mittam vobis, et non relinquam vos orphanos* (*Joan.* 16. 7) Videtis sollicitudinem? videtis ineffabilem benignitatem? Ante hos dies in cælum ascendit, regium thronum recepit, sedem ad Patris dexteram recuperavit; et hodie nobis sancti Spiritus adventum largitur, ac per ipsum de cælis sexcenta nobis bona suppeditat. Quid enim, quæso, eorum, quibus salus nostra continetur, non per Spiritum dispensatum est nobis? per ipsum a servitute liberamur, in libertatem vocamur, in adoptionem deducimur, ac denuo, ut ita dicam, fingimur, grave fœtidumque peccatorum onus deponimus: per Spiritum sanctum sacerdotum cernimus choros, doctorum ordines habemus: ab hoc fonte manant et revelationum donationes, et gratiæ sanitatum; et reliqua omnia, quibus Ecclesia Dei condecorari solet, inde promuntur. Hoc illud est, quod clamat Paulus his verbis. *Hæc omnia operatur unus atque idem Spiritus, dividens privatim singulis, prout vult* (1 *Cor.* 12. 11): prout vult, inquit, non prout jubetur: dividens, non divisus; auctorem se præbens, non auctoritati subjectus. Eamdem quippe potestatem, quam Patrem habere testatus est, hanc et Spiritui sancto Paulus attribuit. Et quemadmodum de Patre dicit, *Deus vero est, qui operatur omnia in omnibus* (1. *Cor.* 12. 6): sic de Spiritu sancto, *Hæc omnia*, inquit, *operatur unus atque idem Spiritus, dividens privatim singulis, prout vult* (*Ibid. v.* 11). Viden' tu perfectam potestatem? Quorum enim natura est una, haud dubium quin eorum una sit auctoritas: et quorum æqualis honoris est majestas, eorum et virtus ac potestas est una. Per hunc peccatorum remissionem obtinuimus: per hunc sordes omnes abstersimus: per hujus donationem ex hominibus angeli facti sumus, qui ad gratiam accurrimus, non natura mutati, sed quod multo est mira-

(*a*) Collata cum Mss. Reg. 1970, 2027, 2030, 2424, 2899, et Colb. 2443.

σταυροῦ σχισάντων αὐτὸ, ὥστε γενέσθαι ἄχρηστον. Ἀλλ' ἐκεῖνα μὲν χάριτι καὶ φιλανθρωπίᾳ τῆς τοῦ σταυρωθέντος Χριστοῦ ἰσχύος πάντα ἐξήλειπται· τὰ δὲ μετὰ τὸ βάπτισμα πολλῆς χρείαν ἔχει σπουδῆς, ὥστε ἐξαλειφθῆναι πάλιν. Ἐπειδὴ μηδ' ἔστι δεύτερον λουτρὸν, ἀλλὰ τῶν δακρύων δεῖται τῶν ἡμετέρων, μετανοίας, ἐξομολογήσεως, ἐλεημοσύνης, εὐχῆς, καὶ τῆς ἄλλης ἁπάσης εὐλαβείας· οὕτω καὶ μετὰ τὸ βάπτισμα ἐκκαθαίρεται ἁμαρτήματα μετὰ πόνου πολλοῦ καὶ καμάτου. Πᾶσαν τοίνυν ἐπιδειξώμεθα σπουδὴν, ὥστε αὐτὰ ἐξαλεῖψαι ἐντεῦθεν, καὶ αἰσχύνης καὶ τῆς κολάσεως ἀπαλλαγῆναι τῆς ἐκεῖ. Κἂν γὰρ μυρία ὦμεν ἡμαρτηκότες, ἂν ἐθέλωμεν δυνησόμεθα ἅπαντα ταῦτα ἀποθέσθαι τῶν ἁμαρτημάτων τὰ φορτία. Βουληθῶμεν τοίνυν· πολλῷ γὰρ βέλτιον μικρὸν ἐνταῦθα πονήσαντας ἀπαραιτήτου κολάσεως ἀπαλλαγῆναι, [468] ἢ τὸν βραχὺν τοῦτον ῥᾳθυμήσαντας χρόνον εἰς τὰς ἀθανάτους ἐκείνας ἐμπεσεῖν τιμωρίας. Ὥρα δὲ λοιπὸν ἀναλογίσασθαι τὰ εἰρημένα· ἐπετιμήσαμεν τοῖς δι' ἐνιαυτοῦ μόνον παραγινομένοις, ὅτι τὴν μητέρα περιορῶσι γυμνουμένην· ἀνεμνήσαμεν αὐτοὺς παλαιᾶς ἱστορίας, καὶ κατάρας καὶ εὐλογίας· διελέχθημεν περὶ ἑορτῶν Ἰουδαϊκῶν, καὶ τίνος ἕνεκεν τρὶς τοῦ ἐνιαυτοῦ κελεύει τοὺς Ἰουδαίους φαίνεσθαι αὐτῷ ὁ Θεός· εἴπομεν ὅτι ἑορτὴ διαπαντός ἐστι καὶ Πεντηκοστὴ, καὶ Πάσχα, καὶ Ἐπιφάνεια· εἴπομεν ὅτι ἑορτὴν συνειδὸς ποιεῖ καθαρὸν, οὐχ ἡμερῶν καὶ χρόνων περίοδος· μετ' ἐκεῖνο ἐξέβημεν ἐπὶ τὰ δῶρα τὰ ἄνωθεν κατενεχθέντα· εἴπομεν ὅτι καταλλαγῆς ἐστι τοῦτο σημεῖον· ἐδείξαμεν ὅτι πάρεστι Πνεῦμα ἅγιον διὰ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, διὰ τῆς ἀποκρίσεως τῆς πρὸς τὸν ποιμένα, διὰ τοῦ λόγου τῆς σοφίας, καὶ τῆς γνώσεως, διὰ τῶν χειροτονιῶν, διὰ τῆς θυσίας τῆς μυστικῆς· εἴπομεν ὅτι ὅμηρα ἀλλήλων καὶ ἐνέχυρα κατέχομεν· προσεθήκαμεν τὴν αἰτίαν, δι' ἣν τὰ σημεῖα ἀνῄρηται νῦν ἐκ τοῦ μέσου· μετὰ ταῦτα ἀνεμνήσαμεν τοῦ φοβεροῦ δικαστηρίου, καὶ τῶν τότε ἀνοιγομένων βιβλίων, καὶ ὅτι πάντα ἡμῶν ἐγγράφεται τὰ ἁμαρτήματα· ἀπεδείξαμεν ὅτι ἐξαλείφεται πάλιν, καὶ ἂν θέλωμεν. Ταῦτα πάντα μέμνησθε· εἰ δὲ μὴ δυνατὸν πάντα, ἀντὶ πάντων τοῦ περὶ τῶν βιβλίων μέμνησθε λόγου· καὶ πάντα ὅσα ἂν ἀποκρίνησθε, ὡς ἔχοντες τὸν παρεστῶτα, καὶ γράφοντα, οὕτω φθέγγεσθε μετὰ ἀσφαλείας, καὶ κατέχετε διαπαντὸς ἐνακμάζοντα τῇ μνήμῃ τὸν λόγον τοῦτον· ἵνα οἱ μὲν ἐν τῇ βίβλῳ τῶν δικαίων ἐγγεγραμμένοι προσθῆτε τοῖς κατορθώμασιν, οἱ δὲ πολλὰ ἔχοντες ἐγγεγραμμένα ἁμαρτήματα, ἀπαλείψαντες αὐτὰ ἐνταῦθα οὐδενὸς εἰδότος, ἀπαλλαγῶμεν τῆς δημοσιεύσεως ἐκείνης. Καὶ γὰρ δυνατὸν, καθὼς ἀπεδείξαμεν, διὰ σπουδῆς καὶ προσευχῆς καὶ εὐλαβείας ἐπιτεταμένης ἀπαλεῖψαι τὰ ἐγγεγραμμένα ἁμαρτήματα ἅπαντα. Τοῦτο τοίνυν διὰ παντὸς σπουδάζωμεν τοῦ χρόνου, ἵνα ἀπελθόντες ἐκεῖ δυνηθῶμέν τινος συγγνώμης τυχεῖν, καὶ πάντες ἀπαραιτήτους φυγεῖν κολάσεις· ὧν γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ

Ὁμιλία β'.

α'. Μεγάλα, ἀγαπητοὶ, καὶ πάντα λόγον ἀνθρώπινον ὑπερβαίνοντα τὰ σήμερον ἡμῖν δωρηθέντα παρὰ τοῦ φιλανθρώπου Θεοῦ χαρίσματα· διά τοι τοῦτο κοινῇ πάντες χαίρωμεν, καὶ σκιρτῶντες ἀνυμνήσωμεν τὸν ἡμέτερον Δεσπότην. Ἑορτὴ γὰρ ἡμῖν καὶ πανήγυρις ἡ σήμερον ἡμέρα. Ὥσπερ γὰρ ἐπὶ τῆς τῶν ὡρῶν καὶ τῶν τροπῶν ἐναλλαγῆς ἑτέρα τὴν ἑτέραν [469] διαδέχεται, οὕτω δὴ καὶ ἐπὶ τῆς Ἐκκλησίας ἑορτὴ ἑορτὴν διαδεχομένη, οὕτως ἡμᾶς εἰς ἀλλήλας παραπέμπουσι. Πρῴην[a] μὲν οὖν ἑωρτάσαμεν τὸν σταυρὸν, τὸ πάθος, τὴν ἀνάστασιν, μετὰ ταῦτα τὴν εἰς οὐρανὸν ἄνοδον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· σήμερον δὲ λοιπὸν εἰς αὐτὸ τὸ τέλος ὑπηντήσαμεν τῶν ἀγαθῶν, εἰς αὐτὴν τὴν μητρόπολιν ἐφθάσαμεν τῶν ἑορτῶν, εἰς αὐτὸν τὸν καρπὸν παρεγενόμεθα τῆς τοῦ Κυρίου ἐπαγγελίας. *Ἐὰν γὰρ ἀπέλθω*, φησὶν, *ἐγὼ, ἄλλον Παράκλητον πέμψω ὑμῖν, καὶ οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς*. Εἴδετε κηδεμονίαν; εἴδετε φιλανθρωπίαν ἄφατον; Πρὸ τούτων τῶν ἡμερῶν ἀνῆλθεν εἰς οὐρανὸν, τὸν βασιλικὸν ἀνέλαβε θρόνον, τὴν ἐν δεξιᾷ τοῦ Πατρὸς καθέδραν ἀπείληφε, καὶ σήμερον ἡμῖν τὴν ἐπιδημίαν τοῦ Πνεύματος τοῦ ἁγίου χαρίζεται, καὶ δι' αὐτοῦ τὰ μυρία ἡμῖν ἀπὸ τῶν οὐρανῶν ἀγαθὰ χορηγεῖ. Τί γὰρ, εἰπέ μοι, τῶν συνεχόντων, τὴν σωτηρίαν τὴν ἡμετέραν οὐχὶ διὰ τοῦ Πνεύματος ἡμῖν ᾠκονόμηται; διὰ τούτου δουλείας ἀπαλλαττόμεθα, εἰς ἐλευθερίαν καλούμεθα, εἰς υἱοθεσίαν ἀναγόμεθα, καὶ ἄνωθεν, ὡς εἰπεῖν, ἀναπλαττόμεθα, τὸ βαρὺ καὶ δυσῶδες τῶν ἁμαρτημάτων φορτίον ἀποτιθέμεθα· διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ἱερέων βλέπομεν χοροὺς, διδασκάλων ἔχομεν τάγματα· ἀπὸ τῆς ἐντεῦθεν πηγῆς καὶ ἀποκαλύψεων δωρεαὶ, καὶ ἰαμάτων χαρίσματα· καὶ τὰ λοιπὰ πάντα, ὅσα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ κοσμεῖν εἴωθεν, ἐντεῦθεν ἔχει τὴν χορηγίαν. Καὶ βοᾷ Παῦλος λέγων· *Ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται*. Καθὼς βούλεται, φησὶν, οὐ καθὼς προστάττεται· διαιροῦν, οὐ διαιρούμενον· αὐθεντοῦν, οὐκ αὐθεντίᾳ ὑποκείμενον. Τὴν γὰρ αὐτὴν ἐξουσίαν, ἥνπερ ἐμαρτύρησε τῷ Πατρὶ, ταύτην καὶ τῷ ἁγίῳ Πνεύματι ἀνατίθησιν ὁ Παῦλος. Καὶ ὥσπερ ἐπὶ τοῦ Πατρός φησιν· *Ὁ δὲ Θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν*, οὕτω καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος· *Ταῦτα δὲ πάντα*, φησὶν, *ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται*. Εἶδες ἀπηρτισμένην ἐξουσίαν; Ὧν γὰρ ἡ οὐσία μία, δῆλον ὅτι καὶ ἡ αὐθεντία μία· καὶ ὧν ἰσότιμος ἡ ἀξία, τούτων καὶ ἡ δύναμις καὶ ἡ ἐξουσία μία. Διὰ τούτου τὴν ἀπαλλαγὴν τῶν ἁμαρτημάτων εὑράμεθα· διὰ τούτου πᾶσαν κηλῖδα ἀπενιψάμεθα[b]· διὰ τῆς τούτου δωρεᾶς ἐξ ἀνθρώπων ἄγγελοι γεγόναμεν οἱ τῇ χάριτι προσδραμόντες, οὐ τὴν φύσιν μεταβληθέντες, ἀλλ' ὃ πολλῷ θαυμαστότερόν ἐστι, μένοντες ἐν τῇ φύσει τῇ ἀν-

[a] Sic omnes mss., melius quam editi πρῶτον. Fronto Ducæus πρώην legisse videtur

[b] Reg. unus, ἀπερρυψάμεθα.

θρωπίνῃ τὴν τῶν ἀγγέλων πολιτείαν ἐπιδεικνύμεθα. Τοιαύτη γὰρ ἡ τοῦ ἁγίου Πνεύματος δύναμις· καὶ καθάπερ τὸ πῦρ τοῦτο τὸ αἰσθητὸν, ἐπειδὰν λάβῃ τὸν πηλὸν τὸν διαλελυμένον, ὄστρακον ἰσχυρὸν αὐτὸν ἀποδείκνυσιν· οὕτω δὴ καὶ τὸ πῦρ τοῦ Πνεύματος, ἐπειδὰν λάβῃ ψυχὴν εὐγνώμονα, κἂν εὕρῃ πηλοῦ μᾶλλον διαλελυμένην, σιδήρου στερροτέραν αὐτὴν ἀπεργάζεται· καὶ τὸν πρὸ μικροῦ τῷ βορβόρῳ τῶν ἁμαρτημάτων μεμολυσμένον, ἀθρόον τοῦ ἡλίου λαμπρότερον ἀναδείκνυσι. Καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ [470] μακάριος Παῦλος ἐβόα λέγων· *Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὔτε λοίδοροι, οὔτε ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσιν.* Καὶ ἀπαριθμησάμενος ἅπαντα ὡς εἰπεῖν τῆς κακίας τὰ εἴδη, καὶ διδάξας, ὅτι οἱ τοιούτοις ὑπεύθυνοι ἁμαρτήμασιν ἀλλότριοι τῆς βασιλείας γίνονται, εὐθέως ἐπήγαγε· *Καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε.* Πῶς καὶ τίνι τρόπῳ; εἰπέ· τοῦτο γάρ ἐστι τὸ ζητούμενον. *Ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ*, φησὶ, *καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.* Εἶδες τοῦ ἁγίου Πνεύματος τὴν δύναμιν, ἀγαπητέ; εἶδες ὅτι τὸ Πνεῦμα τὸ ἅγιον πᾶσαν τὴν κακίαν ταύτην ἠφάνισε, καὶ τοὺς πρότερον παραδεδομένους ὑπὸ τῶν οἰκείων ἁμαρτημάτων, ἀθρόον εἰς τὴν ἀνωτάτω τιμὴν ἀνήγαγε;

β'. Τίς οὖν ἂν κατ' ἀξίαν ὀδύραιτο καὶ θρηνήσειε τοὺς βλασφημεῖν ἐπιχειροῦντας τοῦ Πνεύματος τὴν ἀξίαν, οἳ καθάπερ τινὲς μεμηνότες οὐδὲ τῷ μεγέθει τῶν εὐεργεσιῶν τῆς οἰκείας ἀγνωμοσύνης ἀποσχέσθαι ἀνέχονται, ἀλλὰ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα πράττειν τολμῶσιν, ἀλλοτριοῦντες αὐτὸ, τό γε εἰς αὐτοὺς ἧκον, τῆς δεσποτικῆς ἀξίας, καὶ εἰς τὴν τῶν κτισμάτων τάξιν κατάγειν ἐπιχειροῦσιν; Οὓς ἐβουλόμην ἐρέσθαι, τίνος ἕνεκεν, ὦ οὗτοι, τοσοῦτον πόλεμον κατὰ τῆς τοῦ Πνεύματος ἀξίας ἐπιδείκνυσθε; μᾶλλον δὲ κατα τῆς ἑαυτῶν σωτηρίας, καὶ οὐδὲ εἰς ἔννοιαν λαβεῖν βούλεσθε τὰ παρὰ τοῦ Σωτῆρος τοῖς μαθηταῖς εἰρημένα; *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Εἶδες ὁμότιμον τὴν ἀξίαν; εἶδες συμφωνίαν ἀπηκριβωμένην; εἶδες τῆς Τριάδος τὸ ἀδιαίρετον; μή που διαφορὰ, ἢ ἐναλλαγὴ, ἢ ὑφαίρεσις; Τί τοῖς τοῦ Δεσπότου ῥήμασιν ὑμεῖς ἐπιδιατάσσεσθαι τολμᾶτε; ἢ οὐκ ἴστε, ὅτι καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, εἴ καί τις ποτε ἐπιχειρήσειεν, ἢ εἰς τοσαύτην ἐξέλθοι τόλμαν, ὥστε προσθεῖναί τι τοῖς παρὰ τοῦ βασιλέως γράμμασιν, ἢ ἀφελεῖν, τοῦ ὁμογενοῦς ἡμῖν καὶ τῆς αὐτῆς φύσεως κοινωνοῦντος, τὴν ἐσχάτην ὑφίστανται δίκην, καὶ οὐδὲν αὐτὸν τῆς τιμωρίας ἐξελέσθαι δυνήσεται; Εἰ τοίνυν ἐπ' ἀνθρώπου τοσοῦτος ὁ κίνδυνος, πῶς γένοιτο ἂν ποτε συγγνώμη τοῖς τοσαύτην ἀπόνοιαν ἐπιδεικνυμένοις, καὶ τὰ παρὰ τοῦ κοινοῦ Σωτῆρος ἡμῶν εἰρημένα παραφθείρειν ἐπιχειροῦσι, καὶ οὐδὲ Παύλου τοῦ τὸν Χριστὸν ἔχοντος ἐν ἑαυτῷ λαλοῦντα ἀκούειν βουλομένοις, λαμπρᾷ τῇ φωνῇ βοῶντος καὶ λέγοντος· *Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν*; Εἰ τοίνυν οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε καρδία δέξασθαι ἠδυνήθη τὴν γνῶσιν τῶν ἡτοιμασμένων τοῖς ἀγαπῶσιν αὐτὸν, πόθεν ἡμεῖς, ὦ μακάριε Παῦλε, τούτων τὴν γνῶσιν σχεῖν δυνάμεθα; Μικρὸν ἀνάμεινον, καὶ ἀκούσῃ αὐτοῦ καὶ τοῦτο δηλοῦντος· ἐπήγαγε γοῦν λέγων· *Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ.* Καὶ οὐδὲ μέχρι τούτου ἔστη· ἀλλ' ἵνα δείξῃ καὶ τῆς δυνάμεως τὸ μέγεθος, καὶ ὡς τῆς αὐτῆς ἐστιν οὐσίας τῷ Πατρὶ καὶ τῷ Υἱῷ, φησί· *Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.* Εἶτα βουλόμενος ἐξ ἀνθρωπίνων παραδειγμάτων ἀκριβεστέραν ἡμῖν ἐνθεῖναι τὴν διδασκαλίαν, ἐπήγαγε· *Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.* Εἶδες διδασκαλίαν ἀπηρτισμένην; Ὥσπερ, φησὶ, τὰ ἐν διανοίᾳ τοῦ ἀνθρώπου οὐχ οἷόν τε ἕτερόν τινα εἰδέναι, ἀλλ' αὐτὸς μόνος οἶδε τὰ ἑαυτοῦ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ· ὃ μέγιστον καὶ σφόδρα ἱκανὸν δεῖξαι τοῦ Πνεύματος τὴν ἀξίαν. Παράδειγμα γὰρ παρήγαγε μονονουχὶ λέγων, μὴ οἷόν τέ τινα τῶν ἀνθρώπων τὰ ἐν διανοίᾳ αὐτοῦ ἀγνοῆσαί ποτε. Ὥσπερ οὖν τοῦτο οὐ δυνατὸν, οὕτω καὶ τὰ τοῦ Θεοῦ μετὰ τοσαύτης ἀκριβείας, φησὶν, ἐπίσταται Πνεῦμα τὸ ἅγιον. Ἀλλ' οὐκ οἶδα πῶς οὐδὲ ταῦτα λέγων ὁ μακάριος οὗτος καθικνεῖται τῶν διὰ τὴν οἰκείαν πρόληψιν κατὸ τῆς ἑαυτῶν σωτηρίας τοσοῦτον [471] ἐπιδεικνυμένων πόλεμον κατὰ τῆς τοῦ Πνεύματος ἀξίας, καὶ τὸ ἧκον εἰς αὐτοὺς ἀλλοτριούντων αὐτὸ τῆς δεσποτικῆς ἀξίας, καὶ καταγόντων εἰς τὴν τῶν δημιουργημάτων εὐτέλειαν. Ἀλλ' εἰ καὶ ἐκεῖνοι φιλονείκως διάκεινται, ἀπεναντίας ἱστάμενοι τοῖς παρὰ τῆς θείας Γραφῆς εἰρημένοις, ἡμεῖς τὰ θεῖα διδάγματα ὡς χρησμοὺς ἄνωθεν κατενεχθέντας δεχόμενοι, τὴν προσήκουσαν δοξολογίαν ἀναπέμψωμεν, μετὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἀληθείας τὴν ἀκρίβειαν ἐπιδεικνύμενοι. Πρὸς μὲν οὖν τοὺς ἐπιχειροῦντας ἐναντία τοῖς παρὰ τοῦ Πνεύματος εἰρημένοις διδάσκειν, ἱκανὰ τὰ εἰρημένα· ἀναγκαῖον δὲ εἰπεῖν πρὸς τὴν ὑμετέραν ἀγάπην, τίνος ἕνεκεν ἡμῖν τὸ αἴτιον τῶν τοσούτων ἀγαθῶν οὐκ εὐθέως μετὰ τὴν αὐτοῦ ἄνοδον κεχάρισται ὁ Κύριος· ἀλλ' ἀφῆκεν ὀλίγας πρότερον ἐνδιατρίψαι ἡμέρας, καὶ καθ' ἑαυτοὺς γενέσθαι τοὺς μαθητὰς, καὶ τότε τὴν τοῦ Πνεύματος χάριν κατέπεμψεν. Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ οὐδὲ τοῦτο γεγένηται. Ἐπειδὴ γὰρ ἤδει τῶν ἀνθρώπων τὸ γένος οὐχ ὁμοίως τὰ ἐν χερσὶ θαυμάζοντας ἀγαθὰ, οὐδὲ κατ' ἀξίαν τιμῶντας ἐκεῖνα, ἅπερ ἂν ἡδέα καὶ μεγάλα καταφανῇ, ἂν μὴ καὶ τῶν ἐναντίων ἡ εἴσοδος παρεισέλθῃ· οἷόν τι λέγω· δεῖ γὰρ αὐτὸ σαφέστερον εἰπεῖν· ὁ ὑγιαίνων καὶ εὐεκτῶν τὸ σῶμα οὐκ αἰσθάνεται, οὐδὲ ἀκριβῶς εἰδέναι δύναται, ὅσα αὐτῷ ἀγαθὰ ἡ ὑγεία ἐχαρίζετο, εἰ μὴ καὶ τῆς νόσου πεῖραν λάβῃ τῆς ἀσθενείας παρεισελθούσης· καὶ ὁ τὴν ἡμέραν πάλιν βλέπων οὐχ ὁμοίως θαυμάζει τὸ φῶς, ἐὰν μὴ καὶ τὸ τῆς νυκτὸς σκότος διαδέξηται. Καὶ γὰρ ἡ τῶν ἐναντίων πεῖρα διδάσκαλος ἀεὶ γίνεται σαφὴς ἐκείνων, ὧν πρότερον ἐν ἀπολαύσει τυγχάνοντες ἦμεν. Διά τοι τοῦτο καὶ τότε, ἐπειδὴ μυρίων ἦσαν ἀγαθῶν οἱ μαθηταὶ κατὰ τὴν αὐτοῦ παρουσίαν ἀπολαύσαντες,

bilius, in natura permanentes humana angelorum conversationem exhibemus. Tanta siquidem virtus est Spiritus sancti. Et quemadmodum ignis iste, qui sensu percipitur, ubi molle lutum ceperit, rigidam illud testam efficit : sic nimirum et ignis Spiritus cum animam probam occuparit, licet eam luto molliorem receperit, ferro duriorem illam reddit; etenim eum qui paulo ante peccatorum fœce pollutus erat, continuo sole ipso efficit clariorem. Atque hoc illud est, quod beatus nos docebat Paulus, cum clamaret, ac diceret, *Nolite errare : neque fornicarii, neque idolis servientes, neque adulteri, neque molles, neque masculorum concubitores, neque fures, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt* (1. *Cor.* 6. 9. 10). Et cum omnia ferme improbitatis genera enumerasset, eosque qui se his peccatis obstrinxerint, alienos fieri a regno Dei docuisset, continuo subjecit, *Et hæc quidem fuistis ; sed abluti estis, sed sanctificati estis, sed justificati estis* (*Ib.* v. 11). Quo pacto, quave ratione? dic, quæso : hoc enim illud est quod quæritur. *In nomine Domini Jesu Christi*, inquit, *et in Spiritu Dei nostri* (*Ibid.*). Vides virtutem Spiritus sancti, carissime? vides ut omnem hanc iniquitatem Spiritus sanctus deleverit, eosque qui prius a peccatis suis proditi erant, subito ad summos honores evexerit?

2. *Adversus Pneumatomachos.* — Quis ergo pro merito lugeat ac deploret eos, qui blasphemiis Spiritus sancti appetunt majestatem ac numen, qui tamquam furiosi quidam et amentes ne beneficiorum quidem magnitudine ab hac sua ingrati animi improbitate revocantur ; imo adversus propriam ipsorum salutem omnia machinari non verentur, atque a Domini majestate dejectum, quantum in ipsis est, in creaturarum redigere ordinem moliuntur? Quos equidem lubens sic interrogaverim : Quid tandem causæ est, heus vos, cur bellum tam acerbum adversus Spiritus majestatem indictum habeatis, vel potius adversus vestram ipsorum salutem? neque vobis in mentem venire patiamini, quæ discipulis a Salvatore sunt dicta? *Euntes*, inquit, *docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti* (*Matth.* 28. 19). Vides æqualem honore majestatem? vides concordiam exacte descriptam? vides ut indivisa sit Trinitas? num uspiam discrimen aut immutatio imminutiove? Quid vos Domini verbis nova quædam mandata adjungere audetis? an vero nescitis in negotiis etiam humanis si quis forte conatus sit, aut eo sit progressus audaciæ, ut a rege missis literis quidquam adjiciat detrahatve, qui ejusdem alioquin est generis nobiscum, ejusdem que consors naturæ, solere illum extremo supplicio mulctari, nullaque posse ratione a merita pœna vindicari? Quod si tantum in hominis negotiis periculum imminet, quam tandem veniam obtinebunt, qui usque eo prosiliunt arrogantiæ, ut quæ a communi Salvatore nostro sunt dicta, corrumpere moliantur, neque Paulum, qui loquentem in se Christum habet, audire dignentur clara voce clamantem ac dicentem, *Oculus non vidit, et auris non audivit, et in cor hominis non ascenderunt quæ præparavit Deus iis, qui diligunt illum* (1. *Cor.* 2. 9)? Si ergo neque oculus vidit, neque auris audivit, neque cor capere potuit cognitionem bonorum, quæ ipsum diligentibus sunt parata, unde, quæso, fieri poterit, o beate Paule, ut nos eorum cognitionem assequamur? Exspecta paulisper : tum tu illum ipsum audies hoc dicentem. Itaque adjecit dicens : *Nobis autem revelavit Deus per spiritum suum* (*Ibid.* v. 10) : neque vero hic substitit ; sed ut potentiæ magnitudinem indicaret, et quo pacto ejusdem sit substantiæ atque Pater et Filius : *Spiritus* enim, inquit, *omnia scrutatur, etiam profunda Dei* (*Ibid.*). Deinde cum exemplis humanis accuratiorem doctrinam inserere animis nostris vellet, adjecit : *Quis enim hominum scit quæ sunt hominis, nisi spiritus hominis qui in ipso est? Sic et quæ Dei sunt nemo cognovit, nisi Spiritus Dei* (*Ib.* v. 11). Vides eximiam perfectamque doctrinam? Quemadmodum, inquit, ea, quæ in mente sunt hominis, fieri nequit ut alter noverit, sed ipse res suas novit solus : sic et quæ Dei sunt nullus novit nisi Spiritus Dei, quod maximum est valdeque idoneum ad ostendendam Spiritus dignitatem. Exemplum enim attulit, quasi hoc innueret : Fieri non potest, ut quis hominum ea, quæ in sua mente sunt, umquam ignoret. Ut igitur fieri hoc non potest, sic et ea quæ Dei sunt tam exacte Spiritus sanctus novit. Sed negari non potest, quin his etiam verbis beatus iste illos tangat, qui ob anticipatam suam opinionem cum salutis suæ detrimento tantum bellum Spiritus dignitati se indixisse declarant, quantumque situm in ipsis est, cum supremi dominatus dignitate privant, atque ad creaturarum dejiciunt vilitatem. Verumtamen licet illi contentionis studio ducti Scripturæ sacræ verbis adversarios sese opponant, nos divina documenta velut oracula de cælo missa suscipientes, debitas laudes offeramus, et cum recta fide etiam veritatis exactam cognitionem præ nobis feramus. Atque ad eos quidem revincendos, qui ea, quæ Spiritus sancti responsis contraria sunt, docere non dubitant, sufficiunt ea quæ dicta sunt ; verum enim vero cujus rei gratia tantorum causam bonorum non statim post suam in cælos ascensionem Dominus sit largitus, sed paucos dies prius siverit exspectare, ac solos manere discipulos domi, tum deinde Spiritus gratiam demiserit, operæ pretium facturi videmur, si dilectioni vestræ referamus : non enim temere, neque sine causa factum est illud. Nam quoniam genus humanum vidit non tanto in pretio habere quæ sunt in manibus bona, neque pro dignitate ea colere, quæ jucunda simul et magna videantur, nisi etiam contrariorum occursus irrepserit ; exempli causa (dicendum enim est apertius), qui sano est ac vegeto corpore, neque sentit, neque scire potest exacte, quanta illi sanitas bona largiretur, nisi infirmitate obrepente morbum etiam fuerit expertus : et qui diem rursus aspicit, lumen tanti non facit, nisi etiam noctis tenebras persenserit. Etenim contrariorum experientia magistra nos aperte docet, qualia sint ea, quibus antea fruebamur. Idcirco nimirum tum quoque, quandoquidem præsente illo sexcentis bonis discipuli potiti erant, et

quod cum illo versati fuissent, dies jucundissime transigebant. Omnes enim incolæ Palæstinæ tamquam ad luminaria quædam oculos suos ad eorum ora convertebant, quando et mortuos ad vitam revocabant, et leprosos mundabant, dæmones expellebant, morbos curabant, aliaque multa miracula edebant : quoniam igitur ita illustres erant et celebres, propterea ad tempus eos permisit ab ejus virtute sejungi, cujus auxilio nitebantur : ut cum eo fuissent destituti, tum quantum illis ejus bonitatis præsentia prodesset, ediscerent, et cum præteritorum bonorum magnitudinem perspexissent, majori cum studio Paracleti donationem exciperent. Etenim illos mœrentes consolatus est, et propter magistri discessum lugentes ac tristitia repletos suæ lucis radiis illustravit, prope jacentes erexit, mœroris caliginem discussit, et anxietatem omnem depulit. Quandoquidem namque dominicam vocem audierant, *Euntes docete omnes gentes* (*Matth.* 28. 19) : dubitabant autem deinceps et ignorabant, quo proficisci quemque oporteret, et in quanam orbis terrarum regione verbum Dei prædicare; in specie linguarum Spiritus sanctus advenit, singulis orbis terrarum regiones docendas distribuit, atque impertitæ linguæ opera tamquam in tabula eorum fidei commissi magistratus ac magisterii leges descripsit.

Cur in specie linguarum Spiritus. — Propterea in specie linguarum Spiritus advenit : neque idcirco tantum, sed ut veteris etiam historiæ memoriam nobis refricaret. Cum enim olim homines superbia elati turrim exstruere voluerint, quæ ad cælum usque pertingeret, et invecta divisione linguarum pravam illorum coitionem et concordiam dissiparit Deus (*Gen.* 11) : idcirco nunc quoque in specie ignearum linguarum ad eos advolat Spiritus sanctus, ut per illum orbem terrarum divisum conjungat. Et accidit res nova simul ac mira : ut enim tum antiquitus linguæ terrarum orbem diviserunt, et malam concordiam in dissidium converterunt : ita nunc quoque terrarum orbem linguæ copularunt, et quæ dissidebant in concordiam reduxerunt. Itaque in specie linguarum idcirco advenit : tamquam ignis autem linguæ erant, quod sylvescentes in nobis peccatorum spinæ succrevissent. Nam quemadmodum terra fertilis ac pinguis, si minime colatur, magnam spinarum sylvam profundit : sic et natura nostra, quæ a Creatore suo bona est condita, et ad virtutis fruges idonea, eo quod neque pietatis aratrum neque cognitionis Dei semen excepisset, quasi spinas quasdam et aliam inutilem sylvam impietatem produxit. Et quemadmodum sæpe propter spinarum multitudinem, ac malorum graminum terræ facies ne apparet quidem : sic et animæ nostræ nobilitas puritasque minime apparebat, quousque naturæ humanæ agricola venisset, et ipsam immisso Spiritus igne perpurgasset, atque, ut ad excipiendum cæleste semen idonea redderetur, effecisset.

3. Tanta sunt, hisque multo plura, quæ nobis hujus diei beneficio bona obvenerunt. Quæ cum ita sint, oro obtestorque vos, pro dignitate congestorum in nos bonorum, festum nos quoque celebremus, non januam [1] coronantes, sed animas comentes ; non forum tapetibus exornantes, sed animam splendidam virtutis amictu reddentes, ut hoc pacto possimus et Spiritus gratiam suscipere, et fructus inde pullulantes decerpere.

Qui sint fructus Spiritus sancti. — Quis porro illo fructus est Spiritus? Audiamus Paulum dicentem : *Fructus autem Spiritus est caritas, gaudium, pax* (*Gal.* 5. 22). Vide quanta sit accuratio in verbis, quanta in doctrina convenientia : præmisit caritatem, tum deinceps ea quæ consequuntur commemoravit : radicem fixit, ac deinde fructum indicavit; fundamentum jecit, ac deinde ædificium imposuit; a fonte initium duxit, et mox ad fluvios devenit. Non enim fieri potest, ut gaudii materia nos commoveat, priusquam aliorum prosperitatem nostram ducamus, et proximi bona propria reputemus ; hæc vero non aliunde promanare queunt quam quod caritatis vis prævaluerit, atque dominatus. Caritas radix est et fons materque cunctorum bonorum : etenim tamquam radix sexcentos virtutum ramos germinat, quasi fons multos latices profundit, et ut mater gremio suo ad se confugientes arcte complectitur. Quod quidem cum beatus Paulus probe nosset, fructum Spiritus eam appellavit : alibi vero tantam detulit ei prærogativam, ut eam legis plenitudinem appellarit : *Plenitudo* enim, inquit, *legis est caritas* (*Rom.* 13. 10). Enimvero ipse omnium Dominus tamquam descriptionem sufficientem et fide dignum specimen, ut quis se ipsius discipulum probaret, non aliud quam quod a caritate petitur, nobis proposuit, cum dixit : *In hoc cognoscent omnes, quia discipuli mei estis, si dilectionem habueritis ad invicem* (*Joan.* 13. 35). Quamobrem ad ipsam, quæso, confugiamus omnes, eique adhæreamus, et cum ipsa festivitatem hanc excipiamus. Ubi enim caritas, animæ cessant defectus ; ubi caritas [2], alieni a ratione mentis insultus sedati sunt. *Caritas*, inquit, *non agit perperam, non inflatur, non est ambitiosa* (1. *Cor.* 13. 4. 5) : caritas malum proximo non infert; ubi caritas dominatur, nuspiam Cain cernitur, qui fratrem occidat. Tolle fontem invidiæ, et malorum omnium flumen sustulisti; exscinde radicem, et fructum simul exscidisti. Hæc vero eo dicuntur a me, quod de iis qui invident, magis sim sollicitus, quam de iis quibus invidetur. Illi enim sunt, qui maximam faciunt jacturam, multamque sibi perniciem invehunt; nam illis quidem quibus invidetur, illud, si quidem velint, materiam affert coronarum, quod invidiam patiantur. Ac vide, quæso, quo pacto justus Abel celebretur laudibus, et in dies præconiis efferatur, quod cædis causa celebris nominis occasionem attulerit. Atque hic quidem post obitum etiam per sanguinem audacter loquitur, et clara voce parricidam accusat (*Gen.* 4. 10) : ille autem superstes videlicet

[1] Reg., *urbem.*
[2] Reg., *Ubi caritas, inde expulistis acerbum invidiæ spiculum. Ubi regnat caritas,* etc.

καὶ ἀπὸ τοῦ συνδιατριβεῖν αὐτῷ ἐν πολλῇ ἦσαν εὐημερίᾳ· καὶ γὰρ οἱ τὴν Παλαιστίνην ἅπαντες οἰκοῦντες, ὥσπερ εἰς φωστῆράς [472] τινας οὕτως εἰς τὰ τούτων ἐνέβλεπον πρόσωπα· ἐπειδὴ καὶ νεκροὺς ἀνίστων, καὶ λεπροὺς ἐκάθαιρον, δαίμονας ἤλαυνον, καὶ νοτήματα ἐθεράπευον, καὶ ἕτερα πολλὰ ἐπεδείκνυντο θαύματα· ἐπεὶ οὖν οὕτως ἦσαν περίβλεπτοι καὶ περιφανεῖς, διὰ τοῦτο συνεχώρησεν αὐτοὺς πρὸς ὀλίγον χωρισθῆναι τῆς τοῦ συμμαχοῦντος δυνάμεως, ἵνα ὅταν ἐν ἐρημίᾳ γένωνται, μάθωσιν ἡλίκον αὐτοῖς ἐχαρίζετο ἡ τῆς αὐτοῦ ἀγαθότητος παρουσία, καὶ εἰς αἴσθησιν ἐλθόντες τῶν παρελθόντων ἀγαθῶν μετὰ μείζονος τῆς προθυμίας ὑποδέξωνται καὶ τὴν τοῦ Παρακλήτου δωρεάν. Καὶ γὰρ ἀθυμοῦντας αὐτοὺς παρεκάλεσε, καὶ διὰ τὸν τοῦ διδασκάλου χωρισμὸν στυγνάζοντας καὶ κατηφείας πεπληρωμένους διὰ τοῦ οἰκείου φωτὸς κατηύγασε, καὶ κειμένους σχεδὸν ἀνέστησε, καὶ τῆς ἀθυμίας τὸ νέφος διεσκέδασε, καὶ τὴν ἀπορίαν ἔλυσεν. Ἐπειδὴ γὰρ ἦσαν ἀκούσαντες τῆς Δεσποτικῆς φωνῆς, *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη*· ἠπόρουν δὲ λοιπὸν καὶ ἠγνόουν, ὅποι δεῖ ἕκαστον τραπῆναι, καὶ πρὸς ποῖον δεῖ κλίμα τῆς οἰκουμένης κηρῦξαι τὸν λόγον, ἔρχεται τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει γλωσσῶν, ἑκάστῳ μερίζον τῆς κατὰ τὴν οἰκουμένην διδασκαλίας τὰ κλίματα, καὶ διὰ τῆς δοθείσης γλώττης καθάπερ δέλτῳ τινὶ γνωρίζον ἑκάστῳ τῆς ἐμπιστευθείσης ἀρχῆς τε καὶ διδασκαλίας τὸν ὅρον.

Διὰ τοῦτο ἐν εἴδει γλωσσῶν τὸ Πνεῦμα παρεγένετο· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ παλαιᾶς ἡμᾶς ὑπομνήσῃ ὑποθέσεως. Ἐπειδὴ γὰρ τὸ παλαιὸν εἰς ἀπόνοιαν ἐξοκείλαντες οἱ ἄνθρωποι πύργον ἠβουλήθησαν κατασκευάσαι ἕως τοῦ οὐρανοῦ φθάνοντα, καὶ διὰ τῆς τῶν γλωσσῶν διαιρέσεως διεῖλεν αὐτῶν τὴν κακὴν συμφωνίαν· διὰ τοῦτο καὶ νῦν ἐν εἴδει γλωσσῶν πυρίνων ἐφίπταται αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα διαιρεθεῖσαν τὴν οἰκουμένην διὰ τούτου συνάψῃ. Καὶ ἐγένετο πρᾶγμα καινὸν καὶ παράδοξον· ὥσπερ γὰρ τότε τὸ παλαιὸν γλῶσσαι τὴν οἰκουμένην κατέτεμον, καὶ τὴν κακὴν συμφωνίαν εἰς διαίρεσιν ἤγαγον· οὕτω καὶ νῦν γλῶσσαι τὴν οἰκουμένην συνῆψαν, καὶ τὰ διεστῶτα εἰς ὁμόνοιαν συνήγαγον. Ἐν εἴδει μὲν οὖν γλωσσῶν διὰ τοῦτο, ὡσεὶ πυρὸς δὲ γλῶσσαι διὰ τὴν ἐν ἡμῖν ὑλομανήσασαν τῆς ἁμαρτίας ἄκανθαν. Καθάπερ γὰρ γῆ, ὅταν λιπαρὰ καὶ πίων οὖσα τυγχάνῃ, μὴ γεωργῆται δὲ, πολλὴν ἐπιδείκνυται τῶν ἀκανθῶν τὴν φοράν· οὕτω δὴ καὶ ἡ φύσις ἡ ἡμετέρα, καλὴ οὖσα διὰ τὸν παραγαγόντα, καὶ πρὸς τὸν τῆς ἀρετῆς καρπὸν ἐπιτηδείως ἔχουσα, διὰ τὸ μὴ δέξασθαι τὸ τῆς εὐσεβείας ἄροτρον, μηδὲ τὸν τῆς θεογνωσίας σπόρον, καθάπερ ἀκάνθας τινὰς καὶ ἑτέραν ἄχρηστον ὕλην τὴν ἀσέβειαν ἀπεγέννησε. Καὶ ὃν τρόπον τῆς γῆς τὸ πρόσωπον ἀπὸ τοῦ πλήθους τῶν ἀκανθῶν καὶ τῶν πονηρῶν βοτανῶν πολλάκις οὐ φαίνεται· οὕτω καὶ τὸ εὐγενὲς καὶ τὸ καθαρὸν τῆς ψυχῆς τῆς ἡμετέρας οὐ διεδείκνυτο, ἕως ὅτε παραγενόμενος ὁ γεωργὸς τῆς φύσεως τῆς ἀνθρωπίνης, καὶ τὸ πῦρ ἐπαφεὶς τοῦ Πνεύματος, ἐκάθηρέ τε αὐτὴν, καὶ πρὸς τὸ δέξασθαι τὸν σπόρον τὸν οὐράνιον ἐπιτηδείαν γενέσθαι παρεσκεύασε.

γ'. Τοσαῦτα ἡμῖν καὶ τούτων πλείονα διὰ τὴν παροῦσαν ἡμέραν ὑπῆρχε τὰ ἀγαθά. Διὸ παρακαλῶ πρὸς ἀξίαν τῶν δεδωρημένων ἡμῖν ἀγαθῶν, καὶ ἡμεῖς ἑορτάσωμεν, [473] οὐ τὴν πύλην [a] στεφανοῦντες, ἀλλὰ τὰς ψυχὰς καλλωπίζοντες· οὐ κοσμοῦντες τὴν ἀγορὰν παραπετάσμασιν, ἀλλὰ φαιδρύνοντες τὴν ψυχὴν τοῖς τῆς ἀρετῆς περιβολαίοις, ἵνα οὕτω δυνηθῶμεν καὶ τοῦ Πνεύματος τὴν χάριν ὑποδέξασθαι, καὶ τοὺς ἐντεῦθεν καρποὺς ἀποδέξασθαι.

Τίς δέ ἐστιν ὁ καρπὸς τοῦ Πνεύματος; Ἀκούσωμεν Παύλου λέγοντος· *Ὁ δὲ καρπὸς τοῦ Πνεύματος*, φησὶν, *ἀγάπη, χαρὰ, εἰρήνη*. Ὅρα λέξεως ἀκρίβειαν, διδασκαλίας ἀκολουθίαν· πρσέταξε τὴν ἀγάπην, καὶ τότε τῶν ἑξῆς ἐμνημόνευσεν· ἔθηκε τὴν ῥίζαν, καὶ τότε τὸν καρπὸν ὑπέδειξε· κατέβαλε τὸν θεμέλιον, καὶ τότε τὴν οἰκοδομὴν ἐπήγαγεν· ἀπὸ τῆς πηγῆς ἤρξατο, καὶ τότε ἦλθεν ἐπὶ τοὺς ποταμούς. Οὐδὲ γὰρ πρότερον ἡ τῆς χαρᾶς ἐπεισελθεῖν ὑπόθεσις δύναται, ἂν μὴ πρότερον ἑαυτῶν εἶναι νομίσωμεν τὴν ἑτέρων εὐημερίαν, καὶ οἰκεῖα τὰ τοῦ πλησίον ἀγαθὰ λογισώμεθα· ταῦτα δὲ οὐκ ἄν ποτε ἐξ ἑτέρου φανείη τινὸς, ἂν μὴ τῆς ἀγάπης ὑπερβάλῃ ἡ τυραννίς. Ἡ ἀγάπη ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶν ἁπάντων τῶν ἀγαθῶν. Καὶ γὰρ ὡς ῥίζα μυρίους τοὺς κλάδους τῆς ἀρετῆς ἀναδίδωσι, καὶ ὡς πηγὴ πολλὰ τίκτει τὰ νάματα, καὶ ὡς μήτηρ εἴσω τῶν ἑαυτῆς κόλπων περισφίγγει τοὺς εἰς αὐτὴν καταφεύγοντας. Ὁ δὴ καὶ ὁ μακάριος Παῦλος συνιδὼν, καρπὸν αὐτὴν τοῦ Πνεύματος ἐκάλεσεν· ἀλλαχοῦ δὲ τοσοῦτον αὐτῇ τὸ προτέρημα ἐχαρίσατο, ὡς καὶ πλήρωμα αὐτὴν τοῦ νόμου προσειπεῖν· *Πλήρωμα γὰρ νόμου*, φησὶν, *ἡ ἀγάπη*. Ὁ μέντοι τῶν ἁπάντων Δεσπότης καὶ ὅρον ἀρκοῦντα καὶ χαρακτῆρα ἀξιόπιστον, εἰς τὸ φανῆναι τοὺς ἑαυτοῦ μαθητὰς, οὐχ ἕτερόν τινα, ἢ τὸν ἀπὸ τῆς ἀγάπης ἡμῖν προεβάλετο εἰπών· *Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις*. Διὸ, παρακαλῶ, ἐπ' αὐτὴν καταφύγωμεν ἅπαντες, καὶ ταύτῃ περιπλακῶμεν, καὶ μετ' αὐτῆς τὴν ἑορτὴν ταύτην ὑποδεξώμεθα· ὅπου γὰρ ἀγάπη [b], ἀργεῖ τῆς ψυχῆς τὰ ἐλαττώματα· ὅπου ἀγάπη, τὰ ἄλογα τῆς διανοίας σκιρτήματα πέπαυται. *Ἡ ἀγάπη*, φησὶν, *οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ*. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· ὅπου ἀγάπη πολιτεύεται, οὐδαμοῦ Κάϊν φονεύων τὸν ἀδελφόν. Ἄνελε τοῦ φθόνου τὴν πηγὴν, καὶ ἀνεῖλες τῶν κακῶν ἁπάντων τὸν ποταμόν· ἀπότεμε τὴν ῥίζαν, καὶ συνανεῖλες τὸν καρπόν. Ταῦτα δὲ λέγω τῶν φθονούντων κηδόμενος μᾶλλον ἢ τῶν φθονουμένων· καὶ γὰρ ἐκεῖνοι μάλιστά εἰσιν οἱ τὰ μέγιστα ζημιούμενοι, καὶ πολὺν ἑαυτοῖς τὸν ὄλεθρον ἐπάγοντες· ἐπεί γε ὅτι τοῖς φθονουμένοις καὶ στεφάνων ὑπόθεσίς ἐστιν, εἰ βούλοιντο, τὸ φθονεῖσθαι. Καὶ ὅρα μοι πῶς Ἄβελ ὁ δίκαιος ᾄδεται, καὶ καθ' ἑκάστην ἀνακηρύττεται τὴν ἡμέραν, καὶ ἡ τῆς σφαγῆς ὑπόθεσις εὐδοξίας αὐτῷ γέγονεν ἀφορμή. Καὶ ὁ μὲν καὶ μετὰ τὴν τελευτὴν διὰ τοῦ αἵματος παῤῥησιάζεται, καὶ λαμπρᾷ τῇ φωνῇ κατηγορεῖ τοῦ μιαι-

[a] Reg. τὴν πόλιν.
[b] Reg. ὅπου ἀγάπη, ἐκεῖ τὸ πικρὸν καὶ θυμὸν ἀπελήλατε τοῦ φθόνου κέντρον. Ὅπου ἀγάπη πολιτεύεται.

φόνου· ὁ δὲ δῆθεν περιγενόμενος τὸν καρπὸν τῶν ἔργων διὰ τῆς ἀντιδόσεως τῶν ἔργων ἀπέλαβε, καὶ στένων καὶ τρέμων διῆγεν ἐπὶ τῆς γῆς· ὁ δὲ ἀνῃρημένος καὶ ἐπὶ τῆς γῆς κείμενος μετὰ τὴν τελευτὴν πλείονα [474] τὴν παῤῥησίαν ἐπεδείκνυτο. Καὶ καθάπερ ἐκεῖνον ἡ ἁμαρτία καὶ ζῶντα τῶν νεκρῶν ἀθλιώτερον διάγειν παρεσκεύασεν· οὕτω τοῦτον ἡ ἀρετὴ, καὶ μετὰ τὴν τελευτὴν πλέον διαλάμπειν ἐποίησε. Διά τοι τοῦτο καὶ ἡμεῖς, ἵνα μείζονα καὶ ἐνταῦθα κἀκεῖ τὴν παῤῥησίαν κτησώμεθα, ἵνα πλείονα τὴν εὐφροσύνην τὴν ἀπὸ τῆς ἑορτῆς καρπωσώμεθα, πάντα μὲν τὰ ῥυπαρὰ τῆς ψυχῆς περιέλωμεν ἐνδύματα, μάλιστα τοῦ φθόνου τὸ περιβόλαιον ἀποδυσώμεθα. Κἂν γὰρ μυρία κατορθοῦν δόξωμεν, πάντων ἐκπεσούμεθα, τῆς πικρᾶς ἡμῖν καὶ ὠμῆς ταύτης ἐνοχλούσης λύμης· ἣν πάντας ἡμᾶς διαφυγεῖν γένοιτο, καὶ μάλιστα τοὺς τήμερον διὰ τῆς τοῦ λουτροῦ χάριτος, τὸ παλαιὸν τῶν ἁμαρτημάτων ἔνδυμα ἀποθεμένους, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀντιλάμπειν δυναμένους. Ὑμεῖς μὲν οὖν, παρακαλῶ, οἱ σήμερον εἰς τὴν υἱοθεσίαν ἐγγραφέντες, οἱ τὸ λαμπρὸν τοῦτο περιβόλαιον ἐνδυσάμενοι, πάσῃ φυλακῇ τὴν φαιδρότητα ἣν νῦν ἔστε διατηρήσατε, πανταχόθεν ἀποτειχίσαντες τῷ διαβόλῳ τὴν εἴσοδον, ἵνα δαψιλεστέρας ἀπολαύσαντες τῆς τοῦ Πνεύματος χάριτος, καρποφορῆσαι δυνηθῆτε ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατὸν, καὶ μετὰ παῤῥησίας ἁπαντῆσαι ἀξιωθείητε τῷ βασιλεῖ τῶν οὐρανῶν, ὅταν παραγίνεσθαι μέλλῃ, καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ διανέμειν τοῖς μετ' ἀρετῆς τὸν παρόντα βίον διανύσασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

operum fructum per operum mercedem recepit, et gemens tremensque vitam in terris traduxit. At hic interfectus et jacens in terra, post obitum etiam majore cum fiducia loquendi facultatem ostentabat. Et quemadmodum illum sic afficiebat peccatum, ut etiamnum vivens infelicius mortuis vitam degeret: sic et istum post mortem etiam virtus illustriorem reddidit. Quocirca nos quoque ut majorem et hic et illic fiduciam nobis conciliemus, ut ampliorem ex hac festivitate lætitiam decerpamus, omnia quidem animæ sordida vestimenta rejiciamus, præcipue vero nos invidiæ veste spoliemus. Licet enim sexcentorum recte factorum meritum cumulasse videamur, si nobis hæc acerba tetraque lues negotium facessat, in nihilum cuncta recident. Faxit Deus ut ejus nos omnes expertes simus, atque illi maxime qui hodierna die per gratiam lavacri veterem peccatorum amictum abjecerunt, et ipsius solis radiis æmulum jam possunt lumen effundere. Vos igitur hortor, qui hodie in adoptionem transcripti estis, qui splendidum hunc amictum induistis, omni custodia, quo nunc præditi estis, splendorem conservate, atque omni ex parte diabolo aditum intercludite, ut copiosiori Spiritu gratia percepta fructificare possitis unum triginta, et unum sexaginta, et unum centum: ut efficiamini digni qui cum fiducia Regi cælorum occurratis, cum venturus fuerit, omnique sermone sublimiora bona distributurus illis, qui præsentem vitam cum virtute transegerint, in Christo Jesu Domino nostro, cui gloria et potestas nunc et semper, et in sæcula sæculorum. Amen.

IN PAULI ENCOMIA ADMONITIO.

Has de beati Pauli laudibus conciones memorare videtur Chrysostomus supra in homilia De Kalendis, ubi sic habet sub initium T. I, p. 698 : Πρώην γοῦν ἡμῶν ἐγκωμιαζόντων τὸν μακάριον Παῦλον, οὕτως ἐσκιρτήσατε, ὡς αὐτὸν ὁρῶντες παρόντα... καὶ ἐβουλόμην μὲν εἰς τὴν αὐτὴν ὑπόθεσιν καταβῆναι καὶ τήμερον, ἀλλὰ πρὸς ἕτερα κατεπείγοντα ἡμῖν ὁ λόγος ὥρμηται, τὰ σήμερον ὑπὸ τῆς πόλεως ἁπάσης ἁμαρτηθέντα. Τοὺς γὰρ ἀκούοντας τῶν ἐγκωμίων Παύλου, πρότερον τῆς ἀρετῆς τοῦ Παύλου ζηλωτὰς εἶναι χρὴ, καὶ τοιαύτης ἀκροάσεως ἀξίους. Id est, *Nuper igitur cum beatum Paulum encomiis celebraremus, ita exsultavistis, quasi ipsum præsentem vidissetis... Volebam autem in idem quoque argumentum hodie descendere : sed ad alia quædam, quæ magis urgent, oratio nostra provehitur, in quibus a tota hodie civitate peccatur. Eos enim qui encomia Pauli audire cupiunt, prius virtutis Pauli æmulos esse oportet, et hujusmodi concione dignos.* Hic vides conciones tum jam habitas, tum post habendas memorari, quarum ὑπόθεσις et argumentum erant encomia Pauli. Et tamen Hermantius opinatus est, illud Pauli encomium in homilia De Kalendis memoratum haberi in homilia De petitione filiorum Zebedæi, num. 3, ubi obiter Pauli laudes attingit Chrysostomus. Tillemontius vero, rejecta Hermantii opinione, putat homiliam in concione De Kalendis memoratam eam esse, cui titulus, *Quales ducendæ sint uxores*, ubi Paulus identidem laudatur. Verum, ut ex superius allatis verbis liquidum est, non agitur ibi de laudibus Pauli, quas concionibus suis, cujuslibet tandem argumenti sint, passim obiterque interserit Chrysostomus, quod sæpissime sane contingit ; sed de concionibus plurimis, quarum argumentum erant encomia Pauli : *ad eamdem*, inquit, *rursus hypothesin descendere volebam ;* [475] hoc est, rursus de Pauli laudibus concionari volebam : quo quid aliud, quæso, indicari possit, quam homiliæ de Paulo apostolo, de quibus nunc agimus ?

Ut certum est has conciones Antiochiæ habitas fuisse ; nam id aperte indicat Chrysostomus homilia quarta de Pauli laudibus, ubi de templo Apollinis in suburbio Daphnes a fulmine tacto verba facit : ita de anno, quo hæc concionatus est, nihil vel certum vel admodum probabile statui potest. Si staret calculus Tillemontii, quo homiliam de Kalendis refert in annum 387, hinc notam anni eruere liceret. Etenim, ut ante diximus, homilia illa De Kalendis post aliquam ex his septem de Paulo concionibus habita fuisse videtur, eamque cæteræ postea de Paulo homiliæ subsecutæ sunt Verum illa Tillemontii computatio vel levissimo, vel potius nullo nititur argumento, ut in Monito ad eam De Kalendis homiliam probatum est. Hoc unum expiscari possumus, cum homilia illa Kalendis Januarii habita fuerit, ex concionibus in Paulum eas, quæ homiliam de Kalendis præcessere, ante Januarium ; eas vero quæ subsecutæ sunt, post Kalendas Januarii dictas fuisse.

Restat ut de Aniano, sive Anniano, qui homilias hasce Latine interpretatus est, pauca dicamus. Hunc esse Celedensem illum diaconum Pelagianum, qui Diospolitanæ synodo interfuit, librosque pro asserenda Pelagiana hæresi scripsit, minime dubitamus, quod luculenter probavit Joannes Garnerius, Dissert. 1, post Marium Mercatorem, cap. 7. Pro hac quippe opinione pugnant documenta omnia : nimirum epistola, quam subjicimus, ad Evangelum illum, Pelagianæ sectæ presbyterum ; altera item epistola ejus ad Orontium episcopum, Pelagiano errori addictum, eaque de causa et sede pulsum, quæ epistola infra Commentario S. Joannis Chrysostomi in Matthæum præfigitur, quia octo priores ejusdem Commentarii homiliæ ab ipso Aniano Latine conversæ sunt, ut in eadem Epistola dicitur. Hinc odiosa Manichæorum Traducianorumque nomina, quibus S. Augustinum, etsi non nominet, et Catholicos gratiæ Christi defensores appellat. Denique ex ipsis Anniani verbis, eum has conciones Latine ideo transtulisse arguitur, quod putaret Pelagiano tuendo errori opportunas. « Quod quidem opus, inquit, eo esse apud te amabilius debet et gratius, quod de sanctarum Scripturarum luce rutilans, clarissimi sideris vice noctem Manichæi erroris exagitat. Quantum vero nobis consolationis exoritur, cum cernimus tam erudito tamque illustri Orientis magistro eam, quam in nobis Traducianus oppugnat, astrui veritatem, quam certe beatus Joannes, ut in omnibus libris suis, ita hic quoque ab omni munitam latere custodit, armat, accendit, ut videatur non tam præsentes informasse discipulos, quam nobis contra veræ fidei oppugnationem auxilia præparasse. Quantus enim ille adversus necessitatem, quantus pro libero surgit arbitrio ; quam nostrorum libris ubique concinens, voluntatis jure servato divinæ gratiæ præsidia commendat... Primo beatum Paulum libello et omnibus præferendo sanctis, et angelis conferendo. Secundo, ex virtutibus ejus atque sententiis bonum asserendo naturæ, etc. » Quæ sane verba, etsi Pelagianum circa interiorem Christi gratiam errorem non aperte præ se ferant (solebant quippe Pelagiani callide fucatisque verbis virus hæresis suæ obtegere), attamen quod illi contra Augustinum et Catholicos perpetuo occinebant : nempe illos necessitatem inferre

voluntati, et liberum arbitrium tollere, hic expressum videmus ; ita ut nihil subsit dubii, quin hic ipse sit Anianus qui pro Pelagiana hæresi inter primipilares dimicabat.

Interpretatio ejus Latina, quam edimus, nec inelegans est, nec accuratione caret : fateorque me in paucos priscæ illius vetustatis interpretes incidisse qui diligentius verterent. In nonnullis tamen locis sensum non est assecutus Anianus ; quod ubi accidit, in margine, vera substituta interpretatione, monere non neglexi. Neque uspiam deprehendi illum, ut Pelagianæ faveret hæresi, sensum alio detorsisse. Ejus epistolam hic subjungimus.

DOMINO SANCTO EVANGELIO, PRESBYTERO,

ANIANUS SALUTEM.

Recenti experimento didici, quam sint utilia obsequentibus imperia bonorum, qui rectiore quadam ingredientes benignitatis via, beneficia deferunt sub specie jussionis. Quid enim mihi jucundius, quid fructuosius imperare potuisti, quam ut ex beati viri sancti Joannis operibus in nostram linguam [478] aliqua transferrem, id est, VII ejusdem libellos, quibus super Pauli apostoli laudibus in Ecclesia aliquando disseruit ? In quo mihi, etsi in sermone peregrino admodum rudi, plus evenit tamen voluptatis et commodi, quam laboris. Secutum est enim ut cum, dum tibi vertere conor e Græco, pressius ipse combiberem, pleniusque tam insignis doctrinæ veritate perfruerer, maxime cum ubique dives ingenium in materia locupletiore versetur. Beatus enim hic Paulus exprimitur, non fucatæ alicujus laudis adumbratus coloribus, sed inviolabili virtutum suarum veritate formatus, quem tam integre ubique, tam solide, nunc ex magnitudine operum, nunc ex illuminatione dictorum, modo ex consilio vario, modo ex dispensationum profundo, tum ex tolerantia passionum, tum ex claritate signorum eximius laudator asseruit, ut eum non depinxisse solum, verum quasi ad præbendum rursus perfectionis exemplum resuscitasse quodammodo videatur. Nam cum ab aliis cæterorum merita laudantur, usitatum quiddam solet atque exile resonare, et velut in superficie circumvagante sermone, virtutes ipsæ nominibus magis suis ad commemorationem videntur venire, quam rebus. Beatus vero Joannes Paulum altius intuendo, dilucideque in medium proferendo, ipsas mihi videtur inspexisse venas ac medullas expressisse virtutum. Quæ ita omnes in ista laudatione vivunt, et ita floribus suis decorantur et fructibus, ut eas prope non minus ab hoc sublimiter explicatas, quam ab apostolo fortasse miremur. Quod quidem opus eo esse apud te amabilius debet et gratius, quod de sanctarum Scripturarum luce rutilans, clarissimi sideris vice, noctem Manichæi erroris exagitat. Quantum vero nobis consolationis exoritur, cum cernimus, tam erudito tamque illustri Orientis magistro, eam, quam in nobis Traducianus oppugnat, astrui veritatem, quam certe beatus Joannes, ut in omnibus libris suis, ita hic quoque ab omni munitam latere custodit, armat, accendit, ut videatur non tam præsentes informasse discipulos, quam nobis contra veræ fidei oppugnationem auxilia præparasse. Quantus enim ille adversus necessitatem, quantus pro libero surgit arbitrio, quam nostrorum libris ubique concinens, voluntatis jure servato divinæ gratiæ præsidia commendat, quam contra omnium vitiorum tenebras, quam pro cunctarum speculo virtutum splendidissimum vas electionis opponit ! Primo beatum Paulum libello et omnibus præferendo sanctis, et angelis conferendo. Secundo, ex virtutibus ejus atque sententiis bonum asserendo naturæ. Tertio, charitatem ejus pro cunctorum salute ferventissimam comprobando. Quarto de vocatione ejus et confirmata ubique ab ipso Evangelii veritate dicendo. Quinto, de passionibus ejus et dispensationum varietatibus disserendo. Sexto, solvendo omnes illas quæstiones, quibus Traducianus innitens, beatum Paulum vitiorum obfuscatione commaculat, ut scilicet fidelibus suis apostolico exemplo peccata conciliet. Septimo, ignem zeli ejus in Christo et ante honorem quoque apostolatus fervorem docendi supra cæteros efferendo, ut satis liquido clareat exstinctam esse peccandi necessitatem, quam adversus Manichæos et doctrina apostoli deprælialur et vita. Verum nos in tam egregii interpretatione operis, etsi nihil ut puto de sensuum veritate, non tamen parum de eloquii venustate perdidimus, splendorem tam nobilis styli et elocutionum gratiam exprimere non valentes : sed ne sic quidem te istud imperasse pœniteat. Neque enim verendum tibi est ne forte asperitate translationis offensus, lectionis hujus careas voluptate, cum quidquid nobis ex cultu defuit ornatuque verborum, id totum illius, quem transtulimus, magnifica inventa compensent. Est enim sanctus Joannes tam clarus totus ac fulgidus, ut facile possit sententiarum suarum lumine etiam inter nostri sermonis nubila coruscare.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

Ὁμιλία α'.

Οὐκ ἄν τις ἁμάρτοι λειμῶνα ἀρετῶν καὶ παράδεισον πνευματικὸν καλέσας τὴν Παύλου ψυχήν· οὕτω [477] πολὺ μὲν ἦνθει τῇ χάριτι, ἀξίαν δὲ τῆς χάριτος ἐπεδείκνυτο τῆς ψυχῆς τὴν φιλοσοφίαν. Ἐπειδὴ γὰρ σκεῦος ἐκλογῆς γέγονε, καὶ καλῶς ἑαυτὸν ἐξεκάθηρε, δαψιλὴς ἡ τοῦ Πνεύματος ἐξεχύθη εἰς αὐτὸν δωρεά. Ὅθεν ἡμῖν καὶ τοὺς θαυμαστοὺς ἔτεκε ποταμούς, οὐ κατὰ τὴν τοῦ παραδείσου πηγὴν τέσσαρας μόνους, ἀλλὰ πολλῷ πλείους καθ' ἑκάστην ῥέοντας τὴν ἡμέραν, οὐ τὴν γῆν ἄρδοντας, ἀλλὰ τὰς τῶν ἀνθρώπων ψυχὰς εἰς καρποφορίαν ἀρετῆς διεγείροντας. Τίς οὖν ἀρκέσει λόγος τοῖς τούτου κατορθώμασιν; ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων ἐκείνου; Ὅταν γὰρ ἅπαντα τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ' ὑπερβολῆς, οὐ μόνον δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων, πῶς περιεσόμεθα τοῦ μεγέθους τῶν ἐγκωμίων; Οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ δι' αὐτὸ, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐροῦμεν. Καὶ γὰρ καὶ τοῦτο ἐγκωμίου μέγιστον εἶδος, τὸ νικᾷν τῶν κατορθωμάτων τὸ μέγεθος μετὰ πάσης περιουσίας τοῦ λόγου τὴν εὐκολίαν, καὶ ἡ ἥττα μυρίων τροπαίων ἐστὶν ἡμῖν λαμπροτέρα. Πόθεν οὖν εὔκαιρον εἴη ἂν ἅψασθαι τῶν ἐγκωμίων; Πόθεν ἄλλοθεν, ἢ ἀπ' αὐτοῦ τούτου πρώτου, τοῦ δεῖξαι τὰ ἁπάντων ἔχοντα ἀγαθά; Εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε ἀπόστολοι, εἴτε μάρτυρες, πάντα ταῦτα ὁμοῦ συλλαβὼν ἔχει μετὰ τοσαύτης ὑπερβολῆς μεθ' ὅσης οὐδεὶς ἐκείνων, ὅπερ ἕκαστος εἶχε καλὸν, ἐκέκτητο. Σκόπει δέ· Προσήνεγκεν Ἄβελ θυσίαν, καὶ ἐντεῦθεν ἀνακηρύττεται· ἀλλ' ἐὰν τὴν Παύλου θυσίαν εἰς μέσον ἀγάγῃς, τοσοῦτον δείκνυται βελτίων ἐκείνης, ὅσον τῆς γῆς ὁ οὐρανός. Ποίαν οὖν βούλεσθε εἴπω; οὐδὲ γὰρ μία μόνον ἐστί. Καὶ γὰρ ἑαυτὸν καθ' ἑκάστην κατέθυεν ἡμέραν, καὶ ταύτην πάλιν διπλῆν ἐποίει τὴν προσφοράν· τοῦτο μὲν καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων, τοῦτο δὲ τὴν νέκρωσιν ἐν τῷ σώματι αὐτοῦ περιφέρων. Καὶ γὰρ πρὸς κινδύνους διηνεκῶς παρετάττετο, καὶ ἐσφάττετο τῇ προαιρέσει, καὶ τῆς σαρκὸς τὴν φύσιν οὕτως ἐνέκρωσεν, ὡς τῶν σφαγιαζομένων ἱερείων μηδὲν ἔλαττον διακεῖσθαι, ἀλλὰ καὶ πολλῷ πλέον. Οὐδὲ γὰρ βοῦς καὶ πρόβατα προσέφερεν, ἀλλ' ἑαυτὸν διπλῇ καθ' ἑκάστην ἐσφαγίαζε τὴν ἡμέραν. Διὸ καὶ ἐθάῤῥησεν εἰπεῖν, *Ἐγὼ γὰρ ἤδη σπένδομαι*, σπονδὴν ἑαυτοῦ τὸ αἷμα καλέσας.

Οὐ μὴν ἠρκέσθη ταῖς θυσίαις ταύταις, ἀλλ' ἐπειδὴ καλῶς ἑαυτὸν καθιέρωσε, καὶ τὴν οἰκουμένην προσήνεγκε, καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς ὅσην ἥλιος ἐφορᾷ γῆν, ταύτην, καθάπερ ὑπόπτερός τις γενόμενος, ἐπῆλθε πᾶσαν, οὐχ ἁπλῶς ὁδοιπορῶν, ἀλλὰ τὰς ἀκάνθας τῶν ἁμαρτημάτων ἀνασπῶν, καὶ τὸν λόγον τῆς εὐσεβείας κατασπείρων, τὴν πλάνην ἀπελαύνων, τὴν ἀλήθειαν ἐπανάγων, ἐξ ἀνθρώπων ἀγγέλους ποιῶν, μᾶλλον δὲ ἀπὸ δαιμόνων ἀγγέλους τοὺς ἀνθρώπους. Διὸ καὶ μέλλων ἀπιέναι μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰ πυκνὰ ταῦτα τρόπαια, παραμυθούμενος τοὺς μαθητὰς, [478] ἔλεγεν· *Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· διὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.* Τί τοίνυν γένοιτ' ἂν τῆς θυσίας ταύτης ἴσον, ἣν τὴν μάχαιραν τοῦ Πνεύματος σπασάμενος ἔθυσεν, ἣν ἐν τῷ θυσιαστηρίῳ προσήγαγε τῷ ὑπεράνω τῶν οὐρανῶν; Ἀλλ' ἀνῃρέθη δολοφονηθεὶς ὑπὸ τοῦ Κάϊν ὁ Ἄβελ, καὶ ταύτῃ λαμπρότερος γέγονεν; Ἀλλ' ἐγώ σοι μυρίους ἠρίθμησα θανάτους, καὶ τοσούτους, ὅσας ἡμέρας κηρύττων ἔζησεν ὁ μακάριος οὗτος. Εἰ δὲ καὶ τὴν μέχρι τῆς πείρας αὐτῆς προελθοῦσαν βούλει μαθεῖν σφαγὴν, ἐκεῖνος μὲν ὑπὸ τοῦ ἀδελφοῦ μήτε ἀδικηθέντος, μήτε εὐεργετηθέντος κατέπεσεν· οὗτος δὲ ὑπὸ τούτων ἀνῃρεῖτο, οὓς ἐξαρπάσαι τῶν μυρίων ἐπείγετο κακῶν, καὶ δι' οὓς πάντα ἔπασχεν, ἅπερ ἔπαθεν. Ἀλλὰ Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ, καὶ μόνος ἐν ἅπασι τοιοῦτος ἦν; Ἀλλὰ καὶ Παῦλος μόνος [a] ἐν ἅπασι τοιοῦτος. Καὶ ἐκεῖνος μὲν ἑαυτὸν μετὰ τῶν παίδων διέσωσε μόνον· οὗτος δὲ, πολὺ χαλεπωτέρου τὴν οἰκουμένην κατακλυσμοῦ καταλαβόντος, οὐ σανίδας πηξάμενος καὶ κιβωτὸν ποιήσας, ἀλλ' ἀντὶ σανίδων τὰς ἐπιστολὰς συνθεὶς, οὐ δύο καὶ τρεῖς καὶ πέντε συγγενεῖς, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν, καταποντίζεσθαι μέλλουσαν, ἐκ μέσων ἥρπασε τῶν κυμάτων. Οὐδὲ γὰρ τοιαύτη ἦν ἡ κιβωτὸς, ὡς ἐν ἑνὶ περιφέρεσθαι τόπῳ, ἀλλὰ τὰ τέρματα τῆς οἰκουμένης κατέλαβε, καὶ ἐξ ἐκείνου πάντας εἰσάγει μέχρι τοῦ νῦν εἰς τὴν λάρνακα ταύτην. Σύμμετρον γὰρ τῷ πλήθει τῶν σωζομένων αὐτὴν κατασκευάσας, δεχόμενος ἀλόγων ἀνοητοτέρους, ταῖς ἄνω δυνάμεσιν ἐφαμίλλους ἐργάζεται, καὶ ταύτῃ νικῶν τὴν κιβωτὸν ἐκείνην. Ἐκείνη μὲν γὰρ κόρακα λαβοῦσα, κόρακα πάλιν ἐξέπεμψε, καὶ λύκον ὑποδεξαμένη, τὴν θηριωδίαν οὐ μετέβαλεν· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ λαβὼν λύκους, πρόβατα εἰργάσατο, καὶ λαβὼν ἱέρακας καὶ κολοιοὺς, περιστερὰς τούτους ἀπ-

[a] In Reg. deest μόνος.

DE LAUDIBUS SANCTI PAULI

APOSTOLI.

HOMILIA I (*a*).

Nihil prorsus erraverit, qui pratum quoddam insigne virtutum, et paradisum spiritualem Pauli animum nuncupaverit : tam multa enim gratia floruit, tamque huic gratiæ congruente vitæ perfectione resplenduit : quoniam enim vas electionis effectus est, et bene semetipsum emendare curavit, largissime in eum sancti Spiritus munus effusum est. Unde et mirabiles nobis fluvios genuit, non secundum paradisi fontes quatuor tantum, sed multo etiam plures et quotidie fluentes : non terram rigantes, sed animas hominum ad producenda virtutum germina suscitantes. Quis ergo ipsius meritis sufficiet sermo? quæ autem lingua laudibus ejus invenietur æqualis, cum omnia quæ sunt in hominibus bona, una anima possideat, et ea cuncta plene atque cumulate, quæ non solum hominum sunt, sed etiam, quod est amplius, angelorum? Nequaquam ergo possumus ejus explicare præconia : nec tamen idcirco reticebimus, quin potius propterea dicemus. Est enim hoc maximum laudis genus, cum orationis copiam virtus exsuperat, et magnitudo laudati : sicque vinci nobis est multo gloriosius, quam sæpe vicisse. Unde igitur opportunius laudum ejus sumemus exordium? Unde, inquam, incipiemus aliunde, nisi ab hoc ipso primum, ut ostendamus eum bona omnium possidentem? Sive enim prophetæ potentius in se aliquid ostenderunt, magisque mirabile, sive patriarchæ, sive justi, sive apostoli, sive martyres, hæc omnia simul colligens Paulus cum tanto habet cumulo, cum quanto nullus eorum bonum, quo excellebat, implevit. Hoc itaque diligentius intuere. Abel obtulit sacrificium, et inde laudatur (*Gen.* 4. 4); sed si Pauli hostiam adducamus in medium, quantum cælum terra, superior apparebit. Quam ergo vultis ut memorem? non enim una tantum est : siquidem semetipsum per dies singulos immolabat : quam tamen rursus hostiam dupliciter offerebat, cum quotidie moriens (1. *Cor.* 15. 31), tum in corpore suo mortificationem sine intermissione circumferens (2 *Cor.* 4. 10). Nam et ad pericula jugiter parabatur consummans voluntate martyrium, et naturam in se mortificando carnis, nihil minus quam immolatæ Deo hostiæ munus implebat, imo etiam multo amplius Non enim oves offerebat, aut boves, sed semetipsum per dies singulos dupliciter, ut diximus, immolabat : propter quod confidens dixit : *Ego enim jam immolor* (2. *Tim.* 4. 6), sanguinem utique suum immolationem vocans.

Quæ sacrificia Paulus offerret. — Neque vero his tantummodo sacrificiis contentus fuit : sed quia bene se ipsum consecraverat Deo, etiam orbem universum studuit offerre : qui terram videlicet ac mare, Græciam simul ac Barbariam, omnemque prorsus, quanta est sub cælo, regionem, quasi volitans, circumivit, non simplici labore, veluti in vacuum itinera percurrens ; sed peccatorum spinas pariter evellens, et verbum seminans ubique pietatis, fugans errores, veritatem reducens, ex hominibus angelos faciens : quin imo ipsos homines quasi ex dæmonibus in angelos provehens. Propter quod jam hinc post sudores plurimos ac tropæa innumerabilia transiturus, pro discipulorum consolatione dicebat : *Sed et si immolor super sacrificium et obsequium fidei vestræ, gaudeo, et congratulor omnibus vobis : propter quod et vos gaudete, et congratulamini mihi* (*Philipp.* 2. 17. 18). Quidnam igitur huic hostiæ reperietur æquale, quam Paulus stricto sancti Spiritus gladio immolavit, quamque in illo altari obtulit, quod supra cælos locatum est? Sed Abel dolo germani percussus occubuit (*Gen.* 4) : atque hinc effectus est clarior. At ego innumeras tibi ostendam mortes, tot utique, quot etiam dies beatus iste in prædicatione vixit. Si vero eam quoque vis nosse mortem, quæ novissime etiam rebus impleta est : Abel quidem a fratre, ut nihil a se læso, ita nullis affecto beneficiis interemptus est ; Paulus vero ab iis interfectus est, quos innumeris malis cupiebat eripere, et propter quos sustinuit universa quæ passus est. Sed Noe justus in generatione sua, atque perfectus, et solus erat talis in cunctis (*Gen.* 6. 9): sed et Paulus solus inter omnes talis. Et ille quidem se tantummodo legitur servasse cum liberis ; hic autem multo sæviore mundum inundante diluvio, non arcam coaptando compaginibus tabularum, sed epistolas componendo pro tabulis, non duos vel tres aut quinque cognatos, sed universum prorsus orbem mergi periclitantem ex mediis fluctibus liberavit. Nec vero erat hæc talis arca, ut uno circumferretur loco, quæ utique orbis terrarum terminos comprehendit. Nam usque nunc omnes in hanc arcam Paulus inducit, quam certe capacem salvandæ multitudinis præparavit, quæ suscipiens irrationabilibus pene animalibus stultiores, imitatores efficit angelorum. Et hinc quoque illam vincit arcam, quia illa quidem corvum recipiens, corvum rursus emisit (*Gen.* 8), et includens lupum, feritatem ejus mutare non potuit : hæc vero non ita, sed acceptos lupos oves reddidit, accipitres milvosque suscipiens

(*a*) Col. cum Cod. Reg. 1936, in quo prima solum habetur.

fecit columbas (*a*), et excludens omnem irrationabilitatem atque ferocitatem, mansuetudinem Spiritus introduxit : manetque hodie hæc arcana navigans, nec tamen aliquando dissolvitur, nec valet tabulas ejus ulla malitiæ laxare tempestas : quin potius ipsa tempestatis motus navigando compescuit, quod satis consequenter effectum est. Non enim bitumine aut pice, sed sancto Spiritu ejus tabulæ sunt perunctæ. Sed Abraham mirantur omnes, quia cum audisset : *Abraham, exi de terra tua, et de cognatione tua* (*Gen.* 12. 1) : et domum reliquit et patriam, et amicos atque cognatos, quorum omnium jacturam solo divini præcepti amore compensabat : nam et nos eum propterea miramur. Sed quid Paulo possit æquari ? qui non modo patriam, cognatos, ac domum, sed ipsum quoque mundum reliquit : imo etiam cælum, et cælum cæli, et hæc omnia Christum suspiciendo despexit : unum pro cunctis et solum, id est, Christi caritatem requirens, *Neque præsentia*, inquit, *neque futura, neque altitudo, neque profundum, neque alia creatura poterit nos separare a caritate Dei, quæ est in Christo Jesu Domino nostro* (*Rom.* 8. 38. 39). Sed Abraham seipsum in periculum tradens, hostibus filium fratris eripuit; at Paulus non fratris filium, neque tres aut quinque urbes, sed orbem universum de ipsa dæmoniorum extorsit manu, innumerabilia per dies singulos pericula sustinendo, propriisque mortibus maximam securitatem aliis comparando. Caput bonorum ejusque culmen philosophiæ est, filium sacrificavisse ; sed hic quoque inveniemus Paulum primas partes tenentem, qui non filium, sed semetipsum, ut dixi, millies immolavit. In Isaac quidem aliquis admiratur, et alias quidem plurima, sed præcipue patientiam : quoniam puteos fodiens, et propriis exagitatus laboribus (*b*) (*Gen.* 26), minime resistebat : sed factos a se puteos obrui patiebatur, atque ad alium semper migrabat locum. Neque collecta suorum manu in adversarios irruebat, sed propria possessione ubique cedebat, quoadusque iniquissimam illorum expleret cupiditatem. At Paulus non puteos cernens lapidibus obrutos, sed proprium corpus, non solum sicut ille cedebat, sed etiam eos a quibus lapidabatur, in cælum studebat evehere. Quanto enim amplius obruebatur fons iste, tanto erumpebat magis, ac plures ex se fluvios effundendo, manabat. De longanimitate ac patientia hujus filium Jacob admiratur Scriptura. Et quænam illa est tam adamantina prorsus anima, quæ Pauli patientiam possit imitari ? Neque enim bis septem annorum, sed totius vitæ servitium pro sponsa pertulit Christi, non adustus solum æstu diei et noctis gelu, sed tentationes mille perpetiens : et nunc quidem verberibus, nunc vero lapidibus scissus atque collisus, et nunc quidem cum bestiis, modo autem fluctibus pugnans : modo etiam nimiæ atque continuæ reluctans fami diebus atque noctibus, et inter certamina ubique prosiliens (2. *Cor.* 11.), captas oves ex diaboli faucibus extrahebat. Sed et Joseph pudicitiæ virtute decoratus est (*Gen.* 39) ; at ego vereor ne jam ridiculum sit hinc Paulum velle laudare, qui semet ipsum mundo crucifigens (*Galat.* 6), non solum humanorum corporum pulchritudines, sed omnia ita cernebat, quemadmodum nos favillam cineremque despicimus, qui quasi mortuus prorsus ad mortuum immobilis permanebat. Itaque cum tanta animi cura comprimeret incentiva vitiorum et naturæ, nihil humanum ab aliquo aliquando perpessus est.

Paulus cum Job confertur. — Stupent certe Job omnes homines, et valde utique convenienter. Est enim ille athleta mirabilis : et qui Paulum ipsum velut ex adverso possit aspicere ob patientiam puritatemque vitæ, ob testimonium Dei, propter illam cum diabolo fortissimam pugnam, propter victoriam quæ pugnam sequuta est ; at Paulus non mensibus tantum, sed annis plurimis in agone perdurans, tam clarus emicuit, non terræ gleba saniem carnis eradens, sed in ipsius intelligibilis os leonis frequenter incurrens, et pugnans adversus tentationes innumeras, omni erat lapide tolerantior, qui non a tribus aut quatuor amicis, sed a cunctis infidelibus, a falsis etiam fratribus opprobria sustinebat, consputatus ab omnibus, atque maledictus. Sed illius erat magna hospitalitas, et cura pauperum : nec nos quidem istud negamus ; sed Pauli eam liberalitate inferiorem docemus, et tanto inferiorem, quanto anima est corpus inferius. Quam enim ille curam impendebat carne debilibus, hanc iste anima morbidis exhibebat, nunc mentis sensibus claudicantes dirigendo in recti itineris incessum, nunc nuditate deformes stola cælestis philosophiæ vestiendo. In corporalibus quoque beneficiis tanto ille superabat, quanto est amplius in fame et egestate viventem indigentibus ferre præsidium, quam id ipsum de divitiarum affluentia ministrare. Nam illius quidem omni advenienti aperiebatur domus, hujus vero anima universo patebat orbi, ac fidelium populos benignæ mentis recipiebat hospitio, dicens : *Non angustiamini in nobis, angustiamini autem in visceribus vestris* (2. *Cor.* 6. 12). Et ille quidem cum oves et boves haberet innumeras, erat in pauperes liberalis; hic vero nihil amplius corpore suo possidens, de hoc ipso sufficienter indigentibus ministrabat : quod alicubi ipse commemorans, *Necessitatibus*, inquit, *meis, et his qui mecum erant ministraverunt manus istæ* (*Act.* 20. 34). Corporis enim sui operam velut ex quadam possessione fructus esurientibus deputabat. Sed vermes videlicet, atque vulnera, sævos atque intolerabiles sancto Job inferebant dolores : et ego fateor ; sed si per tam multos annos Pauli verbera, et cum jugi fame etiam nuditatem, catenas, carcerem, insidias, periculaque consideres, quæ a domesticis, ab extraneis, a tyrannis, a toto postremo patiebatur orbe : addas huc etiam his profecto amariora, id est, pro eis qui labebantur, dolores, sollicitudinem, quam pro Ecclesiis omnibus, ustionem, quam pro scandalizatis singulis perferebat, videbis quia omni erat saxo

(*a*) Hæc habentur in aliqua Homiliarum de Pœnitentia, quæ olim tertia numerabatur ; nunc autem est octava, et in quinta de Lazaro.

(*b*) Græca versio habet, *proprie exactus finibus*.

ετέλεσε, καὶ πᾶσαν ἀλογίαν καὶ θηριωδίαν τῆς τῶν ἀνθρώπων φύσεως ἐκβαλὼν, τὴν τοῦ Πνεύματος ἐπεισήγαγεν ἡμερότητα, καὶ μέχρι νῦν μένει πλέουσα ἡ κιβωτὸς αὕτη, καὶ οὐ διαλύεται. Οὐδὲ γὰρ ἴσχυσεν αὐτῆς τὰς σανίδας χαυνῶσαι τῆς κακίας ὁ χειμών, ἀλλ' ὑπερπλέουσα μᾶλλον τοῦ χειμῶνος, τὴν ζάλην κατέλυσε· καὶ μάλα εἰκότως· οὐ γὰρ ἀσφάλτῳ καὶ πίσσῃ, ἀλλὰ Πνεύματι ἁγίῳ κεχρισμέναι αἱ σανίδες αὗταί εἰσιν. Ἀλλὰ τὸν Ἀβραὰμ θαυμάζουσιν ἅπαντες, ὅτι ἀκούσας, *Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου*, ἀφῆκε πατρίδα, καὶ οἰκίαν, καὶ φίλους καὶ συγγενεῖς, καὶ πάντα ἦν αὐτῷ τὸ ἐπίταγμα τοῦ Θεοῦ; Καὶ γὰρ καὶ ἡμεῖς τοῦτο θαυμάζομεν. Ἀλλὰ τί Παύλου γένοιτ' ἂν ἴσον; Ὃς οὐ πατρίδα καὶ οἰκίαν καὶ συγγενεῖς ἀφῆκεν, ἀλλ' αὐτὸν τὸν κόσμον διὰ τὸν Ἰησοῦν, μᾶλλον δὲ αὐτὸν τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ὑπερεῖδε, καὶ ἓν μόνον ἐζήτει, τοῦ Ἰησοῦ τὴν ἀγάπην. Καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος· *Οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα*, [479] *οὔτε ὕψωμα, οὔτε βάθος δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ.* Ἀλλ' ἐκεῖνος εἰς κινδύνους ῥίπτων ἑαυτὸν, τὸν ἀδελφιδοῦν ἐξήρπασε τῶν βαρβάρων; Ἀλλ' οὗτος οὐ τὸν ἀδελφιδοῦν, οὐδὲ τρεῖς καὶ πέντε πόλεις, ἀλλὰ τὴν οἰκουμένην πᾶσαν, οὐκ ἀπὸ βαρβάρων, ἀλλ' ἀπ' αὐτῆς τῆς τῶν δαιμόνων ἐξήρπασε χειρὸς, μυρίους καθ' ἑκάστην ὑπομένων κινδύνους, καὶ τοῖς οἰκείοις θανάτοις ἑτέροις πολλὴν ἀσφάλειαν κτώμενος. Ἀλλ' ἐκεῖ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἐστι καὶ ἡ κορωνὶς τῆς φιλοσοφίας, τὸ τὸν υἱὸν καταθῦσαι; Ἀλλὰ καὶ ἐνταῦθα τὰ πρωτεῖα παρὰ τῷ Παύλῳ ὄντα εὑρήσομεν· οὐ γὰρ υἱὸν, ἀλλ' ἑαυτὸν μυριάκις κατέθυσεν, ὅπερ ἔφθην εἰπών. Τί ἄν τις θαυμάσειε τοῦ Ἰσαάκ; Πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ τὴν ἀνεξικακίαν, ὅτι φρέατα ὀρύττων, καὶ τῶν οἰκείων ἐλαυνόμενος ὅρων, οὐκ ἐπεξῆει, ἀλλὰ καὶ καταχωννύμενα ὁρῶν ἠνείχετο, καὶ πρὸς ἕτερον ἀεὶ μεθίστατο τόπον, οὐχ ὁμόσε [ἀεὶ] τοῖς λυποῦσι χωρῶν, ἀλλ' ἐξιστάμενος καὶ παραχωρῶν πανταχοῦ τῶν οἰκείων κτημάτων, ἕως αὐτῶν τὴν ἄδικον ἐκόρεσεν ἐπιθυμίαν. Ἀλλ' ὁ Παῦλος οὐ φρέατα λίθοις καταχωννύμενα ὁρῶν, ἀλλὰ τὸ ἑαυτοῦ σῶμα, οὐ παρεχώρει, καθάπερ ἐκεῖνος, μόνον, ἀλλ' εἰσιὼν τοὺς λίθοις βάλλοντας αὐτὸν εἰς τὸν οὐρανὸν ἀνάγειν ἐφιλονείκει· ὅσῳ γὰρ κατεχώννυτο ἡ πηγὴ, τοσούτῳ μᾶλλον ἐξερρήγνυτο, καὶ πλείους ἐξέχεε ποταμοὺς εἰς ὑπομονήν. Ἀλλὰ τὸν παῖδα τὸν τούτου θαυμάζει τῆς καρτερίας ἡ Γραφή; Καὶ ποία ἀδαμαντίνη ψυχὴ τὴν Παύλου δύναιτ' ἂν ἐπιδείξασθαι ὑπομονήν; Οὐδὲ γὰρ δὶς ἑπτὰ ἔτη ἐδούλευσεν, ἀλλὰ τὸν πάντα βίον ὑπὲρ τῆς τοῦ Χριστοῦ νύμφης, οὐ συγχαιόμενος μόνον τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἀλλὰ μυρίας νιφάδας πειρασμῶν ὑπομένων, νῦν μὲν μάστιγας λαμβάνων, νῦν δὲ λίθοις τὸ σῶμα βαλλόμενος, καὶ νῦν μὲν θηρίοις μαχόμενος, νῦν δὲ πελάγει πυκτεύων, καὶ λιμῷ διηνεκεῖ ἡμέρας καὶ νυκτὸς, καὶ κρυμῷ, καὶ πανταχοῦ ὑπὲρ τὰ σκάμματα πηδῶν, καὶ τὰ πρόβατα ἀπὸ τῆς τοῦ διαβόλου φάρυγγος ἁφαρπάζων. Ἀλλὰ σώφρων ὁ Ἰωσήφ; Ἀλλὰ δέδοικα μὴ γέλως ᾖ τὸν Παῦλον ἐντεῦθεν ἐγκωμιάζειν, ὃς ἐσταύρωσεν ἑαυτὸν τῷ κόσμῳ, καὶ οὐ τὰ λαμπρὰ ἐν τοῖς σώμασι μόνον, ἀλλὰ πάντα τὰ πράγματα οὕτως ἐώρα, ὡς ἡμεῖς τὴν κόνιν καὶ τὴν τέφραν, καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο. Οὕτω μετὰ ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώπινον πάθος ἔπαθεν.

Ἐκπλήττονται τὸν Ἰὼβ ἅπαντες ἄνθρωποι; Καὶ μάλα εἰκότως· καὶ γὰρ μέγας ἀθλητὴς, καὶ πρὸς αὐτὸν τὸν Παῦλον παρισοῦσθαι δυνάμενος, διὰ τὴν ὑπομονὴν, διὰ τὴν τοῦ βίου καθαρότητα, διὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν, διὰ τὴν καρτερὰν μάχην ἐκείνην, διὰ τὴν θαυμαστὴν νίκην τὴν μετὰ τὴν μάχην. Ἀλλὰ Παῦλος οὐχὶ μῆνας πολλοὺς ἀγωνιζόμενος οὕτω διῆγεν, ἀλλ' ἔτη πολλὰ, οὐχὶ τήκων βώλακας γῆς ἀπὸ ἰχῶρος καὶ ἐπὶ κοπρίας καθήμενος, ἀλλ' εἰς αὐτὸ τοῦ λέοντος τὸ νοητὸν στόμα συνεχῶς ἐμπίπτων, καὶ μυρίοις παλαίων πειρασμοῖς, [480] πάσης πέτρας στερρότερος ἦν· οὐχὶ παρὰ τριῶν φίλων, ἢ τεσσάρων, ἀλλὰ παρὰ πάντων ὀνειδιζόμενος τῶν ἀπιστούντων ψευδαδέλφων, ἐμπτυόμενος, λοιδορούμενος. Ἀλλ' ἡ φιλοξενία τοῦ Ἰὼβ μεγάλη, καὶ ἡ πρὸς τοὺς δεομένους κηδεμονία; Οὐδὲ ἡμεῖς ἀντεροῦμεν· ἀλλὰ τῆς Παύλου τοσοῦτον καταδεεστέραν εὑρήσομεν, ὅσον ψυχῆς σῶμα ἀφέστηκεν. Ἃ γὰρ ἐκεῖνος περὶ τοὺς τὴν σάρκα πεπηρωμένους ἐπεδείκνυτο, ταῦτα οὗτος περὶ τοὺς τὴν ψυχὴν λελωβημένους ἔπραττε, πάντας τοὺς χωλοὺς καὶ ἀναπήρους τὸν λογισμὸν διορθούμενος, καὶ τοὺς γυμνοὺς καὶ ἀσχημονοῦντας περιβάλλων τῇ τῆς φιλοσοφίας στολῇ· καὶ ἐν τοῖς σωματικοῖς δὲ τοσοῦτον αὐτοῦ περιῆν, ὅσῳ πολλῷ μεῖζον τὸν πενίᾳ συζῶντα [a] καὶ λιμῷ βοηθεῖν τοῖς δεομένοις, τοῦ ἐκ περιουσίας τοῦτο ποιεῖν· καὶ τοῦ μὲν ἡ οἰκία παντὶ ἐλθόντι ἀνέῳκτο, τοῦ δὲ ἡ ψυχὴ πάσῃ τῇ οἰκουμένῃ ἤπλωτο, καὶ ὁλοκλήρους δήμους ὑπεδέχετο. Διὸ καὶ ἔλεγεν· *Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.* Καὶ ὁ μὲν, προβάτων αὐτῷ καὶ βοῶν ὄντων ἀπείρων, φιλότιμος περὶ τοὺς δεομένους ἦν· οὗτος δὲ, οὐδὲν πλέον κεκτημένος τοῦ σώματος, ἀπ' αὐτοῦ τούτου τοῖς δεομένοις ἐπήρκει, καὶ βοᾷ λέγων· *Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται*, τὴν ἀπὸ τοῦ σώματος ἐργασίαν πρόσοδον τοῖς πεινῶσι καὶ λιμώττουσι κεκτημένος. Ἀλλὰ οἱ σκώληκες καὶ τὰ τραύματα χαλεπὰς καὶ ἀκαρτερήτους παρεῖχον τῷ Ἰὼβ τὰς ὀδύνας; Ὁμολογῶ κἀγώ· ἀλλ' ἐὰν τὰς ἐν τοσούτοις ἔτεσι τοῦ Παύλου μάστιγας, καὶ τὸν λιμὸν τὸν διηνεκῆ, καὶ τὴν γυμνότητα, καὶ τὰς ἁλύσεις, καὶ τὸ δεσμωτήριον, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλὰς, τὰς παρὰ τῶν οἰκείων, τὰς παρὰ τῶν ἀλλοτρίων, τὰς παρὰ τῶν τυράννων, τὰς παρὰ τῆς οἰκουμένης ἁπάσης ἀντιθῇς, καὶ μετὰ τούτων τὰ τούτων πικρότερα, λέγω δὴ τὰς ὑπὲρ τῶν πιπτόντων ὀδύνας, τὴν φροντίδα τῶν Ἐκκλησιῶν πασῶν, τὴν πύρωσιν, ἣν ὑπὲρ ἑκάστου τῶν σκανδαλιζομένων

[a] Reg. τῷ πενίᾳ συζῶντι.

ὑπέμενεν, ὄψει πῶς πέτρας στερροτέρα ἦν ἡ ταῦτα φέρουσα ψυχὴ, καὶ σίδηρον καὶ ἀδάμαντα ἐνίκα. Ἅπερ οὖν ἐκεῖνος ἔπασχεν ἐν τῷ σώματι, ταῦτα οὗτος ἐν τῇ ψυχῇ, καὶ σκώληκος παντὸς χαλεπώτερον ἡ καθ' ἕκαστον τῶν σκανδαλιζομένων ἀθυμία διέτρωγεν αὐτοῦ τὴν ψυχήν. Ὅθεν καὶ πηγὰς δακρύων ἠφίει διηνεκεῖς, οὐ τὰς ἡμέρας μόνον, ἀλλὰ καὶ τὰς νύκτας, καὶ πάσης γυναικὸς ὠδινούσης δριμύτερον διεσπᾶτο καὶ καθ' ἕκαστον αὐτῶν. Διὸ καὶ ἔλεγε· *Τεκνία μου, οὓς πάλιν ὠδίνω.* Τίνα ἄν τις μετὰ τὸν Ἰὼβ ἐκπλαγείη; Τὸν Μωϋσέα πάντως. Ἀλλὰ καὶ τοῦτον ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισε· μεγάλα μὲν γὰρ αὐτοῦ καὶ τὰ ἄλλα, τὸ δὲ κεφάλαιον καὶ ἡ κορωνὶς τῆς ἁγίας ψυχῆς ἐκείνης, ὅτι ἐξαλειφθῆναι εἵλετο τῆς τοῦ Θεοῦ [a] βίβλου ὑπὲρ τῆς σωτηρίας τῶν Ἰουδαίων. Ἀλλ' οὗτος μὲν συναπολέσθαι ἑτέροις ᾑρεῖτο· ὁ δὲ Παῦλος οὐ συναπολέσθαι, ἀλλ', ἑτέρων σωζομένων, αὐτὸς ἐκπεσεῖν τῆς δόξης τῆς ἀπεράντου. Καὶ ὁ μὲν τῷ Φαραὼ, ὁ δὲ τῷ διαβόλῳ καθ' ἡμέραν [481] ἐπύκτευε· καὶ ὁ μὲν ὑπὲρ ἑνὸς ἔθνους, ὁ δὲ ὑπὲρ τῆς οἰκουμένης ἁπάσης ἔκαμεν, οὐχ ἱδρῶτι, ἀλλὰ καὶ αἵματι ἀντὶ ἱδρῶτος πάντοθεν περιῤῥεόμενος, οὐχὶ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον διορθούμενος, οὐχὶ τὴν Ἑλλάδα μόνον, ἀλλὰ καὶ τὴν βάρβαρον.

Ἐνῆν καὶ τὸν Ἰησοῦν εἰς μέσον παραγαγεῖν, καὶ τὸν Σαμουὴλ καὶ τοὺς ἄλλους προφήτας· ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐπὶ τοὺς κορυφαίους αὐτῶν βαδίσωμεν· ὅταν γὰρ τούτων φανῇ κρείττων, οὐδεμία περὶ τῶν ἄλλων ἀμφισβήτησις λείπεται. Τίνες οὖν οἱ κορυφαῖοι;

Τίνες δὲ ἄλλοι μετὰ τούτους, ἢ ὁ Δαυὶδ, καὶ ὁ Ἠλίας, καὶ ὁ Ἰωάννης; ὧν ὁ μὲν τῆς προτέρας, ὁ δὲ τῆς δευτέρας πρόδρομος τοῦ Κυρίου παρουσίας· διὸ καὶ τῆς προσηγορίας ἀλλήλοις ἐκοινώνησαν. Τί οὖν τὸ ἐξαίρετον τοῦ Δαυὶδ; Ἡ ταπεινοφροσύνη καὶ ὁ πρὸς Θεὸν ἔρως. Καὶ τίς μὲν μᾶλλον, τίς δὲ οὐχ ἧττον τῆς Παύλου ψυχῆς ἀμφότερα ταῦτα κατώρθωσε; Τί δὲ τὸ θαυμαστὸν τοῦ Ἠλίου; Ἆρα ὅτι τὸν οὐρανὸν ἔκλεισε, καὶ λιμὸν ἐπήγαγε, καὶ πῦρ κατήγαγεν; Οὐκ ἔγωγε οἶμαι· ἀλλ' ὅτι ἐζήλωσεν ὑπὲρ τοῦ Δεσπότου, καὶ πυρὸς σφοδρότερος ἦν. Ἀλλ' εἰ τὸν Παύλου ζῆλον ἴδοις, τοσοῦτον ὄψει κρατοῦντα, ὅσον ἐκεῖνος τῶν ἄλλων προφητῶν περιῆν. Τί γὰρ ἂν γένοιτο τῶν ῥημάτων ἐκείνων ἴσον, ἅπερ ὑπὲρ τῆς τοῦ Δεσπότου δόξης ζηλῶν ἔλεγεν, ὅτι *Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα;* Διὰ τοῦτο τῶν οὐρανῶν αὐτῷ προκειμένων, καὶ τῶν στεφάνων καὶ τῶν ἐπάθλων, ἔμελλε καὶ ἐβράδυνε λέγων· *Τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς*· διὰ τοῦτο οὐδὲ τὴν κτίσιν ταύτην τὴν ὁρωμένην, ἀλλ' οὐδὲ τὴν νοητὴν ἐνόμισεν ἀρκεῖν εἰς παράστασιν τῆς ἀγάπης καὶ τοῦ ζήλου, ἀλλὰ καὶ ἑτέραν οὐκ οὖσαν ἐζήτει, ὥστε ἐνδείξασθαι ὅπερ ἤθελε καὶ ἐπεθύμει. Ἀλλ' ὁ Ἰωάννης ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον; Ἀλλ' οὗτος ἐν μέσῃ τῇ οἰκουμένῃ, καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ, διέτριβεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον οὐ σιτούμενος, πολὺ δὲ εὐτελεστέραν ταύτης παρατιθέμενος τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. Ἀλλὰ πολλὴν πρὸς τὸν Ἡρῴδην οὗτος παῤῥησίαν ἐπεδείξατο; Ἀλλ' οὗτος οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ μυρίους κατ' ἐκεῖνον ἐπεστόμισε, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέρους ἐκείνου τοῦ τυράννου. Λείπεται πρὸς τοὺς ἀγγέλους αὐτὸν ἐξετάσαι λοιπόν· διόπερ ἀφέντες τὴν γῆν, πρὸς τὰς τῶν οὐρανῶν ἀναβησώμεθα ἀψῖδας· ἀλλὰ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. Εἰ γὰρ καὶ τὸν Ἰωάννην ἄγγελον ἐκάλεσεν ἡ Γραφὴ, καὶ τοὺς ἱερέας, τί θαυμαστὸν, εἰ τὸν ἁπάντων ἀμείνω ταῖς δυνάμεσι παραβάλλομεν ἐκείναις; Τί οὖν ἐστιν ἐκείνων τὸ μέγα; Ὅτι μετὰ πάσης ἀκριβείας ὑπακούουσι τῷ Θεῷ· ὅπερ καὶ ὁ Δαυὶδ ἐκπληττόμενος ἔλεγε· *Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ.* Τούτου γὰρ ἴσον οὐδὲν, κἂν μυριάκις ὦσιν ἀσώματοι· τὸ γὰρ μάλιστα ποιοῦν τούτους μακαρίους, τοῦτό ἐστιν, ὅτι [482] πείθονται τοῖς προστάγμασιν, ὅτι οὐδαμοῦ παρακούουσι. Τοῦτο τοίνυν καὶ ὑπὸ τοῦ Παύλου μετὰ ἀκριβείας ἔστιν ἰδεῖν φυλαττόμενον· οὐ γὰρ δὴ τὸν λόγον αὐτοῦ ἐποίησε μόνον, ἀλλὰ καὶ τὰ προστάγματα, καὶ ὑπὲρ τὰ προστάγματα, καὶ τοῦτο δηλῶν ἔλεγε· *Τίς οὖν μοί ἐστιν ὁ μισθὸς, ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ;* Τί ἕτερον θαυμάζων αὐτοὺς ὁ προφήτης ἔλεγεν· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*, φησὶ, *καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον;* Ἀλλὰ καὶ τοῦτο ἐπὶ Παύλου ἔστιν ἰδεῖν· καθάπερ γὰρ πνεῦμα καὶ πῦρ, οὕτω τὴν οἰκουμένην διέδραμεν ἅπασαν, καὶ τὴν γῆν ἐξεκάθηρεν. Ἀλλ' οὔπω τὸν οὐρανὸν ἔλαχε; Τὸ γὰρ θαυμαστὸν τοῦτο, ὅτι ἐν τῇ γῇ τοιοῦτος ἦν, καὶ σῶμα θνητὸν περικείμενος, πρὸς τὰς ἀσωμάτους ἠμιλλᾶτο δυνάμεις. Πόσης οὖν οὐκ ἂν εἴημεν καταγνώσεως ἄξιοι, ὅταν ἑνὸς ἀνθρώπου πάντα συνειληχότος ἑαυτῷ τὰ καλὰ, ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος μιμήσασθαι αὐτὸν σπουδάζωμεν; Ταῦτ' οὖν ἐννοήσαντες, καὶ τῆς κατηγορίας ἑαυτοὺς ἀπαλλάξωμεν, καὶ σπουδάσωμεν πρὸς τὸν ἐκείνου ζῆλον ἐλθεῖν, ἵνα δυνηθῶμεν καὶ τῶν αὐτῶν ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] In Reg. deest τοῦ Θεοῦ.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

—

Ὁμιλία β'.

Τί ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων ὁ

durior anima ista perpetiens, et ferrum atque adamantem superabat. Quæ enim Job corpore, hæc Paulus mente sustinuit, quem omni verme molestior de singulis quibusque labentibus mœstitia consumebat. Unde et juges lacrymarum ex eo fontes non diebus solum, sed etiam noctibus effluebant, omnique muliere parturiente vehementius affligebatur in singulis, propter quod etiam dicebat : *Filioli mei, quos iterum parturio* (*Gal.* 4. 19). Quem vero jam quispiam post Job putet esse mirabilem ? Moysen profecto : sed hunc etiam Paulus satis eminenti virtute transcendit. Cujus quidem multa sunt alia præclara : sed caput sanctæ illius animæ atque fastigium est, quoniam pro Judæorum salute deleri elegit ex libro vitæ : sed Moyses cum cæteris optavit perire, Paulus pro cæteris : non enim cum pereuntibus perire voluit, sed ut salvarentur alii, ipse de gloriæ æternitate decidere. Et ille quidem Pharaoni, hic autem diabolo quotidie repugnabat ; et ille pro una tantum gente, iste vero pro universo orbe certavit, non sudore, sed sanguine vice sudoris undique profluente : cum non solum habitabiles mundi partes, verum etiam deserta ad cultum religionis adduceret, nec solum Græcorum populos, verum etiam barbarorum.

Confertur cum aliis sanctis viris. — Poteram quidem et Jesum Nave, et Samuelem, et alios prophetas in comparationem vocare ; sed ne sermonem faciam longiorem, ad ipsa eorum capita conscendam. Cum enim istis excellentior apparuerit, nulla prorsus de aliis ambiguitas relinquetur. Quinam ergo eminentiores videntur ?

Quis post hos alius, nisi David, et Helias, et Joannes, quorum unus prioris, alter secundi est præcursor adventus ? propter quod etiam nominis communione conjuncti sunt. Quid igitur in David præcipuum reperitur ? Sine dubio humilitas, atque erga Deum fervens amor. Et quis amplius, imo quis ita, ut anima Pauli, hæc utraque complevit ? Admirandum autem in Helia ego minime reor, quia cælum clausit, quia induxit famem, quia ignem de cælo sermone compluit ; sed quia zelavit pro Deo, erat in hoc mentis affectu, ipso igne vehementior. Sed si Pauli zelum diligenter inspicias, tanto eum invenies celsiorem, quanto ille prophetis cæteris eminebat. Quid enim verbis illis reperiatur æquale, per quæ gloriam Domini zelando dicebat : *Quoniam optabam ego anathema esse pro fratribus meis, qui sunt cognati mei secundum carnem* (*Rom.* 9. 3)? Propterea, cælis sibi propositis ac præmiis et coronis, tardavit ac distulit, dicens : *Permanere autem in carne, necessarium est propter vos* (*Philipp.* 1. 24). Propterea non solum istam quæ cernitur, sed illam quoque quæ intelligitur creaturam, nequaquam sufficere sibi credidit ad ostendendum zelum et caritatem, qua ardebat in Christum ; sed etiam aliam, quæ non est, sermone formavit, ut quod tota voluntate cupiebat exprimeret. Sed Joannes in cibum locustas et mel sylvestre sumebat (*Matth.* 3), at Paulus ita in mundi strepitu, quemadmodum ille in eremi quiete versatus est : non quidem pastus locustis et melle sylvestri, sed multo his victu viliore contentus, ac ne necessario quidem indulgens cibo, præ fervore et studio prædicandi. Verum illius adversus Herodem apparuit magna constantia (*Matth.* 14); at iste non unum, aut duos, aut tres, sed innumeros in simili positos potestate corripuit, imo longe illo sæviores tyrannos. Restat ut Paulum jam angelis comparemus : ideoque relinquentes terram, ad cælorum fastigia transeamus. Sed nullus sermonis nostri accuset audaciam. Si enim Joannem et sacerdotes Dei Scriptura angelos nominavit : quid mirum, si præstantiorem omnibus Paulum illis virtutibus conferamus ? Quid ergo esse in angelis magnificum judicamus ? Profecto quia cum omni cura obediunt Deo : quod David quoque admirando dicebat : *Potentes virtute, facientes verbum illius* (*Psal.* 102. 20). Huic enim bono nihil prorsus æquale est, etiam si sint millies incorporei : hoc est enim quod maxime præstat eos beatos, quia obediunt præceptis Dei, quia eum in nullo aliquando contemnunt. Hoc igitur et in Paulo plene animadverti potest cum omni diligentia et cautione servatum. Non autem solum sermonem ejus implevit, verum etiam præcepta, supraque præcepta : hoc quoque declarans, ait : *Quæ est ergo merces mea, ut evangelium prædicans, sine sumptu ponam evangelium Dei* (1. *Cor.* 9. 18). Quid vero aliud in angelis propheta miratur ? *Qui facit*, inquit, *angelos suos spiritus, et ministros suos ignem urentem* (*Psal.* 103. 4). Sed hoc etiam in Paulo possumus invenire, qui velut ignis ac spiritus totum terrarum percurrit orbem, percurrendoque purgavit. Sed necdum cælum iste sortitus est ? Et hoc omnino mirabile : quia talis versabatur in terris, et mortali adhuc carne circumdatus, cum incorporalium potestatum virtute certabat. Quanta ergo sumus condemnatione digni, cum uno homine bona omnia in se congregante, ne minimam quidem eorum partem studemus imitari ? Hæc assidue mente volventes, et nos ipsos inculpabiles præbeamus, et ad illius zelum studeamus accedere, ut ad eadem bona pervenire mereamur, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium in sæcula sæculorum. Amen.

DE LAUDIBUS SANCTI PAULI

APOSTOLI.

HOMILIA II.

Quid sit homo, et quanta naturæ nostræ nobilitas, quantæque capax virtutis hoc sit animal, vel præcipue ex omnibus Paulus ostendit, qui nunc stetit adversus

criminationes humanæ creaturæ, clarissima pro Domino voce respondens, cohortans ad studia virtutis, et impudentissima blasphemantium ora concludens : docens quoque quod inter angelos hominesque non grande sit medium, si tamen nos ipsos diligentius excolamus. Non enim aliam ille est sortitus naturam, nec dissimilem nactus animam, neque alterum habitans mundum, sed in eadem terra, eademque regione, sub eisdem etiam legibus nutritus et moribus, cunctos qui vel nunc sunt homines, vel fuerunt, altius virtute transcendit. Ubi igitur illi nunc sunt qui vitia in proclivi, virtutem in arduo collocarunt ? Hic enim palam illis repugnat, dicens : *Quod enim in præsenti momentaneum est ac leve tribulationis nostræ, supra modum in sublimitate æternum in nobis gloriæ pondus operatur* (2 *Cor.* 4. 17). Si autem hujusmodi tribulationes inveniuntur leves, quanto magis hæ quæ sunt in nobis voluptates ?

Ingens Pauli fervor.—Neque vero hoc solum in illo mirabile est, quod præ abundantia devotionis quodammodo non sensit dolores pro virtute susceptos ; sed etiam quod virtutem ipsam pro mercede non suscepit. Nam nos quidem pro ea nec proposita mercede certamus, quam ille complectens etiam sine præmio diligebat, cuncta illa quæ asperitate sui videntur impedire virtutem, cum omni magnanimitate perpetiens : qui neque infirmitatem corporis, neque multitudinem circumstantium undique negotiorum, neque tyrannidem naturæ, neque quidquam aliud omnino causatus est : cum utique major illi, quam cunctis et militiæ principibus et regibus terræ esset cura commissa. Sed quotidie celsior, quotidie assurgebat ardentior, et intentis sibi periculis nova semper alacritate pugnabat, idque significans dicebat : *Eorum quæ retro obliviscens, in ea vero, quæ priora sunt extendens me* (*Philipp.* 3. 13), qui cum sibi jam mortem imminentem videret, ad communionem delectationemque gaudii alios provocabat, dicens : *Gaudete, et congratulamini mihi* (*Philipp.* 2. 18) : ac periculis, injuriis, opprobriisque propositis, rursus exsultat, et Corinthiis scribens, ait : *Placeo mihi in infirmitatibus, in contumeliis, in persequutionibus* (2. *Cor.* 12. 10) : cum utique hæc ipsa esse diceret arma justitiæ, ostendens hinc sibi fructum maximum provenire. Itaque cum inter medias inimicorum versaretur insidias, ovans tamen de omni eorum referebat impugnatione victorias, et ubique cæsus verberibus, affectus injuriis atque maledictis, quasi triumphales pompas ageret, crebra tropæa strueret, gloriabatur, gratiasque referebat Deo, dicens : *Deo autem gratias, qui semper triumphat nos* (2. *Cor.* 2. 14).

Quid timendum sit, quid optandum ; Caritas Christi instar omnium bonorum. — Itaque ad confusionem et injurias, quas ob prædicandi studium sustinebat, magis quam nos ad honorum oblectamenta properabat, mortem potius, quam nos vitam appetens : paupertatem, quam opulentiam ; et multo amplius laborem desiderans, quam alii requiem post laborem : ac mœrorem magis eligens, quam alii voluptatem : studiosius pro inimicis orans, quam alii adversus inimicos. Converterat enim ordinem rerum : imo nos eum vere pervertimus. Ab illo autem sic custoditus est, quemadmodum a Deo fuerat institutus. Illa enim omnia quæ appetebantur a Paulo, naturæ congrua ; hæc vero, quæ idem ille fugiebat, contraria judicantur. Unde istud probari potest ? Homo enim cum esset Paulus, ad illa tamen magis, quam ad ista currebat. Unum enim illi formidandum erat atque metuendum, offensa nimirum Dei, nec quidquam aliud omnino Ergo nec desiderabile illi aliud erat, nisi placere semper Deo. Non dico quia nihil præsentium desiderabat, sed nec ipsorum aliquid futurorum. Non enim mihi dicas urbes et gentes, exercitus, provincias, pecunias, potestates : hæc enim ille aranearum fila reputavit : sed ea ipsa pone, quæ promittuntur in cælis, et tunc ejus ardentem in Christo amorem videbis. Hic siquidem præ illius dulcedine, non angelorum, non archangelorum admiratus est dignitatem, nec quidquam horum simile concupivit. Quod enim erat majus omnibus, Christi amore fruebatur ; cum hoc beatiorem se cunctis putabat ; sine hoc autem neque dominatuum, neque principatuum socius esse cupiebat : sed cum hac dilectione magis esse extremus optabat, imo etiam ex numero punitorum, quam sine hac inter summos et honore sublimes. Hoc enim erat illi maximum et singulare tormentum, ab hac caritate discedere : hæc illi erat gehenna, hæc sola pœna, hæc infinita et intoleranda supplicia. Sicut etiam perfrui caritate Christi, hoc illi vita, hoc mundus, hoc angelus, hoc præsentia, hoc futura, hoc regnum, hoc promissio, hoc bona videbatur innumera : præter hoc vero nihil in tristium vel jucundorum parte ponebat. Horum enim quæ hic habentur, nihil asperum, nihil etiam suave reputabat. Sic despiciebat universa quæ cernimus, ut solet herba jam putrefacta contemni. Tyrannos vero ipsos, ac populos spirantes furorem, velut quosdam esse culices existimabat. Mortem vero et cruciatus et mille supplicia, quasi ludum putabat esse puerorum, dummodo propter Christum aliquid sustineret. Tunc enim ipsa amplectebatur libenter, et decorabatur vinctus catena magis, quam Nero diademate coronatus. Etenim coarctatus carcere habitabat cælum, ac libentius verbera excipiebat et vulnera, quam alii bravia diripiunt : et dolores non minus, quam præmia diligebat, cum ipsos utique dolores loco duceret præmiorum : propterea enim illos et gratiam nominabat. Quem sensum diligenter expende. Præmium certe erat dissolvi, et esse cum Christo (*Philipp.* 1. 23. 24) : permanere autem in carne, certamen ; sed tamen propter Christi desiderium præmia differebat cupiditate certaminis, idque magis necessarium esse ducebat. E regione vero anathema a Christo fieri certamen erat et dolor, magis autem et supra certamen, supraque omnem dolorem. At vero esse cum Christo erat præmium singulare ; Paulus tamen propter Christum illud maluit quam istud eligere. Sed profecto dicat hic aliquis, quoniam hæc omnia propter Christum suavia esse dicebat. Hoc plane etiam ipse

Παῦλος· καὶ νῦν ἕστηκεν, ἐξ οὗ γέγονε, λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας τοὺς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκευῇ ἀπολογούμενος ὑπὲρ τοῦ Δεσπότου, καὶ προτρέπων ἐπ' ἀρετῇ, καὶ τὰ ἀναίσχυντα τῶν βλασφήμων ἐμφράττων στόματα, καὶ δεικνὺς ὅτι ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν ἐθέλωμεν προσέχειν ἑαυτοῖς. Οὐ γὰρ ἄλλην φύσιν λαχὼν, οὐδὲ ἑτέρας κοινωνήσας ψυχῆς, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ' ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ καὶ νόμοις καὶ ἔθεσι τραφείς, πάντας ἀνθρώπους ὑπερηκόντισε τοὺς ἐξ οὗ γεγόνασιν ἄθρωποι γενομένους. Ποῦ τοίνυν οἱ λέγοντες, ὅτι δύσκολον ἡ ἀρετὴ, καὶ εὔκολον ἡ κακία; Οὗτος γὰρ ἀντιφθέγγεται τούτοις, λέγων· *Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται.* Εἰ δὲ τοιαῦται θλίψεις ἐλαφραὶ, πολλῷ μᾶλλον αἱ οἰκοθεν ἡδοναί.

Καὶ οὐ τοῦτο μόνον ἐστὶν, αὐτοῦ τὸ θαυμαστὸν, ὅτι περιουσίᾳ τῆς προθυμίας οὐδὲ ἠσθάνετο τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, ἀλλ' ὅτι οὐδὲ ἐπὶ μισθῷ ταύτην μετῄει. Ἡμεῖς μὲν γὰρ οὐδὲ μισθῶν προκειμένων ἀνεχόμεθα τῶν ὑπὲρ αὐτῆς ἱδρώτων· ἐκεῖνος [483] δὲ καὶ χωρὶς τῶν ἐπάθλων αὐτὴν ἠσπάζετο καὶ ἐφίλει, καὶ τὰ δοκοῦντα αὐτῆς εἶναι κωλύματα μετὰ πάσης ὑπερῆλατο τῆς εὐκολίας· καὶ οὔτε σώματος ἀσθένειαν, οὐ πραγμάτων περίστασιν, οὐ φύσεως τυραννίδα, οὐκ ἄλλο οὐδὲν ἠτιάσατο· καίτοι καὶ στρατηγῶν καὶ βασιλέων ἁπάντων τῶν ὄντων ἐπὶ γῆς μείζονα φροντίδα ἐγχειρισθεὶς, ἀλλ' ὅμως καθ' ἑκάστην ἥκμαζε τὴν ἡμέραν, καὶ τῶν κινδύνων ἐπιτεινομένων αὐτῷ, νεαρὰν ἐκέκτητο τὴν προθυμίαν· καὶ τοῦτο δηλῶν ἔλεγε· *Τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος·* καὶ θανάτου προσδοκωμένου, εἰς κοινωνίαν τῆς ἡδονῆς ταύτης ἐκάλει λέγων· *Χαίρετε καὶ συγχαίρετέ μοι·* καὶ κινδύνων ἐπικειμένων καὶ ὕβρεων, καὶ ἀτιμίας ἁπάσης, ἐσκίρτα πάλιν· καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε· *Διὸ καὶ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς·* καὶ ὅπλα δὲ αὐτὰ δικαιοσύνης ἐκάλεσε, δεικνὺς ὅτι καὶ ἐντεῦθεν τὰ μέγιστα ἐκαρποῦτο, καὶ τοῖς ἐχθροῖς πάντοθεν ἀχείρωτος ἦν· καὶ πανταχοῦ μαστιζόμενος, ὑβριζόμενος, λοιδορούμενος, ὥσπερ ἐν θριάμβοις ἐμπομπεύων, καὶ τὰ τρόπαια συνεχῆ πανταχοῦ γῆς ἱστὰς, οὕτως ἐκαλλωπίζετο, καὶ χάριν ὡμολόγει τῷ Θεῷ λέγων· *Χάρις δὲ τῷ Θεῷ τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς.*

Καὶ τὴν ἀσχημοσύνην καὶ τὴν ὕβριν τὴν διὰ τὸ κήρυγμα μᾶλλον, ἢ ἡμεῖς τὴν τιμὴν, ἐδίωκε, καὶ τὸν θάνατον, ἢ ἡμεῖς τὴν ζωὴν, καὶ τὴν πενίαν, ἢ τὸν πλοῦτον ἡμεῖς, καὶ τοὺς πόνους μᾶλλον, ἢ τὰς ἀνέσεις ἕτεροι, καὶ οὐχ ἁπλῶς μᾶλλον, ἀλλὰ πολλῷ μᾶλλον, καὶ τὸ λυπεῖσθαι πλέον, ἢ τὸ χαίρειν ἕτεροι, τὸ ὑπερεύχεσθαι τῶν ἐχθρῶν μᾶλλον, ἢ τὸ κατ-

εύχεσθαι ἕτεροι. Καὶ ἀντέστρεψε τῶν πραγμάτων τὴν τάξιν, μᾶλλον δὲ ἡμεῖς ἀνεστρέψαμεν, ἐκεῖνος δὲ, ὥσπερ ὁ Θεὸς ἐνομοθέτησεν, οὕτως αὐτὴν ἐφύλαττε. Ταῦτα μὲν γὰρ κατὰ φύσιν ἅπαντα, ἐκεῖνα δὲ τοὐναντίον. Τίς τούτων ἀπόδειξις; Παῦλος, ἄνθρωπος ὤν, καὶ τούτοις ἐπιτρέχων μᾶλλον ἢ ἐκείνοις. Ἐν τούτῳ φοβερὸν ἦν μόνον καὶ φευκτὸν, τὸ προσκροῦσαι Θεῷ, ἕτερον δὲ οὐδέν· ὥσπερ οὖν οὐδὲ ποθεινὸν ἄλλο τι, ὡς τὸ ἀρέσαι Θεῷ· καὶ οὐ λέγω τῶν παρόντων οὐδὲν, ἀλλ' οὐδὲ τῶν μελλόντων. Μὴ γάρ μοι πόλεις εἴπῃς καὶ ἔθνη καὶ βασιλεῖς καὶ στρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ σατραπείας καὶ δυναστείας· οὐδὲ γὰρ ἀράχνην ταῦτα εἶναι ἐνόμισεν· ἀλλ' αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς τίθει, καὶ τότε αὐτοῦ ὄψει τὸν σφοδρὸν ἔρωτα τὸν πρὸς τὸν Χριστόν. Οὗτος γὰρ πρὸς ἐκεῖνο τὸ φίλτρον, οὐκ ἀγγέλων ἀξίαν ἐθαύμασεν, οὐκ ἀρχαγγέλων, οὐκ ἄλλο τοιοῦτον οὐδέν. Τὸ γὰρ ἁπάντων μεῖζον εἶχεν ἐν ἑαυτῷ, τὸν τοῦ Χριστοῦ ἔρωτα, καὶ μετὰ τούτου πάντων ἑαυτὸν μακαριώτερον εἶναι ἐνόμισε· καὶ τούτου χωρὶς, οὐδὲ τῶν κυριοτήτων, οὐδὲ τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν γενέσθαι [484] ἤθελεν, ἀλλὰ μετὰ τῆς ἀγάπης ταύτης ἐν ἐσχάτοις εἶναι ἐβούλετο μᾶλλον καὶ τῶν κολαζομένων, ἢ ταύτης χωρὶς, τῶν ἄκρων καὶ τῶν τιμωμένων· κόλασις γὰρ ἐκείνῳ μία, τὸ τῆς ἀγάπης ταύτης ἀποτυχεῖν. Τοῦτο αὐτῷ γέεννα, τοῦτο τιμωρία, τοῦτο μυρία κακά· ὥσπερ καὶ ἀπόλαυσις, τὸ ταύτης ἐπιτυχεῖν· τοῦτο ζωὴ, τοῦτο κόσμος, τοῦτο ἄγγελος, τοῦτο παρόντα, τοῦτο μέλλοντα, τοῦτο βασιλεία, τοῦτο ἐπαγγελία, τοῦτο τὰ μυρία ἀγαθά· ἕτερον δὲ οὐδὲν τῶν μὴ φερόντων ἐνταῦθα, οὐδὲ λυπηρὸν, οὐδὲ ἡδὺ εἶναι ἐνόμιζεν· ἀλλ' οὕτω κατεφρόνει τῶν ὁρωμένων πάντων, ὡς τῆς κατασηπομένης βοτάνης· τύραννοι δὲ αὐτῷ, καὶ δῆμοι θυμοῦ πνέοντες, κώνωπες εἶναι ἐδόκουν· θάνατος δὲ αὐτῷ καὶ τιμωρίαι καὶ μυρίαι κολάσεις, παίδων ἀθύρματα· πλὴν εἴ ποτε διὰ τὸν Χριστὸν ὑπέμενε. Τότε γὰρ καὶ ταῦτα ἠσπάζετο, καὶ εἰς τὴν ἄλυσιν οὕτως ἐκαλλωπίζετο, ὡς οὐδὲ τὸ διάδημα Νέρων ἐπὶ τῆς κεφαλῆς ἔχων· καὶ τὸ δεσμωτήριον δὲ ᾤκει, ὡς αὐτὸν τὸν οὐρανὸν, καὶ τραύματα καὶ μάστιγας ἐδέχετο ἥδιον τούτων τῶν τὰ βραβεῖα ἁρπαζόντων· καὶ τοὺς πόνους ἐφίλει τῶν ἐπάθλων οὐχ ἧττον, ἔπαθλον τοὺς πόνους εἶναι νομίζων· διὰ τοῦτο καὶ χάριν αὐτοὺς ἐκάλει. Σκόπει δέ· Ἔπαθλον ἦν, τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ὁ ἀγὼν οὗτος· ἀλλ' ὅμως τοῦτο μᾶλλον αἱρεῖται ἐκείνου, καὶ ἀναγκαιότερον αὐτῷ εἶναί φησι· τὸ ἀνάθεμα ἀπὸ Χριστοῦ γενέσθαι, ἀγὼν ἦν καὶ πόνος; μᾶλλον δὲ καὶ ὑπὲρ ἀγῶνα καὶ πόνον· τὸ μετ' αὐτοῦ, ἔπαθλον. Ἀλλὰ τοῦτο μᾶλλον αἱρεῖται ἐκείνου διὰ τὸν Χριστόν. Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι ταῦτα πάντα διὰ τὸν Χριστὸν ἡδέα αὐτῷ ἦν. Τοῦτο

γὰρ καὶ ἐγώ φημι, ὅτι ἅπερ ἀθυμίας ἡμῖν αἴτια, ταῦτα ἐκείνῳ μεγάλην ἔτικτεν ἡδονήν. Καὶ τί λέγω κινδύνους καὶ τὰς ἄλλας ταλαιπωρίας; Καὶ γὰρ ἐν ἀθυμίᾳ διηνεκεῖ ἦν· διὸ καὶ ἔλεγε· *Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* Πλὴν εἰ καὶ τὴν ἀθυμίαν ἡδονὴν ἔχειν εἴποι τις ἄν. Πολλοὶ γὰρ καὶ τῶν τέκνα ἀποβαλόντων, συγχωρούμενοι μὲν θρηνεῖν, παραμυθίαν λαμβάνουσι· κωλυόμενοι δὲ, ἀλγοῦσι· καθάπερ οὖν καὶ ὁ Παῦλος, νυκτὸς καὶ ἡμέρας δακρύων, παραμυθίαν ἐλάμβανεν· οὐδεὶς γὰρ οὕτω τὰ οἰκεῖα ἐπένθησε κακὰ, ὡς τὰ ἀλλότρια ἐκεῖνος. Πῶς γὰρ οἷόν διακεῖσθαι αὐτὸν Ἰουδαίων οὐ σωζομένων, ἵνα σωθῶσιν, εὐχόμενον ἐκπεσεῖν τῆς ἄνω δόξης; Ὅθεν δῆλον ὅτι τὸ μὴ σώζεσθαι αὐτοὺς πολλῷ χαλεπώτερον ἦν. Εἰ γὰρ μὴ χαλεπώτερον, οὐκ ἂν ηὔξατο ἐκεῖνο· ὡς γὰρ κουφότερον εἵλετο, καὶ μᾶλλον [485] ἔχον παραμυθίαν· καὶ οὐχ ἁπλῶς ἐβούλετο, ἀλλὰ καὶ ἐβόα λέγων· *Ὅτι λύπη μοί ἐστι, καὶ ὀδύνη τῇ καρδίᾳ μου.* Τὸν οὖν καθ' ἑκάστην. ὡς εἰπεῖν, ὑπὲρ τῶν τὴν οἰκουμένην οἰκούντων ἀλγοῦντα, καὶ ὑπὲρ ἁπάντων κοινῇ, καὶ ἐθνῶν, καὶ πόλεω., καὶ ὑπὲρ ἑνὸς ἑκάστου, τίνι ἄν τις δυνηθείη παραβαλεῖν; ποίῳ σιδήρῳ; ποίῳ ἀδάμαντι; Τί ἄν τις ἐκείνην καλέσειε τὴν ψυχήν; χρυσῆν, ἢ ἀδαμαντίνην; καὶ γὰρ ἀδάμαντος ἦν παντὸς στερρότερα, καὶ χρυσοῦ καὶ λίθων τιμίων τιμιωτέρα· κἀκείνης μὲν οὖν τῆς ὕλης τὴν εὐτονίαν παρελάσει, ταύτης δὲ τὴν πολυτέλειαν. Τίνι ἂν οὖν τις αὐτὴν παραβάλοι; Τῶν μὲν οὐσῶν οὐδεμιᾷ.

Εἰ δὲ χρυσὸς ἀδάμας γένοιτο, καὶ ἀδάμας χρυσὸς, τότε ὁπωσοῦν αὐτῶν τεύξεται τῆς εἰκόνος. Ἀλλὰ τί μοι παραβάλλειν ἀδάμαντι καὶ χρυσῷ; Τὸν κόσμον ὀντίθες ἅπαντα, καὶ τότε ὄψει καθέλκουσαν τοῦ Παύλου τὴν ψυχήν. Εἰ γὰρ περὶ τῶν ἐν μηλωταῖς καὶ σπηλαίοις καὶ ἐν μικρῷ μέρει τῆς οἰκουμένης διαπρεψάντων τοῦτό φησιν ἐκεῖνος, πολλῷ μᾶλλον περὶ αὐτοῦ ἂν εἴποιμεν ἡμεῖς, ὡς ὅτι πάντων ἀντάξιος ἦν. Εἰ τοίνυν ὁ κόσμος αὐτοῦ οὐκ ἄξιος, τίς ἄξιος; τάχα ὁ οὐρανός; Ἀλλὰ καὶ τοῦτο σμικρόν. Εἰ γὰρ αὐτὸς οὐρανοῦ μετὰ τῶν ἐν τοῖς οὐρανοῖς προετίμησε τοῦ Δεσπότου τὴν ἀγάπην, πολλῷ μᾶλλον ὁ Δεσπότης ὁ τοσοῦτον αὐτοῦ ἀγαθώτερος, ὅσον πονηρίας ἀγαθότης, μυρίων αὐτὸν οὐρανῶν προτιμήσει. Οὐ γὰρ ὁμοίως ἡμᾶς φιλεῖ, καθάπερ ἡμεῖς αὐτὸν, ἀλλὰ τοσοῦτον πλέον, ὅσον οὐδὲ λόγῳ παραστῆσαι ἔνι. Σκόπει γοῦν ἡλίκων αὐτὸν καὶ πρὸ τῆς μελλούσης ἠξίωσεν ἀναστάσεως. Εἰς παράδεισον ἥρπασεν, εἰς τρίτον ἀνήγαγεν οὐρανὸν, ἀπορρήτων ἐποίησε κοινωνὸν τοιούτων, ἃ μηδενὶ τῶν τὴν ἀνθρωπίνην λαχόντων φύσιν θέμις εἰπεῖν. Καὶ μάλα εἰκότως· καὶ γὰρ ἐν γῇ βαδίζων, ὡς μετὰ ἀγγέλων περιπολῶν, οὕτως ἔπραττεν ἅπαντα καὶ σώματι θνητῷ συνδεδεμένος, τὴν ἐκείνων καθαρότητα ἐπεδείκνυτο, καὶ ἀνάγκαις τοσαύταις ὑποκείμενος, ἐφιλονείκει τῶν ἄνω δυνάμεων μηδὲν ἔλαττον φανῆναι. Καὶ γὰρ ὡς πτηνὸς τὴν οἰκουμένην διέδραμε, καὶ ὡς ἀσώματος πόνων ὑπερεώρα καὶ κινδύνων, καὶ ὡς τὸν οὐρανὸν ἤδη λαχὼν, κατεφρόνει τῶν ἐπὶ γῆς. καὶ ὡς μετ' αὐτῶν ἀναστρεφόμενος τῶν ἀσωμάτων δυνάμεων, οὕτω διηνεκῶς ἐγρηγορὼς ἦν. Καίτοι γε ἄγγελοι πολλάκις ἐνεχειρίσθησαν ἔθνη διάφορα· ἀλλ' οὐδὲ εἷς αὐτῶν τὸ ἔθνος, ὃ ἐνεπιστεύθη, οὕτως ᾠκονόμησεν, ὡς Παῦλος τὴν οἰκουμένην ἅπασαν. Καὶ μή μοι λέγε ὅτι Παῦλος οὐκ ἦν ὁ ταῦτα οἰκονομῶν· καὶ γὰρ καὶ αὐτὸς ὁμολογῶ. Εἰ γὰρ καὶ μὴ αὐτὸς ἦν ὁ ταῦτα ἀνύων, ἀλλ' οὐδὲ οὕτως ἐκτὸς ἦν τῶν ἐπὶ τούτοις ἐπαίνων, ἐπειδὴ ἑαυτὸν οὕτω κατεσκεύασεν ἄξιον τῆς τοσαύτης χάριτος. Ὁ Μιχαὴλ τὸ τῶν Ἰουδαίων ἔθνος [486] ἐνεχειρίσθη· Παῦλος δὲ γῆν καὶ θάλατταν, καὶ τὴν οἰκουμένην, καὶ τὴν ἀοίκητον. Καὶ ταῦτα οὐκ ἀγγέλους ὑβρίζων λέγω, μὴ γένοιτο, ἀλλὰ δεικνὺς, ὅτι δυνατὸν ἄνθρωπον ὄντα μετ' ἐκείνων εἶναι, καὶ ἐγγὺς αὐτῶν ἑστάναι. Καὶ τίνος ἕνεκεν οὐκ ἄγγελοι ταῦτα ἐνεχειρίσθησαν; Ἵνα μηδεμίαν ἀπολογίαν ἔχῃς ῥᾳθυμῶν, μηδὲ εἰς τὴν διαφορὰν τῆς φύσεως καταφεύγῃς καθεύδων· ἄλλως δὲ καὶ τὸ θαῦμα μεῖζον ἐγίνετο. Πῶς γὰρ οὐ θαυμαστὸν καὶ παράδοξον, ἀπὸ γλώττης πηλίνης ἐκπηδῶντα λόγον, θάνατον φυγαδεύειν, ἁμαρτήματα λύειν, πεπηρωμένην διορθοῦν φύσιν, καὶ τὴν γῆν ἐργάζεσθαι οὐρανόν; Διὰ τοῦτο ἐκπλήττομαι τοῦ Θεοῦ τὴν δύναμιν, διὰ ταῦτα θαυμάζω τοῦ Παύλου τὴν προθυμίαν, ὅτι τοσαύτην ὑπεδέξατο χάριν, ὅτι τοιοῦτον παρεσκεύασεν ἑαυτόν. Καὶ ὑμᾶς παρακαλῶ μὴ θαυμάζειν μόνον, ἀλλὰ καὶ μιμεῖσθαι τὸ ἀρχέτυπον τοῦτο τῆς ἀρετῆς· οὕτω γὰρ δυνησόμεθά τῶν αὐτῶν στεφάνων κοινωνῆσαι ἐκείνῳ. Εἰ δὲ θαυμάζεις ἀκούων, ὅτι, τὰ αὐτὰ κατορθώσας, τῶν αὐτῶν ἐπιτεύξῃ, ἄκουσον αὐτοῦ ταῦτα λέγοντος· *Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.* Ὁρᾷς πῶς πάντας εἰς τὴν αὐτὴν κοινωνίαν καλεῖ; Ἐπεὶ οὖν ἅπασι πρόκειται τὰ αὐτὰ, πάντες σπουδάσωμεν ἄξιοι γενέσθαι τῶν ἐπηγγελμένων ἀγαθῶν· καὶ μὴ μόνον τὸ μέγεθος καὶ τὸν ὄγκον τῶν κατορθωμάτων ἴδωμεν, ἀλλὰ καὶ τὸν τόνον τῆς προθυμίας, δι' ἧς τοσαύτην ἐπεσπάσατο χάριν, καὶ τὸ τῆς φύσεως συγγενές· τῶν γὰρ αὐτῶν ἡμῖν ἐκοινώνησεν ἁπάντων. Καὶ οὕτω καὶ τὰ σφόδρα δυσκατόρθωτα, ῥᾴδια ἡμῖν φανεῖται καὶ κοῦφα, καὶ τὸν βραχὺν τοῦτον καμόντες χρόνον, τὸν ἀγῆρω καὶ

confiteor; quoniam quæ nobis sunt causa tristitiæ, hæc illi pariebant maximam voluptatem. Et quid ego pericula ærumnasque commemoro? In mœrore enim maximo ille versabatur, propter quod dicebat: *Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* (2. *Cor.* 11. 29)? Etsi in mœrore dicat quoque quis inesse aliquam voluptatem: multi enim illorum qui filiorum mortibus vulnerantur, aliquid consolationis accipiunt, si cum suis fletibus relinquuntur; magisque dolent, cum dolere prohibentur. Sic igitur et Paulus nocte et die consolationem excipiebat ex lacrymis: nullus siquidem tanto affectu mala propria, quam ille deflebat aliena. Quemadmodum enim illum opinaris afflictum, cum perditionem Judæorum dolet, qui, ut illi salvi fierent, seipsum a cælorum gloria cupiebat excludi (*Rom.* 9. 3)? Et inde hoc manifestum est, quia scilicet non salvari illos acerbius æstimabat, quam seipsum perire: aut si non acerbius, numquam aliud optasset: quod utique quasi tolerabilius elegit. Qui cum certe spe maxima futuri præmii pasceretur, non perfunctorie illud optabat, sed clamabat dicens: *Quoniam tristitia est mihi magna, et continuus dolor cordi meo* (*Ibid. v.* 2). Hunc ergo de singulis, ut ita dixerim, habitatoribus mundi tam vehementer dolentem, et in commune pro cunctis, et gentibus et urbibus, pro unoquoque peculiariter lamentantem, cuinam rerum aliquis poterit comparare, cui ferro, cui adamanti? Quidnam aliquis illam appellet animam, aureamne magis, an adamantinam? Nam et erat omni adamante fortior, et auro gemmisque pretiosior: et alteram quidem materiam firmitate, alteram vero pretiositate superabat. Cui ergo rei hæc ab aliquo anima comparetur? Earum quidem quæ sunt omnino nulli.

Paulus auro et adamante fortior. —Quod si vel auro adamantis fortitudo, vel adamanti honor daretur auri, tum forte aliquo modo comparatio ejus Pauli posset animæ convenire. Sed quid ego adamantem, vel aurum ad similitudinem adduco Pauli? Mundum si e diverso appendas omnem, tunc videbis aperte Pauli vergere pondus examinis. Si enim de iis, qui in melotis et specubus, et in exigua orbis parte versabantur (*Hebr.* 11 38), hoc dictum est: quanto magis nos dicemus Paulum mundo, et omnibus quæ in mundo sunt digniorem? Si igitur eo mundus dignus non est, sit forte vel cælum; sed istud quoque invenitur inferius. Si enim iste non solum cælum, sed quæ habentur in cælis Dei postposuit caritati: quomodò non magis Dominus, qui tanto est benignior Paulo, quanto malitiam bonitas antecellit, innumeris eum cælis judicat digniorem? Non enim quantum nos diligit Deus, tantum a nobis diligitur ipse; sed tanto effusius, quantum nec sermo quidem sufficit explicare.

Quibus præmiis in hac vita Paulus donatus sit. — Consideremus ergo quantis illum honoribus etiam ante tempus resurrectionis extulerit. In paradisum rapuit, et in cælum tertium sublevavit, ineffabilis arcani fecit esse participem, taliumque mysteriorum conscium, quæ nulli hominum fas fuerit confiteri (2. *Cor.* 12). Nec immerito: siquidem Paulus in terra gradiens, sic se agebat in cunctis, quasi angelorum societate frueretur. Nam passibili adhuc colligatus corpori, illorum perfectione gaudebat, tantisque fragilitatibus subditus, in nullo inferior supernis virtutibus apparere certabat. Nam et tamquam pennatus totum docendo pervolavit orbem, et velut incorporeus labores periculaque contempsit, et quasi jam cælum possidens, cuncta prorsus terrena despexit, et tamquam cum ipsis jam incorporeis virtutibus degeret, ita jugi mentis intentione vigilavit. Et angelis quidem sæpe diversarum gentium cura commissa est, sed nullus illorum ita creditum sibi populum gubernavit, ut Paulus universum gubernavit orbem. Neque vero dicas, quia hæc non perficiebantur a Paulo: hoc enim etiam ego fateor. Sed etsi ipse non erat qui cuncta complebat, nequaquam tamen ab eorum operum laudibus separabatur: quia utique dignum tantæ se gratiæ præparavit [per quam tam magnifica et gloriosa perficeret]. Michaeli gens commissa est Judæorum: Paulo vero terra, ac maria atque universi orbis habitatio, ipsumque desertum, et hoc non ad injuriam, quod absit, angelorum; sed ostendimus esse possibile illis hominem copulari, juxtaque illorum merita consistere. Cujus autem rei gratia non angelis potius hæc prædicationis cura commissa est? Ut nullum scilicet excusationis colorem negligens invenias, ac ne tu ad diversitatem naturæ confugeres dormiendo: deinde ut tanto etiam major operum admiratio nasceretur, quanto de natura inferiore procederent. Quomodo enim non admirabile hoc atque improvisum videretur, cum ex terrena lingua sermo prosiliens, mortem fugat, peccata dissolvit, tenebras cæcitatis illuminat, et mutatione mirifica terram convertit in cælum? Propter hoc igitur stupeo virtutem Dei, propter hoc admiror promptum animum Pauli, quomodo se talem studuit exhibere, quomodo se tantæ gratiæ capacem paravit. Vos autem rogo, ut non miremini solum, verum etiam imitemini hoc tam clarum virtutis exemplum: sic namque poterimus coronarum ejus esse participes. Quod si aliquis nos dixisse miratur, quia quicumque habuerit Pauli merita, eadem sit etiam habiturus præmia, ipsum audiat ita dicentem: *Certamen*, inquit, *bonum certavi, cursum consummavi, fidem servavi; de cætero reposita est mihi corona justitiæ, quam reddet mihi Dominus in die illa justus judex: non solum autem mihi, sed et iis qui diligunt adventum ejus* (2. *Tim.* 4. 7. 8). Vides certe quomodo cunctos in eamdem gloriæ communionem vocet? Quia igitur omnibus eadem corona gloriæ proposita est, studeamus omnes fieri digni illis bonis, quæ promissa sunt. Neque solum magnitudinem atque eminentiam in illo debemus considerare virtutum et promptum illud animi ejus, atque robustum propositum, per quod ad tantam meruit gratiam pervenire: sed et naturæ societatem, per quam et nobis in cunctis ille participat: et sic etiam quæ valde sunt ardua, nobis facilia videbuntur et levia, brevique hoc

tempore laborantes incorruptibilem illam gestabimus atque immortalem coronam, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium nunc et semper et in sæcula sæculorum. Amen.

DE LAUDIBUS SANCTI PAULI

APOSTOLI.

HOMILIA III.

Beatus Paulus, qui tantam vim humanæ alacritatis ostendit, ut ad cælum quoque ipsum valeret subvolare, prætermittens angelos et archangelos, aliasque virtutes, aliquando quidem suo exemplo Christi nos fieri imitatores jubet, dicendo: *Imitatores mei estote, sicut et ego Christi* (1. *Cor.* 11. 1): aliquando vero de se reticens, ad ipsius nos imitationem Dei extendit, dicens: *Estote ergo imitatores Dei, sicut filii carissimi* (*Ephes.* 5. 1). Jam vero demonstrans, quod nihil ita hanc imitationem pariat, quam si ita vivat aliquis, ut bonum ejus in commune proficiat, atque universis utilia provideat, adjunxit: *Ambulate in caritate* (*Ib.* v. 2): ideo cum dixisset, *Imitatores mei estote*, continuo de caritate disseruit, quia hæc præcipue virtus homines Deo proximos facit. Quantæcumque enim sint aliæ, inferiorem tenentes locum, cunctæ circa hominum studia versantur, ut est pugna contra concupiscentiam, ut quod adversus gulam geritur bellum, ut in avaritiæ interitum acies ordinata, ut cum iracundiæ furore conflictus; diligere vero nobis Deoque commune est. Propterea et Christus imperabat: *Orate pro calumniantibus et persequentibus vos, ut sitis filii Patris vestri, qui in cælis est* (*Matth.* 5. 44. 45). Hoc igitur et Paulus intelligens cunctorum esse caput bonorum, omni in se studio exprimere curavit. Nemo enim ita dilexit inimicos, nemo erga insidiatores tam beneficus fuit, nullus pro afflictoribus suis tanta perpessus est. Non enim ille, quid patiebatur, sed naturæ copulam cogitabat, quantoque magis efferebantur inimici, tanto eorum magis miserabatur insaniam. Ut enim aliquis pater afficeretur erga filium phrenesi comprehensum, cujus quanto magis conviciis ictibusque pulsatur, tanto magis eum miseratur atque deflet: ita et ille qui ex ipsa magnitudine passionum eorum, a quibus affligebatur, morbum conjiciebat, majora illis adhibebat fomenta pietatis.

Caritas et mansuetudo Pauli. — Audi igitur, quam patienter, quam mansuete nobis pro illis loquatur, qui eum quinquies verberaverant, qui eum lapidaverant, qui vinxerant, qui ejus ipsum sitiebant cruorem, quique illum quotidie discerpere gestiebant. *Testimonium*, inquit, *illis perhibeo, quoniam æmulationem Dei habent, sed non secundum scientiam* (*Rom.* 10. 2). Et rursus eos, qui se supra illos superbius efferebant, refrænans: *Noli*, ait, *altum sapere, sed time: si enim Deus naturalibus ramis non pepercit, ne forte nec tibi parcat* (*Rom.* 11. 20. 21). Quia enim cognoverat dominicam in illos jam processisse sententiam, quod unum et solum erat in sua potestate, præstabat. Sæpe lacrymabatur vehementer pro illis, dolebat, volentes illis insultare prohibebat, atque, in quantum poterat, laborabat umbram eis aliquam excusationis obtendere. Et quia propter contumaciam eorum atque duritiam, persuadere illis fidem sermone non poterat, ad orationes convertebatur assiduas. *Fratres*, inquit, *voluntas quidem cordis mei et obsecratio ad Deum fit pro illis in salutem* (*Rom.* 10. 1). Spe quoque meliore illos sollicitat, dicens: *Sine pœnitentia enim sunt dona et vocatio Dei* (*Rom.* 11. 29), ne spe excidant et pereant. Quæ utique omnia sunt verba amantis, et valde eorum utilitatibus providentis: ut cum dicit, *Veniet ex Sion, qui eripiat, et avertat impietates a Jacob* (*Isai.* 59. 20). Mordebatur enim vehementer, ac penitus dissecabatur, cum eos pereuntes videret, propter quod et multa solatia huic adhibebat dolori, aliquando quidem dicens: *Veniet ex Sion, qui eripiat, et avertat impietates a Jacob* (*Rom.* 11. 26); aliquando vero, *Et isti non crediderunt in vestram misericordiam, ut et ipsi misericordiam consequantur* (*Rom.* 11. 31). Facit autem hoc etiam Jeremias, vim quamdam inferens, atque contendens excusationem aliquam pro delinquentibus invenire, et nunc quidem dicens: *Si peccata nostra restiterunt nobis, fac propter te* (*Jer.* 14. 7): et rursus: *Non est in homine via ejus et, nec homo ibit, et diriget iter suum* (*Jerem.* 10. 23). Et rursus: *Memento quoniam pulvis sumus* (*Psal.* 102. 14). Mos etenim est omnino celeberrimus ut ii, qui pro delinquentibus deprecantur, etsi nihil idoneum afferant ad rogandum, saltem umbram quamdam excusationis pro eis opponant, non certa verborum proprietate munitam, nec quæ trahi possit in dogmata, sed quæ tamen consoletur pro pereuntibus dolentes. Non ergo hujusmodi excusationes scrupulosius ponderemus, sed intelligamus, esse illas dolentis animæ, et dicere aliquid pro peccatoribus requirentis, juxtaque hunc modum hæc quæ superius dicta sunt censeamus: An igitur erga solos Judæos talis exstiterit, erga extraneos autem, non ita? omnium mitissimus erat et erga domesticos et erga extraneos. Audi igitur quid ad Timotheum sit locutus: *Servum*, inquit, *Dei non oportet litigare, sed mansuetum esse erga omnes, doctorem ad docendum, patientem, cum modestia corripientem eos, qui resistunt, si quando det illi Deus pœnitentiam ad cognoscendam veritatem, ut resipiscant a diaboli laqueis, a quo capti tenentur ad ipsius voluntatem* (2. *Tim.* 2. 24-26). Vis autem videre, quam modeste etiam cum illis loquatur, qui in peccata corruerant? Audi quid Corinthiis dixerit: *Timeo*, inquit, *ne forte, cum venero, non quales volo inveniam vos* (2 *Cor.*

ἀθάνατον ἐκεῖνον στέφανον φοροῦντες διατελέσομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

Ὁμιλία γ'.

[a] Ὁ μακάριος Παῦλος τῆς ἀνθρωπίνης προθυμίας ἐνδεικνύμενος τὴν ἰσχύν, καὶ ὅτι πρὸς αὐτὸν δυνάμεθα [b] πτῆναι τὸν οὐρανὸν, ἀφεὶς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ τὰς ἄλλας δυνάμεις, ποτὲ μὲν δι' ἑαυτοῦ μόνου μιμητὰς γενέσθαι κελεύει τοῦ Χριστοῦ λέγων·[487] *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ*· ποτὲ δὲ καὶ χωρὶς ἑαυτοῦ πρὸς αὐτὸν αὐτοὺς ἀναβιβάζει τὸν Θεὸν λέγων, *Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά*. Εἶτα δεικνὺς ὡς οὐδὲν οὕτω ποιεῖ τὴν μίμησιν ταύτην, ὡς τὸ κοινωφελῶς ζῆν καὶ πρὸς τὸ παντὶ χρήσιμον ὁρᾷν, ἐπήγαγε· *Περιπατεῖτε ἐν ἀγάπῃ*. Διὰ τοῦτο εἰπὼν, *Μιμηταί μου γίνεσθε*, περὶ ἀγάπης εὐθέως διαλέγεται, δεικνὺς ὅτι αὕτη μάλιστα ἡ ἀρετὴ ἐγγὺς εἶναι ποιεῖ Θεοῦ· ὡς αἵ γε ἄλλαι ταύτης καταδεέστεραι, καὶ περὶ ἀνθρώπους πᾶσαι στρέφονται· οἷον ἡ πρὸς ἐπιθυμίαν μάχη, ὁ περὶ τὴν γαστέρα πόλεμος, ἡ πρὸς τὴν φιλαργυρίαν παράταξις, ἡ πρὸς τὸν θυμὸν πάλη· τὸ δὲ φιλεῖν, τοῦτο κοινὸν ἡμῶν καὶ τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· *Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς*. Τοῦτο τοίνυν καὶ ὁ Παῦλος εἰδὼς κεφάλαιον ὂν τῶν ἀγαθῶν, μετὰ πολλῆς ἐπεδείξατο τῆς ἀκριβείας. Οὐδεὶς γοῦν οὕτως ἐχθροὺς ἐφίλησεν, οὐδεὶς οὕτω τοὺς ἐπιβουλεύοντας εὐηργέτησεν, οὐδεὶς τοσαῦτα ὑπὲρ τῶν λελυπηκότων ἔπαθεν· οὐδὲ γὰρ εἰς ἅπερ ἔπασχεν ἔβλεπεν, ἀλλὰ τὸ κοινὸν τῆς φύσεως ἐνενόει, καὶ ὅσῳ μᾶλλον ἐξεθηριοῦντο, τοσούτῳ μᾶλλον αὐτῶν ἠλέει τὴν μανίαν. Καὶ ὡς ἄν τις διατεθείη πατὴρ περὶ παῖδα φρενίτιδι κατεχόμενον (ὅσῳ γὰρ ἂν ὑβρίζηται καὶ λακτίζῃ χαλεπῶς ὁ κάμνων, τοσούτῳ μᾶλλον αὐτὸν ἐλεεῖ καὶ δακρύει), οὕτω κἀκεῖνος τῇ τῶν δαιμόνων ὑπερβολῇ τῶν ταῦτα ἐπαγόντων αὐτῷ τὴν νόσον στοχαζόμενος, πρὸς πλείονα κηδεμονίαν διανίστατο.

Ἄκουσον γοῦν αὐτοῦ πῶς ἡμέρως, πῶς συμπαθητικῶς ὑπὲρ αὐτῶν ἡμῖν διαλέγεται, τῶν πεντάκις αὐτὸν μαστιγωσάντων, τῶν καταλευσάντων, τῶν δησάντων, τῶν τοῦ αἵματος αὐτοῦ διψώντων, καὶ διασπάσασθαι καθ' ἑκάστην ἐπιθυμούντων αὐτὸν τὴν ἡμέραν. *Μαρτυρῶ γὰρ αὐτοῖς*, φησὶν, *ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν*. Καὶ πάλιν τοὺς ἐπεμβαίνοντας αὐτοῖς ἀναχαιτίζων ἔλεγε· *Μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται*. Ἐπειδὴ γὰρ ἀπόφασιν εἶδε δεσποτικὴν ἐξελθοῦσαν κατ' αὐτῶν, οὗ κύριος ἦν, τοῦτο ἐποίει· συνεχῶς ἐδάκρυεν ὑπὲρ αὐτῶν, ἦλγει, τοὺς ἐνάλλεσθαι βουλομένους αὐτοῖς ἐκώλυε, καὶ ἐκ τῶν ἐγχωρούντων ἐφιλονείκει σκιὰν γοῦν συγγνώμης αὐτοῖς εὑρεῖν. Καὶ ἐπειδὴ λόγῳ πείθειν οὐκ εἶχε διὰ τὸ ἀνένδοτον αὐτῶν καὶ σκληρὸν, ἐπὶ συνεχεῖς εὐχὰς ἐτρέπετο λέγων· *Ἀδελφοί, ἡ μὲν εὐδοκία μου καὶ ἡ δέησίς μου ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν*. Ὑποτείνει δὲ αὐτοῖς καὶ χρηστὰς ἐλπίδας λέγων· *Ἀμεταμέλητα τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ*, ὥστε μὴ ἀπογνῶναι τέλεον καὶ ἀπολέσθαι· ἅπερ ἅπαντα κηδομένου καὶ σφόδρα ὑπὲρ αὐτῶν διακαιομένου ἦν· ὡς ὅταν λέγῃ· ὅτι *Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ* [488] *Ἰακώβ*. Καὶ γὰρ σφόδρα διεκόπτετο καὶ ἐδάκνετο ἀπολλυμένους ὁρῶν. Διὸ πολλὰς ἐπενόει παραμυθίας τῆς ἀλγηδόνος ταύτης ἑαυτῷ, ποτὲ μὲν λέγων, *Ἥξει ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ*· ποτὲ δὲ, *Οὕτω καὶ οὗτοι ἠπειθήσαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι*. Ποιεῖ δὲ τοῦτο καὶ Ἱερεμίας, βιαζόμενος καὶ φιλονεικῶν ἀπολογίαν τινὰ ὑπὲρ τῶν ἡμαρτηκότων εὑρεῖν, νῦν μὲν λέγων· *Εἰ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ποίησον ἕνεκέν σου*· νῦν δὲ πάλιν· *Οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται, καὶ κατωρθώσει τὴν πορείαν αὐτοῦ*· καὶ ἀλλαχοῦ πάλιν· *Μνήσθητι ὅτι χοῦς ἐσμεν*. Καὶ γὰρ ἔθος τοῖς ὑπὲρ τῶν ἡμαρτηκότων δεομένοις, κἂν μηδὲν ἔχωσιν εὔλογον εἰπεῖν, σκιὰν γοῦν τινα ἀπολογίας ἐπινοεῖν, οὐ διηκριβωμένας μὲν, οὐδὲ εἰς δόγματα ἐλκυσθῆναι δυναμένας, παραμυθουμένας δὲ ὅμως τοὺς ὑπὲρ τῶν ἀπολλυμένων ὀδυνωμένους. Μὴ τοίνυν μηδὲ ἡμεῖς τὰς τοιαύτας ἀκριβῶς ἐξετάζωμεν ἀπολογίας, ἀλλ' ἐννοοῦντες, ὅτι ψυχῆς εἰσιν ὀδυνωμένης, ζητούσης εἰπεῖν τι ὑπὲρ τῶν ἡμαρτηκότων, οὕτως ἐκδεχώμεθα τὰ εἰρημένα. Ἆρ' οὖν πρὸς Ἰουδαίους μόνον τοιοῦτος, πρὸς δὲ τοὺς ἔξωθεν οὐχί; Πάντων ἡμερώτερος ἦν καὶ πρὸς τοὺς οἰκείους, καὶ πρὸς τοὺς ἀλλοτρίους. Οὐκοῦν ἄκουσον τί Τιμοθέῳ φησί· *Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα*. Θέλεις ἰδεῖν αὐτὸν καὶ πρὸς τοὺς ἡμαρτηκότας πῶς διαλέγεται; Ἄκουσον τί φησι Κορινθίοις ἐπιστέλλων· *Φοβοῦμαι δὲ μή πως ἐλθὼν, οὐχ*

[a] Versionem contulimus ad eam quam e codice Leydensi descripsit Joannes van Voorst, in libro cui titulus: *Joannis Chrysostomi Selecta, Græce et Latine, Lugduni Batav.* 1827, vol. I, p. 337-353. Ejus præfationem videsis, p. XXI, sq.

[b] Savil. ad marg. δύναται, atque ita legisse videtur interpres.

οἶνος θέλω, εὗρω ὑμᾶς· καὶ μετ' ὀλίγα, *Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν.* Καὶ Γαλάταις δὲ γράφων ἔλεγε· *Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.* Καὶ ὑπὲρ τοῦ πεπορνευκότος ἄκουσον αὐτοῦ, πῶς οὐχ ἧττον ἐκείνου καὶ ὀδυνᾶται καὶ παρακαλεῖ λέγων· *Κυρώσατε εἰς αὐτὸν ἀγάπην.* Καὶ ἡνίκα δὲ αὐτὸν ἐξέκοπτε, μετὰ πολλῶν δακρύων τοῦτο ἐποίει. *Ἐκ γὰρ πολλῆς θλίψεως,* φησὶ, *καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ ἵνα γνῶτε τὴν ἀγάπην, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς·* καὶ πάλιν· *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, τοῖς ἀσθενοῦσιν ὡς ἀσθενής, τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω·* καὶ ἀλλαχοῦ πάλιν· *Ἵνα παραστήσω πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.* Εἶδες ψυχὴν ὑπερβαίνουσαν πᾶσαν [489] τὴν γῆν; Πάντα ἄνθρωπον προσεδόκησε παραστῆσαι, καὶ τό γε αὐτοῦ μέρος, πάντας παρέστησε. Κἀὶ γὰρ ὥσπερ τὴν οἰκουμένην ἅπασαν γεννήσας αὐτὸς, οὕτως ἐθορυβεῖτο, οὕτως ἔτρεχεν, οὕτω πάντας ἐσπούδαζεν εἰσαγαγεῖν εἰς τὴν βασιλείαν, θεραπεύων, παρακαλῶν, ὑπισχνούμενος, εὐχόμενος, ἱκετεύων, τοὺς δαίμονας φοβῶν, τοὺς διαφθείροντας ἐλαύνων, δια παρουσίας, διὰ γραμμάτων, διὰ ῥημάτων, διὰ πραγμάτων, διὰ μαθητῶν, δι' ἑαυτοῦ τοὺς πίπτοντας ἀνορθῶν, τοὺς ἑστῶτας στηρίζων, διεγείρων τοὺς χαμαὶ κειμένους, θεραπεύων τοὺς συντετριμμένους, ἀλείφων τοὺς ῥᾳθυμοῦντας, φοβερὸν ἐμβοῶν ἐπὶ τοῖς ἐχθροῖς, δριμὺ βλέπων ἐπὶ τοῖς πολεμίοις· καθάπερ τις στρατηγὸς ἢ ἄριστος ἰατρὸς, αὐτὸς σκευοφόρος, αὐτὸς ὑπασπιστὴς, αὐτὸς ὑπερασπιστὴς, αὐτὸς παραστάτης, αὐτὸς πάντα γινόμενος τῷ στρατοπέδῳ καὶ οὐκ ἐν τοῖς πνευματικοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς σαρκικοῖς πολλὴν τὴν πρόνοιαν ἐπεδείκνυτο, πολλὴν τὴν σπουδήν. Ἄκουσον γοῦν αὐτοῦ, πῶς ὑπὲρ μιᾶς γυναικὸς πρὸς ὁλόκληρον ἐπιστέλλει δῆμον λέγων· *Συνίστημι δὲ ὑμῖν Φοίβην, τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς Ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, ἵνα προσδέξησθε αὐτὴν ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ, ἐν ᾧ ἂν ὑμῶν πράγματι χρήζῃ·* καὶ πάλιν· *Οἴδατε τὴν οἰκίαν Στεφανᾶ· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις·* καὶ πάλιν· *Ἐπιγινώσκετε τοὺς τοιούτους.* Καὶ γὰρ καὶ τοῦτο ἴδιον τῆς φιλοστοργίας τῶν ἁγίων, τὸ καὶ ἐν τούτοις βοηθεῖν. Οὕτω καὶ ὁ Ἐλισσαῖος τὴν ὑποδεξαμένην αὐτὸν γυναῖκα, οὐκ ἐν τοῖς πνευματικοῖς μόνον ὠφέλει, ἀλλὰ καὶ ἐν τοῖς σαρκικοῖς ἐσπούδαζεν ἀμείβεσθαι· διὸ καὶ ἔλεγεν· *Εἴ τίς ἐστί σοι λόγος πρὸς τὸν βασιλέα, ἢ πρὸς τὸν ἄρχοντα;* Καὶ τί θαυμάζεις, εἰ τὴν ἀπὸ τῶν γραμμάτων παρεῖχε σύστασιν ὁ Παῦλος, ὅπου γε καὶ καλῶν τινας πρὸς ἑαυτὸν, οὐδὲ τοῦτο ἀνάξιον εἶναι ἐνόμισε, τὸ καὶ περὶ ἐφοδίων αὐτῶν φροντίσαι, καὶ καταθέσθαι αὐτὸ ἐν ἐπιστολῇ; Καὶ γὰρ ἐπιστέλλων Τίτῳ φησί· *Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.* Εἰ δὲ παρατιθέμενος οὕτω σπουδαίως ἐξέπεμπε, πολλῷ μᾶλλον, εἴ που κινδυνεύοντας εἶδε, πάντα ἂν ἔπραξεν. Ὅρα γοῦν καὶ πρὸς τὸν Φιλήμονα ἐπιστέλλων, πόσην ποιεῖται σπουδὴν διὰ Ὀνήσιμον, καὶ πῶς συνετῶς, πῶς κηδεμονικῶς ἐπιστέλλει. Ὁ δὲ ὑπὲρ ἑνὸς οἰκέτου, καὶ ταῦτα φυγάδος γεγενημένου, καὶ ὑφελομένου πολλὰ τῶν δεσποτικῶν, ὁλόκληρον μὴ παραιτησάμενος συνθεῖναι ἐπιστολὴν, ἐννόησον ἡλίκος περὶ τοὺς ἄλλους ἦν. Καὶ γὰρ ἓν μόνον αἰσχύνης ἄξιον ἐνόμιζεν εἶναι, τὸ, δέον γενέσθαι τι πρὸς σωτηρίαν, παριδεῖν. Διὰ τοῦτο πάντα ἐκίνει, καὶ οὐδὲν ὤκνει δαπανᾷν ὑπὲρ τῶν σωζομένων, οὐ ῥήματα, οὐ χρήματα, οὐ σῶμα· ὁ γὰρ μυριάκις ἑαυτὸν θανάτοις ἐκδοὺς, πολλῷ μᾶλλον οὐδὲ χρημάτων ἐφείσατο, εἴ γε παρῆν. Καὶ τί λέγω, εἴ γε παρῆν; Καὶ γὰρ [490] μὴ παρόντων δυνατὸν δεῖξαι, ὅτι οὐκ ἐφείσατο. Καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ ῥῆμα, ἀλλ' αὐτοῦ πάλιν ἄκουσον λέγοντος· ὅτι Ἥδιστα δαπανήσω, καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν. Καὶ Ἐφεσίοις δημηγορῶν ἔλεγεν· Αὐτοὶ οἴδατε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Καὶ ὢν μέγας, ἐν τῷ κεφαλαίῳ τῶν ἀγαθῶν, τῇ ἀγάπῃ, φλογὸς πάσης σφοδρότερος ἦν· καὶ καθάπερ σίδηρος εἰς πῦρ ἐμπεσὼν, ὅλος γίνεται πῦρ, οὕτω καὶ αὐτὸς τῷ πυρὶ τῆς ἀγάπης ἀναφθεὶς, ὅλος γέγονεν ἀγάπη· καὶ ὥσπερ κοινὸς πατὴρ τῆς οἰκουμένης ἁπάσης ὤν, οὕτω τοὺς γεγεννηκότας αὐτοὺς ἐμιμεῖτο· μᾶλλον δὲ καὶ πάντας ὑπερτρ.οντισε πατέρας, καὶ σωματικῶν καὶ πνευματικῶν ἕνεκεν φροντίδων, καὶ χρήματα, καὶ ῥήματα, καὶ σῶμα, καὶ ψυχὴν, καὶ πάντα ἐπιδιδοὺς ὑπὲρ τῶν ἠγαπημένων.

Διὰ τοῦτο καὶ πλήρωμα αὐτὴν ἐκάλει νόμου, καὶ σύνδεσμον τελειότητος, καὶ μητέρα τῶν ἀγαθῶν πάντων, καὶ ἀρχὴν καὶ τέλος ἀρετῆς· διὸ καὶ ἔλεγε· *Τὸ δὲ τέλος τῆς ἐπαγγελίας ἀγάπη ἐκ καθαρᾶς καρδίας. καὶ συνειδήσεως ἀγαθῆς·* καὶ πάλιν, *Τὸ γὰρ, Οὐ μοιχεύσεις, οὐ φονεύσεις, καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* Ἐπεὶ οὖν ἀρχὴ καὶ τέλος καὶ πάντα τὰ ἀγαθὰ ἡ ἀγάπη, καὶ ταύτῃ τὸν Παῦλον ζηλώσωμεν· καὶ γὰρ οὗτος ἐντεῦθεν τοιοῦτος ἐγένετο. Μὴ γάρ μοι τοὺς νεκροὺς εἴπῃς, οὓς ἀνέστησε, μηδὲ τοὺς λεπροὺς, οὓς ἐκάθηρεν· οὐδὲν τούτων ὁ Θεὸς ἐπιζητήσει παρὰ σοῦ. Κτῆσαι τὴν ἀγάπην τὴν Παύλου, καὶ τὸν στέφανον ἔξεις ἀπηρτισμένον. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ τῆς ἀγάπης τροφεὺς, οὗτος ὁ καὶ σημείων, καὶ θαυμάτων, καὶ μυρίων αὐτὴν ἑτέρων προθείς. Ἐπειδὴ γὰρ σφόδρα αὐτὴν κατωρθώκει, διὰ τοῦτο καὶ μετὰ ἀκριβείας αὐτῆς οἶδε τὴν ἰσχύν. Ἐντεῦθεν καὶ αὐτὸς τοιοῦτος ἐγένετο, καὶ οὐδὲν οὕτως αὐτὸν ἐποίησεν ἄξιον, ὡς ἡ τῆς ἀγάπης δύναμις· διὸ καὶ ἔλεγε· *Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι,* τὴν ἀγάπην λέγων, τὴν καλλίστην ὁδὸν καὶ ῥᾳδίαν. Ταύτην τοίνυν καὶ ἡμεῖς βαδίζωμεν διηνεκῶς, ἵνα καὶ Παῦλον ἴδωμεν, μᾶλλον δὲ τὸν Παύλου Δεσπότην, καὶ τῶν

12. 20), et paulo post, *Ne, cum iterum venero, humiliet me Deus apud vos, et lugeam multos ex his, qui ante peccaverunt, et non egerunt pœnitentiam super immunditia, et fornicatione, et impudicitia, quam gesserunt* (2. *Cor.* 12. 21). Et ad Galatas, *Filioli*, inquit, *mei, quos iterum parturio, donec Christus formetur in vobis* (*Gal.* 4. 19). Et in causa ejus, qui fuerat fornicatus, non minus eo ipso, qui pro peccato suo lamentabatur, dolet, proque illo alios deprecatur dicens : *Confirmate in illum caritatem* (2. *Cor.* 2. 8). Sed etiam, quando illum ab Ecclesiæ corpore separabat, cum multis hoc lacrymis gemituque faciebat. *Ex multa*, inquit, *tribulatione et angustia cordis scripsi vobis per multas lacrymas, non ut contristemini, sed ut scialis quoniam caritatem habeam abundantius in vos* (*Ib. v.* 4). Et rursus: *Factus sum Judæis tamquam Judæus, his, qui sub lege erant, quasi sub lege essem; factus sum infirmus infirmis, omnibus omnia factus sum, ut omnes salvos facerem* (1. *Cor.* 9. 20-22). Et alibi rursus : *Ut exhibeam omnem hominem perfectum in Christo Jesu* (*Col.* 1. 28). Vidistin' animam omnia terrena superantem? Omnem enim prorsus hominem Deo exhibere cupiebat, et omnes, quantum in ipso esset, exhibuit. Quasi enim universum mundum genuisset, sic perturbabatur, sic currebat, sic omnes in regnum Dei festinabat inducere ministerium præstans, monens, pollicens, orans, supplicans, dæmones terrificans, corruptores animarum fugans, per commorationes, per litteras, per sermones; per res gestas, per discipulos, per semetipsum conabatur erigere labantes, stantes vero firmare, humi jacentes attollere, sanare contritos, torpentes oleo exhortationis animare, inimicis insonare terribiliter, hostes minaciter intueri, instar optimi cujusdam ducis ac medici artis suæ instrumenta gestantis, protector ipse bellantium, ipse sedulus ægrotorum minister, et unus omnium officiorum personas gerebat, exercitum ubique custodiens. Nec in spiritualibus solum, sed in carnalibus quoque plurima providæ erga omnes curæ et studii documenta præstabat. Audi itaque quemadmodum pro una etiam muliere ad universum scribat populum, dicens : *Commendo autem vobis Phœben sororem nostram, quæ est in ministerio Ecclesiæ, quæ est Cenchrèis, ut eam suscipiatis in Domino digne sanctis, et assistatis ei, in quocumque negotio vestri indiguerit* (*Rom.* 16. 1). Et iterum : *Nostis*, ait, *domum Stephanæ, ut et vos subditi sitis ejusmodi* (1. *Cor.* 16. 15 *et* 16). Et rursus : *Cognoscite qui hujusmodi sunt* (*Ib. v.* 18). Est enim hoc quoque proprium et familiare in dilectione sanctorum, ut in his quoque succurrant. Sic enim et Elisæus mulierem illam, susceptricem suam non spiritualibus solum, sed etiam carnalibus beneficiis remunerat (4. *Reg.* 4. 12. *sqq*) ; propter quod, cum multa sollicitudine curaque dicebat : *Estne tibi sermo ad regem vel ad principem* (*Ibid. v.* 13)? Et quid mirum, si commendationes per literas præstitit Paulus, qui ad se aliquos revocans, nec de viatico illorum curam gerere dedignatus est, idque ipsum in epistola sua scribere? Siquidem scribens Tito ait : *Zenam, legis peritum, et Apollonium sollicite præmitte, ut nihil illis desit* (*Tit.* 3. 13). Qui commendans aliquos tam studiose scripsit atque sollicite, multo magis siculi vidisset periclitantes, cuncta fecisset. Ad Philemonem quoque propter Onesimum scribens, vide quantum impendit studium, quam intente ac sollicite deprecetur. Qui autem pro uno servulo, eoque fugitivo, et qui ex rebus domini multa subtraxerat, integram, omnique affectu plenam epistolam sine cunctatione composuit, qualis circa alios fuerit, perpende. Unum enim hoc ille pudore dignum putavit, aliquid scilicet pro cujuslibet salute negligere. Propter hoc agebat omnia, et commovebat ; nec omnino quidquam pro his, qui servandi erant, cunctabatur impendere, non verba, non pecunias, non denique corpus ipsum. Qui enim millies seipsum tradiderat in mortem, multo magis si habuisset, nec pecuniis pepercisset. Et quid dico, si habuisset, cum probare possim, non pepercisse eum pecuniis, etiam nihil habentem ? Et ne ambiguum putes esse, quod dicimus, audi ipsum rursus loquentem : *Quoniam*, inquit, *libenter, impendam, et superimpendar ipse pro animabus vestris* (2. *Cor.* 12. 15) : et Ephesios alloquens, ait : *Ipsi scitis, quoniam necessitatibus meis, et his qui mecum erant, ministraverunt manus istæ* (*Act.* 20. 34). Et cum celsus in omnium virtutum arce, nempe caritate consisteret, omni flamma erat ardentior. Ut enim missum in ignem ferrum, totum profecto ignis efficitur : sic Paulus caritate succensus, totus factus est caritas, qui quasi communis totius mundi esset pater, ita in amore omnium ipsos eorum imitabatur parentes : imo cunctos, non carnali tantummodo, verum etiam spirituali patres sollicitudine ac pietate superabat, et pecunias, et verba, et corpus, et animam pro iis, quos diligebat, impendens.

Propter hoc itaque caritatem etiam plenitudinem legis vocabat, et vinculum perfectionis, et omnium matrem bonorum, et initium finemque virtutum : proptereaque dicebat : *Finis autem præcepti est caritas de corde puro, et conscientia bona* (1. *Tim.* 1. 5). Et rursus : *Non adulterabis, non occides, et, si quod aliud est mandatum, in hoc verbo comprehenditur : Diliges proximum tuum sicut teipsum* (*Rom.* 13. 9.) Quia igitur et initium et finis, et bonorum omnium complexus dilectio est, et in ea studeamus Paulum imitari, etenim hic illius ope talis effectus est. Non enim proponas mihi mortuos, quos suscitavit, neque leprosos, quos mundavit ; nihil horum requiret a te Deus. Acquire caritatem Pauli, et perfectam habebis coronam. Quis hæc dixit? Ipse nutritor caritatis, ille qui eam et signis, et miraculis, et mille aliis bonis præposuit. Quia enim ipse omnes hujus officii partes tam strenue impleverat, idcirco ipsius vim exquisite intelligit. Hinc ille talis exsistit, nihilque eum ita dignum Deo, ut virtus præstitit caritatis : et ideo dicebat, *Quærite dona præstantiora : et adhuc excellentiorem viam vobis demonstro* (1. *Cor.* 12. 3) ; caritatem dicens, illam pulcherrimam et facillimam viam. In

illa igitur et nos jugiter ambulemus, ut et Paulum, imo et Dominum Pauli videre mereamur, et incorruptibiles consequamur coronas, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

DE LAUDIBUS SANCTI PAULI APOSTOLI.

HOMILIA IV.

Cæcitas Pauli nos illuminat. Vocatio Pauli qualis.— Beatus Paulus qui nos hodie congregavit, quique terrarum etiam illuminavit orbem, vocationis suæ tempore aliquando cæcatus est : sed illius cæcitas illuminatio totius orbis effecta est. Quoniam enim videbat male, bene eum excæcavit Deus, ut utiliter jam videret reliquum. Simul enim et documentum ei virtutis suæ præbuit, et in passione ejus figuravit futura, et modum ejus prædicationis edocuit, quod scilicet oporteret eum priora studia penitus excludere, et quasi conniventem oculis semetipsum undique coercere[1] : propter quod ipse idem istud significans, clamat : *Si quis videtur inter vos sapiens, stultus fiat, ut sit sapiens* (1. *Cor.* 3. 18). Nequaquam ergo potuisset rursum bene videre, nisi prius excæcatus fuisset; unde et propriam sapientiam, qua perturbabatur, excludens, fidei se per cuncta committeret. Sed nullus hoc audiens, vocationem istam necessitatem putet, siquidem potuit redire unde discesserat. Multi enim in novo et in veteri Testamento, cum majora sæpe mirabilia vidissent, retro, ut legimus, sunt reversi : ut Nabuchodonosor, ut Judas, ut Elymas magus, ut Simon, ut Ananias et Sapphira, ut universus populus Judæorum : sed non ita Paulus. Illustrato enim mentis aspectu ad sincerissimum illud lumen cursu tetendit, atque ad cælum perniciter subvolavit. Quod si interroges, cujus rei gratia sit cæcatus, accipe ipsum loquentem : *Audistis*, inquit, *conversationem meam aliquando in Judaismo, quoniam supra modum persequebar Ecclesiam Dei, et expugnabam illam, et proficiebam in Judaismo supra multos coætaneos meos, in genere meo abundantius æmulator exsistens paternarum mearum traditionum* (*Gal.* 1. 13. 14). Quia enim vehemens adeo erat et fervens, frenis quoque vehementioribus indigebat, ne scilicet impetu ipso ejus, qua ferebatur, alacritatis arreptus, prolata ad se verba contemneret. Propterea igitur furorem ejus indomitum prius comprimit, concitatos et præcipites illius iracundiæ fluctus, cæcitatis beneficio redigit in quietem, et tunc demum cælesti eum donat affatu, ostendens proprie inaccessibilem sapientiam, et supereminentem omnibus divinæ scientiæ bonitatem, ut disceret, cui jam adversario repugnaret : quem certe non modo punientem ferre non posset, sed nec beneficia conferentem. Non enim ille obscuritate tenebrarum, sed luminis nimietate cæcatus est. Et cur, inquis, hoc non ante factum est? Ne quæras istud, neque velis esse curiosior, sed concede incomprehensibili Dei providentiæ salutes hominum notis sibi temporum opportunitatibus ordinare. Sic enim etiam ipse fatebatur, dicens : *Cum autem placuit ei, qui me segregavit de utero matris meæ, et vocavit per suam gratiam, ut revelaret Filium suum in me* (*Gal.* 1. 15. 16). Nihil tu igitur scruteris amplius, quando hæc dicit et Paulus. Istud enim tunc utique fieri oportuit, cum jam scandala ubique sublata essent. Ab ipso itaque discamus, quoniam nullus ante Paulum, neque ipse Paulus ex se tantummodo eum invenit, sed ipse se Christus ostendit, et idcirco dicebat : *Non vos me elegistis, sed ego elegi vos* (*Joan.* 15. 16). Cæterum cur ante non credidit, cum videret in ipsius nomine resurgere mortuos, ambulare claudos, paralyticos roborari, dæmones effugari? Nullum enim fructum ille ex his omnibus consequutus est, cum tamen non ignoraret ista, qui tam erat erga apostolos curiosus, qui certe cum lapidaretur Stephanus adstabat; et faciem ejus videbat angelico fulgore radiantem (*Act.* 7. 57. 59). Cur ergo nihil inde lucratus est? Quia necdum utique vocatus fuerat a Christo.

Vocatio non necessitatem infert. Cur e cælo nos Deus non vocet.—Tu vero hoc audiens noli vocationem istam necessitatem putare. Non enim Deus homines cogit vocando, sed post vocationem quoque permittit eos propriarum esse dominos voluntatum. Nam et Judæis seipsum quando oportuit revelavit : sed illi propter gloriam, quam ab hominibus requirebant, ultro se offerentem suscipere noluerunt. Verum hoc loco infidelior quis opponat, atque dicat : Cur me etiam non vocavit e cælo? Unde autem manifestum est, o homo, quia Paulum vocavit de cælo? sed credis istud? Ergo si credis, hoc ipsum ad signum tibi satis est. Si vero non credis quia e cælo Paulum vocavit, quomodo dicis, cur me etiam non vocavit? Credis, quia ille vocavit; hoc ipsum tibi, ut dixi, abundat ad signum. Crede igitur; nam te quoque e cælo vocat Deus, si habes animam ad obediendum paratam. Quod si inobediens sis, et corruptæ depravatæque sententiæ, ne de cælo quidem ad te vox demissa tibi sufficit ad salutem. Quoties autem et Judæi vocem audiere de cælo, in novo, et in veteri Testamento, nec tamen facti sunt idcirco meliores? Nam in veteri Judæi post mille miracula pro Deo vitulum, quem fecerant, adoraverunt. At vero Jerichontina meretrix, quæ nihil omnino ex mirabilibus viderat, ostendit tamen fidem in exploratorum susceptione mirabilem. In terra quoque repromissionis Judæi signa cernentes, permanebant lapidibus duriores : Ninivitæ vero Jonam solum videntes crediderunt, et egerunt pœnitentiam (*Jonæ* 3), et venturam super se iram Dei conversione pepule-

[1] In Græco, *et clausis oculis ipsum sequi*.

ἀκηράτων ἐπιτύχωμεν στεφάνων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

—

Ὁμιλία δ'.

Ὁ μακάριος Παῦλος, ὁ τήμερον ἡμᾶς συναγαγὼν, καὶ τὴν οἰκουμένην φωτίσας, οὗτος ἐν τῷ καιρῷ τῆς κλήσεως ἐτυφλώθη ποτέ· ἀλλ' ἡ πήρωσις ἐκείνου [491] φωτισμὸς γέγονε τῆς οἰκουμένης. Ἐπειδὴ γὰρ ἔβλεπε κακῶς, ἐπήρωσεν αὐτὸν καλῶς ὁ Θεὸς, ὥστε ἀναβλέψαι χρησίμως, ὁμοῦ μὲν τῆς ἑαυτοῦ δυνάμεως ἀπόδειξιν αὐτῷ παρεχόμενος, ὁμοῦ δὲ ἐν τῷ πάθει τὰ μέλλοντα προδιατυπῶν, καὶ τοῦ κηρύγματος τὸν τρόπον διδάσκων, καὶ ὅτι ταῦτα πάντα οἴκοθεν ἀποβαλόντα, καὶ μύσαντα καὶ τοὺς ὀφθαλμοὺς, αὐτῷ ἕπεσθαι χρή. Διὸ καὶ αὐτὸς ἐβόα τοῦτο αὐτὸ δηλῶν· *Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, γενέσθω μωρὸς, ἵνα γένηται σοφός·* ὡς οὐκ ἐνὸν ἀναβλέψαι καλῶς, μὴ πρότερον πηρωθέντα καλῶς, καὶ τοὺς οἰκείους καὶ ταράττοντας αὐτὸν ἐκβαλόντα λογισμοὺς, καὶ τῇ πίστει τὸ πᾶν ἐπιτρέψαντα. Ἀλλὰ μηδεὶς ταῦτα ἀκούων ἠναγκασμένην νομιζέτω εἶναι ταύτην τὴν κλῆσιν· καὶ γὰρ ἐδύνατο πάλιν ἐπανελθεῖν, ὅθεν ἐξέβη. Πολλοὶ γοῦν ἕτερα μείζονα θαύματα ἰδόντες, ὑπέστρεψαν πάλιν, καὶ ἐν τῇ Καινῇ, καὶ ἐν τῇ Παλαιᾷ· οἷον ὁ Ἰούδας, ὁ Ναβουχοδονόσορ, ὁ Ἐλύμας ὁ μάγος, ὁ Σίμων, ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, ὅλος τῶν Ἰουδαίων ὁ δῆμος· ἀλλ' οὐχ ὁ Παῦλος. Ἀλλὰ διαβλέψας πρὸς τὸ ἀκήρατον φῶς τὸν δρόμον ἐπέτεινε, καὶ πρὸς τὸν οὐρανὸν ἵπτατο. Εἰ δὲ ἐξετάζεις τίνος ἕνεκεν ἐπηρώθη, ἄκουε αὐτοῦ λέγοντος· *Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν, καὶ ἐπόρθουν αὐτὴν, καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.* Ἐπεὶ οὖν οὕτω σφοδρὸς ἦν καὶ ἀπρόσιτος, σφοδροτέρου ἐδεῖτο χαλινοῦ, ἵνα μὴ τῇ ῥώμῃ τῆς προθυμίας ἀγόμενος, καὶ παρακούσῃ τῶν λεγομένων. Διὰ δὴ τοῦτο καταστέλλων αὐτοῦ τὴν μανίαν ἐκείνην, πρῶτον κατευνάζει τὰ κύματα τῆς ῥαγδαίας ὀργῆς ἐκείνης διὰ τῆς πηρώσεως, καὶ τότε αὐτῷ διαλέγεται, δεικνὺς τῆς σοφίας αὐτοῦ τὸ ἀπρόσιτον, καὶ τὸ τῆς γνώσεως ὑπερέχον, καὶ ἵνα μάθῃ τίνα πολεμεῖ, ὃν οὐ μόνον κολάζοντα, ἀλλ' οὐδὲ εὐεργετοῦντα δύναται ἐνεγκεῖν. Οὐ γὰρ σκότος αὐτὸν ἐπήρωσεν, ἀλλ' ὑπερβολὴ φωτὸς αὐτὸν ἐσκότισε. Καὶ τί δήποτε μὴ ἐξ ἀρχῆς τοῦτο ἐγένετο, φησί; Μὴ ζήτει τοῦτο, μηδὲ περιεργάζου, ἀλλὰ παραχώρει τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ προνοίας τοῦ καιροῦ τὴν ἐπιτηδειότητα. Καὶ γὰρ καὶ αὐτὸς τοῦτο ποιεῖ λέγων· *Ὅτε δὲ εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί.* Οὐκοῦν καὶ σὺ μηδὲν περιεργάζου πλέον, ὅταν ὁ Παῦλος τοῦτο λέγῃ. Τότε γὰρ, τότε συνέφερε τῶν σκανδάλων ἀρθέντων ἐκ μέσου. Λοιπὸν ἀπὸ τούτου μάθωμεν, ὅτι οὐδεὶς οὐδαμῶς οὐδὲ τῶν πρὸ αὐτοῦ, οὐδὲ αὐτὸς οἴκοθεν αὐτὸν εὗρεν, ἀλλ' ὁ Χριστὸς ἑαυτὸν ἐφανέρωσε. Διὸ καὶ ἔλεγεν· *Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς·* ἐπεὶ τίνος ἕνεκεν ὁρῶν τῷ ὀνόματι αὐτοῦ ἀνισταμένους [492] νεκροὺς, οὐκ ἐπίστευσεν; Ὁρῶν γὰρ χωλὸν βαδίζοντα, καὶ δαίμονας δραπετεύοντας, καὶ παραλυτικοὺς σφιγγομένους, οὐδὲν ἐκαρποῦτο· οὐδὲ γὰρ ἠγνόει ταῦτα ὁ οὕτω περιεργαζόμενος τοὺς ἀποστόλους. Καὶ Στεφάνου δὲ λιθαζομένου, παρὼν καὶ ἰδὼν τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον ἀγγέλου, οὐδὲν ἐντεῦθεν ἐκέρδανε. Πῶς οὖν οὐδὲν ἐνταῦθα ἐκέρδανεν; Ὅτι οὐδέπω ἦν κεκλημένος.

Σὺ δὲ ἀκούων ταῦτα, μὴ ἀναγκαστὴν τὴν κλῆσιν εἶναι νόμιζε· οὐδὲ γὰρ ἀναγκάζει ὁ Θεὸς, ἀλλ' ἀφίησι κυρίους εἶναι προαιρέσεων καὶ μετὰ τὴν κλῆσιν. Καὶ γὰρ Ἰουδαίοις ἀπεκάλυψεν ἑαυτὸν καὶ ὅτε ἐχρῆν, ἀλλ' οὐκ ἠθέλησαν δέξασθαι διὰ τὴν δόξαν τὴν παρὰ τῶν ἀνθρώπων. Εἰ δὲ λέγοι τις τῶν ἀπίστων, πόθεν δῆλον ὅτι Παῦλον ἐκάλεσεν ἐξ οὐρανοῦ, καὶ ἐπείσθη; διὰ τί γὰρ μὴ καὶ ἐμὲ ἐκάλεσεν; ἐκεῖνο πρὸς αὐτὸν ἐροῦμεν· πιστεύεις τοῦτο, εἰπέ μοι, ὦ ἄνθρωπε; Οὐκοῦν εἰ πιστεύεις, ἀρκεῖ σοι εἰς σημεῖον. Εἰ μὲν γὰρ ἀπιστεῖς ὅτι ἐκάλεσεν ἐξ οὐρανοῦ, πῶς λέγεις, διὰ τί μὴ καὶ ἐμὲ ἐκάλεσεν; εἰ δὲ πιστεύεις ὅτι ἐκάλεσεν, ἀρκεῖ σοι τοῦτο εἰς σημεῖον. Πίστευε τοίνυν· καὶ γὰρ καὶ σὲ καλεῖ ἐξ οὐρανοῦ, ἐὰν ψυχὴν εὐγνώμονα ἔχῃς· ὡς, ἐὰν ἀγνώμων ᾖς καὶ διεστραμμένος, οὐδὲ τὸ ἐνεχθῆναί σοι φωνὴν ἄνωθεν ἀρκέσει εἰς σωτηρίαν. Ποσάκις γοῦν ἤκουσαν οἱ Ἰουδαῖοι φωνῆς ἐξ οὐρανοῦ φερομένης, καὶ οὐκ ἐπίστευσαν; πόσα εἶδον σημεῖα, καὶ ἐν τῇ Καινῇ, καὶ ἐν τῇ Παλαιᾷ, καὶ οὐκ ἐγένοντο βελτίους; Ἀλλ' ἐν μὲν τῇ Παλαιᾷ, οὗτοι μετὰ μυρία θαύματα ἐμοσχοποίησαν· ἡ δὲ Ἰεριχουντία πόρνη μηδὲν τούτων θεασαμένη, πίστιν ἐπεδείξατο θαυμαστὴν περὶ τοὺς κατασκόπους. Καὶ ἐν τῇ γῇ δὲ τῆς ἐπαγγελίας οὗτοι μὲν, τῶν σημείων γινομένων, ἔμενον λίθων ἀναισθητότεροι· οἱ δὲ Νινευῖται τὸν Ἰωνᾶν θεασάμενοι μόνον, ἐπίστευσαν καὶ μετενόησαν, καὶ τὴν θείλα-

τον ὀργὴν ἀπεκρούσαντο. Ἐν δὲ τῇ Καινῇ, ἀπ' αὐτῆς τοῦ Χριστοῦ τῆς παρουσίας, ὁ μὲν λῃστὴς σταυρούμενον ἰδὼν, προσεκύνησεν· οὗτοι δὲ νεκροὺς ἐγείροντα θεασάμενοι, καὶ ἔδησαν καὶ ἐσταύρωσαν.

Τί δὲ ἐφ' ἡμῶν; Οὐχὶ πῦρ ἐκ τοῦ ναοῦ, ἐκ τῶν θεμελίων των ἐν Ἱεροσολύμοις ἐκπηδῆσαν ἐφήλατο τοῖς οἰκοδομοῦσι, καὶ οὕτως αὐτοὺς ἀπέστησε τῆς παρανόμου τότε ἐπιχειρήσεως; ἀλλ' ὅμως οὐ μετεβάλλοντο, οὐδὲ ἀπέθεντο τὴν πώρωσιν. Πόσα δὲ ἕτερα γέγονε μετ' ἐκεῖνο θαύματα τότε, καὶ οὐδὲν ἐντεῦθεν ἐκέρδαναν; οἷον ὁ κεραυνὸς ὁ κατὰ τῆς ὀροφῆς τοῦ ναοῦ τοῦ Ἀπόλλωνος κατενεχθείς· ὁ τοῦ δαίμονος αὐτοῦ τούτου χρησμὸς, ὃς τὸν τότε βασιλεύοντα ἠνάγκαζε μετακινεῖν τὸν πλησίον κείμενον μάρτυρα, λέγων· μὴ δύνασθαι φθέγγεσθαι, ἕως ἂν τὴν λάρνακα τὴν ἐκείνου βλέπῃ πλησίον· καὶ γὰρ ἐκ γειτόνων ἦν κειμένη. Μετὰ τοῦτον πάλιν, ὁ θεῖος ὁ τούτου εἰς τὰ ἱερὰ σκεύη ἐνυβρίσας, σκωληκόβρωτος γεγονὼς ἐξέψυξε· καὶ ὁ ταμίας δὲ τῶν βασιλικῶν χρημάτων δι' ἑτέραν παρανομίαν εἰς τὴν Ἐκκλησίαν ὑπ' αὐτοῦ γενομένην, μέσον λακήσας ἀπώλετο. Πάλιν αἱ πηγαὶ αἱ παρ' ἡμῖν, αἱ νικῶσαι τῷ [493] ῥεύματι τοὺς ποταμοὺς, ἀθρόον ἔφυγον καὶ ἀπεπήδησαν, μηδέποτε τοῦτο παθοῦσαι πρότερον, ἀλλ' ὅτε θυσίαις καὶ σπονδαῖς τὸ χωρίον ἐμόλυνεν ὁ βασιλεύς. Τί ἂν τις εἴποι τὸν λιμὸν τὸν πανταχοῦ τῆς οἰκουμένης μετὰ τοῦ βασιλέως ταῖς πόλεσι συνεμπεσόντα, αὐτοῦ τοῦ βασιλέως τὸν θάνατον, τὸν ἐν τῇ Περσῶν χώρᾳ, τὴν πρὸ τοῦ θανάτου ἀπάτην, τὸ στρατόπεδον τὸ ἐν μέσοις ἀπολῃφθὲν τοῖς βαρβάροις, καθάπερ ἐν σαγήνῃ τινὶ καὶ δικτύοις, τὴν ἄνοδον ἐκεῖθεν τὴν θαυμαστὴν καὶ παράδοξον; Ἐπειδὴ γὰρ ὁ μὲν ἀσεβὴς βασιλεὺς ἔπεσεν ἐλεεινῶς, ἕτερος δὲ εὐσεβὴς διεδέξατο, πάντα εὐθέως ἐλύετο τὰ δεινά· καὶ οἱ ἐν μέσοις εἰλημμένοι δικτύοις, καὶ οὐδεμίαν οὐδαμόθεν διέξοδον ἔχοντες στρατιῶται, τοῦ Θεοῦ λοιπὸν νεύσαντος, τῶν βαρβάρων ἀπαλλαγέντες μετὰ ἀσφαλείας ἐπανῆεσαν ἁπάσης. Ταῦτα τίνα οὐχ ἱκανὰ ἐφελκύσασθαι πρὸς τὴν εὐσέβειαν; Τὰ δὲ παρόντα οὐ πολλῷ τούτων θαυμαστότερα; οὐ σταυρὸς κηρύττεται, καὶ ἡ οἰκουμένη προστρέχει; οὐ θάνατος καταγγέλλεται ἐπονείδιστος, καὶ πάντες ἐπιπηδῶσι; μὴ γὰρ οὐκ ἐσταυρώθησαν μυριοι; μὴ γὰρ μετ' αὐτοῦ τοῦ Χριστοῦ οὐχὶ δύο λῃσταὶ ἀνεσκολοπίσθησαν; μὴ γὰρ οὐκ ἐγένοντο πολλοὶ σοφοί; μὴ γὰρ οὐκ ἐγένοντο πολλοὶ δυνατοί; τίνος ὄνομά ποτε οὕτως ἐκράτησε; καὶ τί λέγω σοφοὺς καὶ δυνατούς; μὴ γὰρ οὐκ ἐγένοντο βασιλεῖς ἐπίδοξοι; τίς οὕτω περιεγένετο τῆς οἰκουμένης ἐν βραχεῖ τῷ χρόνῳ; Μὴ γάρ μοι λέγε τὰς αἱρέσεις τὰς ποικίλας καὶ παντοδαπάς· πάντες γὰρ τὸν αὐτὸν Χριστὸν κηρύττουσιν, εἰ καὶ μὴ ὑγιῶς πάντες, ἀλλ' ἐκεῖνον τὸν ἐν Παλαιστίνῃ πάντες προσκυνοῦσι σταυρωθέντα, τὸν ἐπὶ Ποντίου Πιλάτου. Ταῦτα οὖν οὐ δοκεῖ τῆς δυνάμεως αὐτοῦ σαφεστέραν ἔχειν ἀπόδειξιν τῆς φωνῆς ἐκείνης τῆς ἐξ οὐρανοῦ κατενεχθείσης; Διὰ τί γὰρ μηδεὶς οὕτω περιεγενετο βασιλεὺς ὡς οὗτος ἐκράτησε, καὶ ταῦτα μυρίων ὄντων τῶν κωλυμάτων; καὶ γὰρ βασιλεῖς ἐπολέμησαν, καὶ τύραννοι παρετάξαντο, καὶ δῆμοι πάντες κατεξανέστησαν, καὶ τὰ ἡμέτερα ὅμως οὐκ ἠλαττοῦτο, ἀλλὰ καὶ μᾶλλον λαμπρότερα ἐγίνετο.

Πόθεν οὖν, εἰπατέ μοι, ἡ τοσαύτη ἰσχύς; Μάγος ἦν, φησί. Μόνος οὖν οὗτος μάγος τοιοῦτος ἐγένετο; Πάντως ἠκούσατε, ὅτι καὶ παρὰ Πέρσαις καὶ Ἰνδοῖς πολλοὶ γεγόνασι μάγοι, καὶ εἰσὶν ἔτι καὶ νῦν· ἀλλ' οὐδὲ ὄνομα αὐτῶν ἐστιν οὐδαμοῦ. Ἀλλ' ὁ ἐκ Τυάνων, φησὶν, ἀπατεών, ἐκεῖνος καὶ γόης, καὶ αὐτὸς ἔλαμψε. Ποῦ καὶ πότε; Ἐν μικρῷ μέρει τῆς οἰκουμένης, καὶ πρὸς βραχὺν χρόνον, καὶ ἐσβέσθη ταχέως καὶ ἀπώλετο, οὐκ Ἐκκλησίαν καταλιπὼν, οὐ λαὸν, οὐκ ἄλλο τι τοιοῦτον οὐδέν. Καὶ τί λέγω μάγους καὶ γόητας τοὺς σβεσθέντας; πόθεν τὰ τῶν θεῶν ἐπαύθη πάντα, καὶ ὁ Δωδωναῖος, καὶ ὁ Κλάριος, καὶ πάντα τὰ πονηρὰ ταῦτα ἐργαστήρια σιγᾷ καὶ ἐπεστόμισται; Πόθεν οὖν οὐ τοῦτον μόνον τὸν σταυρωθέντα, ἀλλὰ καὶ τὰ [494] ὀστᾶ τῶν ὑπὲρ αὐτοῦ σφαγέντων πεφρίκασι δαίμονες; τίνος δὲ ἕνεκεν καὶ σταυρὸν ἀκούοντες ἀποπηδῶσι; Καὶ μὴν καταγελᾶν ἔδει· μὴ γὰρ λαμπρὸν καὶ ἐπίσημον ὁ σταυρός; Τοὐναντίον μὲν οὖν, αἰσχρὸν καὶ ἐπονείδιστον. Θάνατος γάρ ἐστι καταδίκου· θάνατός ἐστιν ὁ κακῶν ἔσχατος, καὶ παρὰ Ἰουδαίοις ἐπάρατος, καὶ παρὰ Ἕλλησι βδελυκτός. Πόθεν οὖν αὐτὸν ἐδεδοίκεισαν δαίμονες; ἆρ' οὐκ ἀπὸ τῆς τοῦ σταυρωθέντος δυνάμεως; Εἰ γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐδεδοίκεισαν, μάλιστα μὲν οὖν καὶ τοῦτο ἀνάξιον θεῶν· πλὴν πολλοὶ καὶ πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸν ἐσταυρώθησαν, καὶ μετ' αὐτοῦ δὲ δύο. Τί οὖν, εἰ εἴποι τις, ἐν ὀνόματι τοῦ λῃστοῦ τοῦ σταυρωθέντος, ἢ τοῦ δεῖνος, ἢ τοῦ δεῖνος, φεύξεται ὁ δαίμων; Οὐδαμῶς, ἀλλὰ καὶ γελάσεται. Ἐὰν δὲ τὸν Ἰησοῦν προσθῇς τὸν Ναζωραῖον, καθάπερ ἀπὸ πυρός τινος φεύγουσι. Τί οὖν ἂν εἴποις; πόθεν ἐκράτησεν; ὅτι πλάνος ἦν; Ἀλλ' οὐ τοιαῦτα αὐτοῦ τὰ παραγγέλματα· ἄλλως δὲ, καὶ πλάνοι πολλοὶ γεγόνασιν. Ἀλλ' ὅτι μάγος; Ἀλλ' οὐ τοῦτο μαρτυρεῖ τὰ δόγματα· καὶ μάγων πολλὴ πολλάκις ἐγένετο φορά. Ἀλλ' ὅτι σοφός; Ἀλλὰ σοφοὶ πολλοὶ πολλάκις ἐγένοντο. Τίς οὖν οὕτως ἐκράτησεν; Οὐδεὶς οὐδέποτε, οὐδὲ κατὰ μικρὸν ἐγγύς. Ὅθεν δῆλον, ὅτι οὐκ ἐπειδὴ μάγος ἦν, οὐδὲ ὅτι πλάνος ἦν, ἀλλ' ἐπειδὴ τούτων διορθωτὴς, καὶ θεία δύναμίς τις καὶ ἄμαχος, διὰ τοῦτο καὶ αὐτὸς πάντων περιεγένετο, καὶ τῷ σκηνοποιῷ τούτῳ τοσαύτην ἐνέπνευσε δύναμιν, ὅσην αὐτὰ τὰ πράγματα μαρτυρεῖ. Ἄνθρωπος γὰρ ἐπ' ἀγορᾶς ἑστηκὼς, περὶ δέρματα τὴν τέχνην ἔχων, τοσοῦτον

runt. In novo etiam Testamento sub præsentia ipsius Christi, latro quidem cum crucifixum cerneret, adoravit; Judæi vero qui eum spectaverant mortuos suscitantem, et vinxerunt, et affixerunt cruci.

Templi Jerosolymitani instauratio irrita, et alia quædam signa. Exercitus Juliani obsessus a Barbaris. — Quid autem nostra quoque ætate (*a*)? Nonne ex fundamentis templi, quod Jerosolymis fuit, ignis exsiliens audentes illud ædificare consumpsit? sicque reliqui ab iniquis conatibus destiterunt, nec tamen ab impietate sua atque cæcitate conversi sunt. Quanta vero etiam post hæc alia facta sunt miracula [1]? ut cum super templi Apollinis tectum fulmen illapsum est: ut cum ipsius responsa dæmonis transferri a rege sepultum juxta se martyrem compulerunt, dicentis se alloqui omnino non posse, quamdiu proximam illius arcam videret; erat namque vicina. Post quæ ipsius regis avunculus, qui profano attactu consecrata Deo vasa temeraverat, vermibus exesus interiit. Præpositus quoque regalis ærarii ob aliam, quam Ecclesiæ intulerat, injuriam medius repente diruptus est: tunc etiam regionis nostræ fontes, qui prius flumina ipsa cursu inundante vincebant, subito in se resiliendo fugerunt, numquam hoc ante perpessi, nisi postquam loca illa rex sacrificiis ac victimis inquinavit. Quid vero jam memorem famem toto prorsus orbe terrarum cum impio rege dominatam, regis interitum in regione Persarum: ante mortem vero mentis errorem perpessum, exercitum in medio barbarorum relictum, et undique velut quodam rete conclusum, reditum ex illis locis improvisum atque mirabilem? Cum enim rege impio miserabiliter interempto, alter pius in ejus successisset imperium, adversa omnia continuo dissoluta sunt, et exercitus qui velut in mediis erat retibus involutus, nec ullum exitum aliquando se inventurum esse credebat, Dei jam nutu ab hostibus liberatus, omni cum securitate remeavit. Et hæc quidem quem non valeant ad partem pietatis attrahere? Quid vero præsentia? nonne etiam multo mirabiliora dicenda sunt? nonne crux prædicatur, et totus ad credendum mundus accurrit? nonne mors ignominiosa nuntiatur, et omnes convolant? numquid non innumeri crucifixi sunt? numquid non duo latrones cum Domino pependerunt? numquid non multi sapientes? numquid non multi exstiterunt potentes? cujus igitur aliquando sic nomen obtinuit? et quid dico potentes atque sapientes? numquid non fuerunt reges inclyti? quis ita sibi terrarum orbem tam brevi tempore subjugavit? Non enim varias mihi atque diversas opponas hæreses. Omnes siquidem eumdem prædicant Christum, etsi non omnes sane prædicent atque legitime. Illum enim omnes prædicant, qui in Palæstina natus, et passus, qui Pontio Pilato dijudicante crucifixus est. Hæc igitur cuncta, quæ proposui, nonne etiam majus virtutis ejus videntur habere documentum, quam illa vox allata de cælo? Cur enim nullus regum ita vicit, ut hic superavit, idque cum innumera ex adverso impedimenta pugnarent? Nam et reges contra Evangelium præliati sunt, et tyranni bella gesserunt, et populi omnes insurrexerunt, et nostra usque adeo attrita non sunt, ut inde fierent clariora.

Magi nomen Christo objectum. Reliquias Sanctorum timent dæmones. — Unde igitur hæc tanta tamque admirabilis virtus? Magus scilicet erat? Solus ergo iste magus tam potens fuit? Audistis nempe quia et apud Persas magi et apud Indos exstiterint, sintque etiam modo: sed ne nomen quidem eorum usquam sonat. Et ille quidem ex Tyanorum urbe (*a*) deceptor ac maleficus aliquo loci apparuit, ac brevi aliquanto tempore in exigua parte orbis refulsit; sed celeriter exstinctus atque deletus est, qui non Ecclesiam omnino, non populum, non aliquid horum reliquit. Sed quid dico magos atque maleficos exstinctos? unde, quæso, omnium deorum templa exstincta sunt, et Dodonæus, et Clarius, et omnes istæ profanitatis officinæ silent, ac penitus obstructæ sunt? Unde igitur non hunc solum crucifixum, sed etiam pro ipso occisorum favillas dæmones contremiscunt? cujus rei gratia saltem nomen audientes crucis, in fugam resiliunt? cum certe si se res haberet aliter, magis eos oporteret irridere quam fugere. An forte crux quid clarum videtur, ac nobile? Imo e contrario, turpis et exprobrabilis mors. Est enim utique et pœnalis mors, et omnino teterrima, et apud Judæos maledicta, et inter gentiles abominanda. Unde igitur illam dæmones reformidant, nisi de virtute crucifixi? Si enim illam per seipsam timerent, quamquam et hoc ipsum diis esset indignum: tamen et ante illum, et post illum plerique crucifixi sunt, et cum ipso etiam duo. Quid igitur, si invocat aliquis nomen latronis, vel alterius cujusquam crucifixi, dæmonne forte timebit ac fugiet? Nequaquam, quinimo ridebit. Si vero Jesum addideris Nazarenum, velut ab igne repente diffugient. Quid igitur ais? unde prævaluit? Quia, inquis, seductor fuit. At non hæc ejus præcepta loquuntur. Deinde quoniam seductores fuerunt multi, et tamen nullus obtinuit. Sed quia magus fuit? Verum longe aliud ejus dogmata contestantur. Sed et magorum multa sæpe fuit copia, (*b*) [nec tamen ullum hujusmodi potentiæ nomen auditum est]. Sed quia sapiens fuit? At multi fuerunt sæpe sapientes. Quis itaque similiter obtinuisse dicetur? Nullus enim aliquando saltem ex parte aliqua huic potentiæ appropinquavit. Unde liquido patet, quoniam Christus non fuerit magus, non seductor, sed qui e contrario horum exstitit emendator, et vere divina virtus, nec ulli omnino superabilis, idcirco et ipse cuncta vicit, atque perdomuit, et Paulo tentoriorum opifici tantam potuit inspirare virtutem, quantam ipse rerum testatur effectus. Homo etenim ignobilis, abjectus et circumforaneus, qui artem exercebat in pellibus, in tantum virtute progressus est, ut vix triginta annorum

[1] Græca versio addit, *et nihil inde lucrati sunt.*

(*a*) *Quid autem nostra, quoque ætate?* Hæc quæ sua ætate contigerant fusius refert Chrysost. infra libro in S. Babylam.

(*a*) Apollonius Tyaneus.

(*b*) Quæ uncinis claudantur desunt in Græco.

spatio et Romanos, et Persas, et Parthos, et Medos, et Indos, et Scythas, et Æthiopes, et Sauromatas, et Saracenos, et omne prorsus humanum genus sub jugum mitteret veritatis. Responde igitur, unde iste opifex vilis ac publicus stans in loco artis suæ, ac scalpellum in manu gerens, ita et ipse philosophatus sit, et alios docuerit philosophari, gentes scilicet, urbes atque regiones, maxime imperitus nec vim in se sermonis ostendens? Audi enim ipsum loquentem: *Etsi imperitus sermone* (2. *Cor.* 11. 6). Nec pecunias possidens: nam hoc quoque ipse testatur: *Usque ad hanc*, inquit, *horam et esurimus, et sitimus, et nudi sumus, et colaphis cædimur* (1. *Cor.* 4. 11). Et quid dico pecunias, cum ille sæpe ne necessarium quidem haberet cibum, nec quo se circumdaret indumentum. Quia vero nec de professione clarus fuerit, ipsius discipulus ostendit, dicens: *Quoniam manebat apud Aquilam et Priscillam, propterea quod ejusdem artis essent: erant enim scenofactoriæ artis* (*Act.* 18. 3). Non igitur a proavis nobilis, quippe qui tam vilis fuisse artis ostenditur: non a patria, non a gente, tamen progressus in medium, ac tantummodo apparens inimicorum cuncta turbavit, universa confudit: et sicut in stipulas aut in fœnum ignis immissus, omnia dæmonum opera consumpsit, atque in quod voluit, omnia convertit. Neque vero hoc solum admiratione dignum est, quod tantam potentiam talis obtinuit: sed quoniam discipulorum quoque illius plurimi pauperes, imperiti, ac totius erant eruditionis extranei, in fame et egestate viventes, ignobiles, ac de ignobilibus procreati: quod certe etiam ipse prædicavit, nec erubuit eorum commemorare pauperiem, imo ne necessaria quidem eorum victui postulare. *Proficiscar*, inquit, *Jerusalem ministrare sanctis* (*Rom.* 15. 25). Et rursus: *Secundum unam sabbati unusquisque vestrum reponat, quod ei bene placuerit, ut non cum venero, tunc collectæ fiant* (1. *Cor.* 16. 2). Quia vero plures discipulorum ex imperitorum numero constarent, ad Corinthios scribens, ait: *Videte vocationem vestram, quoniam non multi sapientes secundum carnem, non multi potentes, non multi nobiles* (1. *Cor.* 1. 26); sed et valde obscuri, et viles fuerunt. *Nam infirma mundi*, inquit, *elegit Deus, et quæ non sunt, ut ea quæ sunt destrueret* (*Ibid.* v. 27. 28). At nobilis, et eruditus erat forte persuasor [1]? Nec istud quidem; nam hoc quoque ipse confirmavit, dicens: *Et ego veni ad vos non in sublimitate sermonis, aut sapientiæ, annuntians vobis testimonium Christi. Non enim judicavi me scire aliquid inter vos, nisi Jesum Christum, et hunc crucifixum. Et sermo meus, et prædicatio mea, non in persuasibilibus sapientiæ verbis* (1. *Cor.* 2. 1. 2. 4). Sed causa nimirum ipsa prædicationis erat idonea, quæ ad se pertraheret audientes. Accipe quid etiam super hac re ipse pronuntiet. *Quoniam*, inquit, *Judæi signa petunt, et Græci sapientiam quærunt: nos autem prædicamus Christum crucifixum, Judæis quidem scandalum, Græcis autem stultitiam* (1. *Cor.* 1. 22. 23). Sed securitate, ac libertate, inquis, fruitus est. At omnino a periculis numquam respiravit. *Et ego*, inquit, *in infirmitate et timore et tremore multo fui apud vos* (1. *Cor.* 2. 3): neque vero ipse solum, sed etiam discipuli ejus passionibus subjacebant: *Mementote*, inquit, *dierum priorum, in quibus illuminati magnum certamen sustinuistis passionum. In altero quidem opprobriis et tribulationibus spectaculum facti, in altero etiam socii taliter conversantium facti: nam et vinctis compassi estis, et rapinam bonorum vestrorum cum gaudio suscepistis* (*Hebr.* 10. 32-34). Et rursus ad Thessalonicenses scribens, ait: *Vos enim eadem passi estis a contribulibus vestris, sicut et ipsi a Judæis, qui et Dominum nostrum occiderunt, et prophetas suos persequuti sunt* [1] (1. *Thess.* 2. 14. 15). Rursus ad Corinthios scribens, *Sicut*, inquit, *abundant passiones Christi in vobis, et quemadmodum socii estis passionum, ita eritis et consolationis* (1. *Cor.* 1. 5). Et ad Galatas: *Tanta*, inquit, *passi estis sine causa, si tamen sine causa* (*Gal.* 3. 4).

Comparatio Evangelii cum bello; seductores ante Christum cur permiserit Deus. — Cum igitur prædicator imperitus, cum etiam pauper esset, et prorsus ignobilis, et quod prædicabatur, non modo commendatione sui esset vacuum, verumetiam offensione plenissimum, et auditores ipsi inopes, imbecilles, atque omnino nulli, et pericula tam crebra, tam varia, non doctoribus solum, sed etiam discipulis imminerent, et crucifixus esset, qui annuntiatur adorandus: quidnam illud est, quod hujus prædicatio potuerit obtinere? Nonne lucidissime claret divina hoc et ineffabili quadam virtute perfectum? Quod certe etiam inimicorum comparatione potest liquido comprobari. Cum enim videris contraria horum universa concurrere in unum: id est, et opes, et nobilitatem, et patriæ claritudinem, et oratoriæ artis pompam, et pacis securitatem, et plurimam in ipsa superstitione culturam, continuo tamen morem profanitatis exstinctum; hos vero qui sunt ex adversa parte superare: quæ horum causa sit, responde. Tale est enim, ut cum rex quispiam instructus armis, fretus exercitu, potentissimas in bello acies instruens hostes superare nequiverit, nudus aliquis, et pauper, et solus, ne brevi quidem jaculo armatus, aut simplici saltem veste tectus, certamen ineat, eaque peragat quæ alii nec cum mille quidem munitionibus patrare potuerunt. Noli igitur in prava permanere sententia, sed virtutem venerare crucifixi. Neque enim si regem aliquem videas civitates sibi excelsas parantem, circumagentem fossas, muris machinas admoventem, innumeram quoque habentem militum multitudinem, arma fulgentia, pecunias infinitas, unamque hostium civitatem destruere non valentem; alterum vero nudo corpore dimicantem, solisque manibus utentem, non unam, aut duas, aut paucas, sed prorsus innumeras totoque orbe diffusas urbes percurrentem celeriter, cunctasque capientem, humanæ hoc dicas esse virtutis. Sic ergo procul dubio in præsenti causa sentiendum est. Pro-

[1] Græc., *et idiota quidem et ineruditus, sed ad persuadendum aptus?*

[1] Gr. addit, *et nos expulerunt, et Deo non placent, et omnibus hominibus contrarii sunt.*

ἴσχυσεν, ὡς καὶ Ῥωμαίους, καὶ Πέρσας, καὶ Ἰνδοὺς, καὶ Σκύθας, καὶ Αἰθίοπας, καὶ Σαυρομάτας, καὶ Πάρθους, καὶ Μήδους, καὶ Σαρακηνοὺς, καὶ ἅπαν ἁπλῶς τὸ τῶν ἀνθρώπων γένος πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν ἐν ἔτεσιν οὐδὲ ὅλοις τριάκοντα. Πόθεν οὖν, εἰπέ μοι, ὁ ἀγοραῖος, καὶ ἐπὶ ἐργαστηρίου ἑστηκὼς, καὶ σμίλην μεταχειρίζων, καὶ αὐτὸς τοιαῦτα ἐφιλοσόφει, καὶ τοὺς ἄλλους ἔπεισε, καὶ ἔθνη, καὶ πόλεις, καὶ χώρας, οὐ λόγων ἰσχὺν ἐπιδεικνύμενος, ἀλλὰ καὶ τοὐναντίον ἅπαν, τὴν ἐσχάτην ἀμαθίαν ἀμαθὴς ὤν; Ἄκουσον γοῦν αὐτοῦ λέγοντος, καὶ οὐκ αἰσχυνομένου· *Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει.* Οὐ χρήματα κεκτημένος. Καὶ γὰρ καὶ τοῦτο αὐτός φησι· *Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα.* Καὶ τί λέγω χρήματα, ὅπου γε οὐδὲ τῆς ἀναγκαίας πολλάκις εὐπόρει τροφῆς, οὐδὲ ἱμάτιον περιβαλέσθαι εἶχεν; Ὅτι δὲ οὐδὲ ἐξ ἐπιτηδεύματος λαμπρὸς ἦν, καὶ τοῦτο ὁ μαθητὴς αὐτοῦ δείκνυσι λέγων, ὅτι *Ἔμεινε πρὸς Ἀκύλαν καὶ Πρίσκιλλαν διὰ τὸ ὁμότεχνον· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην.* Οὐκ ἀπὸ προγόνων ἐπίσημος. Πῶς γὰρ, τοιοῦτον ἐπιτήδευμα ἔχων. Οὐκ ἀπὸ πατρίδος, οὐκ ἀπὸ ἔθνους. Ἀλλ' ὅμως ἐλθὼν εἰς μέσον, καὶ φανεὶς μόνον, πάντα ἐτάραξε τὰ τῶν ἐναντίων, πάντα [495] συνέχεε, καὶ καθάπερ πῦρ εἰς καλάμην ἐμπεσὸν καὶ χόρτον, οὕτω κατέκαυσε τὰ τῶν δαιμόνων, καὶ εἰς ἅπερ ἐβούλετο, πάντα μετέστησε. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι αὐτὸς τοιοῦτος ὢν τοσαῦτα ἴσχυσεν, ἀλλ' ὅτι καὶ οἱ πλείους τῶν μαθητευομένων, πένητες, ἰδιῶται, ἀπαίδευτοι, λιμῷ συζῶντες, ἄσημοι καὶ ἐξ ἀσήμων. Καὶ ταῦτα καὶ αὐτὸς κηρύττει, καὶ οὐκ αἰσχύνεται λέγων αὐτῶν τὴν πενίαν· μᾶλλον δὲ οὐδὲ προσαιτῶν ὑπὲρ αὐτῶν. *Πορεύομαι* γάρ, φησὶν, *εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις·* καὶ πάλιν, *Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν τιθέτω παρ' ἑαυτῷ θησαυρίζων, ἵνα μὴ, ὅταν ἔλθω, τότε λογίαι γίνωνται.* Ὅτι δὲ καὶ τὸ πλεῖον αὐτῶν ἐξ ἰδιωτῶν συνειστήκει, Κορινθίοις ἐπιστέλλων, φησί· *Βλέπετε τὴν κλῆσιν ὑμῶν, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα· καὶ ὅτι ἐξ ἀσήμων, Οὐ πολλοὶ*, φησὶν, *εὐγενεῖς·* καὶ οὐ μόνον οὐκ εὐγενεῖς, ἀλλὰ καὶ σφόδρα εὐτελεῖς. *Καὶ γὰρ τὰ ἀσθενῆ*, φησὶ, *τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ.* Ἀλλ' ἰδιώτης μὲν καὶ ἀπαίδευτος, πιθανὸς δὲ ὁπωσοῦν εἰπεῖν; Οὐδὲ τοῦτο. Καὶ τοῦτο αὐτὸς πάλιν δείκνυσι λέγων· *Κἀγὼ ἦλθον πρὸς ὑμᾶς, οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον. Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον·* καὶ *ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς* [a] *σοφίας λόγοις.* Ἀλλὰ τὸ κηρυττόμενον ἱκανὸν ἐπισπάσασθαι. Ἀλλ' ἄκουσον καὶ περὶ αὐτοῦ τί φησιν· *Ἐπεὶ καὶ Ἰουδαῖοι σημεῖα αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύττομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν.*

[a] Savil. et Bibl. πειθοῖς.

Ἀλλὰ ἀδείας ἀπήλαυσεν; Ἀλλ' οὐδὲ ἀνέπνει ποτὲ τῶν κινδύνων. *Καὶ γὰρ ἐν ἀσθενείᾳ*, φησὶ, *καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς* οὐκ αὐτὸς δὲ μόνον, ἀλλὰ καὶ οἱ μαθηταὶ τὰ αὐτὰ ἔπασχον. *Μέμνησθε γὰρ*, φησὶ, *τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν, ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ, τῶν οὕτω πασχόντων γενηθέντες. Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε.* Καὶ πάλιν Θεσσαλονικεῦσι γράφων λέγει· *Ὑμεῖς γὰρ τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων.* Καὶ Κορινθίοις δὲ πάλιν ἐπιστέλλων ἔλεγεν, Ὅτι *περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ὑμᾶς, καὶ ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως·* καὶ Γαλάταις, *Τοσαῦτα ἐπάθετε εἰκῇ*, φησὶν, *εἴ γε καὶ εἰκῇ.*

Ὅταν οὖν καὶ ὁ κηρύττων ἰδιώτης ᾖ καὶ πένης καὶ ἄσημος, καὶ τὸ κηρυττόμενον οὐκ ἐπαγωγὸν, ἀλλὰ καὶ σκάνδαλον ἔχον, καὶ οἱ ἀκούοντες αὐτὸ πένητες καὶ ἀσθενεῖς καὶ οὐδένες, καὶ κίνδυνοι ἐπάλληλοι καὶ συνεχεῖς [496] καὶ τοῖς διδασκάλοις καὶ τοῖς μαθηταῖς, καὶ ὁ καταγγελλόμενος ἐσταυρωμένος, τί τὸ ποιῆσαν κρατῆσειν; Οὐκ εὔδηλον ὅτι θεία τις καὶ ἀπόῤῥητος δύναμις; Παντί που δῆλον· καὶ τοῦτο καὶ ἀπὸ τῶν ἐναντίων ἐστὶ κατιδεῖν. Ὅταν γὰρ ἴδῃς τὰ ἐναντία τούτων συνδραμόντα, καὶ πλοῦτον, καὶ εὐγένειαν, καὶ πατρίδος μέγεθος, καὶ ῥητορείας δεινότητα, καὶ ἄδειαν καὶ θεραπείαν πολλὴν, καὶ εὐθέως σβεσθέντα τὰ καινοτομηθέντα, τούτους δὲ ἀπὸ τῶν ἐναντίων περιγενομένους, τί τὸ αἴτιον, εἰπέ μοι; Ταὐτὸν γὰρ συνέβη, οἷον ἂν εἰ μετὰ στρατοπέδων καὶ ὅπλων καὶ παρατάξεως τοῦ βασιλεύοντος μὴ δυνηθέντος κρατῆσαι τῶν βαρβάρων, πτωχός τις γυμνὸς καὶ μόνος, καὶ μηδὲ ἀκόντιον μεταχειρίζων, μηδὲ ἱμάτιον ἔχων, εἰσελθὼν διαπράξοιτο ἃ μετὰ ὅπλων καὶ παρασκευῆς οὐκ ἴσχυσαν ἕτεροι. Μὴ τοίνυν ἀγνωμόνει, ἀλλὰ καθ' ἑκάστην φέρε τὴν ψῆφον, καὶ προσκύνει τοῦ σταυρωθέντος τὴν δύναμιν. Οὐδὲ γὰρ, ἂν ἴδῃς τινὰ πόλεις κατασκευάζοντα, καὶ τάφρους περιελαύνοντα, καὶ μηχανήματα προσάγοντα τείχεσι, καὶ ὅπλα χαλκεύοντα, καὶ στρατιώτας καταλέγοντα, καὶ χρήματα ἔχοντα ἄπειρα, καὶ μὴ δυνάμενον πόλιν μίαν ἑλεῖν· ἄλλον δὲ γυμνῷ σώματι προσβαλόντα, καὶ χερσὶ μόναις χρώμενον, οὐχὶ μίαν καὶ δευτέραν καὶ εἴκοσι πόλεις, ἀλλὰ μυρίας κατὰ τὴν οἰκουμένην ἐπιτρέχοντα, καὶ αὐτάνδρους λαμβάνοντα, ἀνθρωπίνης ἂν εἴποις εἶναι τοῦτο δυνάμεως. Οὕτω δῆλον ὅτι καὶ νῦν. Διὰ γὰρ τοῦτο συνεχώρησεν

ὁ Θεὸς καὶ λῃστὰς σταυρωθῆναι, καὶ πρὸ αὐτοῦ τινας ἀπατεῶνας φανῆναι, ἵνα καὶ ἀπὸ συγκρίσεως τοῖς σφόδρα ἀναισθητοῦσι δειχθῇ τῆς ἀληθείας ἡ ὑπεροχὴ, καὶ σὺ μάθῃς, ὅτι οὐκ ἐκείνων εἷς οὗτος, ἀλλὰ πολὺ καὶ ἄπειρον τούτου καὶ ἐκείνων τὸ μέσον. Οὐδὲν γὰρ αὐτοῦ τὴν δόξαν συσκιάσαι ἴσχυσεν, οὐ τὸ τῶν αὐτῶν κοινωνῆσαι παθῶν, οὐ τὸ τοῖς αὐτοῖς χρόνοις συνδραμεῖν. Εἰ μὲν γὰρ τὸν σταυρὸν οἱ δαίμονες δεδοίκασι, καὶ οὐ τοῦ σταυρωθέντος τὴν ἰσχὺν, ἐμφράττει τῶν ταῦτα λεγόντων τὸ στόμα τῶν λῃστῶν ἡ ξυνωρίς· εἰ δὲ καὶ ἡ δυσκολία τῶν καιρῶν τὸ πᾶν ἤνυσεν, ἀπολογοῦνται οἱ περὶ Θευδᾶν καὶ Ἰούδαν, περὶ τῶν αὐτῶν ἡμῖν ἐπιχειρήσαντες μετὰ καὶ ἑτέρων πολλῶν τῶν σημείων, καὶ διαφθαρέντες. Ὑπερ γὰρ ἔφην, διὰ τοῦτο ταῦτα εἴασεν ὁ Θεὸς, ἵνα ἐκ περιουσίας τὰ αὐτοῦ δείξῃ. Διὰ τοῦτο καὶ ψευδοπροφήτας ἐπὶ τῶν προφητῶν φανῆναι συνεχώρησε, καὶ ψευδαποστόλους ἐπὶ τῶν ἀποστόλων, ἵνα μάθῃς ὅτι οὐδὲν τῶν αὐτοῦ συσκιάσαι δύναται.

Εἶπω σοι καὶ ἑτέρωθεν δύναμιν κηρύγματος θαυμαστὴν καὶ παράδοξον, καὶ δείξω σοι καὶ διὰ τῶν πολεμούντων αἱρόμενον αὐτὸν [497] καὶ αὐξανόμενον; Τῷ Παύλῳ τούτῳ ποτέ τινες πολεμοῦντες, ἐκήρυττον τουτὶ τὸ δόγμα ἐν Ῥώμῃ. Βουλόμενοι γὰρ τὸν Νέρωνα παροξῦναι πολεμοῦντα τῷ Παύλῳ, ἀναδέχονται καὶ αὐτοὶ κηρύττειν, ἵνα μᾶλλον πλατυνθέντος τοῦ λόγου, καὶ πλειόνων γινομένων μαθητῶν, θερμότερος ὁ θυμὸς τοῦ τυράννου γένηται, καὶ ἀγριωθῇ τὸ θηρίον. Καὶ τοῦτο αὐτὸς ὁ Παῦλος Φιλιππησίοις ἐπιστέλλων ἔλεγε· *Γινώσκειν ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ Εὐαγγελίου ἐλήλυθεν· ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· οἱ μὲν ἐξ ἐριθείας, οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ Εὐαγγελίου κεῖμαι. Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται.* Εἶδες πῶς πολλοὶ ἐξ ἐριθείας ἐκήρυττον; Ἀλλ' ὅμως καὶ διὰ τῶν ἐναντίων ἐκράτει.

Μετὰ δὲ τούτων, καὶ ἕτερα ἦν τὰ ἀντικρούοντα. Καὶ γὰρ καὶ νόμοι παλαιοὶ οὐ μόνον οὐκ ἐβοήθουν, ἀλλὰ καὶ ἠναντιοῦντο καὶ ἐπολέμουν, καὶ ἡ πονηρία καὶ ἡ ἄγνοια τῶν διαβαλλόντων· βασιλέα γὰρ, φασὶν, ἔχουσι τὸν Χριστόν. Οὐ γὰρ δὴ ἤδεισαν τὴν ἄνω βασιλείαν αὐτοῦ, τὴν φρικτὴν ἐκείνην καὶ ἀπέραντον, ἀλλ' ὡς τυραννίδα αὐτῶν ἐπεισαγόντων τῇ οἰκουμένῃ, οὕτω διέβαλον, καὶ κοινῇ πάντες, καὶ ἰδίᾳ ἕκαστος αὐτοῖς ἐπύκτευε· κοινῇ μὲν, ὡς τῆς πολιτείας ἀναιρουμένης, καὶ τῶν νόμων ἀνατρεπομένων· ἰδίᾳ δὲ, ὡσεὶ ἑκάστης οἰκίας διασπωμένης καὶ καταλυομένης. Καὶ γὰρ πατὴρ ἐπολέμει παιδὶ τότε, καὶ υἱὸς ἤρνεῖτο πατέρα, καὶ γυναῖκες ἄνδρας, καὶ ἄνδρες γυναῖκας, καὶ θυγατέρες μητέρας, καὶ συγγενεῖς συγγενεῖς, καὶ φίλοι φίλους, καὶ ποικίλος τις ἦν ὁ πόλεμος αὗτος καὶ παντοδαπὸς, εἰς τὰς οἰκίας ἔρπων, συγγενεῖς διασπῶν, βουλευτήρια ταράττων, δικαστήρια θορυβῶν, ὡς τῶν πατρίων ἐθῶν καταλυομένων, καὶ ἑορτῶν καὶ θεραπείας δαιμόνων καταλυομένης, ἃ τοῖς πάλαι νομοθέταις πρὸ τῶν ἄλλων ἁπάντων περισπούδαστα ἦν. Καὶ μετὰ τούτων καὶ ἡ τῆς τυραννίδος ὑποψία πάντοθεν αὐτοὺς ἐλαύνεσθαι ἐποίει. Καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι παρὰ μὲν Ἕλλησι ταῦτα, παρὰ δὲ τοῖς Ἰουδαίοις ἡσύχαζεν, ἀλλὰ καὶ ἐκεῖνοι πολλῷ χαλεπώτερον ἐπετίθεντο· καὶ γὰρ καὶ αὐτοὶ πολιτείας ἀναίρεσιν ᾐτιῶντο. *Οὐ παύεται γὰρ, φησὶ, λαλῶν ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου.* Ἀλλ' ὅμως πάντοθεν τῆς πυρᾶς ἀναπτομένης, ἀπὸ τῶν οἰκιῶν, ἀπὸ τῶν πόλεων, ἀπὸ τῶν ἀγρῶν, ἀπὸ τῆς ἐρημίας, ἀπὸ τῶν [498] Ἑλλήνων, ἀπὸ τῶν Ἰουδαίων, ἀπὸ τῶν ἀρχόντων, ἀπὸ τῶν ἀρχομένων, ἀπὸ τῶν συγγενῶν, ἀπὸ τῆς γῆς, ἀπὸ τῆς θαλάττης, ἀπὸ τῶν βασιλευόντων, καὶ πάντων ἀλλήλους ἐξαγριούντων, καὶ θηρίου παντὸς χαλεπώτερον ἐπιτιθεμένων, ὁ μακάριος οὗτος εἰς τοσαύτας καμίνους ἐμπηδῶν, καὶ ἐν μέσῳ λύκων ἱστάμενος, καὶ πάντοθεν βαλλόμενος, οὐ μόνον οὐ κατεχώσθη, ἀλλὰ καὶ πάντας αὐτοὺς εἰς τὴν ἀλήθειαν μετήγαγεν. Εἶπω καὶ ἄλλους πρὸς τούτοις πολέμους χαλεπωτάτους· ὁ τῶν ψευδαποστόλων, τὸ μάλιστα πάντων αὐτὸν λυποῦν, ὁ τῶν οἰκείων τῶν ἀσθενούντων· πολλοὶ γὰρ πιστεύοντες διεφθείροντο· ἀλλὰ καὶ πρὸς ταῦτα ἦρκεσε. Πόθεν καὶ ἐκ ποίας ἰσχύος; *Τὰ ὅπλα ἡμῶν, φησὶν, οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.* Διὰ τοῦτο πάντα μετεβάλλετο, καὶ μετερρυθμίζετο ἀθρόον. Καὶ ὥσπερ πυρᾶς ἀναφθείσης, αἱ ἄκανθαι, κατὰ μικρὸν δαπανώμεναι, εἴκουσι καὶ παραχωροῦσι τῇ φλογὶ, καὶ καθαρὰς ποιοῦσι τὰς ἀρούρας· οὕτω δὴ καὶ τῆς Παύλου γλώττης φθεγγομένης, καὶ πάντα πυρὸς σφοδρότερον ἐπιούσης, εἶχεν ἅπαντα καὶ παρεχώρει, καὶ δαιμόνων θεραπεῖαι, καὶ ἑορταὶ, καὶ πανηγύρεις, καὶ πάτρια ἔθη, καὶ νόμων διαφθοραὶ, καὶ δήμων θυμοὶ, καὶ τυράννων ἀπειλαὶ, καὶ οἰκείων ἐπιβουλαὶ, καὶ ψευδαποστόλων κακουργίαι· μᾶλλον δὲ, καθάπερ τῆς ἀκτῖνος ἀνισχούσης, καὶ σκότος ἐλαύνεται, καὶ θηρία καταδύεται καὶ φωλεύει λοιπὸν, καὶ λῃσταὶ δραπετεύουσι, καὶ ἀνδροφόνοι περὶ τὰ σπήλαια καταφεύγουσι, καὶ πειραταὶ ἀφίστανται, καὶ τυμβωρύχοι ἀναχωροῦσι, καὶ μοιχοὶ καὶ κλέπται καὶ τοιχωρύχοι, ἅτε ἀπὸ τῆς ἀκτῖνος ἐλέγχεσθαι μέλλοντες, ἀπελθόντες που μακρὰν ἑαυτοὺς ἀφανίζουσι, καὶ πάντα διαφανῆ καὶ λαμπρὰ γίνεται, καὶ γῆ, καὶ θάλαττα, τῆς ἀκτῖνος ἄνωθεν πάντα καταυγαζούσης,

pterea enim concessit Deus et latrones cum Salvatore crucifigi, et ante Salvatoris adventum seductores aliquos apparere, ut etiam ex comparatione rerum nimis insipientibus ostenderetur excellentia veritatis : et discerent quia hic non unus ex illis, sed grande sit inter tam dispares, infinitumque discrimen. Nihil enim Christi gloriam potuit inumbrare, vel eorumdem opportunitas temporum, vel communio passionum : ne quis enim putaret, quia dæmones crucem et non crucifixi paverent virtutem, obstruxit ora ista dicentium par latronum. Quod si temporum opportunitas cuncta fecisse dicatur, ad repellendum Theudas et Judas proferentur, qui cum eisdem fere, quibus etiam Christus temporibus exstitissent, et veritatem per quædam etiam signa impugnare tentassent, repente destructi sunt. Quod enim jam ante memoravi, ideo interdum falsa fieri Deus signa concessit, ut abundantius vera monstraret. Propterea et pseudoprophetas tempore prophetarum, et pseudoapostolos cum apostolis apparere permisit, ut discerres quia splendentes ejus ubique virtutes nequaquam obscurare posset similitudo et umbra quædam virtutum.

Paulus Romæ vexatur. — Age jam ex aliis quoque documentis probemus esse hanc potentiam singularem et præcipuam atque mirabilem. Docebimus enim Christi gloriam ipsa magis inimicorum impugnatione crevisse. Cum enim hunc ipsum beatum Paulum Romæ quidam persequerentur, aliquando hoc ipsum dogma inquietius prædicabant. Cupientes enim Neronem impugnatorem Pauli acrius in ejus odium commovere, mira quadam arte lædendi susceperunt et ipsi evangelicæ prædicationis officium, ut magis scilicet fidei sermone fervente, et discipulorum crescente numero, in immensum ignesceret furor tyranni, et fera majora adhuc colligeret incrementa feritatis. Et hoc ipse ad Philippenses Paulus scribens, ait : *Scire vos autem*, inquit, *volo, fratres, quod quæ circa me sunt, magis venerunt ad profectum Evangelii, ita ut plures e fratribus confidentes vinculis meis, abundantius auderent sine timore verbum Dei loqui. Quidam quidem etiam per invidiam et contentionem, quidam etiam per bonam voluntatem Christum prædicant : quidam autem ex contentione Christum annuntiant non sincere, existimantes pressuram suscitare vinculis meis : quidam autem ex caritate, scientes, quod in defensione Evangelii positus sum. Quid enim? si omni modo, sive per occasionem, sive per veritatem Christus annuntietur* (*Philipp.* 1. 12-18). Vidisti certe, quemadmodum etsi ex contentione aliqui prædicarent, tamen etiam per inimicos veritas obtinebat.

Christiani calumnia appetiti. — Supra vero hanc inimicorum calliditatem alia quoque ex adverso multa veniebant. Nam et antiquæ leges non modo non opitulabantur, verum etiam adversabantur : contraque veritatis partem non solum malitia obloquentium inimicorum, verumetiam ignorantia dimicabat : Regem enim, inquiunt, habent Christum. Non enim noverant ejus cæleste regnum, terribile istud et absque ullo termino gloriosum : sed quasi tyrannidem ipsis inferentibus per calumniam repugnabant, et in commune omnes, et specialiter adversus eos singuli dimicando. In communi quidem, quasi contra eos, qui publicæ disciplinæ et legum scita destruerent : specialiter vero, quasi singulorum domos divisionibus divortisque dissolverent. Nam et filium tunc impugnabat pater, et filius patrem negabat, et maritum uxor oderat, et uxorem maritus ; filiæ quoque cum matribus dissidebant ; cognati cognatos, amici oppugnabant amicos : eratque per omnium domos variumi istud et multiforme bellum, propinquos separans, dispergens curiam, judicia conturbans : cum utique mores patrii solverentur, festivitas et cultura dæmonum pelleretur, quæ antiqui legumlatores vel in primis custodienda decreverant ; cum his omnibus etiam tyrannidis odiosæ suspicio undique faciebat eos explodi. Neque vero dicere quispiam potest a Gentibus quanta inferebantur, a parte vero Judæorum omnium in quiete erant, cum certe isti etiam sævius imminerent, cumque et ipsi ei destructionem legis impingerent : *Non enim cessat*, inquiunt, *loquens contra legem et locum sanctum* (*Act.* 6. 13). Verumtamen undique invidiæ igne succenso, a domibus, ab urbibus, ab agris, a solitudine, a terra, a mari, a Gentibus, a Judæis, a principibus, a plebibus [1], a regibus, a regum ministris : cum omnes ad crudelitatem se mutuo cohortarentur, et omnes ferocissime sævisque consurgerent : beatus tamen Paulus in tantos ignes insiliens, atque in medio talium luporum consistens, quamquam ictus omnium exciperet, non modo tamen obrutus ipse non est, sed etiam omnes illos in partem transtulit veritatis. Et hæc et alia quoque prælia non minus sæva memorabo : ut illud quod a pseudoapostolis inferebatur, quodque eum super omnia alia torquebat, domesticorum dolus, ruina nutantium : multi enim ex fidelium numero labebantur, sed etiam contra ista prævaluit. Unde, quæso, ex quave virtute? *Quia*, inquit, *arma nostra non carnalia, sed potentia sunt ad destructionem munitionum, consilia destruentes et omnem altitudinem extollentem se adversus scientiam Dei* (2. *Cor.* 10. 4. 5). Propterea igitur in diversum omnia vertebantur ac mutabantur repente : ac sicut igne succenso paulatim spinæ consumuntur et cedunt, flammisque superantur, ac mundi reddumtur novales : sic etiam Pauli insonante lingua, et omni igne vehementius irruente, cedebant omnia, fugiebantque et dæmonum cultus, et celebritas omnis, atque festivitas, et mores patrii [2], et populorum furores, et tyrannorum minæ, et insidiæ domesticorum, et pseudoapostolorum operationes malignæ. Imo vero sicut radiis solis orientibus et tenebræ fugantur, et feræ latitant, foveisque conduntur, et latrones recedunt, et homicidæ ad antra suffugiunt, et amoventur piratæ, et sepulcrorum violatores fugantur, et adulteri et fures et perfossores domorum deprehensi a sole ac redargui periclitantes abeunt, seque alicubi procul occultant, omniaque lucida efficiuntur et clara, illustrantibus desuper radiis terram,

[1] Gr. addit, *a cognatis.*
[2] Gr. addit. *et legum corruptiones.*

pelagus, ac montes, urbes simul atque regiones : sic tunc prædicatione fulgente, et ubique Evangelium disseminante Paulo, fugabatur error, veritasque remeabat ; favillæ vero, fumusque templorum, et cymbala omnia, et tympana, et ebrietates, et comessationes, et stupra, et adulteria, et alia dictu fœda, quæ in sacris suis celebrare consueverant, defecerunt, atque consumpta sunt, instar ceræ ignis vapore pereuntis, et palearum vice, quæ subito concremantur incendio. Clara vero inter hæc veritatis flamma surgebat resplendens, et ipsum ad usque cælum sublimitate conscendens ab iis potissimum sublevata, qui eam nitebantur opprimere, perque illos magis incrementa suscipiens, qui illam exstinctum iri cupiebant. Nec pericula enim progressum ejus, aut impetus coercere potuerunt, non tyrannis quædam inveteratæ consuetudinis, non patrii moris auctoritas, non legum potestas, non illa ipsa custodiendi ejus quod prædicabatur evangelii difficultas, nec quidquam eorum quæ impedimentum afferre possunt, proficientis celeriter veritatis cursum aut incidere aut retardare potuerunt. Atque ut quantam istud vim habeat, cognoscas, comminare Gentibus, non dico pericula, famem, mortem, sed damnum aliquod exiguum, et videbis eos repente mutatos. At non talia inveniuntur et nostra, sed concisis occisisque omnibus, et ubique impugnatis vario genere bellorum, illa tamen florentiora semper effecta sunt.

Error suopte nutu perit. — Et quid ego nostræ ætatis commemoro gentiles viles istos, et omnino contemptu faciles? Et potius qui apud illos erant aliquando mirabiles in medium proferamus, philosophiæ scilicet honore celebratos, Platonem, Pythagoram, Diagoram, Clazomenium (*a*), multosque alios hujusmodi, et tunc demum evangelicæ prædicationis virtutem probabis. Nam post Socratis venenum alii quidem Megara discesserunt, similia patiendi metu ; alter autem et patria et libertate privatus est, nec præter unam mulierem philosophiæ quemquam studiis subjugavit ; Plato autem depictam in paginis discipliuam relinquens in mortem solutus est. Et certe nihil eis tunc impedimento erat, non periculum, non egestas, non imperitia sermonis : sed erant et dicendo potentes, et opibus affluentes, et nobilitate patriæ gloriantes. Verum nequaquam obtinere potuerunt : talis est enim conditio erroris, etiam nullo sibi obsistente consenescit, ac defluit : talis autem e diverso veritatis status, etiam multis impugnantibus suscitatur et crescit. Hæc autem ita esse veritas rerum ipsa proclamat, nihilque hic opus est assertione verborum, cum vocem quodammodo totus undique mundus emittat, urbes scilicet, et agri, et terræ, et maria, et loca culta atque deserta, ipsæ quoque etiam montium summitates. Neque enim solitudinem beneficii sui reliquit exsortem, sed ipsam maxime iis, quæ nobis de cælo veniens detulit, bonis replevit, per Pauli præcipue linguam, perque illam, quam in ipsum contulit, gratiam. Quia enim dignam tali dono devotionem gerebat, copiosa in illo etiam gratia coruscavit, plurimaque horum, quæ hucusque memoravimus, ipsius ore ac sermone completa sunt.

Paulo similes esse possumus. — Quoniam igitur ita genus nostrum nobilitavit Deus, ut unum hominem dignaretur tantorum causam facere bonorum, studeamus et nos ejus similes inveniri. Neque vero istud impossibile putemus : quoniam, ut sæpe dixi et nunc inculcare non cesso, tale illi, quale etiam nobis, corpus fuit, talis anima, tales cibi, sed voluntas in eo mirabilis, et præclara devotio, et istud est prorsus unde ille talis effectus est. Nemo igitur diffidat, nemo desperet : si intendas animum et præpares, nihil est quod te ab ejusdem gratiæ possit prohibere muneribus : non est enim personarum acceptor Deus. Idem illum teque formavit : et quemadmodum illius, ita est etiam tuus Deus ; ac sicut illum merito laudavit, ita etiam tibi offert coronam. Spondeamus igitur nosmetipsos Deo, atque mundemus, ut nos quoque eamdem gratiam consequentes, eadem etiam præmia sortiamur, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium in sæcula sæculorum. Amen.

(*a*) Anaxagoram Clazomenium.

DE LAUDIBUS SANCTI PAULI

APOSTOLI.

HOMILIA V.

Ubi nunc illi sunt, qui querulo semper animo mortem causari solent, et corruptibile hoc corpus atque passibile impedimento sibi esse ad virtutem putant? Audiant Pauli facta præclara, et ab hac obtrectatione malignissima conquiescant. Quid enim humano generi mors nocuit? quid vero virtutem corruptio corporis impedivit? Considera itaque Paulum, et videbis, quia nobis etiam ad maximam utilitatem proficiet ista mortalitas. Hic enim nisi mortalis fuisset, nequaquam dicere potuisset, magis autem nequisset ostendere, quod ipsius operibus est loquutus : quoniam *Quotidie morior pro vestra gloria, quam habeo in Christo Jesu* (1. *Cor.* 15. 31). Ubique enim nobis intentione animi ac prompta opus est voluntate[1] : quæ si affuerint, nihil erit quod nos possit a virtute prohibere, sicut superior jam sermo memoratus est. Nonne erat iste mortalis? nonne ignobilis? nonne pauper, et quotidiano opere victum quærens? nonne corpus habuit cunctis naturæ necessitatibus subjugatum? Quid ergo eum vetuit illis, quibus floruit, splendere virtutibus? Profecto nihil. Nullus ergo mœreat

[1] In Græco, *et non est impedimentum, in primis ordinibus fuisse constitutus.*

τα πελάγη, τὰ ὄρη, τὰς χώρας, τὰς πόλεις· οὕτω δὴ καὶ τότε τοῦ κηρύγματος φανέντος, καὶ τοῦ Παύλου πανταχοῦ τοῦτο διασπείροντος, ἠλαύνετο μὲν ἡ πλάνη. ἐπανῆει δὲ ἡ ἀλήθεια, κγίσσαι δὲ καὶ καπνὸς, καὶ κύμβαλα καὶ τύμπανα, καὶ μέθαι καὶ κῶμοι, καὶ πορνεῖαι, καὶ μοιχεῖαι, καὶ τὰ ἄλλα, ἃ μηδὲ εἰπεῖν καλὸν, τὰ ἐν τοῖς ἱεροῖς τῶν εἰδώλων τελούμενα ἔληγε καὶ ἐδαπανᾶτο, καθάπερ κηρὸς ὑπὸ πυρὸς, τηκόμενα, καθάπερ ἄχυρα, ὑπὸ φλογὸς δαπανώμενα· ἡ δὲ λαμπρὰ τῆς ἀληθείας φλὸξ ἀνῆει φαιδρὰ καὶ ὑψηλὴ πρὸς αὐτὸν τὸν οὐρανὸν, ὑπ' αὐτῶν τῶν κωλυόντων αἰρομένη, καὶ διὰ τῶν ἐμποδιζόντων αὐξανομένη· καὶ οὐδὲ κίνδυνος ἐπεῖχεν αὐτῆς τὴν φορὰν καὶ τὴν ῥύμην τὴν ἀκάθεκτον, οὐ συνηθείας τυραννὶς παλαιοτάτης, οὐ πατρίων ἐθῶν καὶ νόμων ἰσχὺς, οὐ τὸ τῆς διδασκαλίας τῶν νόμων δυσπαράδεκτον, οὐκ ἄλλο τῶν [499] εἰρημένων οὐδέν. Καὶ ἵνα μάθῃς ἡλίκον τοῦτό ἐστιν, ἀπείλησον τοῖς Ἕλλησιν, οὐ λέγω κινδύνους καὶ θανάτους καὶ λιμὸν, ἀλλ' ὀλίγην ζημίαν χρημάτων, καὶ βῦψει μεταβαλλομένους εὐθέως. Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ πάντων κατακοπτομένων καὶ σφαζομένων, καὶ πανταχοῦ πολεμουμένων, καὶ ποικίλοις τρόποις πολέμων, ἀνθηρότερα ταῦτα ἐγίνετο.

Καὶ τί λέγω τοὺς παρόντας Ἕλληνας νῦν, τοὺς εὐτελεῖς καὶ εὐκαταφρονήτους; τοὺς τότε θαυμαστοὺς παραγάγωμεν εἰς μέσον, τοὺς ἐπὶ φιλοσοφίᾳ βεβοημένους, τὸν Πλάτωνα, τὸν Διαγόρανα, τὸν Κλαζομένιον, καὶ ἑτέρους πολλοὺς τοιούτους, καὶ βῦψει τότε τοῦ κηρύγματος τὴν ἰσχύν. Μετὰ γὰρ τὸ κώνειον τοῦ Σωκράτους, οἱ μὲν εἰς Μέγαρα ἀπῆλθον, δεδοικότες μὴ τὰ αὐτὰ πάθωσιν· οἱ δὲ καὶ τῆς πατρίδος καὶ τῆς ἐλευθερίας ἐξέπεσον, καὶ πλὴν μιᾶς γυναικὸς, οὐδενὸς ἑτέρου περιεγένοντο· ὁ δὲ Κιττιεὺς[b] ἐν τοῖς γράμμασιν ἀφεὶς τὴν πολιτείαν, οὕτω κατέλυσε. Καὶ-

[a] Savil. in marg. τὸν Πυθαγόραν.
[b] Cittieus est Zeno. Anianus autem Platonem intelligebat.

τοι οὐδὲν ἦν τότε τὸ ἐμποδίζον, οὐ κίνδυνος, οὐκ ἰδιωτεία, ἀλλὰ καὶ δεινοὶ λέγειν ἦσαν, καὶ χρημάτων εὐπόρουν, καὶ τῆς παρὰ πᾶσι βωμένης πατρίδος ἐτύγχανον ὄντες· ἀλλ' οὐδὲν ἴσχυον. Τοιοῦτον γὰρ ἡ πλάνη, καὶ μηδενὸς ἐνοχλοῦντος, καταῤῥεῖ· τοιοῦτον ἡ ἀλήθεια, καὶ πολλῶν πολεμούντων, διεγείρεται. Καὶ ταῦτα αὐτὴ ἡ τῶν πραγμάτων ἀλήθεια βοᾷ· καὶ οὐδὲν δεῖ λόγων, οὐδὲ ῥημάτων, τῆς οἰκουμένης πάντοθεν φωνὴν ἀφιείσης, τῶν πόλεων, τῶν ἀγρῶν, τῆς γῆς, τῆς θαλάττης, τῆς οἰκουμένης, τῆς ἀοικήτου, τῶν ἐν ταῖς ἀκρωρείαις. Οὐδὲ γὰρ τὴν ἔρημον ἀφῆκεν ἄμοιρον τῆς εὐεργεσίας αὐτοῦ, ἀλλὰ καὶ αὐτὴν μάλιστα ἐνέπλησεν, ὧν ἐκ τοῦ οὐρανοῦ φέρων ἦλθεν ἡμῖν ἀγαθῶν, διὰ τῆς Παύλου γλώττης, διὰ τῆς χάριτος τῆς ἐντεθείσης αὐτῷ. Ἐπειδὴ γὰρ ἀξίαν τῆς δωρεᾶς προθυμίαν παρέσχετο, καὶ δαψιλὴς ἡ χάρις ἐξέλαμψε, καὶ τὰ πλείονα τῶν εἰρημένων διὰ τῆς τούτου κατωρθώθη γλώττης.

Ἐπεὶ οὖν οὕτω τὸ γένος ἡμῶν ἐτίμησεν ὁ Θεὸς, ὡς ἕνα ἄνθρωπον καταξιῶσαι τοσούτων γενέσθαι κατορθωμάτων αἴτιον, ζηλώσωμεν, μιμησώμεθα, σπουδάσωμεν γενέσθαι κατ' ἐκεῖνον καὶ ἡμεῖς, καὶ μὴ ἀδύνατον τοῦτο εἶναι νομίζωμεν. Ὃ γὰρ πολλάκις εἶπον, τοῦτο λέγων οὐ παύσομαι, ὅτι καὶ σῶμα ἐν αὐτῷ τὸ αὐτὸ ἦν καὶ ἡμῖν, καὶ τροφαὶ αἱ αὐταὶ, καὶ ψυχὴ ἡ αὐτή· ἀλλ' ἡ προαίρεσις μεγάλη, καὶ ἡ προθυμία λαμπρά· καὶ τοῦτο ἐκεῖνον τοιοῦτον ἐποίησε. Μηδεὶς τοίνυν ἀπογινωσκέτω, μηδεὶς ἀπαγορευέτω. Ἐὰν γὰρ παραστήσῃς σου τὴν διάνοιαν, οὐδὲν τὸ κωλύον τὴν αὐτὴν δέξασθαι χάριν. Οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός· καὶ ἐκεῖνον αὐτὸς ἔπλασε, καὶ σὲ αὐτὸς παρήγαγε· καὶ ὥσπερ ἐκείνου Δεσπότης, οὕτω καὶ σός· ὥσπερ ἐκεῖνον ἀνεκήρυξεν, οὕτω καὶ σὲ βούλεται στέψαι. Ὑπόσχωμεν τοίνυν ἑαυτοὺς καὶ καθάρωμεν, ἵνα καὶ ἡμεῖς δαψιλῇ δεξάμενοι τὴν χάριν, τῶν αὐτῶν ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ [500] Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

Λόγος ε'.

Ποῦ νῦν εἰσιν οἱ τὸν θάνατον αἰτιώμενοι, καὶ τὸ παθητὸν τοῦτο σῶμα καὶ φθαρτὸν ἐμπόδιον εἶναι λέγοντες αὐτοῖς πρὸς ἀρετήν; Ἀκουσάτωσαν τῶν Παύλου κατορθωμάτων, καὶ παυέσθωσαν τῆς πονηρᾶς ταύτης διαβολῆς. Τί γὰρ τὸ γένος ἡμῶν ἔβλαψεν ὁ θάνατος; τί δὲ ἡ φθορὰ πρὸς ἀρετὴν ἐνεπόδισεν; Ἐννόησον Παῦλον, καὶ βῦψει ὅτι καὶ ὤνησεν ἡμᾶς τὰ μέγιστα τὸ γενέσθαι θνητούς. Εἰ γὰρ μὴ θνητὸς ἦν οὗτος, οὐκ ἂν ἐδυνήθη εἰπεῖν, μᾶλλον δὲ οὐκ ἂν ἐπιδεῖξασθαι ἐδυνήθη, ἃ διὰ τῶν ἔργων εἶπεν, ὅτι *Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ.* Πανταχοῦ γὰρ ἡμῖν ψυχῆς καὶ προθυμίας δεῖ, καὶ τὸ κωλύον οὐδὲν ἐν τοῖς πρώτοις τετάχθαι. Οὐχὶ θνητὸς ἦν οὗτος; οὐχὶ ἰδιώτης; οὐχὶ πένης καὶ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν ἐργασίας ποιούμενος τὴν τροφήν; οὐχὶ σῶμα εἶχε πάσαις ἀνάγκαις ὑποκείμενον φυσικαῖς; Τί οὖν αὐτὸν ἐκώλυσε γενέσθαι τοιοῦτον, οἷος γέγονεν; Οὐδέν. Μηδεὶς τοίνυν ἀθυμείτω πένης, μηδεὶς δυσχεραινέτω ἰδιώτης, μηδεὶς ἀλγείτω τῶν εὐτελῶν, ἀλλ' ἐκεῖνοι

μόνοι, ὅσοι ψυχὴν μεμαλακισμένην καὶ διάνοιαν ἔχουσιν ἐκνενευρισμένην. Τοῦτο γὰρ γίνεται κώλυμα μόνον πρὸς ἀρετὴν, κακία ψυχῆς, καὶ μαλακία γνώμης· ταύτης δὲ ἄνευ τῶν ἄλλων οὐδέν. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ μακαρίου τούτου τοῦ νῦν συναγαγόντος ἡμᾶς. Ὥσπερ γὰρ τοῦτον οὐδὲν ταῦτα παρέβλαψεν, οὕτω τοὺς ἔξωθεν οὐδὲν τὰ ἐναντία ὠφέλησεν, οὐ λόγων δεινότης, οὐ χρημάτων πλῆθος, οὐ περιφάνεια γένους, οὐ δόξης μέγεθος, οὐ τὸ ἐν δυναστείᾳ εἶναι.

Τί λέγω τοὺς ἀνθρώπους; μᾶλλον δὲ μέχρι πότε ἐπὶ τῆς γῆς κατέχω τὸν λόγον, ἐξὸν εἰπεῖν τὰς ἀνωτέρας δυνάμεις, τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου; τί γὰρ ἔνησε τούτους τὸ φύσιν τοιαύτην λαχεῖν; οὐχὶ ἔρχονται πᾶσαι αἱ δυνάμεις κρινόμεναι διὰ Παύλου, καὶ τῶν κατ' ἐκεῖνον; *Οὐκ οἴδατε* γὰρ φησὶν, *ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;* Μὴ τοίνυν δι' ἕτερον μηδὲν ἀλγῶμεν, ἀλλὰ διὰ κακίαν μόνον, μηδὲ δι' ἄλλο χαίρωμεν καὶ εὐφραινώμεθα, ἀλλὰ δι' ἀρετὴν μόνον. Ἐὰν ταύτην ζηλώσωμεν, οὐδὲν τὸ κωλύον γενέσθαι κατὰ Παῦλον. Ἐκεῖνος γὰρ οὐχὶ ἀπὸ τῆς χάριτος μόνον τοιοῦτος ἐγένετο, ἀλλὰ καὶ ἀπὸ τῆς οἰκείας προθυμίας· καὶ διὰ τοῦτο [501] ἀπὸ τῆς χάριτος, ἐπειδὴ καὶ ἀπὸ τῆς προθυμίας. Μεθ' ὑπερβολῆς γὰρ ἑκάτερα, καὶ τὰ τοῦ Θεοῦ ἔπνευσεν αὐτῷ, καὶ τὰ τῆς οἰκείας προαιρέσεως ὑπῆρξε. Βούλει μαθεῖν τὰ τοῦ Θεοῦ; Τὰ ἱμάτια αὐτοῦ ἐδεδοίκεισαν δαίμονες. Ἀλλ' οὐ θαυμάζω τοῦτο, ὥσπερ οὐδ' ὅτι τὴν σκιὰν Πέτρου τὰ νοσήματα ἔφυγεν· ἀλλὰ θαυμάζω, ὅτι τὸ θαυμαστὸν τοῦτο πρὸ τῆς χάριτος, καὶ ἀπὸ βαλβῖδος αὐτῆς καὶ προοιμίων αὐτῶν ἐφάνη ποιῶν· οὐδὲ τὴν δύναμιν ταύτην ἔχων, οὐδὲ χειροτονίαν δεξάμενος, οὕτω τῷ πρὸς Χριστὸν ἐξήφθη ζήλῳ, ὡς πάντα τῶν Ἰουδαίων τὸν δῆμον διεγεῖραι καθ' ἑαυτοῦ· ὃς καὶ ἰδὼν αὐτὸν ἐν τοσούτοις ὄντα κινδύνοις, ὡς καὶ τὴν πόλιν πολιορκεῖσθαι, διὰ θυρίδος ἐχαλάσθη διὰ τοῦ τείχους, καὶ διαφυγὼν, οὐδὲ οὕτως εἰς ὄκνον ἐνέπεσεν, οὐδὲ εἰς δειλίαν καὶ φόβον, ἀλλὰ πλείονα προθυμίαν ἐντεῦθεν ἐδέξετο, παραχωρῶν μὲν τοῖς κινδύνοις δι' οἰκονομίαν, οὐ παραχωρῶν δὲ τῆς διδασκαλίας οὐδενὶ, ἀλλὰ τὸν σταυρὸν πάλιν ἁρπάσας ἠκολούθει· καίτοι γε παρὰ πόδας ἔχων ἔτι τὸ παράδειγμα τὸ κατὰ τὸν Στέφανον, καὶ ὁρῶν κατ' αὐτοῦ μάλιστα πάντων φόνου πνέοντας Ἰουδαίους, καὶ αὐτῶν ἐπιθυμοῦντας αὐτοῦ τῶν σαρκῶν ἀπογεύσασθαι. Οὔτε οὖν ἀφειδῶς ἐνέπιπτε τοῖς κινδύνοις, οὐδὲ διαφεύγων μαλακώτερος ἐγένετο πάλιν. Σφόδρα τῆς παρούσης ἦρα ζωῆς διὰ τὸ κέρδος τὸ ἐξ αὐτῆς· καὶ σφόδρα αὐτῆς ὑπερεώρα διὰ τὴν φιλοσοφίαν τὴν ἀπὸ τῆς ὑπεροψίας γινομένην αὐτῷ, ἢ διὰ τὸ σφόδρα ἐπείγεσθαι πρὸς τὸν Ἰησοῦν ἀπελθεῖν. Ὅπερ γὰρ ἀεὶ λέγω περὶ αὐτοῦ, καὶ οὐδέποτε παύσομαι λέγων, οὐδεὶς οὕτως εἰς ἐναντία πράγματα ἐμπεσὼν, ἑκάτερα πρὸς ἀκρίβειαν ἤσκησεν· οὐδεὶς γοῦν οὕτω τῆς παρούσης ἐπεθύμησε ζωῆς, οὐδὲ τῶν σφόδρα φιλοψυχούντων· οὐδεὶς οὕτως αὐτῆς ὑπερεῖδεν, οὐδὲ τῶν μεθ' ὑπερβολῆς θανατώντων [a]. Οὕτω πάσης ἐπιθυμίας καθαρὸς ἦν ἐκεῖνος, καὶ οὐδενὶ προσέπασχε τῶν παρόντων, ἀλλὰ πανταχοῦ τῇ βουλῇ τοῦ Θεοῦ τὴν ἐπιθυμίαν ἐκίρνα τὴν ἑαυτοῦ· καὶ νῦν μὲν αὐτὴν καὶ τῆς μετὰ Χριστοῦ συνουσίας καὶ ὁμιλίας ἀναγκαιοτέραν εἶναί φησι, νῦν δὲ οὕτω βαρεῖαν καὶ ἐπαχθῆ, ὡς καὶ στενάζειν καὶ ἐπείγεσθαι πρὸς τὴν ἀνάλυσιν. Ἐκείνων γὰρ ἐπιθυμεῖ μόνον, τῶν κατὰ Θεὸν κέρδος αὐτῷ φερόντων, εἰ καὶ ἐναντία ταῦτα εἶναι συνέβαινε τοῖς προτέροις. Καὶ γὰρ ποικίλος τις ἦν καὶ παντοδαπὸς, οὐχ ὑποκρινόμενος, μὴ γένοιτο, ἀλλὰ πάντα γινόμενος, ἅπερ ἡ τοῦ κηρύγματος καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων χρεία ἀπῄτει, κἀν τούτῳ τὸν Δεσπότην τὸν ἑαυτοῦ μιμούμενος. Καὶ γὰρ ὁ Θεὸς καὶ ἄνθρωπος ἐφαίνετο, ὅτε ἔδει φανῆναι τοῦτο· καὶ ἐν πυρὶ πάλαι ὅτε ὁ καιρὸς τοῦτο ἀπῄτει· καὶ νῦν μὲν ἐν ὁπλίτου σχήματι καὶ στρατιώτου, νῦν δὲ ἐν εἰκόνι πρεσβύτου, νῦν δὲ ἐν αὔρᾳ, νῦν δὲ ὡς [502] ὁδοιπόρος, νῦν δὲ αὐτοάνθρωπος, καὶ οὐδὲ ἀποθανεῖν οὕτω παρῃτήσατο. Τὸ δὲ, *ἔδει τοῦτο*, ὅταν εἴπω, μηδεὶς ἀνάγκην εἶναι νομιζέτω τῶν λόγων, ἀλλὰ τῆς αὐτοῦ φιλανθρωπίας μόνον. Καὶ ποτὲ μὲν ἐν θρόνῳ, ποτὲ δὲ ἐπὶ τῶν Χερουβὶμ κάθηται. Πάντα δὲ ταῦτα πρὸς τὰς ὑποκειμένας οἰκονομίας ἔπραττε. Διὸ καὶ διὰ τοῦ προφήτου ἔλεγεν· *Ἐγὼ δράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην*. Οὕτω καὶ Παῦλος τὸν ἑαυτοῦ μιμούμενος Δεσπότην, οὐκ ἂν κατεγνώσθη, νῦν μὲν ὡς Ἰουδαῖος γινόμενος, νῦν δὲ ὡς ἄνομος· καὶ νῦν μὲν νόμον ἐφύλαττε, νῦν δὲ ὑπερεώρα νόμου· καὶ ποτὲ μὲν ἀντείχετο τῆς παρούσης ζωῆς, ποτὲ δὲ κατεφρόνει αὐτῆς· καὶ νῦν μὲν ᾔτει χρήματα, νῦν δὲ καὶ διδόμενα διεκρούετο· καὶ ἔθυε καὶ ἐξυρᾶτο, καὶ πάλιν ἀνεθεμάτιζε τοὺς ποιοῦντας· καὶ νῦν μὲν περιέτεμε, νῦν δὲ περιτομὴν ἐξέβαλε. Καὶ τὰ μὲν γινόμενα ἐναντία ἦν, ἡ δὲ γνώμη καὶ ἡ διάνοια, ἀφ' ἧς ταῦτα ἐγίνετο, σφόδρα ἀκόλουθος καὶ ἑαυτῇ συνημμένη.

Ἔν γὰρ ἐζήτει, τῶν ταῦτα ἀκουόντων καὶ ὁρώντων τὴν σωτηρίαν. Διὰ δὴ τοῦτο νῦν μὲν ἐπαίρει νόμον, νῦν δὲ αὐτὸν καθαιρεῖ. Οὐ γὰρ δὴ μόνον ἐν οἷς ἔπραττεν, ἀλλὰ καὶ ἐν οἷς ἔλεγε, ποικίλος ἦν καὶ παντοδαπὸς, οὐχὶ μεταβαλλόμενος τὴν γνώμην, οὐδὲ ἕτερος ἐξ ἑτέρου γινόμενος, ἀλλὰ μένων ὅπερ ἦν, καὶ τῶν εἰρημένων ἕκαστον πρὸς τὴν παροῦσαν μεταχειρίζων χρείαν. Μὴ τοίνυν αὐτὸν διὰ ταῦτα κακίσῃς,

[a] Οὐδεὶς... ὑπερεῖδεν.. θανατώντων. Vel tironibus patet rescribendum esse θανατιώντων, ut sic ad verbum ista pericope reddenda sit : *Nullus sic eam* (vitam præsentem) *despexit, etiam illorum qui maxime mortem affectant.* Edit.

panper, nullus angatur inglorius, nullus ex vilioribus ingemiscat; sed tantummodo illi, qui molles sunt animo, et enervati mente sunt atque resoluti. Hoc enim solum est quod nos a virtute valeat arcere, vitiositas animæ atque mollitudo sententiæ, nec quidquam omnino præterea : idque beati hujus, propter quem hodie congregati sumus, illustratur exemplo. Sicut enim Paulo nihil ea quæ superius sunt memorata nocuerunt, ita extra religionem nostram positos nihil his adversa juverunt, non generis claritudo, non divitiarum affluentia, non splendor eloquii, non gloriæ magnitudo, non sublimitas potentatus.

Dæmones nil juvat immortalitas. — Sed quid ego de hominibus adhuc loquor, et quamdiu circa terram contineo sermonem? Fas est etiam supernas commemorare virtutes, principatus videlicet, ac potestates, mundique rectores ac tenebrarum hujus sæculi. Quid enim juvit eos angelorum sortitos esse naturam? nonne venient omnes istæ virtutes a Paulo, ejusque similibus judicandæ? *Nescitis*, inquit, *quia angelos judicabimus, quanto magis sæcularia* (*1. Cor.* 6. 3)? Non igitur ob alias aliquando causas nisi ob vitia sola doleamus; horum nos studiosos esse pœniteat : neque ob aliud quidquam gaudeamus ac lætemur nisi virtutis causa : nihil est quod nos Pauli similes fieri vetet. Ille enim non solum gratia Dei, sed etiam sua voluntate talis effectus est, et idcirco gratia, quia etiam de propria voluntate. Utraque enim plena in illo fuerunt atque perfecta, et ea quæ donantur a Deo, et ea quæ voluntate præstantur. Vis dona Dei agnoscere? Vestimenta Pauli dæmonibus terrori erant. Verum ego nequaquam illud admiror, sicut nec illud quidem, quia umbra Petri corporum languores effugabat. Hæc sunt vero miranda, quæ Paulus etiam ante gratiam magnus ab ipsis rudimentis, ab ipsis fidei suæ invenitur fecisse principiis, quia nec virtute hac, qua postea polluit, illustratus, nec apostolatus honore donatus, ita in Christi zelum totus exarsit, ut omnem contra se accenderet Judaicum populum : qui cum se in tantis periculis et civitatem propter se obsessam cerneret, per murum demissus in sporta est, sicque depositus, nec tunc quidem in segnitiem ac timiditatem relapsus est; sed majorem alacritatem mentis accepit, periculis quibusdam se sæpe subdens in aliorum salutem : nulli autem studio cedens docendi, sed quotidie portans crucem, Dominum sequebatur, et quidem cum recens adhuc Stephani ante oculos haberet exemplum, videretque contra se omnes potissimum concitatos Judæos, cædem spirantes, ipsasque pene carnes ejus devorare cupientes. Igitur Paulus neque cum in pericula irrueret, temeritatis argui poterat : nec pericula fugere, timiditatis [1] : quia utique et amabat satis præsentem vitam, ob lucrum docendi; et rursum valde eam despiciebat, ob philosophiam, ad quam illum mundi contemptus evexerat, propterque amorem quo ire urgebatur ad Christum. Quod enim de ipso dico semper, nec dicere aliquando cessabo : nullus ita in diversa rerum incidens atque contraria, utraque in commodum suum transtulit, utraque suis utilitatibus coaptavit. Nullus enim sic unquam præsentis vitæ fuit amans, nec eorum qui sunt lucis istius cupidissimi : et e regione [nullus] sic aliquando despexit salutem illorum qui se in mortem sponte præcipitant. Sic ab omni se mundum cupiditate abstrahebat, nullaque præsentium tenebatur passione, sed ubique desiderium suum cum Dei voluntate miscebat, et nunc quidem præsentem vitam magis necessariam esse ducebat, quam societatem Christi atque colloquium; nunc vero tam molestam sibi illam fatebatur et gravem, ut etiam ingemisceret, atque in mortis desiderium cogeretur. Ea enim sola cupiebat, quæ illi secundum Deum lucra parerent, etiamsi prioribus viderentur esse contraria. Erat enim quidem varius semper ac multiplex, non utique dissimulatione mutabilis, quod absit, sed faciens omnia quæ prædicationis salutisque hominum necessitas poposcisset, in hoc quoque Domini sui inventus imitator. Nam et Deus et homo apparuit, cum id eum oportuit apparere, et in igne quando tempus ita exegit, et nunc quidem se in habitu armati militis, nunc in specie senis, nunc in aura, nunc in similitudine viatoris, nunc in ipsa ostendit hominis veritate, secundum quam ne ipsam quidem mortem refugit : sed iterum iterumque commoneo, nemo dispensationem istam necessitatem putet, sed tantummodo amorem Dei erga homines intelligat. Nam et aliquando quidem super thronum, aliquando vero super Cherubim apparebat sedens. Omnia tamen ista pro variarum dispensationum opportunitate faciebat, propter quod loquitur per prophetam : *Ego visiones multiplicavi, et in manibus prophetarum assimilatus sum* (*Osee* 12. 10). Ita igitur et Paulus creditæ sibi dispensationis modum sæpe variando, nequaquam de Domini sui imitatione culpatus est, cum modo Judæus fieret, modo se illis nulla communicatione misceret, et nunc quidem custodiret legem, nunc vero despiceret : et aliquando conservaret præsentem vitam, aliquando contemneret : et nunc quidem etiam postularet pecunias, nunc autem oblatas etiam repudiaret : nam et sacrificium obtulit, et purificationem ex more celebravit, et caput rasit; sed rursus et anathematizavit ista facientes : et nunc quidem circumcidebat ipse, nunc circumcisionem penitus excludebat. Et erant facta quidem ipsa diversa inter se atque contraria, mens vero atque sententia ex qua illa fiebant valde sibi concinens atque concordans.

Paulus modo legem extollit, modo dejicit. — Unum illud requirebat et solum, eorum qui illum audirent ac viderent, salutem : propterea modo extollit legem, modo inclinat ac dejicit. Non enim solum in actibus suis, verum etiam in verbis erat, ut dixi, varius ac multiplex, non mutando sententiam, neque alter factus ex altero : sed ipse quod erat semper manendo, eorum quæ dicta sunt usum pro causarum opportunitate variabat. Non igitur eum

[1] Gr., *Paulus igitur neque inconsulte se periculis tradebat obvium, neque in illis fugiendis mollius se gessit.*

propter ista reprehendas, propter quæ illum magis debes dignis laudibus coronare. Siquidem et medicum cum nunc urentem videris, nunc foventem, nunc ferro utentem, nunc medicamento, et aliquando quidem ægrotum a cibo potuque cohibentem, aliquando vero eum in ista laxantem, et modo quidem cooperientem undique, et undique confoventem; nunc vero ipsi illi calefacto securius plenam frigidis aquis imperantem epotare phialam: non utique super hac eum varietate et frequenti mutatione culpabis; sed tunc præcipue stupebis artem, quando ea quæ nobis contraria videntur et noxia, illam cum fiducia videris offerentem. Hoc est enim veri artificis ac periti. Si igitur approbamus medicum contraria ista facientem, multo magis Pauli debemus animam prædicare, tam multis se ac diversis modis ægrotantibus coaptantem. Non enim minus hi qui animarum, quam illi qui corporum languore vexantur, arte opus habent, ac varietate curandi: ad quos si secure et velut ex directo volueris accedere, omnis spes ab eis salutis aufugiet. Et quid mirum si homines ad hæc sanandi temperamenta descendant, cum etiam omnipotens Deus hoc ipso medicinæ utatur modo, nec omnia nobis uniformiter ac directim loquatur? Quia enim sponte nos vult effici bonos, non necessitate atque violentia, opus etiam habet mutatione curæ, non propter aliquam impossibilitatem suam, absit, sed propter nostram fragilitatem. Ipsi enim licet innuere solum, imo velle tantummodo, jamque facta spectare quæ voluit. Nos vero qui semel dominatum nostri adepti sumus, non in cunctis Deo subditos esse nos patimur: qui si traheret invitos, eriperet ipse quod contulit, id est, arbitrii potestatem. Ne igitur istud fieret, frequenti fuit opus varietate medicandi. Hæc autem a nobis non superfluo disputata sunt, sed propter beati Pauli varium studium atque sapiens, ut quando eum videris pericula fugientem, non illum admireris minus, quam cum se periculis gaudet opponere: ut enim hoc fortitudinis, ita illud sapientiæ est. Et cum videris eum magna de seipso sonantem, similiter admireris, ac si illum videas semetipsum depretiantem: ut enim istud humilitatis, ita et illud magnanimitatis est. Quando enim gloriantem videris, admirare: sed similiter lauda, cum illum vides humilia de se et contemptibilia dicentem. Nam et hoc est animi arrogantia vacui, et illud dilectione et humanitate pleni. In dispensationem siquidem multorum salutis ista faciebat, propter quod ait: *Sive enim mente excedimus, Deo; sive sobrii sumus, vobis* (2. *Cor.* 5. 13). Neque alius quisquam tantas, non dico occasiones, sed prorsus necessitates habuit arrogantiæ, neque tamen ullus alter ita se mundo ab omni jactantia subduxit. Hæc itaque animo attentiore considera. *Scientia,* inquit, *inflat* (1. *Cor.* 8. 1): et hoc omnes cum Apostolo facile dixerimus. At tanta certe in illo erat scientia, quanta in ullo unquam fuerit, neque tamen se extulit insolenter, qui se in hoc ipso humiliat ac dejicit dicens: *Ex parte cognoscimus, ex parte prophetamus* (1Cor. 13. 9). Et, *Non me arbitror comprehendisse* (*Philipp.* 3. 13). Et, *Si quis existimat se scire aliquid, nondum cognovit quemadmodum eum oportet scire* (1. *Cor.* 8. 2). Jejunium rursus inflat, idque fecit Pharisæus ille manifestum, qui ait: *Jejuno bis in sabbato* (*Luc.* 18. 12). Sed Paulus non modo jejunans, verum etiam famem propter Christum patiens, se etiam abortivum vocabat (1. *Cor.* 15. 8).

Non omnes revelationes suas reseravit Paulus. Paulus quomodo se laudarit. — Et quid de scientia dico atque jejunio, quando etiam tanta cum Deo habens et tam crebra colloquia, quanta nec prophetarum nec apostolorum ullus habuit, per ea ipsa humilior reddebatur? Non enim mihi dicas ista quæ legimus. Nam plura celavit, nec enim omnia dixit, ne gloria majori se circumdaret: nec omnino cuncta tacuit, ne pseudoapostolorum contra se ora reseraret. Nihil enim otiose ille faciebat, sed omnia cum causa justa probabilique ratione. Cum tanta itaque ratione tantas res inter se diversas contrariasque peragebat, ut eisdem tamen laudibus ubique ornaretur. Quod dum apertius dicimus, intuere. Magnum bonum est de se nihil magnum loqui; hic autem tam opportune apteque hoc faciebat, ut magis mereretur loquendo de se, quam tacendo, laudari. Qui nisi fecisset istud, culpabilior esset illis, qui seipsos importune laudare didicerunt: et nisi etiam gloriatus fuisset, creditos sibi perdidisset omnesque res inimicorum, dum se humiliat, extulisset. Sic noverat uti ubique tempore, et cum recto consilio atque sententia ea quæ videntur reprobanda perficere, tam utiliter et commode, ut non minus de illis placeret, quam cum imperata compleret. Amplius enim nunc Paulus placuit gloriando, quam alter laudes proprias occultando: nec tantum quisquam profuit cum sua merita celaret, quantum iste cum proderet. Sed hoc quoque est multo admirabilius: quia de se non modo loquutus, verum etiam quantum oportuit est loquutus. Non enim quasi maximam licentiam de opportunitate nactus, immoderatius laudibus suis usus est; sed consideratissime quousque eum progredi liceret agnovit. Neque tamen istud sufficere sibi credidit, sed ne alios hoc sermone vetaret [*f.* vitiaret], idque efficeret ut semetipsos inaniter prædicarent, libenter se etiam insipientem vocavit: quamquam certa invitante causa de propria aliquid laude perstrinxerit. Quia enim consequens erat, ut idipsum respicientes alii temere atque inaniter ejus uterentur exemplo: quod plerumque contingit et medicis: sæpe enim medicamentum quod opportune alter apposuit, importune alter admovens, vim medicaminis obscurat atque corrumpit: ne igitur hic quoque istud accideret, vide quanta procuratione usus sit: qui cum gloriaturus esset, non semel, non secundo, sed sæpius differendo atque cunctando dicebat: *Utinam sustineretis modicum quid insipientiæ meæ* (2. *Cor.* 11. 1. 2): et rursus, *Quod loquor, non loquor secundum Deum, sed in insipientia*[1] (*Ib.* v. 17 *et* 21). Cumque tanta dixisset, non tamen ea se præ-

[1] Gr. add., *in quo quis audet, in insipientia dico, audeo et ego.*

ἀλλὰ δι' αὐτὰ μὲν οὖν ταῦτα μάλιστα ἀνακήρυξον καὶ στεφάνωσον. Ἐπεὶ καὶ τὸν ἰατρὸν, ὅταν ἴδῃς νῦν μὲν καίοντα, νῦν δὲ τρέφοντα, καὶ νῦν μὲν σιδήρῳ χρώμενον, νῦν δὲ φαρμάκῳ, καὶ ποτὲ μὲν ἀπάγοντα σιτίων καὶ ποτῶν, ποτὲ δὲ ἐπιτρέποντα τούτων ἄρδην ἐμφορεῖσθαι τὸν κάμνοντα, καὶ ποτὲ μὲν περιβάλλοντα πάντοθεν, ποτὲ δὲ αὐτὸν ἐκεῖνον τὸν διαθερμανθέντα κελεύοντα φιάλην ὁλόχληρον ἐκπιεῖν ὑδάτων ψυχρῶν, οὐ καταγνώσῃ τῆς μεταβολῆς, οὐδὲ τῆς συνεχοῦς μεταστάσεως· ἀλλὰ τότε μάλιστα ἐπαινέσεις τὴν τέχνην, τὰ δοκοῦντα ἡμῖν ἐναντία εἶναι καὶ βλαβερὰ μετὰ τοῦ θαῤῥεῖν προσάγουσαν ὁρῶν, καὶ τὸ ἀσφαλὲς ἐγγυωμένην. Τοῦτο γὰρ ἀνὴρ τεχνικός. Εἰ δὲ ἰατρὸν ἀποδεχόμεθα τὰ ἐναντία ταῦτα ποιοῦντα, πολλῷ μᾶλλον τὴν Παύλου ψυχὴν, οὕτω τοῖς κάμνουσι προσφερομένην, ἀνακηρύττειν δεῖ. Καὶ γὰρ τῶν τὰ σώματα ἀῤῥωστούντων οὐκ ἔλαττον οἱ τὰς ψυχὰς νοσοῦντες δέονται μηχανῆς καὶ μεταχειρίσεως· κἂν ἐξ εὐθείας αὐτοῖς προσίῃς, πάντα οἰχήσεται τὰ τῆς σωτηρίας αὐτῶν. Καὶ τί θαυμαστὸν, εἰ ἄνθρωποι ταῦτα ποιοῦσιν, ὅταν ὁ Θεὸς, ὁ πάντα δυνάμενος, τούτῳ κέχρηται τῆς ἰατρείας τῷ νόμῳ, καὶ οὐ πάντοτε ἐξ εὐθείας ἡμῖν [503] ὁμιλῇ; Ἐπειδὴ γὰρ ἑκόντας εἶναι βούλεται καλοὺς, ἀλλ' οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἐδέησεν αὐτῷ καὶ μεθόδου, οὐ διὰ τὸ αὐτοῦ ἀδύνατον, ἄπαγε, ἀλλὰ διὰ τὸ ἀσθενὲς τὸ ἡμέτερον. Αὐτῷ μὲν γὰρ ἔξεστι νεῦσαι μόνον, μᾶλλον δὲ ἐθελῆσαι μόνον, καὶ ποιῆσαι πάντα ἅπερ ἂν βούληται· ἡμεῖς δὲ ἅπαξ ἑαυτῶν γενόμενοι κύριοι, οὐκ ἀνεχόμεθα πάντα ὑπακούειν αὐτῷ. Ἐὰν οὖν ἄκοντας ἕλκύσῃ, ὅπερ ἔδωκεν, ἀφαιρήσεται, τὴν τῆς ἐξουσίας λέγω ἐλευθερίαν. Ἵν' οὖν μὴ τοῦτο γένηται, ἐδέησεν αὐτῷ μεθόδων πολλῶν. Ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ διὰ τὸ ποικίλον τοῦ μακαρίου Παύλου καὶ σοφόν· ὥστε ὅταν ἴδῃς αὐτὸν φεύγοντα κινδύνους, θαύμασον ὁμοίως, ὥσπερ ὅταν ἴδῃς ὀμόσε χωροῦντα αὐτοῖς· καθάπερ γὰρ τοῦτο ἀνδρείας, οὕτω κἀκεῖνο σοφίας. Ὅταν ἴδῃς μεγάλα φθεγγόμενον, θαύμασον ὁμοίως, ὥσπερ ὅταν ἴδῃς μετριάζοντα· καθάπερ γὰρ τοῦτο ταπεινοφροσύνης, οὕτως ἐκεῖνο μεγαλοψυχίας. Ὅταν ἴδῃς καυχώμενον, θαύμασον ὁμοίως, ὥσπερ ὅταν ἴδῃς διακρουόμενον ἐγκώμιον· καὶ γὰρ καὶ τοῦτο ἤθους ἀτύφου, κἀκεῖνο φιλοστόργου καὶ φιλανθρώπου· τὴν γὰρ τῶν πολλῶν οἰκονομῶν σωτηρίαν, ταῦτα ἔπραττε. Διὸ καὶ ἔλεγεν· *Εἴτε ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.* Οὔτε γάρ τις ἄλλος εἶχε τοσαύτας ἀνάγκας πρὸς ἀπόνοιαν, οὔτε ἄλλος τις οὕτω καθαρὸς ἀλαζονείας ἦν. Σκόπει δέ· *Ἡ γνῶσις φυσιοῖ·* καὶ πάντες τοῦτο ἂν εἴποιμεν μετ' ἐκείνου· καὶ τοσαύτη δὲ ἦν ἐν αὐτῷ γνῶσις, ὅση ἐν οὐδενὶ τῶν πώποτε ἀνθρώπων γεγενημένων· ἀλλ' ὅμως αὐτὸν οὐκ ἐπῆρεν, ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ μετριάζει. Διὰ τοῦτο λέγει· *Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·* καὶ πάλιν· *Ἐγὼ, ἀδελφοὶ, οὔπω λογίζομαι ἐμαυτὸν κατειληφέναι·* καὶ, *Εἴ τις δοκεῖ εἰδέναι τι, οὔπω οὐδὲν ἔγνωκε.* Πάλιν νηστεία φυσᾷ· καὶ τοῦτο ὁ Φαρισαῖος δηλοῖ λέγων· *Νηστεύω δὶς τῆς ἑβδομάδος.* Ἀλλ' οὗτος οὐχὶ νηστεύων, ἀλλὰ καὶ λιμώττων ἑαυτὸν ἔκτρωμα ἐκάλει.

Τί λέγω νηστείαν καὶ γνῶσιν, ὅπου γε ὁμιλίαι τοσαῦται καὶ οὕτω συνεχῶς πρὸς τὸν Θεὸν ἦσαν αὐτῷ γεγενημέναι, ὅσαι μήτε προφητῶν, μήτε ἀποστόλων ἐγένοντο μηδενὶ, καὶ μᾶλλον ἐταπεινοῦτο ὁ ἀ ταῦτα; Μὴ γάρ μοι ταύτας εἴπῃς τὰς ἀναγεγραμμένας· τὰς γὰρ πλείους ἀπέκρυψε, καὶ οὔτε πάσας εἶπεν, ἵνα μὴ δόξαν ἑαυτῷ περιθῇ μεγάλην, οὔτε πάσας ἐσίγησεν, ἵνα μὴ τὰ τῶν ψευδαποστόλων ἀνοίξῃ στόματα. Οὐδὲν γὰρ ἁπλῶς ἐκεῖνος ἐποίει, ἀλλὰ μετὰ αἰτίας δικαίας πάντα καὶ εὐλόγου· καὶ μετὰ τοσαύτης σοφίας μετῄει τὰ ἐναντία πράγματα, ὡς τῶν αὐτῶν πανταχοῦ τυγχάνειν ἐπαίνων. Ὃ δὲ λέγω τοιοῦτόν ἐστι. Μέγα ἀγαθὸν τὸ μηδὲν μέγα περὶ ἑαυτοῦ λέγειν· ὁ δὲ οὕτως αὐτὸ εὐκαίρως ἐποίει, ὡς εἰπὼν μᾶλλον, ἢ σιγήσας, ἐπαινεθῆναι· καὶ εἰ μὴ τοῦτο πεποίηκε, [504] τῶν ἀκαίρως ἐγκωμιαζόντων κατηγορήθη ἂν μᾶλλον· εἰ γὰρ μὴ ἐκαυχήσατο, πάντα ἂν ἀπώλεσε καὶ προέδωκε, καὶ τὰ τῶν ἐχθρῶν ἂν ἐπῆρε πράγματα. Οὕτως οἶδε τῷ καιρῷ πανταχοῦ κεχρῆσθαι, καὶ μετὰ γνώμης ὀρθῆς, καὶ τὰ ἀπηγορευμένα ποιεῖν, καὶ οὕτω χρησίμως, ὡς τῶν προστεταγμένων μηδὲν ἔλαττον ἐκ τούτων εὐδοκιμεῖν. Μᾶλλον γὰρ Παῦλος καυχώμενος τότε εὐδοκίμησεν, ἢ ἕτερός τις κρύπτων τὰ ἑαυτοῦ κατορθώματα· οὐδεὶς γὰρ τοσαῦτα εἰργάσατο ἀγαθὰ ἀποκρύπτων τὰ ἑαυτοῦ, ὅσα ἐκεῖνος ἐξειπὼν τὰ ἑαυτοῦ. Καὶ τὸ δὴ πάλιν θαυμαστότερον, ὅτι οὐ μόνον ἐξεῖπεν, ἀλλὰ καὶ μέχρι τῆς χρείας ἔστη. Οὐ γὰρ ὡς τοῦ καιροῦ παρέχοντος αὐτῷ πολλὴν τὴν ἄδειαν, ἀμέτρως πάλιν τῷ πράγματι ἐχρήσατο, ἀλλ' ἔγνω μέχρι ποῦ προελθεῖν ἔδει. Καὶ οὐδὲ τοῦτο αὐτῷ ἤρκεσεν, ἀλλ' ὥστε μὴ τοὺς ἄλλους διαφθεῖραι, μηδὲ παρασκευάσαι ἁπλῶς ἑαυτοὺς ἐγκωμιάζειν, καὶ ἄφρονα ἑαυτὸν καλεῖ· αὐτὸς μὲν γὰρ, τῆς χρείας καλούσης, τοῦτο ἐποίησεν. Ἐπειδὴ δὲ εἰκὸς ἦν τοὺς ἄλλους εἰς αὐτὸν ὁρῶντας, ἁπλῶς καὶ εἰκῇ κεχρῆσθαι τῷ παραδείγματι· ὃ καὶ ἐπὶ τῶν ἰατρῶν γίνεται· πολλάκις γὰρ, ὃ μετὰ καιροῦ φάρμακον ἐπέθηκεν οὗτος, ἀκαίρως ἕτερος ἐπιθεὶς ἐλυμήνατο καὶ ἐπεσκότησε τῇ τοῦ φαρμάκου δυνάμει· Ἵν' οὖν μὴ καὶ ἐνταῦθα τοῦτο γένηται, ὅρα πόσῃ κέχρηται τῇ προδιορθώσει μέλλων καυχᾶσθαι, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πολλάκις ἀναδυόμενος. *Ὤφελον γὰρ ἀνείχεσθέ μου,* φησὶ, *μικρόν τι τῆς ἀφροσύνης·* καὶ πάλιν· *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ.* Ἐν ᾧ δ' ἂν τις [ἐν ἀφροσύνῃ] τολμᾷ, ἐν ἀφρο-

σύνῃ λέγω, τολμῶ κἀγώ. Καὶ τοσαῦτα εἰπὼν, οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ πάλιν μέλλων εἰς τὰ ἐγκώμια ἐμβαίνειν κρύπτει ἑαυτὸν λέγων· *Οἶδα ἄνθρωπον*· καὶ πάλιν, *Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι*· καὶ μετὰ ταῦτα πάντα, *Γέγονα ἄφρων*, φησὶν, *ὑμεῖς με ἠναγκάσατε*. Τίς οὖν οὕτως ἀνόητος καὶ σφόδρα ἀναίσθητος, ὡς τὸν ἅγιον ἐκεῖνον ὁρῶν, τοσαύτης ἐπικειμένης ἀνάγκης, ὀκνοῦντα καὶ ἀναδυόμενον περὶ ἑαυτοῦ τι μέγα εἰπεῖν, καὶ καθάπερ ἵππον κατὰ χρημνῶν ἐρχόμενον καὶ ἀναχαιτίζοντα συνεχῶς, καίτοι μέλλοντα τοσαῦτα οἰκονομεῖν, μὴ φεύγειν ἐκ πολλῆς τὸ πρᾶγμα περιουσίας, καὶ μόνου καιροῦ καταναγκάζοντος κεχρῆσθαι τῷ πράγματι; Βούλει καὶ ἕτερον αὐτοῦ δείξω τοιοῦτον; Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐκ ἠρκεῖτο τῷ συνειδότι, ἀλλὰ καὶ ἡμᾶς ἐδίδασκε πῶς ἕκαστον τούτων μετιέναι δεῖ, οὐχ ἑαυτῷ μόνον ἀπολογίαν κατασκευάζων ἀπὸ τῆς τῶν καιρῶν ἀνάγκης, ἀλλὰ καὶ τοὺς ἄλλους παιδεύων, ὥστε ἐμπεσόντος καιροῦ μὴ φεύγειν τὸ τοιοῦτον, μήτε ἀκαίρως αὐτὸ μετιέναι πάλιν. Διὰ γὰρ τούτων, [505] ὧν εἶπε, μονονουχὶ ταῦτα ἔλεγε· Κακὸν μέγα τὸ περὶ ἑαυτοῦ λέγειν μέγα τι καὶ θαυμαστόν· καὶ ἐσχάτης ἀνοίας τοῦτο, ἀγαπητὲ, τὸ μηδεμιᾶς ἀνάγκης ἐπικειμένης, καὶ ἀνάγκης βιαίας, καλλωπίζεσθαι τοῖς ἐγκωμίοις. Οὐκ ἔστι τοῦτο κατὰ Κύριον λαλεῖν, ἀλλὰ παραπληξίας μᾶλλον δεῖγμα τὸ τοιοῦτόν ἐστι, καὶ πάντα ἡμῖν κενοῖ τὸν μισθὸν μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ πόνους. Ταῦτα γὰρ ἅπαντα καὶ πλείονα τούτων, δι' ὧν παρῃτήσατο καὶ ἀνάγκης ἐμπεσούσης, εἶπε πρὸς ἅπαντας. Τὸ δὲ τούτου μεῖζον, ὅτι οὐδὲ ἀνάγκης ἐμπεσούσης, πάντα ἐξέχεεν εἰς μέσον, ἀλλὰ τὰ πλείονα ἀπεκρύψατο καὶ τὰ μείζονα. *Ἐλεύσομαι* γὰρ, φησὶν, *εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται, ὑπὲρ ὃ βλέπει ἢ ἀκούει τι ἐξ ἐμοῦ*. Ταῦτα δὲ ἔλεγε παιδεύων ἅπαντας, μηδὲ ἀνάγκης οὔσης, πάντα ὅσα σύνισμεν ἑαυτοῖς, φέροντας αὐτὰ εἰς μέσον κατατιθέναι, ἀλλ' ὅσα τοῖς ἀκούουσι χρήσιμα.

Ἐπεὶ καὶ ὁ Σαμουήλ· οὐδὲν γὰρ ἀπεικὸς καὶ ἐκείνου μνησθῆναι τοῦ ἁγίου, εἰς γὰρ ὠφέλειαν ἡμῶν καὶ τὰ ἐγκώμια γίνεται· ἐκαυχήσατό ποτε καὶ ἐκεῖνος, καὶ ἐξεῖπεν οἰκεῖα κατορθώματα· ἀλλὰ ποῖα; Ἃ τοῖς ἀκούουσι συνέφερεν. Οὐ γὰρ περὶ σωφροσύνης ἀπέτεινε λόγον μακρὸν, οὐδὲ περὶ ταπεινοφροσύνης, οὐδὲ περὶ τοῦ μὴ μνησικακεῖν, ἀλλὰ ὑπὲρ τίνος; Ὑπὲρ τούτου, ὃ μάλιστα ἔδει μαθεῖν τὸν τότε βασιλεύοντα, ὑπὲρ δικαιοσύνης, καὶ τοῦ καθαρὰς ἔχειν τὰς χεῖρας δώρων. Καὶ ὁ Δαυὶδ πάλιν καυχώμενος, ἀπ' ἐκείνων καυχᾶται τῶν δυναμένων τὸν ἀκροατὴν διορθῶσαι. Οὐδὲ γὰρ ἐκεῖνος ἄλλην εἶπεν ἀρετὴν, ἀλλὰ τὴν ἄρκτον καὶ τὸν λέοντα παρήγαγεν εἰς μέσον, καὶ οὐδὲν ἕτερον. Τὸ μὲν γὰρ περαιτέρω τὸν λόγον ἐξαγαγεῖν, φιλοτίμου καὶ ἀλαζόνος· τὸ δὲ εἰπεῖν ταῦτα, ἃ πρὸς τὴν παροῦσαν ἔμελλε χρείαν ἀναγκαῖα εἶναι, φιλανθρώπου, καὶ τὸ τῶν πολλῶν συμφέρον ὁρῶντος· ὃ δὴ καὶ Παῦλος ἐποίησε. Καὶ γὰρ διεβάλλετο, ὡς οὐκ ὢν ἀπόστολος δόκιμος, οὐδὲ ἔχων τινὰ ἰσχύν. Ἀνάγκη τοίνυν ἦν δι' ἐκεῖνα εἰς ταῦτα ἐμπεσεῖν, ἃ μάλιστα ἐδείκνυ αὐτοῦ τὸ ἀξίωμα. Ὁρᾷς δι' ὅσων ἐπαίδευσε τὸν ἀκροατὴν μὴ ἁπλῶς καυχᾶσθαι; Πρῶτον μὲν γὰρ διὰ τοῦ δεῖξαι, ὅτι ἀνάγκῃ τοῦτο ἐποίησε· δεύτερον, διὰ τοῦ καὶ ὡς ἄφρονα ἑαυτὸν καλέσαι, καὶ πολλαῖς χρήσασθαι παραιτήσεσι· τρίτον, διὰ τοῦ μὴ πάντα εἰπεῖν, ἀλλὰ τὰ μείζονα ἀποκρύψαι, καὶ ταῦτα ἀνάγκης οὔσης· τέταρτον, διὰ τοῦ προσωπεῖον ἕτερον ὑπελθεῖν, καὶ εἰπεῖν ὅτι, *Οἶδα ἄνθρωπον*· πέμπτον, διὰ τοῦ μὴ καὶ τὴν ἄλλην ἀρετὴν ἅπασαν εἰς μέσον ἀγαγεῖν, ἀλλ' ἐκεῖνο τὸ μέρος, οὗ μάλιστα ὁ παρὼν ἐδεῖτο καιρός. Οὐκ ἐν τῷ καυχᾶσθαι δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ ὑβρίζειν τοιοῦτος [506] ἦν. Καίτοι καὶ τοῦτο κεκωλυμένον ἦν, τὸ ὑβρίζειν ἀδελφὸν, ἀλλ' οὕτω καὶ τούτῳ δεόντως ἐχρήσατο πάλιν, ὡς τῶν ἐγκωμιαζόντων μᾶλλον εὐδοκιμῆσαι. Διά τοι τοῦτο καὶ Γαλάτας καλῶν ἀνοήτους καὶ ἄπαξ καὶ δὶς, καὶ Κρῆτας γαστέρας ἀργὰς, καὶ θηρία κακὰ, καὶ ἐντεῦθεν ἀνακηρύττεται. Καὶ γὰρ ὅρον ἡμῖν ἔδωκε καὶ κανόνα, ὥστε τῶν κατὰ Θεὸν ἀμελουμένων μὴ κεχρῆσθαι θεραπείᾳ, ἀλλὰ πληκτικώτερον μεταχειρίζειν τὸν λόγον. Καὶ πάντων μέτρα ἐστὶ παρ' αὐτῷ κείμενα· διὰ δὴ τοῦτο πάντα ποιῶν καὶ λέγων εὐδοκίμει, καὶ ὑβρίζων καὶ ἐπαινῶν, καὶ ἀποστρεφόμενος καὶ θεραπεύων, καὶ ἐπαίρων ἑαυτὸν, καὶ μετριάζων, καὶ καυχώμενος, καὶ ταλανίζων. Καὶ τί θαυμάζεις, εἰ ὕβρις καὶ λοιδορία εὐδοκιμεῖ, ὅπου γε καὶ φόνος εὐδοκίμησε καὶ ἀπάτη καὶ δόλος, καὶ ἐπὶ τῆς Παλαιᾶς, καὶ ἐπὶ τῆς Καινῆς; Ταῦτ' οὖν ἅπαντα μετὰ ἀκριβείας ἐξετάσαντες, καὶ Παῦλον θαυμάσωμεν, καὶ τὸν Θεὸν δοξάσωμεν, καὶ ἡμεῖς οὕτως αὐτὸν μεταχειρισόμεθα, ἵνα καὶ αὐτοὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

—

Λόγος ϛ'.

Βούλεσθε τήμερον, ἀγαπητοὶ, παρέντες τὰ μεγάλα Παύλου καὶ θαυμαστὰ, ἃ δοκεῖ παρά τισι λαβήν τινα ἔχειν, ταῦτα εἰς μέσον ἀγάγωμεν, καὶ γὰρ καὶ

misisse contentus est, sed rursus ingressurus in laudes, semetipsum occultat, et dicit: *Scio hominem*, et iterum, *Pro hujusmodi gloriabor, pro me autem nihil.* Postque hæc omnia, *Factus sum insipiens*, inquit, *vos me coegistis* (2.*Cor.* 12. 2. *et* 5. *et* 11). Quis ergo tam stultus, quis ita inveniatur omni sensu ac ratione privatus, qui videns sanctum illum, etiam cum tanta ei necessitas immineret, cunctantem tamen atque metuentem grande aliquid de seipso loqui, et sicut equum usque ad præcipitia horrenda venientem, seque sæpius inde trahentem, et quidem cum tanta hoc esset dispensatione facturus: quis, inquam, sic sit insipiens, qui non etiam majore abundantia cautionis laudes suas fugiat, et nunc forte solum de illis aliquid attingat, quando id opportunissimum tempus exegerit? Vis et aliud tibi tale quoque illius ostendam? Etenim istud est omnino mirabile, quia contentus non erat testimonio conscientiæ, sed etiam nos docebat juxta quam regulam in tali rerum discrimine deberemus incedere, non sibi tantummodo de temporum necessitate satisfactionem parans, verum etiam alios erudiens, quanta cum cautione, tempore efflagitante, istud nec effugerent, nec importune perficerent. Nam per ista, quæ dixit, quodammodo illud effatus est: Grande malum est, dilectissime, de seipso aliquid grande dicere atque mirabile, extremæque omnino dementiæ est, nulla imminente necessitate rerum, et necessitate violenta, propriis laudibus velle decorari. Non enim est hoc secundum Deum loqui; indicium potius est istud insaniæ. Hoc enim nobis omnem prorsus mercedem evacuat, et quidem plurimis laboribus sudoribusque quæsitam. Hæc enim omnia, hisque plura dixisse videtur ad cunctos, dum loquendi de se necessitatem etiam excusatione munivit. His autem profecto majus est, quia necessitate cogente, non universa fudit in medium, sed plura etiam et majora celavit. *Venio*, inquit, *ad visiones et revelationes Dei; parco autem, ne quis de me existimet super id quod videt, vel audit aliquid ex me* (2. Cor. 12. 1. *et* 6). Hoc vero dicendo nos erudit, ut ne exsistente quidem necessitate, omnia, quorum nobis conscii sumus, in medium proferendo vulgemus, sed ea solum, quæ audientibus utilia judicamus.

Samuel se laudat. — Quoniam et Samuel; nihil enim videtur inconsequens illius quoque meminisse sancti, in nostram siquidem utilitatem etiam laudes proferuntur; et ipse, inquam, aliquando gloriatus est, et propria recte facta patefecit: sed qualia illa, quæso? Quæ utique cognoscere audientibus conveniret. Non enim super decore pudicitiæ, neque de humilitate, neque de oblivione loquutus est injuriæ, sed super tali re quadam, quam præcipue discere regem illius temporis opórtebat: id est, de conservanda integritate justitiæ, et manibus abstinendis a muneribus. David etiam glorians de eis utique gloriabatur, quæ emendare auditorem valerent. Neque enim de se aliam commemoravit ille virtutem, sed ursum atque leonem adduxit in medium, atque aliud prorsus nihil (1. *Reg.* 17. 34). Etenim altius de se efferre sermonem gloriosi est et insolenter sese jactantis: dicere autem illa quæ præsentis rei causa tantummodo necessaria sunt futura, amantis est multorumque commoda cogitantis. Hoc itaque fecit et Paulus, qui cum a pseudoapostolis carperetur, quasi non esset probatus apostolus, nec habens a Christo aliquam potestatem, propter obtrectationes falsas in laudes suas ire compulsus est, quæ maxime dignitatem ejus ostenderent. Videsne igitur per quanta docuerit auditorem non inaniter gloriari? Primo quidem dum ostendit se istud adactum necessitate fecisse. Secundo, dum tamen se insipientem vocavit, et plurimis laudes suas satisfactionibus temperavit. Tertio, quia non cuncta confessus est, sed majora suppressit, et hoc certe, cum necessitate quadam in sua præconia cogeretur. Quarto, dum sub alterius persona dixit, *Scio hominem* (2. *Cor.* 12. 2). Quinto, cum non omnes virtutes suas adduxit in medium, sed eam partem, quam præsens tempus maxime flagitabat. Neque vero de se tantummodo gloriando, eumdem virtutum suarum servabat tenorem, verumetiam in alios, quæ viderentur injuriosa, dicendo. Nam injuriam inferre fratri inter prohibita numeratur; sed hac quoque specie ita Paulus opportune usus est et congrue, ut magis etiam quam laudans placeret: propterea et Galatas insensatos vocat (*Gal.* 3. 1); et Cretenses, ventres pigros, et bestias malas (*Tit.* 1. 12): et tamen hinc etiam prædicatur. Fines etenim nobis exemplo suo statuit ac regulas, ut neglectores voluntatis Dei nequaquam cura leniore tractemus, sed sermonem in eos, qui paulo rigidius percutiat, dirigamus. Omnium siquidem mensuræ sunt apud illum locatæ, ac propterea omne quod dixerit, omne quod fecerit, placet: et conviciis coercendo, et laudibus provocando, austerius aliquos accusando, et blandius admonendo; et cum effert seipsum, et rursus cum deponit ac dejicit, et cum de se gloriatur, et cum seipsum miseretur. Et quid mirum si injuria et maledictum placet, quando placuit et cædes, et dolus quidem atque deceptio non in vetere solum, sed in novo etiam Testamento? Hæc omnia igitur diligenti examine ponderantes admiremur Paulum, et glorificemus Deum, ut ipsi etiam bona consequamur æterna, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

DE LAUDIBUS SANCTI PAULI
APOSTOLI.

HOMILIA VI.

Primum eorum quæ in Paulo reprehenduntur: mandata Dei possibilia. — Vultis hodie, fratres dilectissimi, qui audiendi studio huc convenistis, ut magna

gesta Pauli atque præclara, quæ juxta quorumdam suspicionem habere videntur [1] aliquid reprehensionis, in medium proferamus? Etenim inveniemus illum non minus ex his, quam ex cæteris clarum effici atque magnificum. Quidnam illud ergo est, quod reprehensibile judicatur? Visus est, inquiunt, aliquando plagas timere: quod certe visus est, quando eum loris milites tutudèrunt, neque vero solum tunc, sed alias quoque apud illam purpuræ venditricem, quando etiam causas apud illos movebat, qui eum de carcere jam educere festinabant. Nihil enim aliud ista faciendo, nisi sibimet ipsi defensionem parabat, et si quid horum fugeret, ne in ea ipsa rursus incideret, providebat. Quid igitur dicemus? Siquidem nihil eum ita magnum atque mirabilem, ut hæc dicta declarant, quia utique et talem habens animam, id est, non malignitate quadam ac desperatione præcipitem, et corpus cedens plagis; atque verbera contremiscens, non minus tamen quam incorporeæ virtutes, omnia illa quæ videntur terribilia despexit, cum hoc tempus exigeret. Quando ergo illum vides extentum ad plagas, atque metuentem, illorum recordare verborum, per quæ transcendit ad cælum angelisque certavit, dicendo: *Quis ergo nos separabit a caritate Christi? tribulatio, an angustia, an persequutio, an fames, an nuditas, an periculum, an gladius* (*Rom.* 8. 35)? illorumque verborum memento, quibus omnia quæ patitur, nihil esse pronuntiat, dicens: *Quod enim in præsenti est momentaneum ac leve tribulationis nostræ, supra modum in sublimitate æternum gloriæ pondus operatur in nobis, non contemplantibus nobis quæ videntur, sed quæ non videntur* (2. *Cor.* 4. 17. 18). Adde his quotidianas tribulationes, imo singularum mortes dierum, atque ista perpendens admirare Paulum, et de te desperare desiste. Hæc enim quæ videtur infirmitas esse naturæ, ipsa est maximum ejus virtutis indicium, quia talem se utique præstabat, etiam cum multarum rerum necessitate torqueretur. Quoniam enormitas periculorum hanc de illo multis opinionem suggesserat, et suspicari eos profecto fecerat, quod super humanam naturam ille proficiens, tantus exsisteret: idcirco tribulari permittebatur, ut disceres, quia cum secundum naturam unus esset de pluribus; propter voluntatem non solum supra multos homines, verum etiam unus esset ex angelis. Cum tali etiam anima talique corpore mortes mille tolerabat, despiciebat præsentia, contemnebat futura, clara illa atque magnifica verba resonabat: *Quoniam optavi*, inquit, *ego ipse anathema esse a Christo Jesu pro fratribus meis, qui sunt cognati mei secundum carnem* (*Rom.* 9. 3). Possibile est enim Dei jussa perficere, si modo velimus omnem naturæ trepidationem alacriter virtute superare, nihilque impossibile est eorum, quæ a Christo hominibus imperantur. Si enim quantum est in nobis velimus virium exprimere, maximum etiam nobis Deus adjungit auxilium, atque ita, etsi omnia in nos adversa concurrant, tuti tamen in medio periculorum intactique servabimur. Neque tamen metuere plagas reprehensione dignum est, sed propter plagarum metum aliquid indignum pietate committere. Hoc ipso enim, quo plagas timet, qui in certamine non vincitur, admirabilior ostenditur, quam ille qui non timet. Magis enim in isto virtus refulget, cum vicerit etiam illa quæ timuit. Nam plagas formidare, naturæ est: nihil autem indecens plagarum timore committere, voluntatis naturam infirmam juvantis est, ejusque imbecillitatem sua virtute superantis. Sic nec mœrere culpabile est, sed per mœrorem aliquid aut facere, aut dicere eorum quæ Deo displicent. Quod si ego Paulum fuisse hominem denegarem, merito mihi has fragilitates naturæ ejus opponeres, quibus nostrum posses refutare sermonem. Si vero ipse dico atque confirmo quia homo quidem fuit, et nulla nobis etiam naturæ conditione præstantior fuit, tamen melior voluntate: frustra mihi ista proponis, imo non frustra, sed omnino pro Paulo, et hinc potissimum qualis ille fuerit ostendis, qui in tali natura vivens, potuit quodammodo esse supra naturam. Non autem illum tantummodo extollis; sed etiam consuis bra torpentium seseque in desidiam reclinantium; non eos sustinens ad eminentiam confugere naturæ, sed impellens ad studium voluntatis.

Mortem an timuerit Paulus; libera voluntate boni efficimur. - Sed et mortem, inquis, aliquando pertimuit. Sed hoc quoque profecto naturæ est; et tamen rursus hic ipse qui mortem timuit, dicebat: *Nam quamdiu sumus in hoc tabernaculo, ingemiscimus gravati* (2. *Cor.* 5. 4): et rursus, *Nos ipsi intra nos gemimus* (*Rom.* 8. 25). Videsne quam æquiparantem e diverso naturali infirmitati virtutem opposuerit voluntatis? Quia et martyres plurimi cum ducerentur ad mortem, sæpius palluerunt, et timore ac trepidatione completi sunt: sed hoc ipso præcipue mirabiles comprobantur, quoniam illi ipsi qui mori timuerunt, mortem tamen propter Christum minime refugerunt. Sic et Paulus, qui cum mortem timeret, ne ipsam quidem recusabat gehennam, qui propter desiderium Christi, etiam cum formidaret interitum, tamen cupiebat resolvi. Non autem hic solus talis fuit, sed ille quoque qui fuit apostolorum caput, qui sæpe dixerat paratum se esse pro Christo animam tradere (*Matth.* 26), et tamen mortem vehementer horruerat. Audi igitur quid ei super hoc Christus loquitur: *Cum autem senueris, alius te cinget, et ducet quo non vis* (*Joan.* 21. 18): naturæ infirmitatem exprimens, non voluntatis. Siquidem natura nobis invitis quoque ostendit sua, et infirmitates ejus superare non possumus, nec si valde studioseque cupiamus: nec culpamus istud, quia utique inde nihil lædimur, imo inde magis sumus admirabiles. Non enim crimen est mortem timere: imo e contrario, quanta laus est cum mortem timeas, nil turpe atque servile perpeti per timorem? Non enim naturam habere infirmitatibus subditam, sed servire infirmitatibus, criminosum est: ut merito magnus ille habeatur atque mirabilis, qui imbecillitatem naturæ voluntatis virtute superaverit: et hoc ipso ostendit quanta sit liberæ voluntatis potestas, obstruitque

[1] Gr., *Vultis hodie ut, prætermittentes præclara et mirabilia Pauli, quæ juxta quosdam habere videntur*, etc.

αὐτὰ ἐκείνων ὀφόμεθα οὐχ ἔλαττον αὐτὸν ποιοῦντα λαμπρὸν καὶ μέγαν. Τί οὖν ἐστιν ὃ λαβὴν ἔχει; Ὤφθη ποτὲ, φησὶ, πληγας δεδοικώς· καὶ γὰρ ὤφθη, ὅτε αὐτὸν προέτειναν τοῖς ἱμᾶσι· καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ ἄλλοτε πάλιν ἐπὶ τῆς πορφυροπώλιδος, ὅτε καὶ πράγματα παρεῖχε τοῖς βουλομένοις αὐτὸν ἐξαγαγεῖν. Οὐδὲν γὰρ ἄλλο κατασκευάζων τοῦτο ἐποίει, ἢ ἀσφάλειαν ἑαυτῷ, καὶ τὸ μὴ ταχέως τοῖς αὐτοῖς περιπεσεῖν. Τί οὖν ἂν εἴποιμεν; Ὅτι οὐδὲν αὐτὸν οὕτω μέγαν δείκνυσι καὶ θαυμαστὸν, ὡς ταῦτα τὰ εἰρημένα· οἷον ὅτι ψυχὴν ἔχων τοιαύτην, οὐχὶ τολμηρὰν, οὐδὲ ἀπονενοημένην, καὶ σῶμα οὕτως εἶκον πληγαῖς καὶ τρέμον μάστιγας, τῶν ἀσωμάτων δυνάμεων οὐκ ἔλαττον πάντων ὑπερεῖδε τῶν δοκούντων εἶναι φοβερῶν, ἡνίκα ὁ καιρὸς τοῦτο ἀπῄτει. Ὅταν οὖν ἴδῃς αὐτὸν ἀποτεινόμενον καὶ δεδοικότα, ἀναμνήσθητι τῶν ῥημάτων ἐκείνων, δι' ὧν ὑπερέβη τοὺς οὐρανοὺς, καὶ πρὸς τοὺς ἀγγέλους ἠμιλλᾶτο, λέγων· *Τίς ἡμᾶς χωρίσει* [507] *ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ κίνδυνος, ἢ μάχαιρα;* ἀναμνήσθητι τῶν ῥημάτων ἐκείνων, δι' ὧν οὐδὲν ταῦτα εἶναί φησι, λέγων· *Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα.* Πρόσθες τούτοις τὰς καθημερινὰς θλίψεις, τοὺς θανάτους τοὺς καθ' ἑκάστην ἡμέραν· καὶ ταῦτα ἐννοήσας, καὶ Παῦλον θαύμαζε, καὶ σαυτοῦ μηκέτι ἀπογνῷς. Αὐτὴ γὰρ ἡ δοκοῦσα τῆς φύσεως εἶναι ἀσθένεια, αὐτὴ μέγιστον δεῖγμα τῆς ἀρετῆς ἐστι τῆς ἐκείνου, ὅτι οὐκ ἀπηλλαγμένος τῆς τῶν πολλῶν ἀνάγκης τοιοῦτος ἦν. Ἐπειδὴ γὰρ ἡ τῶν κινδύνων ὑπερβολὴ πολλοῖς ἂν ταύτην παρέσχε τὴν ὑπόληψιν, καὶ ὑποπτεύειν ἴσως ἐποίησεν, ὅτι ἀνώτερος τῶν ἀνθρωπίνων γενόμενος, τοιοῦτος ἦν· διὰ ταῦτα συνεχωρεῖτο πάσχειν, ἵνα μάθῃς ὅτι εἷς τῶν πολλῶν ὢν κατὰ τὴν φύσιν, κατὰ τὴν προθυμίαν, οὐ μόνον ὑπὲρ τοὺς πολλοὺς ἦν, ἀλλὰ καὶ τῶν ἀγγέλων εἷς ἦν. Μετὰ γὰρ τοιαύτης ψυχῆς καὶ τοιούτου σώματος τοὺς μυρίους ὑπέμενε θανάτους, καὶ κατεφρόνει τῶν παρόντων, τῶν μελλόντων. Διὸ καὶ τὰ μεγάλα ἐκεῖνα καὶ πολλοῖς ἄπιστα ἐφθέγξατο ῥήματα· Ὅτι *ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα.* Δυνατὸν γὰρ, εἰ βουληθείημεν μόνον, πᾶσαν φύσεως ἀγωνίαν τῇ τῆς προθυμίας νικῆσαι δυνάμει· καὶ οὐδέν ἐστιν, ὅπερ ἀδύνατον ἀνθρώποις, τῶν ὑπὸ Χριστοῦ κελευσθέντων· ἂν γὰρ ὅσην ἔχομεν προθυμίαν, ταύτην ἐπιδῶμεν, καὶ ὁ Θεὸς πολλὴν ἡμῖν συνεισάγει ῥοπὴν, καὶ οὕτω πᾶσι τοῖς ἐπιοῦσι δεινοῖς ἀνάλωτοι γενησόμεθα. Οὐδὲ γὰρ τὸ φοβεῖσθαι πληγὰς καταγνώσεως ἄξιον, ἀλλὰ τὸ διὰ τὸν φόβον τῶν πληγῶν ἀνάξιόν τι τῆς εὐσεβείας ὑπομεῖναι, ὥστε τὸ δεδοικέναι πληγὰς τὸν ἐν τοῖς ἀγῶσιν ἅληπτον θαυμαστότερον δείκνυσι τοῦ μὴ φοβουμένου. Μᾶλλον γὰρ ἡ προαίρεσις οὕτω διαλάμπει· τὸ μὲν γὰρ φοβηθῆναι πληγὰς, τῆς φύσεως· τὸ δὲ μηδὲν διὰ τὸν φόβον τῶν πληγῶν ἀπρεπὲς ὑπομεῖναι, τῆς προαιρέσεως διορθουμένης τὸ τῆς φύσεως ἐλάττωμα, καὶ κρατούσης τῆς ἀσθενείας ἐκείνης· ἐπεὶ οὐδὲ τὸ λυπεῖσθαι ἔγκλημα, ἀλλὰ τὸ διὰ τὴν λύπην εἰπεῖν τι ἢ πρᾶξαι τῶν τῷ Θεῷ μὴ δοκούντων. Εἰ μὲν γὰρ ἔλεγον, ὅτι οὐκ ἦν ἄνθρωπος Παῦλος, καλῶς μοι τὰ τῆς φύσεως ἐλαττώματα εἰς μέσον ἦγες, ὡς μέλλων ταύτῃ τὸν λόγον ἐλέγχειν· εἰ δὲ λέγω καὶ διαβεβαιοῦμαι ὅτι ἄνθρωπος μὲν ἦν, καὶ ἡμῶν οὐδὲν ἀμείνων κατὰ τὴν φύσιν, βελτίων δὲ γέγονε κατὰ τὴν προαίρεσιν, εἰκῇ μοι ταῦτα προφέρεις, μᾶλλον δὲ οὐκ εἰκῇ, ἀλλὰ ὑπὲρ Παύλου. Καὶ γὰρ δεικνύεις ἐντεῦθεν ἡλίκος ἐκεῖνος ἦν, ὡς ἐν τοιαύτῃ φύσει τὰ ὑπὲρ τὴν φύσιν ἰσχῦσαι. Οὐκ ἐκεῖνον δὲ μόνον ἐπαίρεις, ἀλλὰ καὶ ἀποῤῥάπτεις τῶν ἀναπεπτωκότων τὰ στόματα, οὐκ ἀφιεὶς αὐτοὺς εἰς [508] τὴν τῆς φύσεως ὑπεροχὴν καταφυγεῖν, ἀλλ' ὠθῶν αὐτοὺς εἰς τὴν ἀπὸ προαιρέσεως σπουδήν.

Ἀλλὰ καὶ θάνατον, φησὶν, ἔδεισέ ποτε; Καὶ γὰρ καὶ τοῦτο τῆς φύσεως. Ἀλλ' ὅμως οὗτος αὐτὸς πάλιν ὁ θάνατον δεδοικὼς ἔλεγε· *Καὶ γὰρ ἡμεῖς, οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν βαρούμενοι.* Καὶ πάλιν· *Ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν.* Εἶδες πῶς ἀντίῤῥοπον τῆς φυσικῆς ἀσθενείας τὴν ἀπὸ προαιρέσεως εἰσήγαγε δύναμιν; Ἐπεὶ καὶ μάρτυρες πολλοὶ πολλάκις ἀπάγεσθαι μέλλοντες ἐπὶ θανάτῳ, ὠχρίασαν, καὶ φόβου καὶ ἀγωνίας ἐνεπλήσθησαν· ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα θαυμαστοὶ, ὅτι καὶ οὗτοι δεδοικότες θάνατον, οὐκ ἔφυγον θάνατον διὰ τὸν Ἰησοῦν. Οὕτω καὶ Παῦλος φοβούμενος θάνατον, οὐδὲ γέενναν παραιτεῖται διὰ τὸν ποθούμενον Ἰησοῦν, καὶ τρέμων τελευτὴν, τὸ ἀναλῦσαι ἐπιζητεῖ. Οὐχ οὗτος δὲ μόνον τοιοῦτος ἦν, ἀλλὰ καὶ ὁ κορυφαῖος αὐτῶν πολλάκις εἰπὼν, ὅτι ἕτοιμός ἐστι τὴν ψυχὴν ἐπιδοῦναι, σφόδρα ἐδεδοίκει θάνατον. Ἄκουσον γοῦν τί διαλεγόμενος αὐτῷ περὶ τούτου φησὶν ὁ Χριστός· *Ὅταν δὲ γηράσῃς ζώσουσί σε καὶ ἄξουσιν ὅπου οὐ θέλεις,* τὸ τῆς φύσεως ἐλάττωμα διηγούμενος, οὐ τὸ τῆς προαιρέσεως. Ἡ γὰρ φύσις τὰ αὐτῆς καὶ ἀκόντων ἡμῶν ἐπιδείκνυται, καὶ κρατῆσαι τῶν ἐλαττωμάτων ἐκείνων οὐκ ἔνι, οὐδὲ τὸν σφόδρα βουλόμενον καὶ σπουδάζοντα· ἐπειδὴ οὐδὲν ἐντεῦθεν παραβλαπτόμεθα, ἀλλὰ καὶ θαυμαζόμεθα μᾶλλον. Ποῖον γὰρ ἔγκλημα φοβεῖσθαι θάνατον; ποῖον δὲ οὐκ ἐγκώμιον, φοβούμενον θάνατον μηδὲν διὰ τὸν φόβον ἀνελεύθερον ὑπομεῖναι; Οὐ γὰρ τὸ φύσιν ἔχειν ἐλάττωμα ἔχουσαν, ἔγκλημα, ἀλλὰ τὸ τοῖς ἐλαττώμασι δουλεύειν· ὡς ὅ γε τὴν παρ' αὐτῆς ἐπήρειαν τῇ τῆς προαιρέσεως ἀνδρείᾳ διορθούμενος, μέγας καὶ θαυμαστός. Καὶ ταύτῃ δείκνυσιν ὅσον ἐστὶ προαιρέσεως ἰσχὺς,

καὶ ἐπιστομίζει τοὺς λέγοντας, Διὰ τί μὴ φύσει γεγόναμεν καλοί; τί γὰρ διαφέρει τοῦτο φύσει, ἢ προαιρέσει εἶναι; πόσῳ δὲ τοῦτο βέλτιον ἐκείνου; Ὅσῳ καὶ στεφάνους ἔχει, καὶ λαμπρὰν τὴν ἀναχήρυξιν. Ἀλλὰ βέβαιον τὸ τῆς φύσεως; Ἀλλ' εἰ βούλει προαίρεσιν γενναίαν ἔχειν, τοῦτο στερρότερον ἐκείνου γίνεται. Ἢ οὐχ ὁρᾷς τῶν μαρτύρων ξίφεσι τὰ σώματα τεμνόμενα, καὶ τὴν μὲν φύσιν εἶχουσαν τῷ σιδήρῳ, τὴν δὲ προαίρεσιν οὐ παραχωροῦσαν αὐτῷ, οὐδὲ ἐλεγχομένην; οὐκ εἶδες ἐπὶ τοῦ Ἀβραὰμ, εἰπέ μοι, προαίρεσιν φύσεως κρατήσασαν, ἡνίκα τὸν παῖδα σφαγιάσαι ἐκελεύσθη, καὶ ταύτην ἐκείνης δυνατωτέραν φανεῖσαν; οὐκ εἶδες ἐπὶ τῶν τριῶν παίδων τὸ αὐτὸ τοῦτο συμβάν; οὐκ ἀκούεις καὶ τῆς ἔξωθεν παροιμίας λεγούσης, ὅτι δευτέρα φύσις ἡ προαίρεσις γίνεται ἐκ συνηθείας; Ἐγὼ δὲ φαίην ἄν, ὅτι καὶ πρωτέρα, καθὼς τὰ προειρημένα ἀπέδειξεν. Ὁρᾷς ὅτι δυνατὸν καὶ τὴν ἀπὸ τῆς φύσεως ἔχειν στερρότητα, ἐὰν προαίρεσις ᾖ γενναία καὶ διεγηγερμένη, καὶ πλείονα καρποῦσθαι τὸν ἔπαινον τόν γε ἑλόμενον καὶ [509] βουληθέντα, ἢ ἀναγκασθέντα καλὸν εἶναι; Τοῦτό ἐστι μάλιστα καλὸν, ὡς ὅταν λέγῃ· *Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ.* Τότε μάλιστα ἐγὼ αὐτὸν ἐπαινῶ, ὁρῶν οὐκ ἀπονητὶ τὴν ἀρετὴν κατορθοῦντα, ὥστε μὴ εἶναι τοῖς μετὰ ταῦτα ῥᾳθυμίας ὑπόθεσιν τὴν εὐκολίαν τὴν ἐκείνου. Καὶ ὅταν λέγῃ πάλιν, *Τῷ κόσμῳ ἐσταύρωμαι*, τὴν προαίρεσιν αὐτοῦ στεφανῶ. Ἕνι γὰρ, ἕνι φύσεως ἰσχὺν προαιρέσεως ἀκριβείᾳ μιμήσασθαι· κἂν εἰς μέσον ἀγάγωμεν τοῦτον αὐτὸν τὸν ἀνδριάντα τῆς ἀρετῆς, εὑρήσομεν ὅτι τὰ ἐκ προαιρέσεως αὐτῷ προσόντα καλὰ, εἰς φύσεως στερρότητα ἐφιλονείκησεν ἐξενεγκεῖν. Ἦλγει μὲν γὰρ τυπτόμενος· τῶν δὲ ἀσωμάτων δυνάμεων τῶν οὐκ ἀλγουσῶν οὐχ ἧττον αὐτῶν κατεφρόνει, ὡς ἔστιν ἀκοῦσαι τῶν ῥημάτων αὐτοῦ, ἃ μηδὲ τῆς φύσεως αὐτὸν ποιεῖ νομίζεσθαι τῆς ἡμετέρας. Ὅταν γὰρ λέγῃ· *Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ*, καὶ πάλιν, *Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς*, τί ἄλλο ἐστὶν εἰπεῖν, ἢ ὅτι καὶ ἐξ αὐτοῦ μετέστη τοῦ σώματος; τί δὲ, ὅταν λέγῃ, *Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σατᾶν*; τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ δεῖξαι μέχρι τοῦ σώματος ἱστάμενον τὸν πόνον· οὐκ ἐπειδὴ ἔνδον οὐ διέβαινεν, ἀλλ' ἐπειδὴ τῇ περιουσίᾳ τῆς προαιρέσεως αὐτὸν διεκρούετο καὶ ἐξώθει. Τί δὲ, ὅταν ἕτερα πολλὰ τούτων θαυμαστότερα λέγῃ, καὶ χαίρῃ μαστιζόμενος, καὶ καυχᾶται ἐπὶ ταῖς ἀλύσεσι; Τί ἂν ἄλλο τις εἴποι, ἢ τοῦτο ὅπερ ἔφην, ὅτι τὸ λέγειν, *Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, καὶ φοβοῦμαι μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι*, τὸ ἀσθενὲς τῆς φυσεως ἀποδείκνυσι, διὰ δὲ τούτων, ὧν εἶπον, τὴν εὐγένειαν τῆς προαιρέσεως;

Διὰ γὰρ τοῦτο ἀμφότερα κεῖται, ἵνα μήτε διὰ τὰ μεγάλα ἐκεῖνα ἑτέρας εἶναι αὐτὸν νομίσῃς φύσεως, καὶ ἀπογνῷς, μήτε διὰ τὰ μικρὰ ταῦτα καταγνῷς τῆς ἁγίας ψυχῆς, ἀλλὰ κἀντεῦθεν πάλιν τὴν ἀπόγνωσιν ἐκβαλὼν, εἰς χρηστὰς σαυτὸν ἀγάγῃς ἐλπίδας. Διὰ τοῦτο τίθησι πάλιν καὶ τὸ τῆς χάριτος τοῦ Θεοῦ μεθ' ὑπερβολῆς, μᾶλλον δὲ οὐ μεθ' ὑπερβολῆς ἀλλὰ μετὰ εὐγνωμοσύνης. Ἵνα μηδὲν αὐτοῦ νομίσῃς εἶναι. Λέγει δὲ καὶ τὰ τῆς αὐτοῦ προθυμίας, ἵνα μὴ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, διάγῃς καθεύδων καὶ ῥέγχων. Καὶ πάντων μέτρα καὶ κανόνας εὑρήσεις παρ' αὐτῷ μετὰ ἀκριβείας κειμένους. Ἀλλὰ καὶ ἐπηράσατο τῷ χαλκεῖ, φησὶν, Ἀλεξάνδρῳ ποτέ. Καὶ τί τοῦτο; Οὐ γὰρ θυμοῦ τὸ ῥῆμα ἦν, ἀλλ' ὀδύνης τῆς ὑπὲρ τῆς ἀληθείας· οὐ γὰρ δι' ἑαυτὸν ἤλγει, ἀλλ' ὅτι ἀνθίστατο τῷ κηρύγματι· *Λίαν γὰρ ἀνθίσταται*, φησὶν, οὐχὶ ἐμοὶ, ἀλλὰ *τοῖς ἡμετέροις λόγοις*· ὥστε ἡ ἀρὰ οὐ μόνον τὸν τούτου πόθον ἐδείκνυε τὸν ὑπὲρ τῆς ἀληθείας, ἀλλὰ καὶ τοὺς μαθητὰς παρεμυθεῖτο. Ἐπειδὴ γὰρ πάντας εἰκὸς ἦν σκανδαλίζεσθαι, τῶν ἐπηρεαζόντων [510] τῷ λόγῳ οὐδὲν πασχόντων, διὰ τοῦτο ταῦτά φησιν. Ἀλλὰ καὶ κατηύξατό ποτε ἑτέρων τινῶν, λέγων· *Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ἡμᾶς θλῖψιν*· οὐκ ἐκείνους ἐπιθυμῶν δίκην δοῦναι, μὴ γένοιτο, ἀλλὰ τοὺς ἐπηρεαζομένους σπεύδων παραμυθήσασθαι· διὸ καὶ ἐπάγει, *Αὐτοῖς τοῖς θλιβομένοις ἄνεσιν*. Ἐπεὶ ὅταν αὐτός τι πάσχῃ ἀηδὲς, ἄκουσον πῶς φιλοσοφεῖ, καὶ τοῖς ἐναντίοις ἀμείβεται, λέγων· *Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν*. Εἰ δὲ τὰ ὑπὲρ τῶν ἄλλων λεγόμενα ἢ γινόμενα ὀργῆς εἶναι φαίης, ὥρα σοι καὶ τὸν Ἐλύμαν ἐξ ὀργῆς αὐτὸν πεπηρωκέναι, καὶ ὑβρικέναι, καὶ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν τὸν Πέτρον ἐξ ὀργῆς ἀπεκτονέναι. Ἀλλ' οὐδεὶς οὕτως ἀνόητος καὶ ἠλίθιος, ὡς ταῦτα εἰπεῖν. Καὶ ἕτερα δὲ πολλὰ εὑρίσκομεν αὐτὸν καὶ λέγοντα καὶ ποιοῦντα, δοκοῦντα εἶναι φορτικὰ, καὶ ταῦτα μάλιστά ἐστιν, ἃ τὴν ἐπιείκειαν αὐτοῦ δείκνυσι. Καὶ γὰρ ὅταν τῷ Σατανᾷ παραδῷ τὸν ἐν Κορίνθῳ πεπορνευκότα, ἐξ ἀγάπης αὐτὸ πολλῆς ποιεῖ καὶ φιλοστόργου διανοίας· καὶ τοῦτο δείκνυσι καὶ ἐκ τῆς δευτέρας ἐπιστολῆς. Καὶ ὅταν Ἰουδαίοις ἀπειλῇ καὶ λέγῃ, *Ἔφθασεν αὐτοὺς ἡ ὀργὴ εἰς τέλος*, οὐ θυμοῦ πληρούμενος αὐτὸ ποιεῖ (ἀκούεις γοῦν αὐτοῦ συνεχῶς ὑπὲρ αὐτῶν εὐχομένου), ἀλλὰ βουλόμενος φοβῆσαι καὶ σωφρονεστέρους ἐργάσασθαι.

Ἀλλὰ τὸν ἱερέα, φησὶν, ὕβρισε, λέγων· *Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε*. Καὶ οἴδαμεν ὅτι τινὲς πρὸς τοῦτο ἀπολογούμενοι, προφητείαν εἶναί φασι τὸ εἰρημένον. Καὶ οὐκ ἐγκαλῶ τοῖς λέγουσι· καὶ γὰρ συνέβη τοῦτο, καὶ οὕτως ἐτελεύτησεν. Εἰ δέ τις δριμύτερος ἐχθρὸς ὢν ἀντιλέγοι, καὶ περιεργότερόν τι ποιῶν ἀνθυποφέροι λέγων· Καὶ εἰ προφητεία ἦν, τίνος ἕνεκεν ἀπελογεῖτο λέγων, *Οὐκ ᾔδειν*

ora dicentium, Cur non natura boni facti sumus, nec cum ipsa virtute progeniti? Quid enim refert natura esse, quod potest effici voluntate? Imo tanto est melius sponte esse bonum, quam sorte, quanto utique præstat coronis et amplissima laude decorari, quam penitus nil mereri. At est firma natura. Imo si velis voluntatem fortem habere atque robustam, hoc illo plane fit firmius. An vero non vides concisa martyrum corpora ferroque cedentia, nec tamen cedere aut vinci in aliquo voluntatem? An forte non spectasti etiam Abraham voluntate naturæ impedimenta superantem (*Gen.* 22), quando utique unigenitum filium jussus est immolare, cum certe tunc natura quasi fortiori cesserit voluntati? nonne vidisti idipsum in illis tribus pueris accidisse (*Dan.* 3)? nonne etiam audisti illud antiquum et sæculare proverbium, quod fiat ex consuetudine secunda natura? Ego vero dixerim, quod etiam prima, sicut superius dicta docuerunt. Vides igitur et haberi posse illam, quæ in natura est, firmitatem, si sit voluntas fortis ac vigilans : et quod majore laude sit dignus qui esse vult bonus, quam ille qui cogitur : hoc est enim esse præcipue bonum. Itaque cum dicit : *Castigo corpus meum, et in servitutem redigo : timeo enim ne cum aliis prædicavero, ipse reprobus efficiar* (1. *Cor.* 9. 27) : tunc illum maxime meritis honoro præconiis, videns non eum sine labore implesse virtutem : ne ii qui post eum essent futuri, argumentum ad desidiam ducerent illius in bono facilitatem : et cum rursus dicit, *Mundo crucifixus sum* (*Gal.* 6. 14), voluntatem ejus corono. Potest enim, potest, inquam, naturæ fortitudinem virtus voluntatis imitari. Nam si vel hunc ipsum adducamus in medium, qui est quædam, ut ita dixerim, statua virtutis : inveniemus quoniam bona quæ illi inerant voluntate, in naturæ ea firmitatem certavit inducere. Dolebat quidem ille verberatus, sed non minus incorporeis potestatibus ipsos contemnebat dolores : sicut ex ipsius verbis animadverti potest, quæ nec de nostra putatur proferre natura. Quando enim dicit : *Mihi mundus crucifixus est, et ego mundo* (*Ibid.*) : et rursus, *Vivo autem jam non ego, vivit autem in me Christus* (*Gal.* 2. 20), quid aliud videtur dicere, quam quod etiam ex corpore ipso animi virtute migraverit? Quid vero datur carni, cum procul dubio dicit : *Datus est mihi stimulus carnis meæ angelus Satanæ* (2. *Cor.* 12. 7)? Hoc autem nihil est prorsus aliud quam ostendere contempsisse dolorem se corpore sentientem, non quia non ingrederetur animum, sed quia magnitudine voluntatis excluderet eum atque depelleret. Cum vero alia plurima his mirabiliora dicat, et gaudeat verberatus, et glorietur catenatus, quid aliud quispiam dixerit, quam istud, quod ipse memoravi? Quoniam dicendo quidem, *Castigo corpus meum, et in servitutem redigo : timeo enim, ne cum aliis prædicaverim, ipse reprobus efficiar* (1. *Cor.* 9. 27), ostendit naturæ infirmitatem : per ista vero, quæ dixi, voluntatis nobilitatem.

Gratiam Dei prædicat Paulus. Maledixit aliquando.— Idcirco enim utrumque positum est, ut neque propter illa magna alterius eum opineris esse naturæ, et ipse de virtute desperes : neque per ista parvula sanctam illam reprehendas animam ; sed hinc quoque desperationem rursus excludens, ad meliorem spem teipsum reducas. Propterea rursus adjungit etiam id quod Dei esse gratiæ proprium confitetur, et quidem exaggerando atque cumulando. Sed grato erga Deum animo facit piaque sententia, ne quid scilicet suum esse credatur. Dicit autem etiam quod ad ipsius pertinet voluntatem, ne in Deum cuncta projiciens dormire malis ac stertere. Omnium namque mensuras ac regulas apud eum invenies. Sed maledixit aliquando, inquis, Alexandro ærario (2. *Tim.* 4. 14). Et quid illud spectat ad vitium? Non enim fuit hic sermo iracundiæ, sed potius doloris, qui certe ortus est de veritatis injuria. Non enim propter seipsum dolebat, sed quia prædicationi ille restiterat : *Valde enim*, inquit, *restitit*, non mihi, ait, sed *verbis nostris* (*Ib. v.* 15) : ut et suum erga veritatem exprimeret affectum, et non solum illum cui scribebat, sed certe his quoque discipulos solaretur. Quoniam enim satis consequens erat scandalizari omnes, nihil patientibus adversariis veritatis, idcirco et ei qui repugnaverat Deo comminatus est ultionem[1]. Sed oravit adversus aliquos, dicens : *Si tamen justum est apud Deum retributionem reddere his, qui nos tribulant* (2. *Thess.* 1. 6) : non illos pœnas luere concupiscens, sed eos qui affligebantur consolari studens : propter quod et infert, *Et vobis qui tribulamini, requiem nobiscum* (*Ibid. v.* 7). Cæterum cum ipse aliquid triste perpetitur, audi quam alta patientia philosophetur, et propter mala bonam vicem reddat inimicis. *Maledicimur*, inquit, *et benedicimus : persequutionem patimur, et sustinemus : blasphemamur, et obsecramus* (1. *Cor.* 4. 12). Si autem quæ pro aliis facta vel dicta sunt, iracundiæ dicas fuisse, potes dicere et Elymam magum per iracundiam excæcatum injurioseque correptum (*Act.* 13); Ananiam quoque et Sapphiram per iracundiam a Petro interfectos exclamabis (*Act.* 5). Sed quis est ita stultus et vecors, ut hoc audeat suspicari? Alia quoque plurima invenimus eum dixisse atque fecisse, quæ ad speciem videntur onerosa. Verum hæc ipsa sunt, quæ præcipue modestiam ejus ostendunt. Etenim cum Satanæ tradit eum, qui Corinthi fuerat fornicatus (1. *Cor.* 5. 5), cum multa hoc efficit caritate plenoque amoris animo ; idque ex secunda epistola evidenter ostendit : et e regione cum Judæis minatur, ac dicit, *Pervenit in eos ira Dei* (1. *Thess.* 2. 16) : non utique furore plenus id loquitur, quem audimus pro ipsis frequenter orantem, sed deterrere eos studens, per quæ eos redderet meliores. Sed sacerdoti, inquis, irrogavit injuriam dicens : *Percutiet te Deus, paries dealbate* (*Act.* 23. 3). Novimus quidem quod de hoc loco aliqui satisfacientes, loco prophetiæ velint esse quod dictum est : nec culpo dicentes : etenim istud evenit, sicque defunctus est. Si quis tamen acrior insurgat inimicus, et curiosius reparans quæ-

[1] In Græco sic legitur : *Idcirco talia dicit.*

stionem, contradicat, ac referat : Nonne noverat, quia summus erat sacerdos [1] ? hoc utique dicemus, quoniam erudiens alios erga eos qui in potestate sunt modestius conversari, atque monens, ipse quoque huic voluit obtemperare, sicut et Christus fecit, qui certe cum Scribis mille fanda atque nefanda dixisset, ait tamen : *Super cathedram Mosi sederunt Scribæ et Pharisæi : omnia ergo quæ dicunt vobis, facite ; secundum autem opera eorum nolite facere* (*Matth.* 23. 2. 3).

Qui prædicaturus est verbum Dei quibus se periculis exponat. Ira quare nobis insita. — Ita igitur et hic Paulus, et conservavit pontificis dignitatem et quod futurum erat, ante prædixit. Quod si Joannem a consortio separavit (*Act.* 15. 38), et hoc utique rectissime pro communi officio prædicationis effecit. Eum siquidem qui istud suscipit officium, non oportet mollem esse quemdam atque resolutum, sed fortem et per cuncta robustum. Neque enim saltem attingere quisquam debet præclari hujus muneris functionem, nisi paratus sit millies animam suam tradere in mortem, atque discrimina. Dicit enim ipse Dominus Jesus : *Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me* (*Matth.* 16. 24). Qui ergo non tali animo est, multos etiam alios suo perdit exemplo, magisque utile est si quiescat, sibique tantum vacet, quam si procedat in medium et onus suis viribus majus assumat : sic enim non propriam solum, sed etiam multorum sibi creditorum prodit salutem. Et revera quomodo non absurdum est, ut cum aliquis nesciat artem gubernandi pugnandique cum fluctibus, nec si mille rebus adigatur, eligat ad clavum sedere : et ille qui ad prædicandi pergit officium temere ad istud et utcumque contingit, accedat, atque innumerabilium rerum curam absque ulla consideratione suscipiat? Non itaque navium gubernatorem, non ad bestias dimicantem, non ludo gladiatorio destinatum, non alium quempiam omnino sic ad discrimina et mortes paratam atque expositam oportet habere animam, ut eum qui suscipit officium prædicandi. Nam et pericula profecto majora, et adversarii sæviores, et non unum quoddam mortis genus incumbit, nec usquam prorsus simili conditione certatur [2]. Cælum namque hic in præmio, in supplicio autem gehenna proponitur, et æterna animæ salus, atque perditio. Non solum autem eum qui prædicationi accingitur, sic oportet parari, sed quemcumque, vel simpliciter Christianum : nam crucem tollere et sequi Christum omnibus imperatur. Si autem cunctis, multo magis doctoribus populi atque pastoribus, quorum ex numero etiam Joannes tunc erat, qui dicebatur et Marcus : qui quoniam se in ipsa aciei fronte constituens, nimis inviriliter egerat, eum merito Paulus abjecit (*Act.* 13. 5 ; 15. 37. 38), ne illius quasi contagione vires corrumperentur aliorum. Si vero Lucas refert quoniam aliqua inter ipsos facta est contentio, noli hoc delictum putare. Non enim commoveri malum est, sed irrationabiliter, nulloque justo flagitante negotio commoveri. *Iracundia*, inquit, *injusta non justificabitur* (*Sirac.* 1. 28) : non ergo culpatur simplex iracundia, sed injusta : et rursus, *Qui iratus fuerit fratri suo sine causa* (*Matth.* 5. 22) : non ergo simpliciter iratus. Et Propheta dicit : *Irascimini, et nolite peccare* (*Psal.* 4. 5 ; *Ephes.* 4. 26). Quod si omnino hujusmodi uti non oportet affectu, etiam cum tempus exposcit, frustra nobis videtur ingenitus ; sed profecto non frustra, quem certe providus nobis creator inseruit, ut dormientes animas, atque resolutas ab inertia ac desidia suscitaret. Quasi enim gladio aciem, ita menti nostræ iræ acumen imposuit, ut eo, cum oportet, utamur. Propterea igitur et Paulus hoc sæpe est usus affectu, et modeste loquentibus erat melior iratus, cum tempore omnia faciens opportuno pro lucro et commodo prædicandi. Neque enim simpliciter lenitas est bona, sed cum tempus efflagitat : quando vero id non adest, etiam ista vitiosa est, fitque ira contumacia. Hæc vero omnia non pro Paulo satisfaciens sum loquutus : non enim nostri ille indiget sermonis ; laus enim ejus non ex hominibus, sed ex Deo est (*Rom.* 2. 29) ; sed quo auditores erudiamus, ut omnibus ad opportunitatem utantur affectibus, sicut jam ante memoravi. Sic namque poterimus undique spiritualium lucrorum incrementa colligere, cumque maximis divitiis ad portum tutissimum pervenire, et consequi indeficientes coronas, quas etiam nos omnes contingat mereri, gratia et misericordia Domini nostri Jesu Christi, cui est gloria et imperium, in sæcula sæculorum. Amen.

[1] In Græco legitur, *si prophetizaret, cur excusationem profert dicens : Nesciebam quod esset summus sacerdos.*

[2] Gr., *et illa mors ob res minime ignobiles obitur.*

DE LAUDIBUS SANCTI PAULI

APOSTOLI.

HOMILIA VII.

Quoties ii, qui portant signa regalia clangente ante se tuba et acie militum præeunte, ingrediuntur urbes, omnis populus consuevit accurrere ad audiendum buccinæ sonum, vel signum quod in sublime fertur videndum, ipsius etiam virtutem ferentis. Quoniam igitur et hodie non urbem, sed orbem Paulus ingreditur, concurramus omnes. Etenim iste non signum terreni alicujus regis, sed in cælo regnantis Christi crucem portat ; præcedunt non hominum, sed angelorum catervæ, non solum in honorem ejus signi quod fertur, sed etiam in ejus, a quo fertur, auxilium.

ὅτι ἀρχιερεύς ἐστι; τοῦτο ἂν εἴποιμεν, ὅτι τοὺς ἄλλους παιδεύων καὶ νουθετῶν πρὸς τοὺς ἄρχοντας ἐπιεικῶς διακεῖσθαι, ὥσπερ καὶ ὁ Χριστὸς ἐποίει. Μυρία γὰρ ῥητὰ καὶ ἄῤῥητα περὶ τῶν Γραμματέων εἰπὼν καὶ Φαρισαίων, φησίν· *Ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε*[a].

Οὕτω δὴ καὶ ἐνταῦθα ὁ Παῦλος, ὁμοῦ καὶ τὸ ἀξίωμα διετήρησε, καὶ τὸ μέλλον ἔσεσθαι προανεφώνησεν. Εἰ δὲ καὶ τὸν Ἰωάννην ἀπέτεμε, καὶ τοῦτο ἀξίως τῆς ὑπὲρ τοῦ κηρύγματος προνοίας. Τὸν γὰρ τὴν διακονίαν ταύτην ἐγχειρισμένον, οὐχὶ χαῦνόν τινα εἶναι χρὴ, οὐδὲ ἀναπεπτωκότα, ἀλλὰ ἀνδρεῖον καὶ εὔτονον, μηδὲ ἅπτεσθαι τῆς καλῆς πραγματείας ταύτης, εἰ μὴ μέλλοι μυριάκις ἀντεπιδιδόναι τὴν ἑαυτοῦ ψυχὴν εἰς θάνατον καὶ κινδύνους, καθὼς καὶ αὐτός φησιν ὁ Χριστός· *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ* [511] *καὶ ἀκολουθείτω μοι.* Ὁ γὰρ μὴ οὕτω διακείμενος, πολλοὺς καὶ ἑτέρους προδίδωσι, καὶ μᾶλλον ἡσυχάζων ὠφελεῖ καθ' ἑαυτὸν ὤν, ἢ παριὼν εἰς μέσον, καὶ φορτίον δεχόμενος τῆς δυνάμεως ἑαυτοῦ μεῖζον· καὶ γὰρ ἑαυτὸν, καὶ τοὺς ἐμπιστευθέντας προσαπολλύει. Πῶς γὰρ οὐκ ἄτοπον, εἰ μέν τις κυβερνητικὴν ἀγνοεῖ, καὶ τὴν πρὸς τὰ κύματα μάχην, μηδὲ μυρίων ἀναγκαζόντων ἐλέσθαι ἐπὶ τῶν οἰάκων καθίσαι, τὸν δὲ ἐπὶ τὸ κήρυγμα ἰόντα, ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπὶ τοῦτο χωρεῖν, καὶ ἀπερισκέπτως καταδέχεσθαι πρᾶγμα μυρίων θανάτων πρόξενον; Οὔτε γὰρ κυβερνήτην, οὔτε τὸν πρὸς τὰ θηρία πυκτεύοντα, οὐ τὸν μονομαχεῖν ἑλόμενον, οὐκ ἄλλον οὐδένα οὕτω πρὸς θανάτους καὶ σφαγὰς παρατεταγμένην ἔχειν δεῖ τὴν ψυχὴν, ὡς τὸν τὸ κήρυγμα ἀναδεχόμενον. Καὶ γὰρ οἱ κίνδυνοι μείζους, καὶ οἱ ἀντίπαλοι χαλεπώτεροι, καὶ τὸ οὕτω σφαγῆναι, οὐ περὶ τῶν τυχόντων. Οὐρανὸς γὰρ τὸ ἔπαθλον κεῖται, καὶ γέεννα τοῖς ἁμαρτάνουσι τὸ ἐπιτίμιον, καὶ ψυχῆς ἀπώλεια καὶ σωτηρία. Οὐ τὸν τὸ κήρυγμα δὲ μόνον ἀναδεχόμενον οὕτω παρατετάχθαι δεῖ, ἀλλὰ καὶ ἁπλῶς τὸν πιστόν· ἅπασι γὰρ παρακελεύεται τὸν σταυρὸν αἴρειν καὶ ἀκολουθεῖν· εἰ δὲ πᾶσι, πολλῷ μᾶλλον τοῖς διδασκάλοις καὶ ποιμέσιν, ὧν καὶ Ἰωάννης ἦν τότε, ὁ καὶ Μάρκος λεγόμενος. Διὸ καὶ δικαίως ἐξετέμνετο, ὅτι ἐν αὐτῷ τάξας ἑαυτὸν τῷ μετώπῳ τῆς φάλαγγος, σφόδρα ἀνάνδρως εἱστήκει· διὸ καὶ ἀπέστησεν αὐτὸν ὁ Παῦλος, ὥστε μὴ τὴν ἐκείνου νωθείαν τῶν τόνων αὐτῶν τὸν δρόμον ἐκκόψαι. Εἰ δὲ λέγοι Λουκᾶς, ὅτι ἐγένετο παροξυσμὸς μεταξὺ αὐτῶν, μὴ τοῦτο ἔγκλημα εἶναι νόμιζε. Οὐ γὰρ τὸ παροξυνθῆναι χαλεπὸν, ἀλλὰ τὸ ἀλόγως καὶ ἐπ' οὐδενὶ δικαίῳ *Θυμὸς γὰρ ἄδικος, φησὶν, οὐκ ἀθωωθήσεται*· οὐχ ἁπλῶς θυμὸς, ἀλλὰ ὁ ἄδικος. Καὶ ὁ Χριστὸς πάλιν· *Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ*· οὐχ ἁπλῶς ὀργιζόμενος. Καὶ ὁ Προφήτης δέ φησιν, *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε.* Εἰ γὰρ μὴ δεῖ κεχρῆσθαι τῷ πάθει, μηδὲ καιροῦ καλοῦντος, εἰκῇ καὶ μάτην ἡμῖν ἔγκειται· ἀλλ' οὐκ εἰκῇ. Διὸ καὶ ὁ δημιουργὸς τοῦτο κατεφύτευσε πρὸς διόρθωσιν τῶν ἁμαρτανόντων, ἵνα διεγείρῃ τὸ νωθρὸν τῆς ψυχῆς καὶ παρειμένον, ἵνα ἀφυπνίζῃ τὸν καθεύδοντα καὶ διαλελυμένον, καθάπερ στόμωμα σιδήρῳ, οὕτω τὸ τῆς ὀργῆς εὔτονον ἡμῖν ἐνθεὶς τῇ διανοίᾳ, ἵνα αὐτῷ χρησώμεθα εἰς δέον. Διὸ τοῦτο καὶ ὁ Παῦλος πολλάκις αὐτῷ ἐκέχρητο, καὶ ποθεινότερος τῶν μετὰ ἐπιεικείας διαλεγομένων ἦν ὀργιζόμενος, πάντα μετὰ τοῦ προσήκοντος καιροῦ ποιῶν ὑπὲρ τοῦ κηρύγματος. Οὐδὲ γὰρ ἐπιείκεια ἁπλῶς καλὸν, ἀλλ' ὅταν ὁ καιρὸς ἀπαιτῇ· ὡς, ἐὰν μὴ τοῦτο προσῇ, καὶ ἐκείνη νωθεία, καὶ ἡ ὀργὴ θρασύτης γίνεται. Ταῦτα δὲ πάντα οὐχ ὑπὲρ Παύλου ἀπολογούμενος εἶπον· οὐ γὰρ δεῖται τῆς ἡμετέρας γλώττης· ὁ γὰρ ἔπαινος αὐτοῦ οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ· ἀλλ' ἵνα παιδεύσωμεν τοὺς ἀκροατὰς εἰς δέον ἅπασι [512] κεχρῆσθαι, καθάπερ καὶ ἔμπροσθεν εἶπον. Οὕτω γὰρ δυνησόμεθα πάντοθεν κερδαίνειν, καὶ μετὰ πολλῆς τῆς εὐπορίας εἰς τὸν ἀκύμανον λιμένα καταπλεῖν, καὶ τῶν ἀκηράτων ἐπιτυχεῖν στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Supp. κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. Quæ ab Aniano lecta sunt.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

Λόγος ζ'.

Ὅταν οἱ τὰ σημεῖα βαστάζοντες τὰ βασιλικὰ, σάλπιγγος πρὸ αὐτῶν ἠχούσης, καὶ πολλῶν στρατιωτῶν προηγουμένων, εἰς τὰς πόλεις εἰσίωσιν, ἅπας ὁ δῆμος συντρέχειν εἴωθεν, ὥστε καὶ τῆς ἠχῆς ἀκοῦσαι, καὶ τὸ σημεῖον ἰδεῖν ἐφ' ὑψηλοῦ φερόμενον, καὶ τοῦ βαστάζοντος τὴν ἀνδρείαν. Ἐπεὶ οὖν καὶ Παῦλος εἰσέρχεται σήμερον, οὐκ εἰς πόλιν, ἀλλ' εἰς τὴν οἰκουμένην, συνδράμωμεν ἅπαντες. Καὶ γὰρ οὗτος σημεῖον βαστάζει, οὐ τοῦ κάτω βασιλέως, ἀλλὰ τὸν σταυρὸν τοῦ ἄνω Χριστοῦ, καὶ προηγοῦνται οὐκ ἄνθρωποι, ἀλλ' ἄγγελοι, καὶ εἰς τιμὴν τοῦ βασταζομένου, καὶ εἰς ἀσφάλειαν τοῦ φέροντος.

Εἰ γὰρ τοῖς τὸν ἴδιον βίον οἰκονομοῦσι, καὶ οὐδὲν τῶν κοινῶν πράττουσιν, ἄγγελοι παρὰ τοῦ τῶν ὅλων Δεσπότου εἰσὶ δεδομένοι φύλακες, καθὼς καί τις φησίν· *Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου*· πολλῷ μᾶλλον ἐπὶ τῶν τὴν οἰκουμένην ἐγχειρισθέντων καὶ τηλικοῦτον βασταζόντων ὄγκον δωρεῶν, πάρεισιν αἱ δυνάμεις αἱ ἄνω. Οἱ μὲν οὖν παρὰ τῶν ἔξωθεν ταύτης ἠξιωμένοι τῆς τιμῆς, ἱμάτια περίκεινται καὶ περιαυχένιον κόσμον χρυσοῦν, καὶ πάντοθέν εἰσι λαμπροί· οὗτος δὲ ἅλυσιν ἀντὶ χρυσοῦ περικείμενος, βαστάζει τὸν σταυρόν· οὗτος ἐλαυνόμενος, οὗτος μαστιζόμενος καὶ λιμώττων. Ἀλλὰ μὴ στυγνάσῃς, ἀγαπητέ. Καὶ γὰρ ὁ κόσμος οὗτος ἐκείνου πολλῷ βελτίων καὶ λαμπρότερος, καὶ Θεῷ φίλος· διὸ καὶ βαστάζων οὐκ ἔκαμνε. Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, ὅτι μετὰ δεσμῶν καὶ μαστίγων καὶ στιγμάτων λαμπρότερος τῶν τὴν ἀλουργίδα καὶ τὸ διάδημα ἐχόντων ἦν. Ὅτι γὰρ λαμπρότερος, καὶ οὐ κόμπος τὰ εἰρημένα, ἐδήλωσεν αὐτοῦ τὰ ἱμάτια. Διαδήματα μὲν γὰρ μυρία καὶ πορφυρίδας τοσαύτας ἂν ἐπιθῇς ἀῤῥωστοῦντι, οὐδὲ μικρόν τι τῆς φλογὸς ὑποτεμέσθαι δυνήσῃ· τὰ δὲ ἐκείνου σημικίνθια ὁμιλοῦντα τοῖς σώμασι τῶν καμνόντων, πᾶσαν νόσον δραπετεύειν ποιεῖ· καὶ εἰκότως. Εἰ γὰρ λῃσταὶ τοῦτο ὁρῶντες τὸ σημεῖον οὐ τολμῶσιν ἐπελθεῖν, ἀλλ' ἀμεταστρεπτὶ φεύγουσι, πολλῷ μᾶλλον νόσοι καὶ δαίμονες ὁρῶντες ἐκεῖνο τὸ σημεῖον φεύγουσιν. Ἐβάσταζε δὲ, οὐχ ἵνα αὐτὸς αὐτὸ φέρῃ μόνος, ἀλλ' ἵνα ἅπαντας τοιούτους ποιήσῃ καὶ διδάξῃ βαστάζειν· διὸ ἔλεγε, [513] *Μιμηταί μου γίνεσθε, καθὼς ἔχετε τύπον ἡμᾶς*· καὶ πάλιν, *Ἃ εἴδετε καὶ ἠκούσατε ἐν ἐμοὶ, ταῦτα πράσσετε*· καὶ πάλιν, *Ἡμῖν ἐχαρίσθη, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν*. Τὰ μὲν γὰρ τοῦ παρόντος ἀξιώματα βίου τότε μείζονα φαίνεται, ὅταν εἰς ἕνα περιστῇ μόνον· ἐπὶ δὲ τῶν πνευματικῶν τοὐναντίον· τότε μάλιστα λάμπει τὸ τῆς τιμῆς, ὅταν πολλοὺς τῆς προεδρίας ἔχῃ κοινωνοὺς, καὶ ὅταν ὁ μετέχων μὴ εἷς ᾖ, ἀλλὰ πολλοὺς ἔχῃ τοὺς τῶν αὐτῶν ἀπολαύοντας.

Ὁρᾷς οὖν πάντας σημειοφόρους, καὶ ἕκαστον τὸ ὄνομα αὐτοῦ βαστάζοντα ἐνώπιον ἐθνῶν καὶ βασιλέων, αὐτὸν δὲ καὶ ἐνώπιον γεέννης, καὶ ἐνώπιον κολάσεως. Ἀλλ' οὐκ εἶπεν οὕτως· οὐ γὰρ ἠδύναντο ἐκεῖνοι βαστάζειν. Εἶδες ὅσης ἐστὶν ἀρετῆς ἡ φύσις ἡ ἡμετέρα δεκτική; ὡς οὐδὲν ἀνθρώπου τιμιώτερον καὶ θνητοῦ μένοντος; Τί γάρ μοι τούτου μεῖζον ἔχεις εἰπεῖν; τί δὲ ἴσον; πόσων δὲ ἀγγέλων καὶ ἀρχαγγέλων οὐκ ἔστιν ἄξιος ὁ τοῦτο εἰπὼν τὸ ῥῆμα; Ὁ γὰρ ἐν σώματι θνητῷ καὶ ἐπικήρῳ πάντα ὑπὲρ τοῦ Χριστοῦ προδοὺς, ὢν κύριος ἦν, μᾶλλον δὲ ὢν οὐκ ἦν· καὶ γὰρ καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα προέδωκε, καὶ ὕψωμα καὶ βάθος καὶ κτίσιν ἑτέραν· οὗτος εἰ ἐν ἀσωμάτῳ φύσει ἦν, τί οὐκ ἂν εἶπε; τί δὲ οὐκ ἂν ἔπραξε; Καὶ γὰρ καὶ τοὺς ἀγγέλους διὰ τοῦτο θαυμάζω, ὅτι κατηξιώθησαν τοιαύτης τιμῆς, οὐχ ὅτι ἀσώματοι ἔτυχον ὄντες· ἐπεὶ καὶ ὁ διάβολος ἀσώματός τέ ἐστι καὶ ἀόρατος, ἀλλ' ὅμως πάντων ἐστὶν ἀθλιώτερος, ἐπειδὴ τῷ ποιήσαντι προσέκρουσε Θεῷ. Ἐντεῦθεν καὶ ἀνθρώπους ἀθλίους εἶναί φαμεν, οὐχ ὅταν σάρκα περικειμένους ἴδωμεν, ἀλλ' ὅταν μὴ εἰς δέον αὐτῇ χρωμένους· ἐπεὶ καὶ ὁ Παῦλος σάρκα περιέκειτο. Πόθεν οὖν τοιοῦτος ἦν; Καὶ οἰκοθεν, καὶ παρὰ Θεοῦ, καὶ διὰ τοῦτο παρὰ Θεοῦ, ἐπειδὴ οἰκοθεν· οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός. Εἰ δὲ λέγοις, καὶ πῶς δυνατὸν ἐκείνους μιμήσασθαι, ἄκουσον τί φησι· *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ*. Ἐκεῖνος τοῦ Χριστοῦ γέγονε μιμητὴς, σὺ δὲ οὐδὲ τοῦ συνδούλου; ἐκεῖνος Δεσπότην ἐζήλωσε, σὺ δὲ οὐδὲ τὸν ὁμόδουλον; καὶ ποίαν ἕξεις ἀπολογίαν; Καὶ πῶς αὐτὸν ἐμιμήσατο, φησί; Τοῦτο ἐξ ἀρχῆς σκόπει καὶ ἀπ' αὐτῶν τῶν προοιμίων. Ἐπειδὴ γὰρ ἀπὸ τῶν θείων ναμάτων τοσοῦτον πῦρ ἔχων ἀνῆλθεν, ὡς μηδὲ ἀναμεῖναι διδάσκαλον· οὐ γὰρ περιέμεινε Πέτρον, οὐδὲ ἦλθε πρὸς Ἰάκωβον, οὐδὲ πρὸς ἄλλον οὐδένα, ἀλλ' ὑπὸ τῆς προθυμίας ἀρθεὶς, οὕτω τὴν πόλιν ἀνῆψεν, ὡς πόλεμον ἀναῤῥιπισθῆναι κατ' αὐτοῦ χαλεπόν· ἐπεὶ καὶ Ἰουδαῖος ὢν, τὰ ὑπὲρ τὴν ἀξίαν ἐποίει, δεσμεύων, ἀπάγων, δημεύων. Οὕτω καὶ Μωϋσῆς, καὶ [514] οὐδενὸς χειροτονήσαντος αὐτὸν, τὴν ἀδικίαν τῶν βαρβάρων ἐκώλυσε τὴν κατὰ τῶν ὁμοφύλων.

Ταῦτα γὰρ ψυχῆς γενναίας ἀπόδειξις καὶ γνώμης ἐλευθέρας, οὐκ ἀνεχομένης σιγῇ φέρειν τὰ ἑτέρων κακὰ, κἂν μηδεὶς ὁ χειροτονῶν ᾖ. Ὅτι γὰρ δικαίως ἐπεπήδησε τῇ προστασίᾳ, ἔδειξεν ὁ Θεὸς χειροτονήσας αὐτὸν ὕστερον· ὃ καὶ ἐπὶ Παύλου πεποίηκεν. Ὅτι γὰρ καὶ οὗτος καλῶς ἐποίησε τοῦ λόγου ἁψάμενος τότε καὶ τῆς διδασκαλίας, καὶ τοῦτο ἐδήλωσεν ὁ Θεὸς, ταχέως αὐτὸν ἐπὶ τὸ τῶν διδασκάλων ἀξίωμα ἀγαγών. Εἰ μὲν γὰρ τιμῆς ἕνεκεν καὶ προεδρίας ἐπεπήδων τοῖς πράγμασι, καὶ τῆς αὐτῶν θεραπείας, εἰκότως ἂν ἐνεκλήθησαν. Ἐπειδὴ δὲ κινδύνους ἠγάπων, καὶ θανάτους ἐπεσπῶντο, ἵνα τοὺς ἄλλους διασώσωσιν ἅπαντας, τίς οὕτως ἄθλιος, ὥστε ἐγκαλέσαι προθυμίᾳ τοσαύτῃ; Ὅτι γὰρ τῆς τῶν ἀπολλυμένων σωτηρίας ἐρῶντες ταῦτα ἔπραττον, ἐδήλωσε καὶ ἡ τοῦ Θεοῦ ψῆφος, ἐδήλωσε καὶ ἡ τῶν κακῶς ἐρασθέντων τὸν ἔρωτα τοῦτον ἀπώλεια. Ἐπεπήδησε γάρ ποτε καὶ ἕτερος ἀρχῇ καὶ προστασίᾳ, ἀλλὰ πάντες ἀπέθανον, οἱ μὲν ἐμπρησθέντες, οἱ δὲ γῆς διαστάσει καταποθέντες. Οὐ γὰρ διὰ προστασίαν τοῦτο ἐποίουν, ἀλλὰ διὰ προεδρίας ἔρωτα. Ἐπεπήδησε καὶ Ὀζίας, ἀλλὰ καὶ οὗτος ἀκάθαρτος γέγονεν· ἐπεπήδησε καὶ Σίμων, ἀλλὰ κατ-

Angeli custodes nostri. — Si enim propriam tantummodo vitam regentibus, nihilque pro communi utilitate facientibus, angeli ab omnium Domino deputati sunt, sicut ait unus ex justis, *Angelus qui eruit me a juventute mea* (*Gen.* 48. 16) : multo magis his, quibus totius orbis cura commissa est, taliumque donorum onera portantibus virtutes adsunt supernæ. Et illi quidem qui in exercitu hoc honore donati sunt, ornantur veste pretiosa, aureis torquibus colla subnixi, nitentes undique, et undique refulgentes; iste vero catena pro torque circumdatus, gestat crucem, et persequutionem undique sustinens, famem ubique perpetiens. Sed nihil est, dilectissime, quod ex hujuscemodi sermonibus ingemiscas. Siquidem iste ornatus multo est illo melior et clarior, atque amicior Deo, propter quod et portans minime laborabat. Hoc est namque mirabile, quia cum vinculis, verberibus atque vulneribus longe splendidior erat diademate purpuraque fulgentibus. Quod enim esset vere clarior, et quia non ad sonum tantummodo ista dicantur, ipsius vestimenta docuerunt. Nam si mille diademata totidemque purpuras ardenti febribus superponas, ne modicum quidem flammæ ejus valebunt exstinguere. At vero hujus semicinctia, ægrotantium admota corporibus, morbos omnes fugabant. Si enim latrones videntes signum illud militare, non irruunt, sed aversi repente diffugiunt : multo magis et ægritudines et dæmones Christi signo apparente fugiebant. Sic autem Paulus ferebat hoc signum, non ut solus illud portaret, sed ut omnes quoque tales esse doceret ac faceret : propter quod clamat atque dicit : *Imitatores mei estote, sicut habetis formam nos.* Et rursus, *Quæ vidistis et audiistis in me, hæc agite :* et rursus, *Vobis donatum est, non solum ut in eum credatis, sed ut etiam pro illo patiamini* (*Philipp.* 3. 17. *et* 4. 9. *et* 1. 29). Etenim præsentis vitæ dignitates tunc clariores videri solent, quando in uno tantum homine constiterint : in spiritualibus vero e contrario tunc magis splendent honores, cum sibi plurimi eorum communione sociantur, cum non unus est particeps dignitatis, sed multos habet qui eisdem honoribus perfruantur.

Omnes Christiani signiferi. — Vides igitur hic omnes esse signiferos, et Christi nomen unumquemque gestare in conspectu gentium atque regum, ipsum vero Paulum etiam cum sibi anathema optat, atque supplicium. Sed non hoc præcepit et cæteris, quod certe illi portare non poterant. Vidistis nempe quantæ nostra sit natura capax virtutis, quam nihil sit homine pretiosius, et adhuc utique mortali. Quid enim mihi hoc majus, imo quid poteris saltem æquale memorare? Quantorum non iste, quæso, honore dignus est angelorum, qui hoc verbum potuit effari? Qui enim in temporali hoc atque mortali corpore constitutus cuncta, etiam quorum non erat dominus, pro Christo non dubitat offerre, hic si incorporeæ fuisset naturæ, quid tandem dicere, quid autem facere distulisset? Nam et angelos propterea miramur, non quia incorporei sunt creati : siquidem cum diabolus sit incorporeus et invisibilis, est tamen omnibus infelicior : quia factoris Dei meruit offensam. Hinc etiam homines infelices vocamus, non quia videmus eos carne circumdatos, sed cum non ea, ut oportet, utuntur : alioquin et carne induebatur Paulus. Unde igitur talis emersit, et tantus? Et ex proprio videlicet, et ex Deo : et idcirco ex Deo, quia de proprio. Non enim est personarum acceptor Deus (*Act.* 10). Si autem dixeris, Et quemadmodum illum imitari possibile est? disce quid dixerit : *Imitatores mei estote, sicut et ego Christi* (1. *Cor.* 11. 1). Ille ipsius Christi effectus est imitator, tu vero nec apostoli conservi : ille Domini æmulator fuit, tu autem neque conservi : et quam tandem poteris negligentiæ tuæ umbram obtendere? Quemadmodum vero eum imitatus sit, ostendit. Idque ab initio considera et ab ipsis principiis. Quando enim ex illis salutaribus emersit fluentis, tanto igne plenus exivit, ut nec necessarium sibi putaret magistrum. Non enim exspectavit Petrum, nec venit ad Jacobum, neque ad alium omnino quemquam : sed propria alacritate raptus, ita totam illam in qua fuerat baptizatus, prædicatione sua inflammavit urbem, ut sævissimum contra se Judæorum prælium concitaret. (*a*) [Violentissimum enim persequutorem Christus in ardentissimum repente prædicatorem immutaverat.] Siquidem etiam cum Judæus esset, supra dignitatem suam multa faciebat, alligans, abducens, trahens in publicum Christianos. Sic etiam Moses cum a nullo in principatum populi ordinatus fuisset, contribules suos tamen a barbarorum iniquitate defendit.

Fortitudinis vera signa in Paulo. — Hæc enim sunt fortis cujusdam ac virilis animi certa documenta : hoc signum propriæ liberæque sententiæ, nequaquam in aliorum afflictionibus tenere patientiam, sed benigne atque constanter tueri eos, qui opprimuntur, etiamsi nullo[1] in hoc ordinetur officio. Quia vero juste opus arripuerat principatus, Deus hanc ei postea contulit dignitatem. Idipsum autem servavit in Paulo : qui quam recte faceret ultro arripiens initia sermonis atque doctrinæ, Deus similiter ostendit cito doctoris eum honore sublimans. Si enim magisterii atque primatus adipiscendi gratia ad procuranda tanta negotia prosiluissent, consequenter essent de ambitione culpabiles : cum vero pericula utrique diligerent, mortesque in se undique procurarent, ut alios acquirerent in salutem, quis tam aperte infelix est, qui tantæ devotionis studium criminetur? Quod enim aliorum amantes salutem ista perfecerint, et sententia declaravit Dei, et eorum perditio, qui male istum concupierunt honorem. Irruerunt siquidem tunc et alii in hujusmodi principatum, sed potius interempti sunt : nam alterum quidem lapsus de cælo exussit ignis, alterum subitus terræ hiatus absorbuit. Non enim propter defensionem populi ista faciebant, sed ob gloriam dignitatis. Irruit et Ozias, sed lepra commaculante punitus est (2. *Paral.* 26) : irruit etiam

[1] Forte, *a nullo.*

(*a*) Quæ uncinis claduntur in Græco non exstant.

Simon, sed reprobatus est, et mori periclitatus (*Act.* 8) : irruit vero etiam Paulus, sed apostolatus gloria coronatus est. Non enim in sacerdotium, nec honorem, sed in ministerium irruit ac labores ; maximeque in hoc zelo et alacritate properavit : propterea prædicatur, propterea continuo clarus efficitur. Sicut enim qui princeps fuerit ordinatus, nisi digne impositum sibi administret officium, meretur etiam majora supplicia : sic alter etsi non ordinetur quidem, suscipiat tamen, et sicut oportet impleat, non dico sacerdotium, sed sollicitudinem curamque multorum, omni profecto est honore dignissimus. Propterea igitur ne unum quidem diem in otio passus est et quiete transire hic in prædicandi ardore ipso igne vehementior ; sed simul ut salutifero ex fonte conscendit, plurimamque in se flammam ipse succendit, non pericula timuit, non irrisiones erubuit et opprobria Judæorum, neque sermonem suum ab illis respui indignanter tulit : non aliud quidquam horum simile cogitavit, sed alios accipiens oculos, utique caritatis, aliamque mentem, multo cum impetu instar torrentis irrupit, omnia pariter Judæorum trahens atque convolvens, et ex Scripturis ipsum esse Christum evidenter ostendens. Et certe nondum in eo tam multa gratiæ munera coruscabant, nondum tanta fuerat Spiritus illuminatione donatus, sed tamen inflammata continuo voluntas, mortificataque anima cuncta faciebat, et quasi semper satisfaceret Deo de tempore jam peracto, sic gerebat omnia, sic lucra spiritualia undique colligebat, in locum, qui esset belli pars maxima, et laborum periculorumque plena, fidenter insiliens.

Obedientia Pauli commendatur. — Hoc vero majore quoque admiratione dignum est, quod cum tam esset audax, ac velut ad pugnam semper accinctus, et ignem quemdam bellicum spirans, ita rursus placabilem ac flexibilem se præbebat magistris, ut numquam eos vel in tanto illo impetu alacritatis offenderet. Itaque ferventi tunc, vel potius furenti præceperunt, ut iret Tarsum atque Cæsaream, nec tamen renuit. Dixerunt quia eum per muram deponi oporteret, et passus est : dederunt consilium ut caput raderet, non restitit : suaserunt ne in theatrum ingrederetur, et cessit. Ita se huic rei totum dedicaverat, ut omnia pro fidelium utilitatibus libenter acciperet, pro ipsorum ædificatione pacem, consensum, dispensationem, concordiam diligendo, et eumdem se ac semper æqualem prædicationi ubique servando. Cum igitur audis, quod sororis filium miserit ad Tribunum, volens de periculis liberari, et quod appellet Cæsarem, quodque Romam ire festinet, nequaquam putes verbum esse formidinis. Qui enim gemebat in hac se adhuc esse vita, annon potius eligebat esse cum Christo ? qui et cælum propter ipsum despiciebat et angelos, quo tandem pacto hæc præsentia diligebat ? Cujus igitur rei gratia ista faciebat ? Procul dubio ut diutius prædicationi insisteret, cumque multis hinc credentibus atque omnibus coronatis iret ad Christum. Nam profecto metuebat, ne pauper hinc atque inops multorum salutis abscederet. Et ideirco dicebat : *Permanere autem in carne necessarium est propter vos* (*Philipp.* 1. 24). Propterea ergo cum videret meliorem pro se in judicio processisse sententiam, ipsoque dicente Festo, *Absolvi poterat homo iste, nisi appellasset Cæsarem* (*Act.* 26. 32) : vinctus tamen, cumque plurimis vinctis, qui mille facinora commiserant, ductus, non erubuit cum illis ligari, quinimo omnium simul navigantium curam gerebat, sui quippe securus, seque tutum satis esse certissimus. Cumque vinctus per tam vastum pelagus duceretur, ita gaudebat tamen, tamquam in maximum duceretur imperium. Etenim non parvum illi præmium urbis Romæ conversio proponebatur. Verum ne illos quidem, qui pariter navigabant, despectui habendos putavit : sed illis quoque veritatis suavitate modulatus est, indicans sibi divinos apparuisse vultus, et ea, quæ fuerant sibi dicta, commemorans : id est, *Tibi donavi homines istos* (*Act.* 27. 24). Hoc vero faciebat, non seipsum arroganter extollens, sed illos sibi ad persuasionem fidei parans. Propterea et Deus permisit pelagus commoveri, ut per id quod auditus non est, et per id quod auditus est, spiritualis Pauli gratia panderetur. Nam et cum dedisset consilium, navigandum non esse, contemptus est, ventumque est usque ad extrema discrimina (*Ibid.*). Verum ne contempto quidem eorum factus est onerosior ; sed rursus, quasi pater filiis providebat agebatque omnia, ne quisquam periret.

Romæ quantam modestiam exhibuerit. Comparatio cum duce exercitus. — Postquam vero Romam ingressus est, ibi quoque quanta cum modestia annuntiat veritatem, quanta etiam cum libertate obstruit ora impiorum ! Verum nec ibi stare contentus, etiam in Hispaniam percurrit. Cum autem sæpius varia pericula sustineret, confidebat magis atque fiebat audacior : nec ipse solum, sed etiam discipuli propter ipsum, qui ejus utique firmabantur exemplo. Quemadmodum enim si eum remissiorem segnioremque vidissent, ipsi etiam fortasse fuissent mœrore dejecti : ita qui illum fortiorem factum esse cernebant, et inter injurias atque plagas constantiæ sæpe virtute crescentem, ipsi quoque cum majore fiducia prædicabant : idque significans ait, *Ita ut plures e fratribus confidentes vinculis meis, abundantius auderent sine timore verbum Dei loqui* (*Philip.* 1. 14). Si enim dux militiæ fuerit fortis ac robustus, non modo cædens atque prosternens, verum etiam vulnere ipse percussus, subditos suos efficit fortiores, magisque hoc præstat vulneratus ipse, quam vulnerans. Cum enim ii qui sub tali pugnant magistro, viderint inflicta vulnera, fluentem sanguinem, et ne sic quidem illum hostibus aliquando cedentem, sed stantem fortiter, hastasque vibrantem, et crebris certisque ictibus in adversarios proruentem, nec omnino quidquam parcentem dolori, majore absque dubio tanto duci alacritate subduntur. Hoc itaque factum et Paulo. Videntes enim illum ligatum catenis, et nihilo minus in carcere prædicantem, videntes etiam verberatum, et tamen verberantes ipsos sermo-

εἰκάσθη, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε· ἐπεπήδησε καὶ Παῦλος, ἀλλ' ἐστεφανώθη, οὐχὶ ἱερωσύνῃ καὶ τιμῇ, ἀλλὰ διακονίᾳ καὶ πόνοις καὶ κινδύνοις. Καὶ ὅτι ἀπὸ ζήλου πολλοῦ καὶ προθυμίας ἐπέδραμε, διὰ τοῦτο ἀνακηρύττεται καὶ λαμπρὸς ἐκ προοιμίων ἦν. Ὥσπερ γὰρ ὁ χειροτονούμενος ἄρχων, ἂν μὴ δεόντως τὸ πρᾶγμα μετίῃ, καὶ μείζονός ἐστι χολάσεως ἄξιος· οὕτω κἂν μὴ χειροτονηθῇ τις, μεταχειρίζῃ δὲ προσηκόντως, οὐ λέγω τὰ τῆς ἱερωσύνης, ἀλλὰ τὰ τῆς τῶν πολλῶν προνοίας, τοῦ παντὸς ἄξιός ἐστι. Διὰ τοῦτο οὐδεμίαν ἀνέμεινεν ἡμέραν ἡσυχάζων ὁ πυρὸς οὗτος σφοδρότερος, ἀλλ' ὑμοῦ τε ἀνέβη ἀπὸ τῆς ἱερᾶς τῶν ὑδάτων πηγῆς, καὶ πολλὴν ἀνῆψεν ἑαυτῷ τὴν φλόγα, καὶ οὔτε κινδύνους ἐνενόησεν, οὐ τὸν γέλωτα καὶ τὴν αἰσχύνην τὴν παρὰ Ἰουδαίων, οὐ τὸ ἀπιστεῖσθαι παρ' αὐτοῖς, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ἑτέρους λαβὼν ὀφθαλμοὺς, τοὺς τῆς ἀγάπης, καὶ ἑτέραν διάνοιαν, μετὰ πολλῆς ἐνέπιπτε τῆς ῥύμης, ὥσπερ τις χειμάρρους, ἅπαντα παρασύρων τὰ Ἰουδαίων, καὶ διὰ τῶν Γραφῶν δεικνὺς, ὅτι αὐτός ἐστιν ὁ Χριστός. Καίτοι γε οὔπω χαρίσματα πολλὰ τῆς χάριτος ἦν αὐτῷ, οὕπω τοσούτου Πνεύματος κατηξίωτο· ἀλλ' ὅμως εὐθέως ἐφλέγετο, καὶ ψυχῇ θανατώσῃ πάντα ἔπραττε, καὶ ὥσπερ ἀπολογούμενος ὑπὲρ τοῦ παρελθόντος χρόνου, οὕτω πάντα ἐποίει, καὶ ἐπραγματεύετο εἰς τὸ πονοῦν μάλιστα τοῦ πολέμου μέρος ἑαυτὸν ἐμβάλλων, καὶ ὁ κινδύνων ἔγεμε καὶ [515] φόβων.

Καὶ ὅμως οὕτω τολμητὴς ὢν καὶ ὁρμητίας καὶ πῦρ πνέων, οὕτω πάλιν πειθήνιος ἦν καὶ εὐήνιος τοῖς διδασκάλοις, ὥστε μὴ ἐν τοσαύτῃ ῥύμῃ προθυμίας αὐτοῖς ἀντιπεσεῖν. Καὶ γὰρ ζέοντι τότε καὶ μαινομένῳ προσελθόντες εἶπον, ὅτι δεῖ ἀπελθεῖν εἰς Ταρσὸν καὶ Καισάρειαν, καὶ οὐκ ἀντεῖπεν εἶπον ὅτι χρὴ διὰ τοῦ τείχους χαλασθῆναι, καὶ ἠνέσχετο· συνεβούλευσαν ξυρᾶσθαι, καὶ οὐκ ἀντέπεσεν· εἶπον μὴ εἰσελθεῖν εἰς τὸ θέατρον, καὶ εἶξεν. Οὕτως ἑνὸς ἦν πανταχοῦ τοῦ συμφέροντος τοῖς πιστοῖς, τῆς εἰρήνης, τῆς ὁμονοίας· καὶ πανταχοῦ ἑαυτὸν ἐτήρει τῷ κηρύγματι. Ἵστε ὅταν ἀκούσῃς, ὅτι τὸν ἀδελφιδοῦν πέμπει πρὸς τὸν χιλίαρχον, βουλόμενος ἑαυτὸν ἐξαρπάσαι τῶν κινδύνων, καὶ ὅταν ἐπικαλέσηται Καίσαρα, καὶ ὅταν εἰς τὴν Ῥώμην σπεύδῃ, μὴ νομίσῃς ἀνανδρείας εἶναι τὰ ῥήματα. Ὁ γὰρ στένων, ἐπειδὴ παρῆν ἐν τῷ βίῳ τούτῳ, πῶς οὐκ ἂν εἵλετο μετὰ Χριστοῦ εἶναι; καὶ ὁ τῶν οὐρανῶν καταφρονῶν, καὶ ἀγγέλων δι' αὐτὸν ὑπερορῶν, πῶς ἂν ἐπεθύμησε τῶν παρόντων; Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει; Ἵνα ἐνδιατρίψῃ τῷ κηρύγματι, καὶ μετὰ πολλῶν ἀνθρώπων ἀπέλθῃ, πάντων ἐστεφανωμένων. Καὶ γὰρ ἐδεδοίκει, μήποτε πτωχὸς καὶ πένης τῆς τῶν πολλῶν σωτηρίας ἀποδημήσῃ ἐντεῦθεν. Διὸ καὶ ἔλεγε· *Τὸ γὰρ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς.* Διὸ καὶ ὁρῶν αὐτὸ τὸ δικαστήριον τὴν βελτίω ψῆφον περὶ αὐτοῦ κατατιθέμενον, ὡς καὶ ὁ Φῆστος, ἔλεγεν, *Ἀπολύεσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκαλέσατο Καίσαρα,* καὶ δεθεὶς, καὶ μετὰ μυρίων ἑτέρων δεσμωτῶν ἀπαγόμενος μυρία εἰργασμένων δεινὰ οὐκ ἠσχύνετο τὸ συνδεδέσθαι ἐκείνοις, ἀλλὰ καὶ προενόει πάντων τῶν συμπλεόντων, καίτοι γε ὑπὲρ αὐτοῦ θαῤῥῶν καὶ εἰδὼς ὡς ἐν ἀσφαλείᾳ ἦν, καὶ πέλαγος τοσοῦτον ἀνήγετο δεδεμένος, καὶ ἔχαιρεν ὡς ἐπὶ μεγίστην ἀρχὴν προπεμπόμενος. Καὶ γὰρ οὐδὲ μικρὸς ἆθλος αὐτῷ τῆς Ῥωμαίων πόλεως ἡ διόρθωσις προύκειτο. Ἀλλ' ὅμως οὐδὲ τῶν ἐν τῷ πλοίῳ κατωλιγώρησεν, ἀλλὰ καὶ ἐκείνους ἐῤῥύθμισε, διηγησάμενος τὴν αὐτῷ φανεῖσαν ὄψιν, ἐξ ἧς ἐμάνθανον, ὅτι *Πάντες οἱ πλέοντες μετ' αὐτοῦ δι' αὐτὸν σώζονται.* Τοῦτο δὲ ἐποίει, οὐχ ἑαυτὸν ἐπαίρων, ἀλλ' ἐκείνους ἑαυτῷ πειθηνίους παρατκευάζων. Διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησε διεγερθῆναι τὴν θάλασσαν, ἵνα καὶ δι' ὧν παρηκούσθη, καὶ δι' ὧν ἠκούσθη, διὰ πάντων δειχθῇ ἡ Παύλου χάρις. Καὶ γὰρ συνεβούλευσε μὴ ἀναπλεῦσαι, καὶ παρηκούσθη, καὶ γέγονε κίνδυνος περὶ τῶν ἐσχάτων· καὶ οὐδὲ οὕτως ἦν φορτικὸς, ἀλλὰ πάλιν ὡς παίδων πατὴρ προενόει, καὶ ὅπως μηδεὶς ἀπόλοιτο πάντα ἔπραττεν.

Ἐπειδὴ δὲ καὶ τῆς Ῥωμαίων ἐπέβη, [516] κἀκεῖ πῶς μετὰ ἐπιεικείας διαλέγεται; πῶς μετὰ ἐλευθερίας τοὺς ἀπειθοῦντας ἐπιστομίζει; Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἐκεῖθεν εἰς Ἱσπανίαν ἔδραμε. Καὶ γὰρ κινδυνεύων μᾶλλον ἐθάῤῥει, καὶ τολμηρότερος ἐγίνετο ἐντεῦθεν, οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ οἱ μαθηταὶ δι' αὐτόν. Ὥσπερ γὰρ εἴπερ ἐώρων αὐτὸν ἐνδιδόντα καὶ ὀκνηρότερον γινόμενον, ἴσως ἂν καὶ αὐτοὶ καθυφῆκαν· οὕτως, ἐπειδὴ εἶδον αὐτὸν ἀνδρειότερον γινόμενον, καὶ ἐπηρεαζόμενον, καὶ μᾶλλον ἐπιτιθέμενον, μετὰ παῤῥησίας ἐκήρυττον. Καὶ τοῦτο δηλῶν ἔλεγεν, *Ὡς τοὺς πλείονας τῶν ἀδελφῶν, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν.* Ὅταν γὰρ ὁ στρατηγὸς ᾖ γενναῖος, οὐδὲ σφάττων μόνον καὶ ἀποκτιννὺς, ἀλλὰ καὶ τιτρωσκόμενος, τοὺς ὑπ' αὐτῷ ταττομένους θρασυτέρους ποιεῖ, καὶ μᾶλλον τιτρωσκόμενος ἢ τιτρώσκων. Ὅταν γὰρ ἴδωσιν αὐτὸν αἵματι πεφυρμένον καὶ τραύματα περιφέροντα, καὶ οὐδὲ οὕτω παραχωροῦντα τοῖς ἐχθροῖς, ἀλλ' ἑστῶτα γενναίως, καὶ δόρυ σείοντα, καὶ βάλλοντα τοὺς ἐναντίους, καὶ πρὸς τὰς ἀλγηδόνας οὐκ ἐνδιδόντα, μετὰ πλείονος παρατάττονται καὶ αὐτοὶ τῆς προθυμίας· ὃ δὴ καὶ ἐπὶ Παύλου γέγονεν. Ὁρῶντες γὰρ αὐτὸν δεδεμένον καὶ ἐν τῷ δεσμωτηρίῳ κηρύττοντα, καὶ μαστιζόμενον, καὶ τοὺς μαστίζοντας

χειρούμενον, πλείονα ἐδέχοντο παῤῥησίαν. Διὸ καὶ τοῦτο δηλῶν, οὐχ ἁπλῶς *Πεποιθότας* εἶπεν, ἀλλὰ προστίθησι, *Περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν*· τουτέστι, μᾶλλον νῦν, ἢ ὅτε λελυμένος ἦμην, ἐπαῤῥησιάζοντο οἱ ἀδελφοί. Τότε πλείονα προθυμίαν καὶ αὐτὸς ἐλάμβανε· μᾶλλον γὰρ τότε παρωξύνετο κατὰ τῶν ἐχθρῶν, καὶ αἱ προσθῆκαι τῶν διωγμῶν, προσθῆκαι πλείονος παῤῥησίας ἦσαν αὐτῷ καὶ μείζονος θάρσους ὑπόθεσις. Συνεκλείσθη γοῦν ποτε, καὶ τοσοῦτον ἐξέλαμψεν, ὥστε καὶ τὰ θεμέλια τινάξαι, καὶ τὰς θύρας ἀναπετάσαι, καὶ τὸν δεσμοφύλακα μεταστῆσαι πρὸς ἑαυτὸν, καὶ τὸν δικάζοντα μικροῦ μεταπεῖσαι, ὡς καὶ αὐτὸν ἐκεῖνον λέγειν, *Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.* Πάλιν ἐλιθάζετο, καὶ τὴν καταλεύουσαν πόλιν εἰσελθὼν μετέθηκεν. Ἐκάλεσαν αὐτὸν ὡς μέλλοντες κρίνειν, ποτὲ μὲν Ἰουδαῖοι, ποτὲ δὲ Ἀθηναῖοι, καὶ γεγόνασιν οἱ δικασταὶ μαθηταὶ, οἱ ἀντίδικοι ὑπήκοοι. Καὶ καθάπερ πῦρ ἐμπεσὸν εἰς διαφόρους ὕλας, μᾶλλον αὔξεται, καὶ προσθήκην λαμβάνει τὴν ὑποκειμένην ὕλην· οὕτω καὶἡ γλῶσσα Παύλου, ὅσοις ἂν συνεγένετο, πρὸς ἑαυτὸν αὐτοὺς μεθίστη, καὶ οἱ πολεμοῦντες αὐτῷ τοῖς ἐκείνου λόγοις ἁλόντες, τροφὴ ταχέως ἐγίγνοντο τῷ πνευματικῷ τούτῳ πυρὶ, καὶ δι' αὐτῶν πάλιν ὁ λόγος ᾔρετο, καὶ ἐφ' ἑτέρους πρυῆει. Διὸ καὶ ἔλεγε· *Δέδεμαι, ἀλλ' ὁ λόγος οὐ δέδεται.* Ἐφυγάδευον αὐτόν· καὶ τὸ μὲν πρᾶγμα δίωξις ἦν, τὸ δὲ συμβαῖνον, ἀποστολὴ [517] διδασκάλων. Καὶ ὅπερ ἂν ἐποίησαν φίλοι καὶ συντεταγμένοι, τοῦτο ἐποίουν οἱ πολέμιοι. οὐκ ἐῶντες ἐν ἑνὶ ἱδρυνθῆναι χωρίῳ, ἀλλὰ πανταχοῦ περιάγοντες τὸν ἰατρὸν, δι' ὧν ἐπεβούλευον, δι' ὧν ἤλαυνον, ὡς πάντας ἀκοῦσαι τῆς ἐκείνου γλώττης. Ἔδησαν πάλιν αὐτὸν, καὶ μᾶλλον παρύξυναν· τοὺς μαθητὰς ἤλασαν, καὶ τοῖς οὐκ ἔχουσι διδάσκαλον ἔπεμψαν· εἰς μεῖζον ἤγαγον δικαστήριον, καὶ τὴν μείζονα ὠφέλησαν πόλιν. Διὸ καὶ ἀλγοῦντες οἱ Ἰουδαῖοι περὶ τῶν ἀποστόλων ἔλεγον· *Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;* Δι' ὧν, φασὶ, προαιρούμεθα, διὰ τούτων αὔξομεν. Παρέδωκαν τῷ δεσμοφύλακι, ἵνα ἀκριβῶς αὐτὸν κατάσχῃ· ὁ δὲ ἀκριβέστερον ἐδέθη ὑπὸ Παύλου. Μετὰ δεσμωτῶν ἔπεμψαν, ἵνα μὴ φεύγῃ· ὁ δὲ τοὺς δεσμώτας κατήχησε· διὰ τῆς θαλάσσης ἔπεμψαν, ἵνα καὶ ἄκοντες παρασκευάσωσι ταχέως ἀνυσθῆναι τὴν ὁδόν· καὶ τὸ ναυάγιον τὸ συμβὰν ἐγένετο διδασκαλίας ὑπόθεσις τοῖς συμπλέουσι· μυρίας ἠπείλουν κολάσεις, ἵνα σβεσθῇ τὸ κήρυγμα, τὸ δὲ ᾔρετο μᾶλλον. Καὶ ὥσπερ ἐπὶ τοῦ Δεσπότου ἔλεγον· *Ἀποκτείνωμεν αὐτὸν, ἵνα μὴ ἔλθωσιν οἱ Ῥωμαῖοι, καὶ ἄρωσι καὶ τὴν πόλιν ἡμῶν καὶ τὸ ἔθνος*, καὶ τοὐναντίον συνέβη· ἐπειδὴ γὰρ ἀπέκτειναν αὐτὸν, διὰ τοῦτο ἦραν οἱ Ῥωμαῖοι καὶ τὸ ἔθνος αὐτῶν καὶ τὴν πόλιν· καὶ ἅπερ ἐνόμιζον εἶναι κωλύματα, ταῦτα ἐγένετο βοηθήματα τοῦ κηρύγματος· οὕτω καὶ Παύλου κηρύττοντος, ἅπερ ἐπῆγαγον ἐκεῖνοι τὸν λόγον ἐκκόπτοντες, ταῦτα αὐτὸν ηὔξησε, καὶ εἰς ὕψος ἐπῆρεν ἄφατον. Διὰ δὴ ταῦτα πάντα εὐχαριστήσωμεν τῷ εὐμηχάνῳ Θεῷ, μακαρίσωμεν τὸν Παῦλον, δι' οὗ ταῦτα γέγονεν, εὐξώμεθα καὶ αὐτοὶ τῶν αὐτῶν ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM

Hujus concionis tempus assignat Chrysostomus paulo post initium : *Quintus enim annus*, inquit, *jam præteriit, ex quo ille migravit ad Jesum.* Obiit autem Meletius Constantinopoli, illo evocatus ab imperatore, anno 381, circa finem mensis Maii. Quamobrem post mensem Maium anni 386 habita fuerit hæc homilia, ante capsam reliquiarum ejusdem sancti; non in anniversaria obitus die : neque enim dixisset Chrysostomus jam præteriisse annum quintum, ἤδη παρέδραμεν, sed fortassis in die translationis reliquiarum ejus Antiochiam, quæ incidere videtur in duodecimam Februarii, qua die Martyrologia Græcum et Romanum ejus festum annuntiant. Qui calculus si constet, et si Martyrologia diem translationis accurate noterit, quod tamen secus neque raro contingit, hæc concio habita fuerit duodecima Februarii anni 387, post annos quinque, et octo cum dimidio menses, quam decesserat Meletius. Certum

ne capientem, majorem profecto fiduciam colligebant. Et idcirco non dixit simpliciter *Confidentes*; sed. *Ita ut abundantius auderent sine timore verbum Dei loqui*: magis, inquit, modo quam cum essem liber a vinculis, fratres prædicabant fiducialiter. Tunc enim certiorem alacritatem et ipse capiebat, ac vehementius in adversarios ferebatur, et incrementa persequutionis majoris illi fiebant causa constantiæ. Inclusus est quidem in carcere, tantumque in eo virtutis refulsit, ut etiam fundamenta quaterentur et ostia panderentur. Custodem quoque tunc ipsum carceris ad fidem transtulit (*Act.* 16), judici pene persuasit, ita ut ipse diceret: *In modico me suades Christianum fieri* (*Act.* 26. 28). Rursus cum lapidaretur, plenam populi civitatem fidei luce donavit [1]: et vocabant eum quasi judicaturi Judæi, tunc etiam Athenienses facti sunt ex adversariis subditi, et ex judicibus repente discipuli. Sicut enim ignis in diversas plerumque materias incidens augetur magis, et ex subjecta sibi substantia incrementa sortitur: sic etiam lingua Pauli, quibuscumque fuisset admota, ad seipsum eos continuo transferebat. Impugnatores quoque ejus celeriter ipsius verbo capti pabulum quoddam spirituali huic efficiebantur igni, perque ipsos magis Evangelii fama crescebat, idcirco dicebat: *Alligatus sum, sed verbum Dei non est alligatum* (2. *Tim.* 2. 9). Fugabant eum frequenter inimici, et quantum quidem ad rem spectat, persequebantur: quantum vero ad eventum rei, aliis mittebant magistrum qui eo carebant: quodque faciebant amici atque concordes, hoc velut studio exsequebantur inimici, numquam sinentes eum in una habitaculum regione collocare, sed persequutionibus insidiisque pellentes, per cunctas omnino provincias medicum circumducebant, ut omnes videlicet salutaria ejus linguæ remedia sentirent. Rursus alligaverunt eum, sed acrius in defensionem fidei discipulos concitarunt; persequuti sunt, et non habentibus miserunt magistrum; ad majus judicium provocaverunt, sed uberius Judæi beneficium contulerunt [1], propter quod et Judæi dicebant de apostolis dolentes: *Quid faciemus istis hominibus* (*Act.* 4. 16)? Per quæ enim eos opprimere volumus, per ea ipsa provehimus. Tradiderunt custodi carceris, ut eum diligenter ligaret, sed ipse a Paulo arctius alligatus est. Cum reis atque vinctis eum miserunt, ne aufugeret; at ille vinctos Christiana doctrina imbuit. Imposuerunt eum navi, ut plane etiam nolentes ocius iter ejus facerent explicari, accidensque naufragium factum cum Apostolo navigantibus causa doctrinæ. Minabantur mille supplicia, ut ignem prædicationis exstinguerent, qui e contrario magis inde crescebat. Et sicut de Domino dixerunt, *Occidamus eum, ne veniant Romani, et tollant locum nostrum atque gentem* (*Joan.* 11. 48), acciditque contrarium: nam quia occiderunt eum, propterea Romani et gentem eorum et civitatem tulerunt: et quæ putabantur impedimenta prædicationis, fortia efficiebantur auxilia: sic etiam prædicante Paulo, quæ adversarii ad opprimendum intulere verbum, hæc illud ad ineffabilem quamdam altitudinem sublevarunt. Super his vero omnibus gratias bono tantarum rerum auctori agamus Deo, glorificemus Paulum, per quem ista completa sunt: oremus etiam, ut ipsi quoque eisdem perfruamur bonis, gratia et misericordia Domini nostri Jesu Christi, per quem et cum quo gloria Patri, cum Spiritu sancto, in sæcula sæculorum. Amen.

[1] Gr., *lapidantem civitatem ingressus immutavit.*

[1] Gr., *et majori profuere civitati. Propter quod*, etc.

AD HOMILIAM IN SANCTUM MELETIUM.

omnino videtur hanc homiliam pronuntiatam fuisse vel anno 386, post mensem Maium, vel ineunte anno 387.

De S. Meletio quædam diximus in Vita S. Athanasii ad annum 361. Is nempe ab Arianis, qui suis partibus [518] addictum putabant, ordinatus in episcopum Antiochenum, τοῦ ὁμοουσίου defensor acerrimus erat; quo comperto, Ariani penes quos tum summa erat, hominem in exsilium deportari curarunt. De dissidio autem ejus tempore etiam inter Catholicos suborto, vide quæ diximus in Monito ad Homiliam de Anathemate. Cæterum in hac homilia et imaginum cultus et intercessio Sanctorum aperte prædicatur.

Incerti interpretationem multis in locis emendatam e regione Græci textus damus.

HOMILIA ENCOMIASTICA

IN S. PATREM NOSTRUM MELETIUM, ARCHIEPISCOPUM MAGNÆ ANTIOCHIÆ, ET DE STUDIO EORUM QUI CONVENERANT (a).

1. Sacrum hunc gregem oculis undique circumspiciens, et universam civitatem videns hic præsentem, nescio quem prius beatum pronuntiem, sanctumne Meletium, quod vel post mortem tanto honore fruatur, an vestram caritatem, quod tantam in vestros pastores benevolentiam etiam post decessum ostendatis. Beatus enim ille, quod tantum sui amorem vobis omnibus potuerit relinquere : beati vos quoque, quod, cum caritatis depositum acceperitis, eam ei, qui deposuit, integram huc usque perpetuo conservaveritis. Quintus enim annus jam præteriit, ex quo ille migravit ad Jesum, quem desiderabat, ac perinde ac si heri et nudius tertius eum vidissetis, tam ferventi amore ad eum hodie accessistis. Propterea beatus ille est quod tales genuerit filios : beati vos quoque, quod vobis obtigerit ut talem patrem haberetis. Egregia est radix et admirabilis, sed fructus quoque non sunt indigni hac radice. Etenim quomodo radix quæpiam admirabilis, quæ latet in sinu terræ, ipsa quidem non apparet, per fructus autem virtutis suæ robur ostendit : ita etiam beatus Meletius in hac capsa conditus, ipse quidem non cernitur a nobis oculis corporis ; per vos vero, qui estis fructus, suæ gratiæ [1] vires ostendit. Licet nos sileamus, sufficit dies festus, et fervor vestri studii, ad tuba clarius proclamandum sancti Meletii in vos amorem, tamquam in filios. Sic enim vestras mentes accendit ad sui amorem, ut vel ad solum nomen incalescatis, et excitemini ad ipsam appellationem.

Meletii nomen filiis suis dabant Antiocheni; ipsiusque imaginem ubique pingebant. — Propterea ego quoque nunc non temere, sed studio et dedita opera, nomen illud in meis assidue verbis annecto, et perinde ac quispiam, qui coronam texit auream, margaritas deinde inserens, gemmarum frequentia præclarius efficit diadema : ita ego quoque beato ejus capiti coronam texens encomiorum, veluti margaritarum quarumdam frequentiam, sæpe repetitam ejus appellationem orationi attexo, sperans fore, ut sic eam jucundiorem reddam et splendidiorem. Solent enim amantes eorum, quos amant, vel nuda complecti nomina, et incalescere ad ipsas appellationes : quod vobis quoque in hoc beato usu venit. Nam cum eum a principio in civitatem ingressum excepissetis, unusquisque filium suum ejus nomine appellabat, per appellationem existimans unusquisque in domum suam sanctum introducere, missisque patribus, avis et proavis matres beati Meletii nomen imponebant liberis quos pepererant. Naturam enim vincebat amor pietatis, et deinceps qui nascebantur, non naturali solum benevolentia, sed etiam affectu erga illam appellationem, erant cari parentibus. Ipsum enim nomen et ornamentum cognationis, et ædium tutelam, et ita vocatis salutem et amoris solatium esse existimabant, et perinde ac si quidam, sedentes in tenebris, cum una lampas conspecta fuerit, multas accendentes lucernas, unusquisque infert in domum suam : ita etiam cum illa appellatio tamquam lumen incidisset in civitatem, quilibet in domum suam beati illius nomen introduxit, veluti quemdam thesaurum bonorum innumerabilium per illius afferens appellationem, eratque vere illud magnæ pietatis doctrina. Nam cum assidue cogerentur meminisse illius appellationis et sanctum virum animo complecti, habebant hoc nomen tamquam arma quædam, quibus fugabatur quævis a ratione aliena affectio et cogitatio, fuitque id adeo frequens, ut ubique in biviis, in foro, in agris et in viis hoc nomen undique circumsonaret. Non erga nomen autem solum adeo affecti eratis, sed erga ipsam etiam figuram corporis. Quomodo enim fecistis in nominibus, hoc etiam fecistis in illius imagine : etenim in palis annulorum, et in sigillis, et in phialis, et in thalamorum parietibus, et ubique sacram illam multi expresserunt imaginem, ut non solum audirent sanctam illam appellationem, sed etiam ubique viderent figuram corporis, et ejus exsilii duplicem consolationem acciperent.

Meletius in exsilium pulsus. — Etenim primum ingressus, statim expulsus est e civitate, inimicis veritatis eum expellentibus. Deus vero id concessit, simul et illius virtutem et vestram fortitudinem volens ostendere. Cum enim ingressus, sicut Moses in Ægyptum liberasset civitatem ab errore hæresis, putribusque membris et immedicabilibus a reliquo corpore amputatis, integram restituisset sanitatem Ecclesiæ multitudini, inimici veritatis non ferentes correctionem, concitato Imperatore, expulerunt eum hac civitate, exspectantes fore, ut hac ratione veritate essent superiores, et eam rerum emendationem everterent. Evenit autem contra quam exspectabant; ac cum studium vestrum, tum ejus in docendo scientia magis effulsit : illius quidem, quod triginta diebus, nec iis quidem integris, tantum vos potuit in studio fidei fundare, ut postea irruentibus spiritibus innumerabilibus illabefacta et inconcussa manserit illa doctrina : fervor autem vester se aperte ostendit, quod triginta, et nec iis quidem integris, diebus jacta ab illo semina tam accurate suscepistis, ut ad profundum mentis radices transmiseritis, et nulli deinceps illatæ de cætero cesseritis tentationi.

[1] Alius codex, *virtutis*, pro, *gratiæ*.

(a) In hanc homiliam contulimus Codices Reg. 1059, 2010, 2343, et Colbert. 970.

ΟΜΙΛΙΑ ΕΓΚΩΜΙΑΣΤΙΚΗ

Εἰς τὸν [a] ἐν ἁγίοις Πατέρα ἡμῶν Μελέτιον ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης. καὶ εἰς τὴν σπουδὴν τῶν συνελθόντων.

α'. Πανταχοῦ τῆς ἱερᾶς ταύτης ἀγέλης περιφέρων τοὺς ὀφθαλμούς, καὶ τὴν πόλιν ἅπασαν ἐνταῦθα παροῦσαν βλέπων, οὐκ ἔχω τίνα μακαρίσω πρότερον· τὸν ἅγιον Μελέτιον, ὅτι τοσαύτης καὶ μετὰ θάνατον ἀπολαύει τιμῆς, ἢ τὴν ὑμετέραν ἀγάπην, ὅτι τοιαύτην καὶ μετὰ τελευτὴν περὶ τοὺς ποιμένας τοὺς ὑμετέρους εὔνοιαν ἐπιδείκνυσθε. Μακάριος μὲν γὰρ ἐκεῖνος, ὅτι τοιοῦτον ἴσχυσεν ἀφεῖναι φίλτρον πᾶσιν ὑμῖν, μακάριοι δὲ καὶ ὑμεῖς, ὅτι τῆς ἀγάπης δεξάμενοι τὴν παρακαταθήκην, ἀκέραιον αὐτὴν τῷ παρακαταθεμένῳ μέχρι τοῦ νῦν φυλάττοντες διεμείνατε. Καὶ γὰρ πέμπτον ἔτος ἤδη παρέδραμεν, ἐξ οὗ πρὸς τὸν ποθούμενον ἀπεδήμησεν Ἰησοῦν ἐκεῖνος, καὶ καθάπερ χθὲς καὶ πρώην αὐτὸν ἑωρακότες, οὕτω μετὰ ζέοντος τοῦ φίλτρου πρὸς αὐτὸν ἀπηντήκατε τήμερον. Διὰ ταῦτα ζηλωτὸς ἐκεῖνος, ὅτι τοιούτους ἐγέννησεν υἱούς· ζηλωτοὶ δὲ καὶ ὑμεῖς, ὅτι τοιοῦτον ἐκληρώθητε πατέρα. Γενναία ἡ ῥίζα καὶ θαυμασία, ἀλλὰ καὶ οἱ καρποὶ τῆς ῥίζης ἄξιοι ταύτης. Καὶ γὰρ καθάπερ [b] ῥίζα τις θαυμαστὴ, τοῖς κόλποις κρυπτομένη τῆς γῆς, αὐτὴ μὲν οὐ φαίνεται, διὰ δὲ τῶν καρπῶν τῆς οἰκείας ἀρετῆς τὴν ἰσχὺν ἐπιδείκνυται, οὕτω δὴ καὶ ὁ μακάριος Μελέτιος, ἐν τῇ λάρνακι ταύτῃ κρυπτόμενος, αὐτὸς μὲν ἡμῖν τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐκ ἔστι καταφανὴς, διὰ δὲ ὑμῶν τῶν καρπῶν τῆς οἰκείας χάριτος [c] τὴν ἰσχὺν ἐπιδείκνυται· κἂν ἡμεῖς σιγήσωμεν, ἀρκεῖ μόνη ἡ εορτὴ καὶ τῆς ὑμετέρας σπουδῆς ἡ θερμότης σάλπιγγος λαμπρότερον ἀναβοῆσαι τοῦ ἁγίου Μελετίου τὸ φιλότεχνον· οὕτω γὰρ ὑμῶν τὴν διάνοιαν ἐξέκαυσε πρὸς τὸν ἔρωτα τὸν αὐτοῦ, ὡς καὶ πρὸς ψιλὸν τὸ ὄνομα διαθερμαίνεσθαι, καὶ πρὸς αὐτὴν διανίστασθαι τὴν προσηγορίαν.

Διὰ τοῦτο καὶ ἐγὼ νῦν οὐχ ἁπλῶς, ἀλλ' ἐπίτηδες καὶ ἀπὸ σπουδῆς συνεχῶς αὐτὸ τὸ ὄνομα τοῖς ἐμαυτοῦ λόγοις ἐνείρω. Καὶ καθάπερ τις στέφανον πλέκων χρυσοῦν, εἶτα μαργαρίτας ἐντιθεὶς τῇ πυκνότητι τῶν λίθων, λαμπρότερον ἐργάζεται τὸ διάδημα, οὕτω δὴ κἀγὼ τὸν τῶν ἐγκωμίων στέφανον τῇ μακρίᾳ πλέκων κεφαλῇ τήμερον, ὥσπερ τινῶν μαργαριτῶν πυκνότητα τῆς προσηγορίας αὐτοῦ τὴν συνέχειαν ἐνυφαίνω τῷ λόγῳ, ποθεινότερον ταύτῃ καὶ λαμπρότερον κατασκευάζειν αὐτὴν [519] προσδοκῶν. Οὕτος γὰρ φιλούντων ὁ νόμος καὶ τοιοῦτον τὸ ἔθος, ὡς καὶ ψιλὰ τὰ ὀνόματα περιπτύσσεσθαι τῶν ἐρωμένων, καὶ πρὸς αὐτὰς διαθερμαίνεσθαι τὰς προσηγορίας· ὃ δὴ καὶ ὑμεῖς πεπόνθατε ἐπὶ τοῦ μακαρίου τούτου. Παρὰ γὰρ τὴν ἀρχὴν αὐτὸν εἰς τὴν πόλιν εἰσελθόντα δεξάμενοι, τὸ παιδίον ἕκαστος τὸ ἑαυτοῦ ἀπὸ τῆς προσηγορίας ἐκαλεῖτε τῆς ἐκείνου. διὰ τῆς προσηγορίας εἰς τὴν οἰκίαν ἕκαστος τὴν ἑαυτοῦ τὸν ἅγιον εἰσάγειν [d] νομίζοντες, καὶ πατέρας, καὶ πάππους, καὶ προγόνους παρατρέχουσαι αἱ μητέρες τὸ ὄνομα τοῦ μακαρίου Μελετίου τοῖς τεχθεῖσι παιδίοις ἐπετίθεσαν. Ἰνίκα γὰρ τὴν φύσιν ὁ τῆς εὐλαβείας πόθος, καὶ τὰ τικτόμενα λοιπὸν οὐχ ἀπὸ τῆς κατὰ φύσιν φιλοστοργίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πρὸς τὴν προσηγορίαν ἐκείνην διαθέσεως ποθεινὰ τοῖς φυτευσαμένοις [e] ἦν. Τὸ γὰρ ὄνομα αὐτὸ καὶ συγγενείας κόσμον, καὶ οἰκίας ἀσφάλειαν, καὶ τοῖς καλουμένοις σωτηρίαν, καὶ τοῦ πόθου παραμυθίαν εἶναι ἐνόμιζον· καὶ καθάπερ ἐν σκότῳ καθήμενοί τινες μιᾶς λαμπάδος ἀφθείσης πολλοὺς ἀνάψαντες λύχνους εἰς τὴν οἰκίαν ἕκαστος εἰσάγει τὴν ἑαυτοῦ· οὕτω δὴ καὶ τῆς προσηγορίας ἐκείνης ὥσπερ φωτὸς εἰς τὴν πόλιν ἐμπεσούσης, ἕκαστος ὥσπερ λύχνον ἀνάπτων εἰς τὴν οἰκίαν εἰσῆγε τὴν ἑαυτοῦ τὸ τοῦ μακαρίου τότε ἐκείνου ὄνομα, ὥσπερ τινὰ μυρίων ἀγαθῶν θησαυρὸν διὰ τῆς ἐπωνυμίας ἐπισπώμενος· καὶ ἦν εὐλαβείας διδασκαλία τὸ γιγνόμενον. Συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι, καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ τῆς [f] ψυχῆς, παντὸς ἀλόγου πάθους καὶ λογισμοῦ φυγαδευτήριον εἶχον τὸ ὄνομα· καὶ οὕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ καὶ ἐν ἀμφόδοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τούτῳ πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι. Οὐ πρὸς τὸ ὄνομα [e] δὲ τοσοῦτον ἐπάθετε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος τὸν τύπον. Ὅπερ γοῦν ἐν ὀνόμασιν ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου. Καὶ γὰρ καὶ ἐν δακτυλίων σφενδόναις, καὶ ἐν ἐκτυπώμασι, καὶ ἐν φιάλαις, καὶ ἐν θαλάμων τοίχοις, καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην διεχάραξαν πολλοὶ, ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης, ἀλλὰ καὶ ὁρᾷν αὐτοῦ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν παραμυθίαν.

Καὶ γὰρ εὐθέως εἰσελθὼν, τῆς πόλεως ἐξεβάλλετο, τῶν τῆς ἀληθείας ἐχθρῶν ἀπελαυνόντων αὐτόν. Ὁ δὲ Θεὸς συνεχώρησεν ὁμοῦ καὶ τὴν ἀρετὴν τὴν ἐκείνου, καὶ τὴν ἀνδρείαν τὴν ὑμετέραν δεῖξαι βουλόμενος. Ἐπειδὴ γὰρ εἰσελθὼν, καθάπερ Μωϋσῆς εἰς Αἴγυπτον, αἱρετικῆς τὴν πόλιν ἀπήλλαξε πλάνης, καὶ τὰ σεσηπότα μέλη καὶ ἀνιάτως ἔχοντα τοῦ λοιποῦ σώματος ἀποκόψας, ἀκέραιον τὴν ὑγίειαν ἐπανήγαγε τῷ πλήθει τῆς Ἐκκλησίας, οἱ τῆς ἀληθείας ἐχθροὶ τὴν διόρθωσιν οὐκ ἐνεγκόντες, τὸν βασιλεύοντα τότε κινήσαντες, τῆς πόλεως αὐτὸν ἐξέβαλον, ταύτῃ προσδοκῶντες περιέσεσθαι τῆς ἀληθείας, καὶ τὴν τῶν γεγενημένων ἀνατρέψειν διόρθωσιν. Ἐγίνετο δὲ τοὐναντίον ἢ προσεδόκησαν, καὶ μᾶλλον καὶ ὑμῶν ὁ ζῆλος ἐδείκνυτο, καὶ ἐκείνου διέλαμπεν ἡ τῆς διδασκαλικῆς [520] ἐπιστήμης ἀπόδειξις· ἐκείνου μὲν ὅτι ἐν τριάκοντα ἡμέραις οὐδ' ὅλαις ἴσχυσεν οὕτως ὑμᾶς θεμελιῶσαι ἐν τῷ ζήλῳ τῆς πίστεως, ὡς μυρίων μετὰ ταῦτα προσβαλόντων πνευμάτων, ἄσειστον μεῖναι τὴν διδασκαλίαν ἐκείνην· ὑμῶν δὲ ἡ θερμότης ἐδείκνυτο, ὅτι ἐν τριάκοντα οὐδὲ ὅλαις ἡμέραις οὕτω μετὰ ἀκριβείας τὰ παρ' ἐκείνου καταβληθέντα ἐδέξασθε σπέρματα, ὡς πρὸς τὸ βάθος τῆς διανοίας παραπέμψαι τὰς ῥίζας, καὶ μηδενὶ τῶν προσενεχθέντων ἐνδοῦναι λοιπὸν πειρασμῶν.

[a] Aliqui habent ἐγκώμιον εἰς τόν.
[b] Sic nos e Savilio. Legebatur καὶ καθ. Edit.
[c] Alius codex οἰκείας ἀρετῆς τήν.
[d] Savil. et unus cod. τὸν ἅγιον ἐκεῖνον εἰσάγειν.
[e] Sic duo mss. Alii vero et editi τοῖς φυσαμένοις.
[f] Τῆς ψυχῆς. Articulum recepimus e Savilio, qui etiam infra tria verba, καὶ ἐν ἀμφοδίοις, suppeditavit. Edit.
[g] Sic Savil. et 5 mss.; Morel. οὐ περὶ τὸ ὄνομα. Infra Sav. et 2 mss. ἐν ἐκτυπώμασι. Morel. et alii ἐν ἐκπώμασι.

β'. Ἄξιον δὲ μηδὲ ἐκεῖνο παραδραμεῖν, ὃ περὶ τὴν δίωξιν αὐτὴν συνέβαινεν. Ἐπειδὴ γὰρ ὁ τῆς πόλεως ἄρχων τὸ ὄχημα ἐλαύνων διὰ μέσης ἐξῄει τῆς ἀγορᾶς, πλησίον αὐτοῦ τὸν ἅγιον καθίσας ἐκεῖνον, νιφάδες λίθων πανταχόθεν ἐφέροντο ἐπὶ τὴν τοῦ ἄρχοντος κεφαλήν, οὐ φερούσης τῆς πόλεως τὸν χωρισμόν, ἀλλ' αἱρουμένης καὶ τῆς παρούσης ἐκπεσεῖν ζωῆς, ἢ τὸν ἅγιον ἐκεῖνον ἀποσπώμενον ἰδεῖν. Τί οὖν ὁ μακάριος ἐκεῖνος τότε ἐποίησεν; Ἰδὼν τὰς τῶν λίθων βολὰς τοῖς ἱματίοις τοῖς ἑαυτοῦ περιβαλὼν ἀπέκρυψε τοῦ ἄρχοντος τὴν κεφαλήν, ὁμοῦ τε τοὺς ἐχθροὺς τῇ τῆς ἐπιεικείας ἐντρέπων ὑπερβολῇ, καὶ τοὺς αὐτοῦ μαθητὰς παιδεύων, ὅσην περὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν ἐπιδείκνυσθαι χρή καὶ ὡς οὐ μόνον οὐδὲν αὐτοὺς ἐργάζεσθαι δεινὸν προσῆκεν, ἀλλ' εἰ καὶ παρ' ἑτέρων αὐτοῖς ἐπῄει κίνδυνος, καὶ τοῦτον μετὰ πάσης ἀποκρούεσθαι τῆς σπουδῆς. Τίς οὐκ ἔφριξε τότε, καὶ τῆς πόλεως τὸν μανικὸν ὁρῶν ἔρωτα, καὶ τοῦ διδασκάλου τὴν ἄκραν φιλοσοφίαν, καὶ τὴν ἐπιείκειαν, καὶ τὴν πραότητα καταπληττόμενος; καὶ γὰρ ἦν παράδοξα τὰ τότε συμβαίνοντα. Ὁ ποιμὴν ἀπηλαύνετο, καὶ τὰ πρόβατα οὐκ ἐσκορπίζετο· ὁ κυβερνήτης ἐξεβάλλετο, καὶ τὸ σκάφος οὐκ ἐβαπτίζετο· ὁ γεωργὸς ἐδιώκετο, καὶ ἡ ἄμπελος ἐκαρποφόρει πλέον. Ἐπειδὴ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς ἀλλήλους ἦτε συνδεδεμένοι, οὐ πειρασμῶν ἐπαγωγαὶ, οὐ κινδύνων ἐπαναστάσεις, οὐχ ὁδοῦ μῆκος, οὐ χρόνου πλῆθος, οὐκ ἄλλο οὐδὲν ἴσχυσεν ὑμᾶς διαστῆσαι τῆς συνουσίας τοῦ μακαρίου ποιμένος· ἀλλ' ἐξεβάλλετο μὲν, ὥστε μακρὰν γενέσθαι τῶν τέκνων, συνέβαινε δὲ τοὐναντίον. Μᾶλλον γὰρ ὑμῖν συνεσφίγγετο τοῖς τῆς ἀγάπης δεσμοῖς· καὶ πᾶσαν τὴν πόλιν μεθ' ἑαυτοῦ λαβὼν εἰς Ἀρμενίαν ἀπῄει. Τὸ μὲν γὰρ σῶμα ἐπὶ τῆς πατρίδος ἵδρυτο· ὁ λογισμὸς δὲ καὶ ὁ νοῦς ὥσπερ ὑπό τινων πτερῶν κουφιζόμενος τῆς τοῦ Πνεύματος χάριτος, καὶ διὰ παντὸς ὑμῖν ἐπιχωριάζων, ἅπαντα τοῦτον τὸν δῆμον ἐν τοῖς ἐκείνου περιέφερε σπλάγχνοις, ὃ δὴ καὶ ὑμεῖς ἐπάσχετε. Καθήμενοι γὰρ ἐνταῦθα καὶ τῇ πόλει περιγραφόμενοι, τῷ πνεύματι τῆς ἀγάπης εἰς Ἀρμενίαν καθ' ἑκάστην ἱπτάμενοι τὴν ἡμέραν, καὶ τὴν ἁγίαν ὄψιν ὁρῶντες, καὶ τῆς ἡδίττης καὶ μακαρίας φωνῆς ἀκούοντες οὕτως ἐπανήειτε πάλιν. Καὶ διὰ ταύτην συνεχώρησεν ὁ Θεὸς τὴν αἰτίαν εὐθέως αὐτὸν ἀπελαθῆναι τῆς πόλεως, ἵνα καὶ ὑμῶν, ὥσπερ ἔφθην εἰπὼν, τὸ στερρὸν τῆς πίστεως ἐπιδείξῃ τοῖς ὑμᾶς πολεμοῦσιν ἐχθροῖς, κἀκείνου τὸ περὶ τὴν διδασκαλίαν ἔμπειρον.

Καὶ δῆλον ἐκεῖθεν. Μετὰ γὰρ τὴν πρώτην δίωξιν ἐπανελθὼν [521] οὐχὶ τριάκοντ' ἡμέρας μόνον, ἀλλὰ καὶ μῆνας, καὶ ἐνιαυτὸν, καὶ ἕνα, καὶ δύο, καὶ πλείους ἐνταῦθα διέτριψεν. Ἐπειδὴ γὰρ ἱκανὴν ἐδώκατε τῆς περὶ τὴν πίστιν στερρότητος ἀπόδειξιν, ἔδωκεν ὑμῖν μετὰ ἀδείας ἐντρυφῆσαι τῷ πατρὶ πάλιν. Καὶ γὰρ τρυφὴ ἦν μεγίστη τὸ τῆς ἁγίας ὄψεως ἀπολαύειν ἐκείνης. Οὐ γὰρ δὴ διδάσκων μόνον, οὐδὲ φθεγγόμενος, ἀλλὰ καὶ ὁρώμενος ἁπλῶς, ἱκανὸς ἦν ἅπασαν ἀρετῆς διδασκαλίαν εἰς τὴν τῶν ὁρώντων ψυχὴν εἰσαγαγεῖν. Ὅτε γοῦν πρὸς ὑμᾶς εἰσήλαυνε, καὶ πᾶσα ἡ πόλις πρὸς τὴν ὁδὸν μεθωρμίζετο, οἱ μὲν πλησίον ἤρχοντο, καὶ ποδῶν ἥπτοντο, καὶ χεῖρας κατεφίλουν, καὶ φωνῆς ἧκουον· οἱ δὲ ὑπὸ τοῦ πλήθους κωλυόμενοι καὶ πόρρωθεν αὐτὸν ὁρῶντες μόνον, ὥσπερ ἱκανὴν ἀπὸ τῆς ὄψεως δεξάμενοι τὴν εὐλογίαν, καὶ οὐδὲν ἔλαττον τῶν ἐγγὺς γενομένων ἔσχηκότες, οὕτω μετὰ πληροφορίας ἁπάσης ἀπῆεσαν· καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐγίγνετο, τοῦτο καὶ ἐπὶ τούτου συνέβαινε. Καθάπερ γὰρ ἐπὶ τῶν ἀποστόλων ὅσοι προσελθεῖν καὶ ἐγγὺς γενέσθαι οὐκ ἴσχυον, τῆς σκιᾶς αὐτῶν ἐκτεινομένης, καὶ τῶν πόρρωθεν ἁπτομένης, τὴν αὐτὴν ἐπεσπῶντο χάριν, καὶ ὁμοίως ὑγιαίνοντες ἀπῄεσαν· οὕτω δὴ καὶ νῦν ὅσοι προσελθεῖν οὐκ ἴσχυον, ὥσπερ τινὸς δόξης πνευματικῆς ἀπὸ τῆς ἁγίας ἐκείνης κεφαλῆς ἐκπεμπομένης, καὶ πρὸς τοὺς πορρωτάτω διικνουμένης αἰσθανόμενοι, πάσης [a] εὐλογίας ἀπὸ τῆς θεωρίας μόνης πληρούμενοι πάντες ἀπῄεσαν.

γ'. Ἐπεὶ δὲ ἔδοξε τῷ κοινῷ τῶν ὅλων Θεῷ καλέσαι λοιπὸν αὐτὸν ἐκ τῆς παρούσης ζωῆς, καὶ εἰς τὸν τῶν ἀγγέλων κατατάξαι χορόν· οὐδὲ τοῦτο ἁπλῶς ἐγίνετο, ἀλλὰ καλεῖ μὲν αὐτὸν βασιλέως γράμματα, τοῦ Θεοῦ τὸν βασιλέα κινήσαντος· καλεῖ δὲ αὐτὸν οὐκ ἐγγύς που οὐδὲ πλησίον, ἀλλ' εἰς τὴν Θράκην αὐτήν, ἵνα καὶ Γαλάται, καὶ Βιθυνοὶ, καὶ Κίλικες, καὶ Καππαδόκαι, καὶ οἱ τὴν Θράκην [b] προσοικοῦντες ἅπαντες τὰ ἡμέτερα μάθωσιν ἀγαθά· ἵνα οἱ πανταχοῦ τῆς γῆς ἐπίσκοποι ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα τὴν ἀγιωσύνην ἰδόντες τὴν ἐκείνου, καὶ παράδειγμα σαφὲς τῆς κατὰ τὴν ἀρχὴν ταύτην διακονίας ἐξ ἐκείνου λαβόντες, κανόνα τινὰ, καθ' ὃν δεῖ τὰς Ἐκκλησίας οἰκονομεῖν καὶ κυβερνᾶν, ἔχωσιν ἀσφαλῆ καὶ σαφέστατον. Καὶ γὰρ διὰ τὸ τῆς πόλεως μέγεθος καὶ διὰ τὴν τοῦ βασιλέως προσεδρίαν πολλοὶ πολλαχόθεν τῆς οἰκουμένης ἐκεῖ συνέρρεον τότε· οἱ δὲ τῶν Ἐκκλησιῶν ἐπίσκοποι διὰ τὸ τὰς Ἐκκλησίας ἐκ μακροῦ πολέμου καὶ χειμῶνος ἀνενεγκούσας ἀρχὴν εἰρήνης καὶ γαλήνης λαμβάνειν, βασιλικοῖς ἐκεῖ γράμμασιν ἐκαλοῦντο πάντες. Τότε τοίνυν καὶ οὗτος ἐκεῖ παραγίνεται. Καὶ καθάπερ ἐπὶ τῶν τριῶν παίδων, ἡνίκα ἀνακηρύττεσθαι ἔμελλον, καὶ στεφανοῦσθαι, σβέσαντες τὴν τοῦ πυρὸς δύναμιν, καταπατήσαντες τοῦ τυράννου τὸν τῦφον, ἅπαν ἀσεβείας εἶδος ἐλέγξαντες, ἐκ τῆς οἰκουμένης αὐτοῖς τὸ θέατρον ἐκάθητο πάσης (οἱ γὰρ πανταχοῦ γῆς σατράπαι, καὶ ὕπατοι, καὶ τοπάρχαι ἐκαλοῦντο μὲν δι' ἑτέραν αἰτίαν, ἐγίγνοντο δὲ θεαταὶ [522] τῶν ἀθλητῶν ἐκείνων)· οὕτω δὴ καὶ τότε συνέβαινεν, ὥστε γενέσθαι λαμπρὸν τῷ μακαρίῳ τὸ θέστρον· ἐπ' ἄλλῃ γοῦν ληθέντες αἰτίᾳ [c] οἱ τὰς πανταχοῦ γῆς οἰκονομοῦντες Ἐκκλησίας ἐπίσκοποι παρεγένοντο, καὶ τὸν ἅγιον ἐθεώρουν ἐκεῖνον. Καὶ ἐπειδὴ ἐθεάσαντο, καὶ κατέμαθον αὐτοῦ ἀκριβῶς τὴν εὐλάβειαν, τὴν σοφίαν, τὸν ζῆλον τῆς πίστεως, πᾶσαν ἀπηρτισμένην ἐν αὐτῷ τὴν ἱερεῖ πρέπουσαν ἀρετὴν, τότε αὐτὸν πρὸς ἑαυτὸν ἐκάλεσεν ὁ Θεός.

Ἐγίνετο δὲ τοῦτο καὶ διὰ φειδῶ τῆς πόλεως τῆς ἡμετέρας. Εἰ γὰρ ἐνταῦθα τὴν ψυχὴν ἀφῆκεν, ἀφόρητος ἔμελλεν ὁ τῆς συμφορᾶς ὄγκος ἔσεσθαι. Τίς γὰρ ἂν ἠνέσχετο τὸν μακάριον ἐκεῖνον ἰδεῖν τὰς ἐσχάτας ἀναπνέοντα ἀναπνοάς; τίς ἂν ἠνέσχετο ἰδεῖν τὰ βλέφαρα ἐκεῖνα τῶν ὀφθαλμῶν καθαιρούμενα, καὶ στόμα συγκλειόμενον ἔσχατα ῥήματα ἐπισκῆπτον;

[a] Alii αἰσθανόμενοι, οὕτω καὶ αὐτοὶ πάσης.
[b] Unus cod. τῇ Θράκῃ.
[c] Hæc notant duo codd. : Τίς δὲ ἡ ἄλλη αἰτία; ἢ δῆλον ὅτι τὸν Γρηγόριον συνελθεῖν χειροτονῆσαι οἱ ρν' ἐπίσκοποι.

2. *Meletius urbe pulsus tegit caput præsidis, ne lapidibus obruatur.* — Operæ pretium est autem non illud prætermittere, quod accidit in ejus persequutione. Nam cum præses civitatis curru vectus exiret per medium forum, sedente ad latus sancto viro, lapides sive crebriores undique in caput præsidis ferebantur, civitate illam non ferente separationem, sed potius vita præsenti privari volente, quam videre sanctum illum avelli. Quid ergo tunc fecit ille beatus? Cum vidisset jactus lapidum, complexis suis vestibus contexit caput præsidis : simul et inimicos pudore afficiens ob insignem mansuetudinem, et suos docens discipulos, quantam ostendere oporteat patientiam in eos, qui injuria afficiunt; et quod non solum nihil oporteat eis mali facere, sed etiamsi ab aliis eis immineat periculum, id quoque omni studio propulsare. Quis tunc non fuit obstupefactus, videns et insanum amorem civitatis, et summam philosophiam lenitatemque et mansuetudinem doctoris? erant enim admirabilia ea, quæ tunc acciderunt. Pastor abigebatur, et oves non dispergebantur; gubernator expellebatur, et scapha non mergebatur; agricola fugabatur, et vitis plus fructus ferebat. Quoniam enim vinculo caritatis eratis inter vos invicem colligati, non illatæ tentationes, non impendentia pericula, non viæ longitudo, non diuturnitas temporis, neque quidquam aliud vos potuit disjungere a beati pastoris Meletii consuetudine, sed expellebatur quidem, ut esset procul a filiis : contrarium autem accidit. Magis enim vobis constringebatur vinculis caritatis, et accepta secum universa civitate in Armeniam profectus est. Et erat quidem corpus positum in patria, mens vero et cogitatio, veluti a quibusdam pennis, in altum elata a gratia Spiritus, et apud vos perpetuo degens universum hunc populum circumferebat in visceribus. Quod ipsum quoque vobis usu veniebat. Nam cum hic sederetis, et urbe circumscriberemini, spiritu caritatis in Armeniam quotidie evolantes, et sanctum vultum intuentes, et jucundissimam beatamque vocem audientes, sic revertebamini. Et propter hanc causam concessit Deus eum statim expelli e civitate, quo, sicut dixi, ostenderet Deus vestram fidei firmitatem inimicis, qui vos et illius in docendo peritiam oppugnabant.

Meletii reditus ab exsilio. — Illud autem hinc palam est. Nam post primam reversus persequutionem, non triginta solum dies, sed etiam menses, et annum unum et duos et plures hic est versatus. Cum enim satis magnum dedissetis argumentum vestræ circa fidem firmitatis, dedit vobis potestatem jucunde et secure fruendi patre. Erat enim maxima voluptas, illo sancto frui vultu. Non enim solum docens vel loquens, sed etiam si tantum videretur, satis erat ad introducendam omnem virtutis doctrinam in eorum, qui videbant, animam. Quando enim ad vos veniebat et universa civitas ei obviam processerat, alii quidem prope accedebant, et pedes prehensabant, et manus osculabantur, et vocem audiebant; alii autem prohibiti multitudine, ipsum procul videntes, tamquam qui sufficientem benedictionem ex aspectu accepissent, et non minus habuissent, quam qui prope fuissent, contenti recedebant : et quod flebat in apostolis, hoc in eo quoque contingebat. Sicut enim in apostolis, qui progredi et propius accedere non poterant, vel cum umbra eorum extenderetur et tangeret eos qui procul erant, eamdem attrahebant gratiam, et sani similiter recedebant (*Act.* 5. 15) : ita nunc quoque, qui non poterant accedere, tamquam aliquam spiritualem gloriam a sancto illo capite emissam, et ad eos, qui longissime aberant, pervadentem sentientes, etiam ab eo, omni benedictione ex solo aspectu repleti, omnes discedebant.

3. Cum autem visum esset communi Deo universorum eum vocare ex vita præsenti et in chorum angelorum referre, ne hoc quidem factum est temere, sed ipsum quidem vocant literæ Imperatoris, cum Deus movisset Imperatorem. Vocant vero ipsum non in propinquum locum, sed in ipsam Thraciam : ut et Galatæ, et Bithyni, et Cilices, et Cappadoces, et omnes, qui Thraciæ vicinas regiones habitant, nostra bona cognoscerent : ut qui erant ubique terrarum episcopi, tamquam in archetypum exemplar, in illius sanctitatem intuentes, et apertum exemplum ab eo accipientes, sui in hoc munere officii certissimam et clarissimam haberent regulam, quemadmodum oporteat administrare et regere Ecclesias. Nam propter urbis magnitudinem, et quod illic resideret Imperator, multi ex multis locis orbis terræ illuc tunc confluebant : episcopi autem Ecclesiarum, quod Ecclesiæ a longo bello et tempestate respirantes principium pacis et tranquillitatis acciperent, literis Imperatoris omnes illuc vocabantur. Tunc ergo hic quoque sanctus illuc accedit. Ac sicut in tribus pueris accidit, quando erant præconio renuntiandi et coronandi, exstincta vi ignis, fastu tyranni conculcato, confutato omni genere impietatis, ex universa orbe terræ erant eis congregati spectatores : nam qui ubique terrarum erant satrapæ, principes et toparchæ, propter aliam causam vocati, illos spectaverunt athletas; etiam tunc accidit, ut præclarum fieret beato Meletio theatrum, cum propter aliam causam vocati episcopi [1], qui ubique terrarum administrabant Ecclesias, accesserunt, et sanctum illum sunt contemplati. Postquam autem eum adspexissent, et accurate ejus didicissent pietatem, sapientiam atque zelum fidei, ut qui perfectam et absolutam in se haberet omnem virtutem, quæ decet sacerdotem, tunc eum ad se vocavit Deus.

Cur extra patriam moritur Meletius. — Ideo autem sic accidit, ut levius ferret nostra civitas. Nam si hic emisisset animam, futurum erat intolerabile pondus calamitatis. Quis enim sustinuisset videre beatum illum extremum emittentem spiritum? quis sustinuisset videre illa supercilia oculorum deprimi, osque claudi, et mandata edere novissima? quis hoc

[1] In hæc verba hujusmodi nota legitur in duobus Codicibus, *Quæ autem est alia causa? scilicet centum et quinquaginta Episcopi ad Gregorium convenerant.*

adspiciens non defecisset magnitudine calamitatis? Ne hoc ergo accideret, providit Deus, ut in aliena regione animam exhalaret, ut tempore, quod intercessit, hanc maximam præmeditati calamitatem, cum videremus ingredi corpus, nec animo consternaremur, cum mens jam esset luctui assuefacta : ut etiam contigit. Cum enim venerandum illud corpus excepit civitas, luxit quidem et valde ejulavit : sed luctum cito repressit, tam propter causam quam diximus, quam propter eam, quæ est dicenda.

Laus Flaviani episcopi. — Benignus enim et clemens Deus, misertus nostri doloris, alium cito nobis dedit pastorem, qui virtutes illius accurate referret. Qui cum sedem ascendisset, humili et lugubri veste nos statim exuit, et dolorem exstinxit, beati autem Meletii magis memoriam renovavit. Et dolor quidem flaccescebat, amor vero accendebatur vehementius, et omnino sublata fuit animi ægritudo : quamquam in amissione eorum, qui carissimi sunt, non ita solet evenire : sed quando quis filium carissimum, vel etiam honorabilem maritum amiserit mulier, donec ejus ferventem conservat memoriam, vehementior luctus animum occupat; quando vero succedens tempus luctum sedaverit, simul cum vehementia doloris exstincta est etiam, quæ vigebat, memoria : in hoc autem beato viro contrarium accidit : nam animi quidem ægritudo ejecta omnino fuit, recordatio vero non simul abiit cum dolore, sed aucta est vehementius. Testes autem estis vos, qui post tantum tempus, non secus ac apes favum, circumvolatis corpus beati Meletii : causa vero erat, non a natura ortus in illum amor, sed recti judicii ratiocinatio. Ideo non fuit morte exstincta sancti Meletii memoria, tempore non emarcuit; sed augetur et majus accipit incrementum, non in iis solum, qui viderunt, sed etiam in iis, qui non viderunt. Est enim hoc quoque admirabile, quod qui fuerunt illius vitæ tempore juniores, ii quoque accenduntur ad idem desiderium. Atque vos quidem senes in hoc superatis eos, qui non viderunt, quod cum eo versati estis, et fructum percepistis sanctæ ejus consuetudinis; qui autem non viderunt, in eo vos superant, quod cum virum non adspexerint, in ipsum non minus desiderium ostendant.

Intercessio Sanctorum. — Oremus itaque omnes simul tam magistratus quam privati, tam mulieres quam viri, tam senes quam juvenes, tam servi quam liberi, beatum ipsum Meletium harum precum socium accipientes. Est enim ei nunc major fiducia, et amor in nos ferventior, ut hæc nobis augeatur caritas, et nos omnes id consequamur, ut quomodo hic prope arcam istam adstamus (*a*), ita illic quoque prope beatum et æternum ejus tabernaculum esse, et bona æterna nobis reposita consequi possimus : quæ detur nobis omnibus obtinere, gratia et clementia Domini nostri Jesu Christi; per quem et quicum Patri gloria et imperium, simul cum sancto Spiritu, in sæcula sæculorum. Amen.

(*a*) Capsulam Reliquiarum ejus intelligit.

MONITUM

Hanc concionem habitam esse septima die Januarii anni 387 Epiphaniæ festum insequente, quo homiliam De baptismo Christi recitavit, ipsum concionis hujus initium aperte demonstrat : *Quod hesterno die pertimescebam*, inquit, *evenit, et ad effectum jam perductum est; nempe ubi festum præteriit, simul etiam multitudo a nobis abscessit, minorque nobis cœtus est factus.* Hæc porro confer cum initio homiliæ illius De baptismo Christi, ubi sic orditur Chrysostomus : *Omnes vos in lætitia hodie, ego vero in mœrore sum solus. Nam cum in hoc spirituale pelagus oculos meos converto, et immensas Ecclesiæ divitias complector, ac deinde perpendo fore, ut cum primum solemnitas ista præterierit, multitudo rursus ista resiliat ac discedat, crucior et animi dolore angor : quod cum tam multos liberos pepererit Ecclesia, non illis itidem in singulis collectis, sed in festo solummodo frui possit.* Hinc luce clarius commonstrari videtur, hanc de S. Luciano panegyrin habuisse Chrysostomum postridie, quam de baptismo Christi in Epiphania con-

HOMILIA PANEGYRICA

IN S. MARTYREM LUCIANUM (*a*).

1. *In socordiam quorumdam invehitur; fluxam demonstrat divitiarum naturam.* — Quod hesterno die

(*a*) Collata cum Codicibus Reg. 2343, et Colbertin. 970, in quo postremo habetur post Homiliam de Baptismo Christi, quæ in Edit. Morel. est Tom. 1, pag. 275. Sequitur Homilia de Spiritu S. et contra Arianos, quæ in Edit. Morel. est

τίς βλέπων ταῦτα [a] οὐκ ἂν ἐξέστη τῷ μεγέθει τῆς συμφορᾶς; Ἵν' οὖν μὴ τοῦτο γένηται, ᾠκονόμησεν ὁ Θεὸς ἐπ' ἀλλοτρίας αὐτὸν ἀφεῖναι τὴν ψυχήν, ἵν' ἐν τῷ μεταξὺ χρόνῳ προμελετήσαντες τὴν συμφορὰν, ὅταν ἴδωμεν εἰσελθόντα τὸν νεκρὸν, μὴ καταπλαγῶμεν τὴν ψυχὴν, ἐνεθισθείσης τῷ θρήνῳ τῆς διανοίας· ὃ δὴ καὶ ἐγένετο. Ἐπειδὴ γὰρ τὸ ἅγιον ἐκεῖνο σῶμα ἡ πόλις ἐδέξατο, ἐπένθησε μὲν καὶ οὕτω, καὶ ἀνωλόλυξε μέγα· ἀλλὰ ταχέως κατέλυσε τὸ πένθος, ἀπό τε τῆς εἰρημένης αἰτίας, καὶ τῆς μελλούσης ῥηθήσεσθαι [b].

Ὁ γὰρ φιλάνθρωπος Θεὸς κατελεήσας ἡμᾶς τῆς ὀδύνης, ταχέως ἡμῖν ἕτερον ποιμένα ἀνέδειξε, μετὰ πολλῆς ἀκριβείας τοὺς ἐκείνου διατηροῦντα χαρακτῆρας, καὶ τὴν εἰκόνα τῆς ἀρετῆς διασώζοντα πάσης· ὃς καὶ ἐπὶ τὸν θρόνον ἀναβὰς, εὐθέως τὴν πενθήρη στολὴν ἡμᾶς ἀπέδυσε, καὶ τὴν ὀδύνην ἔσβεσε, τὴν δὲ τοῦ μακαρίου μνήμην ἀνενέωσε μᾶλλον. Καὶ τὸ μὲν ἄλγος ἐμαραίνετο, ὁ δὲ ἔρως σφοδρότερον ἀνήπτετο, καὶ ἡ ἀθυμία τέλεον ἀνῃρεῖτο· καίτοι γε ἐν ταῖς ἀποβολαῖς τῶν φιλτάτων οὐχ οὕτω συμβαίνειν εἴωθεν· ἀλλ' ὅταν τις υἱὸν ποθεινὸν, ἢ καὶ ἄνδρα αἰδέσιμον ἀποβάλῃ γυνὴ, ἕως μὲν ἂν αὐτοῦ διατηρῇ τὴν μνήμην ζέουσαν, καὶ τὸ πένθος σφοδρότερον ἐντρέφεται τῇ ψυχῇ· ὅταν δὲ χρόνος ἐπεισελθὼν καταμαλάξῃ τὸ πένθος, συναπεσβέσθη τῇ σφοδρότητι τῆς ὀδύνης καὶ τὸ τῆς μνήμης ἀκμάζον· ἐπὶ δὲ τοῦ μακαρίου τούτου τοὐναντίον ἐγίγνετο· ἡ μὲν ἀθυμία παντελῶς ἐξεβάλλετο, ἡ δὲ μνήμη οὐ συναπῄει τῇ λύπῃ, ἀλλὰ σφοδρότερον ηὔξετο. Καὶ μάρτυρες ὑμεῖς οἱ μετὰ τοσοῦτον χρόνον καθάπερ μέλισσαι κηρίῳ περιιπτάμενοι τῷ σώματι τοῦ μακαρίου Μελετίου· τὸ δὲ αἴτιον οὐ φύσεως ἦν τὸ πρὸς ἐκεῖνον φίλτρον, ἀλλὰ κρίσεως ὀρθῆς λογισμός. Διὰ τοῦτο οὐκ ἐσβέσθη θανάτῳ, οὐκ ἠμαυρώθη χρόνῳ· ἀλλ' αὔξεται, καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσιν· οὐχὶ τῶν ἑωρακότων μόνον ὑμῶν αὐτὸν, ἀλλὰ καὶ τῶν οὐκ εἰδότων. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ὅσοι νεώτεροι τῆς ἐκείνου ζωῆς γεγόνασι, καὶ οὗτοι αὐτοὶ πρὸς τὸν αὐτὸν ἐκκαίονται πόθον. Ὑμεῖς μὲν οὖν οἱ πρεσβῦται πλεονεκτεῖτε τῶν οὐχ ἑωρακότων αὐτὸν αὐτὸ δὴ τοῦτο τὸ συγγενέσθαι, καὶ τῆς ἁγίας [523] ἀπολαῦσαι συνουσίας· οἱ δὲ οὐχ ἑωρακότες πλεονεκτοῦσιν ὑμῶν, ὅτι μὴ τεθεαμένοι τὸν ἄνδρα, ὑμῶν τῶν ἑωρακότων οὐκ ἐλάττονα περὶ αὐτὸν ἐπιδείκνυνται πόθον. Εὐξώμεθα δὴ κοινῇ πάντες, ἄρχοντες καὶ ἀρχόμενοι, γυναῖκες καὶ ἄνδρες, πρεσβῦται καὶ νέοι, δοῦλοι καὶ ἐλεύθεροι, αὐτὸν τὸν μακάριον Μελέτιον κοινωνὸν τῆς εὐχῆς ταύτης λαβόντες (καὶ γὰρ πλείων αὐτῷ παρρησία νῦν, καὶ θερμότερον πρὸς ἡμᾶς τὸ φίλτρον), αὐξηθῆναι τὴν ἀγάπην, καὶ καταξιωθῆναι πάντας ἡμᾶς, καθάπερ ἐνταῦθα πλησίον τῆς λάρνακος ταύτης ἐσμὲν, οὕτω κἀκεῖ δυνηθῆναι γενέσθαι πλησίον τῆς αἰωνίας αὐτοῦ σκηνῆς, καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Hæc, βλέπων ταῦτα, desunt in duobus codicibus.

[b] In hæc, καὶ τῆς μελλούσης ῥηθήσεσθαι, in unius codicis margine legitur Περὶ Φλαβιανοῦ λέγει.

AD HOMILIAM IN SANCTUM LUCIANUM MARTYREM.

cionatus erat. Hæc porro De baptismo Christi homilia incidit in annum Christi 387, ut in Monito ibidem probatur.

Martyrium vero S. Luciani Presbyteri Antiocheni, qui fame et cruciatibus multis, ut ait Chrysostomus, Christi nomen gloriose confessus est, accidit anno 311, vel 312, in persecutione Maximini. Martyrologium Romanum ad diem 7 Januarii sancti Luciani festum annuntiat. Hunc Ariani suarum partium fuisse mentiebantur, quoniam ex ejus discipulis quidam se in Arianorum castra conjecerunt. Imo ipse Arius itemque Eusebius Nicomediensis, sectæ illius primipilares, Luciani discipuli fuerant et sese Collucianistas vocabant. Verum illi a Luciani doctrina, simulque a fide Catholica desciverant.

Interpretatio Latina est Frontonis Ducæi, quam paucissimis in locis emendavimus.

[524] ΟΜΙΛΙΑ ΕΓΚΩΜΙΑΣΤΙΚΗ.

Εἰς τὸν ἅγιον μάρτυρα Λουκιανόν [a].

α'. Ὅπερ χθὲς ἐδεδοίκειν ἐξέβη, καὶ τέλος ἔλαβε νῦν, καὶ τῆς ἑορτῆς ἀπελθούσης, καὶ τὸ πλῆθος ἡμῖν συν-

[a] Hujus homiliæ titulus sic legitur in codice Colbertino 970: Τοῦ αὐτοῦ τῇ ἐπαύριον τῶν Φώτων. Ἐλέχθη εἰς τὸν ἅγιον μάρτυρα Λουκιανόν. Savil. item: Εἰς τὸν ἅγιον μάρτυρα Λουκιανόν. Ἐλέχθη τῇ ἐπαύριον τῶν Φώτων. Initio statim Savil. in textu παρελθούσης, in marg. vero ἀπελθούσης, et sic Morel. et Colb.

απεδήμησε, καὶ ἐλάττων ἡμῖν ὁ σύλλογος γέγονε. Καὶ ἤδειν μὲν τοῦτο συμβησόμενον πάντως· οὐ μὴν δὲ διὰ τοῦτο τῆς παραινέσεως ἀπέστην· εἰ γὰρ καὶ μὴ [a] πάντες ἐπείσθησαν οἱ χθὲς ἀκούσαντες, ἀλλ' οὐδὲ πάντες ἠπείθησαν· οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίας λόγον ἡμῖν· διόπερ οὐδὲ σήμερον ἀποστήσομαι ταύτης τῆς συμβουλῆς· εἰ γὰρ καὶ μὴ δι' ἡμῶν, ἀλλά γε δι' ὑμῶν πάντως ἀκούσονται τὰ λεγόμενα. Τίς γὰρ δυνηθείη σιγῇ τὴν τοσαύτην αὐτῶν ῥᾳθυμίαν ἐνεγκεῖν, ἢ μεταδοῦναι συγγνώμης καὶ ἀπολογίας αὐτοῖς, οἳ διὰ τοσούτου χρόνου τὴν μητέρα ἰδόντες, καὶ τῶν ἐν αὐτῇ καλῶν ἀπολαύσαντες ἀπέστησαν, καὶ οὐκ ἠνέσχοντο τὸ δεύτερον ἐπιστρέψαι [b] πάλιν, οὐδὲ τὴν τοῦ Νῶε περιστερὰν, ἀλλὰ τὸν κόρακα ἐμιμήσαντο, καὶ ταῦτα τοῦ κλυδωνίου μένοντος ἔτι, καὶ τοῦ χειμῶνος ἐκείνου, καὶ χαλεπωτέρας καθ' ἑκάστην ἡμέραν ἐγειρομένης ζάλης, καὶ τῆς ἁγίας ταύτης κιβωτοῦ προκειμένης ἐν μέσῳ, καὶ πάντας καλούσης, καὶ πρὸς ἑαυτὴν ἐπισπωμένης, καὶ πολλὴν τοῖς καταφεύγουσι παρεχούσης τὴν ἀσφάλειαν; Οὐ γὰρ ὑδάτων, οὐδὲ κυμάτων ἐμβολὰς, ἀλλὰ τῶν ἀλογωτάτων παθῶν τὰς συνεχεῖς ἀποκρούεται ἐπαναστάσεις, καὶ φθόνον ἀναιρεῖ, καὶ ἀπόνοιαν καταστέλλει. Οὔτε γὰρ ὁ πλούσιος ἐνταῦθα τοῦ πένητος ὑπεριδεῖν δυνήσεται, ἀκούων παρὰ τῶν θείων Γραφῶν, ὅτι *Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου*· οὔτε ὁ πένης πλουτοῦντα ἕτερον ἰδὼν βασκανίᾳ ἁλώσεται, ἀκούων καὶ αὐτὸς ἑτέρου προφήτου λέγοντος· *Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.* Τοιαύτη γὰρ τῆς εὐπορίας ταύτης ἡ φύσις· οὐ συμμεθίσταται τοῖς ἔχουσιν, οὐ συναποδημεῖ τοῖς κεκτημένοις, οὐ παρίσταται κρινομένοις ἐκεῖ καὶ εὐθύνας ὑπέχουσιν, ἀλλ' ὑπὸ τοῦ θανάτου διακόπτεται πάντως· πολλοὺς δὲ καὶ πρὸ τοῦ θανάτου κατέλιπεν· ἄπιστος ἡ χρῆσις, ἀβέβαιος ἡ ἀπόλαυσις, ἐπικίνδυνος ἡ κτῆσις. Ἀλλ' οὐ τὰ τῆς ἀρετῆς τοιαῦτα, καὶ τὰ τῆς ἐλεημοσύνης· ἀλλ' ἔστιν ἄσυλος οὗτος ὁ θησαυρός. Πόθεν τοῦτο δῆλον; Ὁ περὶ τοῦ πλούτου τούτου φιλοσοφήσας καὶ εἰπὼν, ὅτι *Οὐ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ*, οὗτος καὶ περὶ τῶν τῆς ἐλεημοσύνης θησαυρῶν, τῶν ἀεὶ μενόντων καὶ μηδέποτε συλωμένων, ἐπαίδευσεν ἡμᾶς οὕτως εἰπών· *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.* Τί τούτου παραδοξότερον γένοιτ' ἄν; Τὰ συλλεγόμενα ἀπόλλυνται, καὶ τὰ σκορπιζόμενα μένει, καὶ μάλα [525] εἰκότως. Τὰ μὲν γὰρ ὁ Θεὸς ὑποδέχεται, ἐκ δὲ τῆς τοῦ Θεοῦ χειρὸς οὐδεὶς ἁρπάζειν δύναται· τὰ δὲ ἐν ἀνθρωπίνοις ἀποτίθεται θησαυροῖς· ἔνθα πολλαῖς ὑπόκειται ταῖς ἐπιβουλαῖς [c], ἔνθα πολὺς ὁ φθόνος καὶ ἡ βασκανία. Μὴ τοίνυν ἀμελῇς, ἀγαπητὲ, τῆς ἐνταῦθα διατριβῆς· κἂν γάρ τις ἀθυμίᾳ ἐνοχλῇ, ἐνταῦθα φυγαδεύεται· κἂν φροντίδες βιωτικαὶ, δραπετεύουσι· κἂν ἄλογα πάθη, σβέννυται· ἀπὸ δὲ τῆς ἀγορᾶς, καὶ τῶν θεάτρων, καὶ τῶν ἄλλων συλλόγων τῶν ἔξωθεν πολλὰς ἐπισυρόμενοι φροντίδας, καὶ ἀθυμίας, καὶ ψυχῆς νόσους, οἴκαδε ἀναχωροῦμεν. Ἂν ἐνταῦθα διατρίβῃς συνεχῶς, καὶ ἅπερ ἔλαβες ἔξωθεν κακὰ ἀποθήσῃ πάντως· ἂν δὲ ἀποπηδᾷς καὶ φεύγῃς καὶ ἅπερ ἐκτήσω παρὰ τῶν θείων Γραφῶν ἀγαθὰ ἀπολεῖς πάντως, κατὰ μικρὸν ἐκ τῶν ἔξω συνεδρίων καὶ διαλέξεων ὑποσυρομένης σου τῆς εὐπορίας. Καὶ ὅτι ταῦτά ἐστιν ἀληθῆ, ἀναχωροῦντες ἐντεῦθεν σπουδάσατε τοὺς σήμερον ἀπολειφθέντας ἰδεῖν, καὶ ὄψεσθε πόσον τὸ μέσον τῆς ὑμετέρας εὐθυμίας καὶ τῆς ἐκείνων ἀθυμίας [d]. Οὐχ οὕτως ἐστὶ νύμφη καλὴ καὶ ἐπίχαρις ἐν παστάδι καθημένη, ὡς ἔστι ψυχὴ θαυμαστὴ καὶ ἔνδοξος ἐν Ἐκκλησίᾳ φαινομένη, μύρων πνέουσα πνευματικῶν. Ὁ γὰρ ἐνταῦθα μετὰ πίστεως καὶ σπουδῆς παραγινόμενος, μυρίους λαβὼν ἄπεισι θησαυρούς· κἂν ἀνοίξῃ τὸ στόμα μόνον, πάσης εὐωδίας εὐθέως καὶ πλούτου πνευματικοῦ τοὺς συγγινομένους ἐνέπλησε κἂν μυρία προσπέσῃ δεινὰ, πάντα οἴσει ῥᾳδίως, ἱκανὴν ἀφορμὴν ἀπὸ τῶν θείων Γραφῶν ὑπομονῆς καὶ φιλοσοφίας ἐντεῦθεν λαβών. Καὶ καθάπερ ὁ διηνεκῶς ἐπὶ τῆς πέτρας ἑστὼς [e] τῶν κυμάτων καταγελᾷ, οὕτως ὁ συνάξεως ἀπολαύων διηνεκοῦς, καὶ τοῖς θείοις ἀρδευόμενος λόγοις, καθάπερ ἐπὶ πέτρας τῆς ὀρθῆς τῶν πραγμάτων κρίσεως στήσας ἑαυτὸν, οὐδενὶ τῶν ἀνθρωπίνων ἁλώσεται, ἀνώτερον τῆς τῶν βιωτικῶν πραγμάτων καταστήσας ἑαυτὸν ἐπιδρομῆς [f]· οὐκ ἀπὸ συμβουλῆς δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ εὐχῆς, καὶ ἀπὸ πατρικῆς εὐλογίας, καὶ ἀπὸ κοινῆς συνόδου, καὶ ἀπὸ τῆς τῶν ἀδελφῶν ἀγάπης, καὶ ἐξ ἑτέρων μυρίων πολλὴν ὠφέλειαν καὶ ψυχαγωγίαν καρπωσάμενος, οὕτως ἀνεχώρησε, μυρία οἴκαδε φέρων ἀγαθά. Ὅρα οὖν πόσης μὲν ὑμεῖς σήμερον ἀπολαύσεσθε τῆς εὐλογίας, πόσην δὲ ὑποστήσονται ἐκεῖνοι τὴν ζημίαν. Ὑμεῖς μὲν γὰρ μαρτύρων μισθὸν λαμβάνοντες ἀπελεύσεσθε· ἐκεῖνοι δὲ πρὸς τῷ τοῦ κέρδους ἀποστερηθῆναι τούτου, καὶ ἑτέραν ὑποστήσονται ζημίαν, ἐκ τῶν ἀνονήτων διατριβῶν πολὺν φροντίδων ἐπισυρόμενοι φορυτόν. *Ὥσπερ γὰρ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται*· οὕτως ὁ δεχόμενος μάρτυρα εἰς ὄνομα μάρτυρος, μισθὸν μάρτυρος λήψεται· ὑποδοχὴ δὲ μάρτυρος τὸ συνελθεῖν εἰς τὴν ἐκείνου μνήμην, τὸ κοινωνῆσαι [526] τῆς διηγήσεως τῶν ἄθλων, τὸ θαυμάσαι τὰ γεγενημένα, τὸ ζηλῶσαι τὴν ἀρετὴν, τὸ εἰς ἑτέρους ἐξενεγκεῖν τὰς ἀνδραγαθίας τὰς ἐκείνου· ταῦτα τῶν μαρτύρων τὰ ξένια· οὕτω τοὺς ἁγίους τούτους τις ὑποδέχεται, καθάπερ οὖν καὶ ὑμεῖς τήμερον πεποιήκατε.

β'. Χθὲς μὲν οὖν ὁ Δεσπότης ἡμῶν ὕδατι ἐβαπτίσατο, σήμερον δὲ ὁ δοῦλος αἵματι βαπτίζεται· χθὲς ἠνεῴχθησαν οὐρανοῦ πύλαι, σήμερον κατεπατήθησαν ἅδου πύλαι. Καὶ μὴ θαυμάσητε, εἰ βάπτισμα τὸ μαρτύριον ἐκάλεσα· καὶ γὰρ καὶ ἐνταῦθα τὸ Πνεῦμα μετὰ πολλῆς ἐφίπταται τῆς δαψιλείας, καὶ ἁμαρτημάτων ἀναίρεσις καὶ ψυχῆς γίνεται καθαρμὸς θαυμαστός τις καὶ παράδοξος· καὶ ὥσπερ οἱ βαπτιζόμενοι τοῖς ὕδασιν, οὕτως οἱ μαρτυροῦντες τῷ ἰδίῳ λούονται αἵματι·

[a] Reg. et Colb. εἰ γὰρ μή.
[b] Savil. ὑποστρέψαι.
[c] Sic omnes et Savil. in marg., sed Savil. in textu ἔνθα πολλαὶ αἱ ἐπιβουλαί.
[d] Savil. in textu, Reg. et Colbert. ῥᾳθυμίας Savil. in marg. et Morel. ἀθυμίας.
[e] Savil. in marg. ἐπὶ τῆς θαλάσσης, καὶ ἐπὶ τῆς πέτρας ἀσφαλῶς ἑστώς.
[f] Sic Savil., Reg. et Colb., atque ita legit interpres; Morel. vero ἀνώτερον τῆς τῶν βιωτικῶν πραγμάτων ἐπιδρομῆς γεγονώς.

pertimescebam, evenit et ad effectum jam perductum est; nempe ubi festum præteriit, simul etiam multitudo nobis abscessit, minorque nobis cœtus est factus. Hoc equidem prorsus eventurum sciebam, non tamen idcirco destiti a cohortatione : licet enim haud omnes morem gesserint, qui hesterna luce audierunt, non tamen omnes etiam non obtemperarunt : neque vero parum apud nos ad consolationem hoc valet; quamobrem neque hodierno die ab hac admonitione desistam: nam si minus ex nobis, ex vobis quidem certe audient quæ dicuntur. Quis enim tantam illorum socordiam silentio ferre possit, aut venia illos et excusatione dignos ducere, qui cum tanto tempore matrem vidissent, et bonorum, quæ in ea sunt, participes facti essent, recesserunt, neque rursus reverti dignati sunt, nec columbam Noe (*Gen.* 8), sed corvum imitati sunt; idque dum æstus adhuc et tempestas illa perseverat, graviorque quotidie procella excitatur, ac proposita in medio arca ista sancta cunctos advocat, ad se pellicit, et multam præbet ad se confugientibus securitatem? Non enim aquarum neque fluctuum irruptiones, sed continuas alienissimarum a ratione perturbationum seditiones coercet, invidiam tollit et arrogantiam refrænat. Nam neque dives despicere pauperem poterit, cum ex Scripturis audiet, *Omnis caro fœnum, et omnis gloria hominis quasi flos fœni* (*Isai.* 40. 6) : neque pauper alterum ditescentem videns invidia capietur, cum et ipse audiet alterum Prophetam dicentem, *Ne timueris cum dives factus fuerit homo, et cum multiplicata fuerit gloria domus ejus. Quoniam cum interierit non sumet omnia; neque descendet cum eo gloria ejus* (*Psal.* 48. 17. 18). Talis namque est opum istarum natura : non transferuntur cum dominis; non cum possessoribus transmigrant; non in judicium vocatis illic ac pœnas luentibus patrocinantur, sed per mortem penitus præciduntur; imo multos etiam ante mortem deseruerunt : infidus est usus, fructus instabilis, periculosa possessio. At non ejusmodi sunt virtutis et eleemosynæ bona, verum a prædatione tutus est hic thesaurus. Unde hoc constat? Qui de divitiis istis philosophando dixit, *Non descendet cum eo gloria ejus post eum*, hic et de eleemosynæ thesauris, qui permanent semper nec unquam compilantur, nos erudivit, cum ita dixit : *Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum* (*Psal.* 111. 9). Quid hoc mirabilius esse possit? Quæ colliguntur pereunt, et manent quæ disperguntur, ac merito sane : nam ista quidem suscipit Deus; cæterum ex Dei manu rapere nemo potest : illa vero in hominum thesauris reponuntur, ubi multis insidiis sunt obnoxia, ubi multa invidia et livor. Noli ergo, dilectissime, loci hujus frequentationem contemnere : sive enim mœror aliquis negotium facessat, hic relegatur : sive curæ sæculares, aufugiunt : sive alienæ a ratione perturbationes, sedantur : a foro autem et theatris ac cæteris profanis conventibus, multis accumulatis curis ac mœroribus animæque morbis, domum redimus. Si hic assidue

Tom. 6, pag. 206, et postea hæc in S. Lucianum, hoc titulo, *Ejusdem postridie illuminatorum. Habita fuit in sanctum martyrem Lucianum.*

verseris, prorsus etiam ea quæ foris contraxisti mala depones : sin autem resilias fugiasque, illa etiam, quæ sacrarum ope Scripturarum bona tibi comparasti, prorsus amittes, tuæque opes sensim a profanis illis consessibus et colloquiis subripientur. Atque ut hæc vera esse noscatis, cum hinc discesseritis, eos qui hodie abfuerunt videre studete, tum quantum inter vestram animi tranquillitatem et illorum anxietatem intersit, animadvertetis. Non ita pulchra est ac venusta sponsa in thalamo sedens, ac mirabilis est anima gloriosaque, dum in ecclesia spiritualia spirans unguenta comparet. Qui enim huc cum fide ac studio ventitat, innumeris thesauris ditatus abscedit : etsi tantum os aperuerit, omni odorum suavitate continuo ac spiritualibus opibus complebit illos, qui congressu ejus fruuntur; etsi sexcentæ ingruerint calamitates, omnes æquo animo feret : utpote qui e Scripturis divinis patientiæ philosophiæque sufficientem occasionem hinc acceperit. Et sicut is, qui perpetuo in rupe consistit, fluctus despicit [1] : sic et is, qui assidue collecta perfruitur, ac divinis sermonibus irrigatur, tamquam in rupe in recto rerum judicio se ipsum collocavit, nullis rebus humanis capietur : ut qui multo altius se provexerit, quam quo possent negotiorum sæcularium incursiones pertingere. Neque vero tantum ex admonitione, sed etiam ex precibus, ex paterna benedictione, ex communi conventu fratrumque caritate, atque aliis sexcentis ex rebus multa utilitate atque animi oblectatione percepta solet discedere, atque innumera bona domum reportare. Perpende itaque hodie quanta vos benedictione cumulandi sitis, quanto illi damno mulctandi. Nam vos quidem martyrum mercede percepta discedetis : illi vero præterquam quod lucro isto privabuntur, alio quoque damno afficientur, quod ex futilibus occupationibus multas sollicitudinum sordes contrahent. Quemadmodum enim is *Qui recipit prophetam in nomine prophetæ, mercedem prophetæ accipiet; et qui justum recipit in nomine justi, mercedem justi accipiet* (*Matth.* 10. 41) : sic et is qui martyrem recipit in nomine martyris, mercedem martyris accipiet. Tum vero quis martyrem recipit, cum ad ejus memoriam convenit, cum ejus certaminum narrationis fit particeps, cum facta collaudat, cum virtutes imitatur, cum apud cæteros præclara illius facinora prædicat. Hæc martyrum hospitalia sunt dona; sic istos sanctos quis suscipit, sicut et vos utique hodierno die fecistis.

2. *Martyrium est Baptismus.* — Heri itaque Dominus quidem noster aqua baptizatus est (*a*), hodie vero servus sanguine baptizatur : hesterno die cæli portæ sunt reseratæ, hodie inferorum portæ sunt conculcatæ. Neque miremini, quod baptismum martyrium nuncuparim : nam et hic Spiritus cum multa advolat ubertate, ac peccatorum abolitio et animæ fit purgatio quædam mirabilis ac stupenda : et quemadmodum ii, qui baptizantur, aquis, ita qui martyrium

[1] Savil. in marg., *qui in mari et in rupe secure consistit, fluctus despicit.*

(*a*) Epiphaniorum festum memorat.

patiuntur, proprio sanguine abluuntur ; quod utique et in isto evenit. Verum antequam de cæde, operæ pretium est ut de diaboli versutia verba faciamus. Nam cum omne suppliciorum ac pœnarum genus ab eo derisum animadverteret, ac se neque accensa fornace, neque barathro effosso, neque rota parata, neque cum in equuleum sustulisset, neque cum in præcipitia projecisset, neque cum dentibus ferarum objecisset, sancti philosophiam superare potuisse : aliud acerbius genus excogitavit, quærensque circumibat, ut supplicium inveniret, quod simul et acerbissimum esset et longissimum. Quoniam enim eæ quidem pœnæ, quæ sunt intolerabiles, hoc afferunt, ut iis ocyssime liberemur ; quæ vero longiores sunt, aliquid subtrahunt de dolore : reperire pœnam studuit, in qua utrumque simul esset, et diuturnitas et intolerabilis doloris excessus, ut cum vehementia tum diuturnitas temporis animum ejus constantem dejiceret.

Fame torquetur Lucianus ; idolothyta respuit. — Quid ergo facit ? Fami sanctum hunc exponit. At tu cum de fame audis, ne quod dictum est oscitanter prætereas : est enim illa mors omnium acerbissima, quod illi, qui sunt experti, testantur : absit enim ut id nos experiamur : recte namque sumus edocti, ut oremus, ne in tentationem intremus (*Matth.* 26. 41). Etenim tamquam visceribus intus insidens carnifex quispiam omnia membra dilaniat, quovis igne feraque sævius corpus omni ex parte corrodit, ac continuum et inexplicabilem dolorem inurit. Atque ut quanta res sit fames intelligas, etiam liberos sæpenumero devorarunt matres, cum istius mali violentiam ferre non possent. Et hanc deplorans calamitatem propheta dicebat, *Manus mulierum misericordium coxerunt filios suos* (*Thren.* 4. 10). Quos pepererant comedebant, et natorum infantium venter, qui pepererat, sepulcrum efficiebatur, et naturam fames superavit ; imo vero non naturam modo, sed etiam voluntatem : at hujus sancti generositatem minime superavit. Quis ergo, cum hæc audierit, non obstupescat ? Tametsi quid potentius est natura ? quid contra voluntate mutabilius ? Verum ut nihil esse Dei timore validius scias, vehementius aliquid esse natura voluntatem apparuit, eaque matres vicit, ac partus oblivisci coegit : hunc vero sanctum supplantare non potuit, neque philosophiam supplicium vicit, neque fortitudinem pœna superavit : sed quovis adamante firmior permanebat, seque bona spe oblectabat ; materiam agonum se nactum gloriabatur, et ex certaminum oblata occasione consolabatur, præsertim quotidie Paulum dicentem audiens : *In fame et siti, in frigore et nuditate* (2. *Cor.* 11. 27) : et rursus, *Usque in hanc horam et esurimus, et sitimus, et nudi sumus, et colaphis cædimur* (1. *Cor.* 4. 11). Noverat quippe, noverat probe illud, *Non in solo pane vivet homo, sed in omni verbo quod procedit de ore Dei* (*Matth.* 4. 4). Ut autem illum improbus dæmon vidit tanta rei necessitate non frangi, graviorem cruciatum reddidit : etenim sumptis idolothytis, eisque mensa referta, ante conspectum ejus collocari eam curavit, ut facultas utendi animi robur infringeret. Non enim adeo irretiri solemus cum res eæ, quibus allicimur, non apparent, ac cum oculis obversantur ; quandoquidem et mulierum cupiditatem facilius quis superaverit, dum mulierem formosam non videt, quam si sæpe oculos in eam intendat. Verumtamen has quoque insidias justus vicit, quodque fortitudinem ejus diabolus infracturum putabat, hoc eum magis ad certamina corroboravit et instruxit : non enim tantum nihil ab idolothytorum aspectu lædebatur, sed ea magis idcirco adversabatur et oderat. Et quemadmodum erga inimicos afficimur, quos quia videmus, tanto eos odio majori prosequimur et aversamur : sic et ille tunc erga impuram illam victimam afficiebatur ; eo magis detestabatur ac refugiebat, quod videbat, et appositorum ciborum aspectus majus odium in eo atque aversationem excitabat : dumque intus magna illum voce sollicitaret fames, et apposita degustare juberet, tum Dei timor ejus manus reprimebat, et ut ipsius naturæ oblivisceretur, efficiebat ; dumque pollutam et exsecrandam mensam intueretur, alterius mensæ tremendæ ac Spiritu repletæ (*a*) recordabatur, adeoque inflammabatur, ut quævis sustinere ac pati statueret potius, quam impuros illos cibos degustare. Recordabatur et illius trium puerorum mensæ (*Dan.* 1. 8), qui juvenes capti, omnique patrocinio destituti, in terra aliena ac barbara regione tantam philosophiam ostenderunt, ut ad hunc usque diem ipsorum fortitudo celebretur. Ac Judæi quidem dum suam etiam regionem obtinerent, impii in Deum fuerunt, et dum in templo versarentur, idola colnerunt : at illi juvenes in barbaricam terram translati, ubi idola omnisque impietatis occasiones erant, paternos ritus perpetuo retinuerunt. Si ergo captivi, servi, ac juvenes ante legem gratiæ tantam philosophiam præ se tulerunt, inquit, qua tandem nos venia digni erimus, si ne ad eamdem quidem atque illi virtutem pervenire valeamus ?

3. Hæc itaque secum reputans diaboli malitiam irridebat, calliditatem contemnebat ; neque ad quidquam eorum, quæ cerneret, flectebatur Postquam autem se nihil proficere sceleratus ille vidit, ad tribunal eum rursus deducit, et tormentis admotis frequenter interrogabat : ille vero ad unamquamque interrogationem tantum respondebat, Christianus sum, ac dicente tortore, Quanam ex patria ortus es ? Christianus sum, ait ; Quam artem profiteris ? Christianus sum ; Quibus parentibus natus es ? ille vero ad omnia dicebat, Christianus sum : hoc uno ac simplici verbo diaboli caput percutiens, et illi continua sibique succedentia vulnera infligens. Quamquam ille quidem externis imbutus fuerat disciplinis, at probe noverat in ejusmodi certaminibus non esse opus eloquentia, sed fide ; non dicendi facultate, sed anima Dei amore succensa. Unum, inquit, verbum ad omnem diaboli turmam in fugam vertendam sufficit. Ac videtur quidem iis, qui rem accurate non exami-

(*a*) Sacrum intelligebat altare.

δ δὴ καὶ ἐπὶ τούτου γεγένηται. Ἀλλὰ γὰρ πρὸ τῆς σφαγῆς ἀναγκαῖον εἰπεῖν τοῦ διαβόλου τὴν πανουργίαν. Συνιδὼν γὰρ ἐκεῖνος ὅτι πάσης τιμωρίας καὶ κολάσεως εἶδους κατεγέλασε [a], καὶ οὔτε κάμινον ἀνάψας, οὔτε βάραθρον ὀρύξας, οὔτε τροχὸν εὐτρεπίσας, οὔτε εἰς ξύλον ἀναγαγὼν, οὔτε εἰς χρημνοὺς ῥίψας, οὔτε εἰς θηρίων ὀδόντας ἐμβαλὼν ἴσχυσε περιγενέσθαι τῆς τοῦ ἁγίου φιλοσοφίας, ἕτερον ἐπενόησε χαλεπώτερον τρόπον, καὶ περιῄει ζητῶν τιμωρίαν εὑρεῖν, ὥστε τὴν αὐτὴν ὁμοῦ καὶ δριμυτάτην γενέσθαι καὶ μακροτάτην. Ἐπειδὴ γὰρ τῶν κολάσεων αἱ μὲν ἀφόρητοι ταχίστην παρέχουσι τὴν ἀπαλλαγὴν, αἱ δὲ ἐπιμηκέστεραι ὑποτέμνονται τὴν ὀδύνην, ἐσπούδασεν εὑρεῖν κόλασιν ὁμοῦ τε τὰ ἀμφότερα ἔχουσαν, καὶ μῆκος καὶ ὑπερβολὴν ὀδύνης ἀνήκεστον, ἵνα καὶ τῇ σφοδρότητι καὶ τῷ πλήθει τοῦ χρόνου τὸ στερρὸν καταβάλῃ τῆς αὐτοῦ διανοίας.

Καὶ τί ποιεῖ; Λιμῷ τὸν ἅγιον παραδίδωσι τοῦτον· σὺ δὲ λιμὸν ἀκούσας μὴ παρέλθῃς ἁπλῶς τὸ λεγόμενον· ἁπάντων γὰρ θανάτων οὗτός ἐστι χαλεπώτατος. Καὶ μάρτυρες οἱ πεῖραν εἰληφότες· μὴ γὰρ δὴ ἡμεῖς πεῖραν λάβοιμεν· καλῶς γὰρ ἐδιδάχθημεν εὔχεσθαι, μὴ εἰσελθεῖν [b] εἰς πειρασμόν. Καθάπερ γὰρ δήμιός τις τοῖς σπλάγχνοις ἔνδον καθήμενος ἅπαντα καταξαίνει τὰ μέλη, πυρὸς παντὸς καὶ θηρίου σφοδρότερον κατεσθίων πάντοθεν τὸ σῶμα, διηνεκῆ τινα καὶ ἄῤῥητον παρέχων ὀδύνην. Καὶ ἵνα μάθῃς ὅσον ἐστὶ λιμὸς, καὶ τέκνων ἀπεγεύσαντο μητέρες πολλάκις, τὴν τοῦ κακοῦ τούτου βίαν οὐκ ἐνεγκοῦσαι· καὶ ταύτην τὴν συμφορὰν τραγῳδῶν ὁ προφήτης ἔλεγε· *Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν.* Οὓς ἔτεκον μητέρες κατῄσθιον, καὶ τῶν γεννηθέντων παιδίων ἡ τεκοῦσα γαστὴρ ἐγένετο τάφος, καὶ φύσεως ἐκράτησεν ὁ λιμός· μᾶλλον δὲ οὐ φύσεως μόνον, ἀλλὰ καὶ τῆς προαιρέσεως· τῆς δὲ τοῦ ἁγίου τούτου γενναιότητος οὐκ ἐκράτησε. Τίς οὐκ ἂν ἐκπλαγείη ταῦτα ἀκούσας; Καίτοι τί φύσεως δυνατώτερον; τί δὲ προαιρέσεως ὀξυῤῥεπέστερον; Ἀλλ' ἵνα μάθῃς, ὅτι τοῦ φόβου τοῦ Θεοῦ οὐδὲν ἰσχυρότερον, προαίρεσις [527] φύσεως εὐτονωτέρα ἐφάνη, καὶ μητέρας μὲν ἤλεγξε, καὶ ὠδίνων ἐπιλαθέσθαι ἐποίησε, τὸν δὲ ἅγιον τοῦτον ὑποσκελίσαι οὐκ ἴσχυσεν, οὐδὲ περιεγένετο τῆς φιλοσοφίας ἡ κόλασις, οὐδὲ τῆς ἀνδρείας ἐκράτησεν ἡ τιμωρία· ἀλλ' ἔμενεν ἀδάμαντος παντὸς ἰσχυρότερος, ταῖς ἀγαθαῖς ἐντρυφῶν ἐλπίσι, καὶ τῇ τῶν ἀγώνων ἐγκαλλωπιζόμενος ὑποθέσει, ἱκανὴν παραμυθίαν ἔχων τῶν ἄθλων τὴν ἀφορμὴν, μάλιστα καθ' ἑκάστην ἀκούων Παύλου λέγοντος· *Ἐν λιμῷ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι·* καὶ πάλιν, *Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα·* ἤδει γὰρ, ἤδει σαφῶς, ὅτι *Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι* [c] *ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* Ὡς δὲ εἶδεν ὁ μιαρὸς δαίμων οὐκ ἐνδιδόντα τῇ τοσαύτῃ τοῦ πράγματος ἀνάγκῃ, ἔτι χαλεπωτέραν ἐποίει τὴν βάσανον. Καὶ γὰρ εἰδωλόθυτα λαβὼν, καὶ τὴν τράπεζαν τούτων ἐμπλήσας, πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ τεθῆναι παρεσκεύασεν, ἵνα τὸ τῆς ἐξουσίας ἕτοιμον ἐκλύσῃ τῆς προθυμίας τὴν εὐτονίαν. Οὐ γὰρ οὕτως ἁλισκόμεθα μὴ φαινομένων τῶν δελεαζόντων πραγμάτων, ὡς πρὸ τῶν ὀφθαλμῶν κειμένων· ἐπεὶ καὶ τῆς γυναικῶν ἐπιθυμίας εὐκολώτερον ἄν τις κρατήσειε μὴ βλέπων γυναῖκα εὔμορφον, ἢ συνεχῶς εἰς αὐτὴν ἀτενίζων. Ἀλλ' ὅμως καὶ ταύτης ἐκράτησε τῆς ἐνέδρας ὁ δίκαιος, καὶ ὅπερ ἐνόμιζεν ὁ διάβολος ἐκλύσειν αὐτοῦ τὴν ἀνδρείαν, τοῦτο μάλιστα αὐτὸν ἤλειψε πρὸς τοὺς ἀγῶνας· οὐ γὰρ μόνον οὐδὲν ἔπαθεν ἀπὸ τῆς ὄψεως τῶν εἰδωλοθύτων, ἀλλὰ καὶ μᾶλλον αὐτὰ ἀπεστρέφετο καὶ ἐμίσει· καὶ ὅπερ ἐπὶ τῶν ἐχθρῶν πάσχομεν, ὅσῳπερ ἂν αὐτοὺς ἐμβλέψωμεν, τοσούτῳ μᾶλλον αὐτοὺς μισοῦμεν καὶ ἀποστρεφόμεθα, τοῦτο καὶ ἐκεῖνος ἐπὶ τῆς μιαρᾶς ἐκείνης ἔπασχε θυσίας τότε· μᾶλλον γὰρ αὐτὴν ὁρῶν ἐβδελύττετο καὶ ἀπεπήδα, καὶ ἡ συνεχὴς ὄψις μᾶλλον αὐτὸν εἰς μῖσος καὶ ἀποτροπὴν τῶν προκειμένων ἐνέβαλλε· καὶ τοῦ λιμοῦ [d] μέγα ἔνδοθεν ἐμβοῶντος, καὶ τῶν προκειμένων κελεύοντος ἐφάπτεσθαι, ὁ τοῦ Θεοῦ φόβος τὰς χεῖρας ἀνέστελλε, καὶ τῆς φύσεως αὐτῆς ἐπιλαθέσθαι παρεσκεύαζε· καὶ τράπεζαν ὁρῶν μιαρὰν καὶ ἐναγῆ, τραπέζης ἐμνήσθη ἑτέρας τῆς φρικώδους καὶ Πνεύματος γεμούσης, καὶ οὕτως ἐπυροῦτο, ὡς ἑλέσθαι πάντα ὑποστῆναι καὶ παθεῖν, ἢ τῶν μιαρῶν ἐκείνων ἀπογεύσασθαι ἐδεσμάτων. Ἀνεμνήσθη καὶ τῆς τραπέζης ἐκείνης τῶν τριῶν παίδων, οἱ νέοι ληφθέντες, καὶ πάσης ἔρημοι προστασίας ὄντες, ἐν ἀλλοτρίᾳ γῇ καὶ βαρβάρῳ χώρᾳ τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, ὡς μέχρι νῦν ᾄδεσθαι τὴν ἀνδρείαν αὐτῶν. Καὶ οἱ μὲν Ἰουδαῖοι καὶ τὴν οἰκείαν ἔχοντες γῆν ἠσέβησαν, καὶ ἐν τῷ ναῷ διατρίβοντες εἰδωλολάτρουν· οἱ δὲ νέοι ἐκεῖνοι εἰς τὴν βαρβαρικὴν ἀπενεχθέντες γῆν, ἔνθα εἴδωλα καὶ πάσης ἀσεβείας ὑπόθεσις, τὴν πατρῴαν διετέλεσαν φυλάττοντες πολιτείαν. Εἰ τοίνυν οἱ αἰχμάλωτοι, καὶ δοῦλοι, καὶ νέοι πρὸ τῆς χάριτος τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, φησὶ, ποίας ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, μηδὲ πρὸς τὴν αὐτὴν ἐκείνοις ἀρετὴν φθάσαι δυνηθέντες;

γ'. Ταῦτα δὴ πάντα λογιζόμενος κατεγέλα τῆς τοῦ [528] διαβόλου πονηρίας, κατεφρόνει τῆς κακουργίας, καὶ πρὸς οὐδὲν ἐνεδίδου τῶν ὁρωμένων. Ὡς δ' οὖν εἶδεν οὐδὲν αὐτῷ τι πλέον γενόμενον ὁ μιαρὸς ἐκεῖνος, ἄγει πάλιν αὐτὸν εἰς τὸ δικαστήριον, καὶ βασανίζων συνεχεῖς ἐπῆγε πεύσεις· ὁ δὲ πρὸς ἑκάστην πεῦσιν ἀπεκρίνατο, ὅτι Χριστιανός εἰμι, μόνον, καὶ λέγοντος τοῦ δημίου· Ποίας εἶ πατρίδος; Χριστιανός εἰμι, φησί· Τί ἔχεις ἐπιτήδευμα; Χριστιανός εἰμι· Τίνας προγόνους; ὁ δὲ πρὸς ἅπαντα ἔλεγεν, ὅτι Χριστιανός εἰμι· ἐνὶ τούτῳ καὶ ψιλῷ τῷ ῥήματι τοῦ διαβόλου πλήττων τὴν κεφαλὴν, καὶ συνεχῆ καὶ ἐπάλληλα τὰ τραύματα αὐτῷ παρέχων. Καίτοι γε καὶ τῆς ἔξωθεν παιδεύσεως μετέσχεν, ἀλλ' ἤδει σαφῶς ὅτι ἐν τοῖς τοιούτοις ἀγῶσιν οὐ ῥητορείας χρεία, ἀλλὰ πίστεως· οὐ δεινότητος λόγου, ἀλλὰ φιλοθέου ψυχῆς· ἀρκεῖ ῥῆμα ἕν, φησὶν, ἅπασαν τοῦ διαβόλου τρέψαι τὴν φάλαγγα. Καὶ δοκεῖ μὲν τοῖς οὐκ ἀκριβῶς ἐξετάζουσιν ἀναπόλουθος εἶναι ἡ ἀπόκρισις· εἰ δέ τις

[a] Morel. et Savil. in marg. ὅτι πάσης τιμωρίας καὶ κολάσεως εἴδους κατεγέλασε. Savil. in textu, Reg. et Colb. ὅτι πᾶσα τιμωρία καὶ κολάσεως εἶδος κατηγγέλθη. Infra Reg. Colb. et Savil. τροχὸν δείξας. Morel. τροχὸν εὐτρεπίσας.

[b] Savil. in marg. πεῖραν τοῦ κακοῦ λάβοιμεν. Ibid. Savil. in marg. et Morel. nostram lectionem afferunt, quam secutus est interpres: in textu autem Savil., Reg. et Colb. λάβοιμεν, εὔχεσθε γὰρ, φησὶ, μὴ εἰσελθεῖν, etc.

[c] Savil., Reg. et Colb. ἀλλ' ἐπὶ παντὶ ῥήματι.

[d] Savil. et Colb. μέγα ἔνδοθεν ἐπιχοῦντος. Reg. μεγάλα ἔνδ.

τὸν νοῦν ἐπιστήσειε, καὶ ἐκ ταύτης ὄψεται τοῦ μάρτυρος τὴν σοφίαν. Ὁ γὰρ εἰπὼν, ὅτι Χριστιανός εἰμι, καὶ πατρίδα, καὶ γένος, καὶ ἐπιτήδευμα, καὶ πάντα ἐδήλωσε· πῶς, ἐγὼ λέγω· Ὁ Χριστιανὸς οὐκ ἔχει πόλιν ἐπὶ τῆς γῆς, ἀλλὰ τὴν ἄνω Ἱερουσαλήμ· *Ἡ γὰρ ἄνω Ἱερουσαλὴμ*, φησὶν, *ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.* Ὁ Χριστιανὸς οὐκ ἔχει γήϊνον ἐπιτήδευμα, ἀλλ' εἰς τὴν ἄνω πολιτείαν τελεῖ· *Ἡμῶν γάρ*, φησὶ, *τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει*· ὁ Χριστιανὸς συγγενεῖς ἔχει τοὺς ἁγίους ἅπαντας καὶ συμπολίτας· *Συμπολῖται γάρ ἐσμεν τῶν ἁγίων*, φησὶ, *καὶ οἰκεῖοι τοῦ Θεοῦ.* Ὥστε ἑνὶ ῥήματι, καὶ τίς εἴη, καὶ πόθεν, καὶ τίνων, καὶ τί πράττων διατελοίη, μετὰ ἀκριβείας ἐδίδαξε. Καὶ μετὰ ταύτης τῆς φωνῆς τὸν βίον κατέλυσε, καὶ ἀπῆλθε σώαν τῷ Χριστῷ τὴν παρακαταθήκην κομίζων, καὶ τοῖς μετὰ ταῦτα δι' ὧν ἔπαθε παραινῶν ἐνίστασθαι, καὶ μηδὲν δεδοικέναι, ἀλλ' ἢ ἁμαρτίαν καὶ ἄρνησιν μόνον.

Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες ἐν καιρῷ τῆς εἰρήνης τὰ τοῦ πολέμου μελετῶμεν, ἵν' ἐπιστάντος τοῦ πολέμου λαμπρὸν καὶ ἡμεῖς στήσωμεν τρόπαιον. Κατεφρόνησεν ἐκεῖνος λιμοῦ, καταφρονήσωμεν καὶ ἡμεῖς τρυφῆς, καὶ τῆς γαστρὸς τὴν τυραννίδα καθέλωμεν, ἵνα ἂν καιρὸς ἐπιστῇ τοσαύτην παρ' ἡμῶν τὴν ἀνδρείαν ἐπιζητῶν, προγυμνασθέντες ἐν τοῖς ἐλάττοσι, λαμπροὶ φανῶμεν ἐπὶ τῶν σκαμμάτων. Ἐπὶ ἀρχόντων καὶ βασιλέων ἐπαῤῥησιάσατο ἐκεῖνος· τοῦτο καὶ ἡμεῖς ποιῶμεν νῦν, κἂν ἐν συλλόγοις Ἑλλήνων πλουτούντων καὶ περιφανῶν συνεδρεύωμεν, μετὰ παῤῥησίας τὴν πίστιν ὁμολογῶμεν· καταγελῶμεν τῆς ἐκείνων πλάνης. Κἂν ἐπιχειρῶσι τὰ μὲν αὐτῶν σεμνύνειν, τὰ δὲ ἡμέτερα καθαιρεῖν, μὴ σιγῶμεν, μηδὲ πράως φέρωμεν, ἀλλ' ἐκκαλύπτοντες αὐτῶν τὴν ἀσχημοσύνην, ἅπαντα μετὰ [529] πολλῆς τῆς σοφίας καὶ τῆς παῤῥησίας τὰ τῶν Χριστιανῶν ἀνυμνῶμεν· καὶ καθάπερ ὁ βασιλεὺς τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς, οὕτω καὶ ἡμεῖς τὴν ὁμολογίαν πανταχοῦ τῆς πίστεως περιφέρωμεν. Οὐ γὰρ οὕτως ἐκεῖνον ὁ στέφανος, ὡς ἡμᾶς ἡ πίστις, καὶ ἡ ταύτης ὁμολογία καλλωπίζειν εἴωθε· μὴ διὰ ῥημάτων δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων αὐτῶν τοῦτο ποιῶμεν, καὶ βίον ἄξιον τῆς ὁμολογίας διὰ πάντων ἐπιδεικνύμενοι, ἵνα μὴ καταισχύνωμεν τὰ δόγματα ἐν τῇ τῶν ἔργων φαυλότητι, ἀλλὰ διὰ πάντων τὸν Δεσπότην ἡμῶν δοξάζοντες ἀπολαύσωμεν καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖ τιμῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος καὶ τιμὴ, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

nant, minus conveniens esse responsio; sed si quis attentius eam consideret, ex hac quoque sapientiam martyris animadvertet. Qui enim, Christianus sum, dixit, et patriam et genus et artis professionem et omnia declaravit. Quo tandem pacto? Ego dicam. Christianus urbem in terra non habet, sed Jerusalem quæ sursum est. *Illa enim*, inquit, *quæ sursum est Jerusalem, libera est : quæ est mater nostra* (*Gal.* 4. 26). Christiano terrena nulla est artis professio, sed ad supernam conversationem vitæ pertinet. *Nostra enim*, inquit, *conversatio in cœlis est* (*Philipp.* 3. 20). Christianus cognatos habet sanctos omnes ac cives : *Sumus enim*, inquit, *cives sanctorum, et domestici Dei* (*Ephes.* 2. 19) : itaque uno verbo et quis esset, et unde, et ex quibus, et quid agere soleret, exactissime docuit, et vitam cum hac voce finivit, abiitque salvum referens Christo depositum, ac posteris ex iis, quæ passus est, cohortationem reliquit, ut insistant, nihilque nisi peccatum et negationem tantum reformident.

Moralis exhortatio. — Hæc itaque nos etiam cum noverimus, pacis tempore bellicis in rebus nos exerceamus, ut cum belli tempus advenerit, illustre nos quoque tropæum erigamus. Famem contempsit ille : delicias et nos contemnamus, ac ventris tyrannidem evertamus, ut si tempus adveniat, quod tantam fortitudinem a nobis reposcat, in minoribus antea rebus exercitati, præclari in scammate compareamus. Coram principibus ille ac regibus libere loquutus est : hoc nos faciamus nunc quoque : ac si in opulentorum et illustrium Paganorum conventibus consideamus, fidem cum fiducia profiteamur, irrideamus illorum errores. Quod si res quidem suas magnifice efferre, nostras autem deprimere aggrediantur, ne taceamus, neve leniter feramus : sed ipsorum turpitudinem detegentes, multa cum sapientia fiduciaque res omnes Christianorum laudibus evehamus; et quemadmodum Imperator in capite diadema, sic et nos ubique confessionem fidei circumferamus. Non enim illum adeo corona, ut nos fides ejusque confessio solet exornare : non verbis tantum, sed etiam rebus ipsis id agamus, et vitam confessione dignam in omnibus exhibeamus : ne dogmata operum improbitate dedecoremus, sed in omnibus Dominum nostrum glorificantes cum hujus sæculi, tum illius honore potiamur : quem nos omnes utinam consequamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, imperium et honor, una cum sancto ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

IN DUOS SERMONES IN SANCTUM BABYLAM

Homilia in S. Babylam, quam primam locamus, post tertiam de Lazaro habita est : nam sub initium quartæ causam affert Chrysostomus cur homiliarum in Lazarum cursum interceperit, his verbis : *Verum non existimavimus esse tutum B. Babylæ et bigæ SS. Martyrum, qui post illum occurrerunt, præclara gesta præterire :* quibus consonat Concionis in S. Babylam exordium, *Volebam equidem hodierno die debitum reddere, quod nuper vobis, cum hic essem, promisi. Sed quid faciam ? B. Babylas interveniens apparuit, et ad seipsum nos vocavit.* Bigæ autem Sanctorum qui post S. Babylam Homiliarum in Lazarum cursum intercepere, sunt SS. Juventinus et Maximinus Martyres, quorum Homilia sic incipit : *Nuper B. Babylas cum tribus pueris nos hic congregabat, hodie par SS. Militum in acie exercitum Christi constituit. Nuper quadriga Martyrum, hodie biga. Nuper*, inquit, πρώην, non autem, *heri*, ut ab Interprete deceptus Tillemontius posuit. Negotium facessere videtur id, quod in postremo exordio dicit, *Nuper B. Babylas cum tribus pueris nos hic congregabat.* In hac quippe Homilia ne γρῦ quidem de tribus pueris legitur. Verum, ut initio homiliæ dicitur, non Chrysostomus solus, sed cum alii seniores, tum Episcopus ipse Flavianus eodem die concionati sunt : *Hæc et alia ejusmodi*, inquit, *senioribus commemoranda doctoribus, et communi patri nostro relinquemus : res enim antiquiores præclare vobis a senibus possunt narrari : quæ vero non ita pridem ac nostra ætate sunt gesta, vobis juvenis ego narrabo, quæ nimirum post obitum, post exsequias Martyris, ac dum in suburbio moraretur, acciderunt.* Hæc sibi enarranda proposuit Chrysostomus, cætera communi patri et senioribus commemoranda reliquit. Verisimileque est, aliquem ex illis de tribus pueris verba fecisse. Eodem igitur anno habita est hæc homilia, quo homiliæ in Lazarum, scilicet mense Januario : et quidem 21 ejusdem mensis, ut videtur, qua die Martyrologia omnia festum S. Babylæ indicant. Qui vero fuerit annus ille, non ita facile est deprehendere. Tillemontius annum assignat 387 : ejus calculum excussimus, levissimisque conjecturis fultum esse probavimus in Monito ad Homiliam in Kalendas, quæ Homiliam primam de Lazaro uno die præcessit. Ibi vide sis, necnon in Monito ad Homilias de Lazaro.

Homiliæ in S. Babylam subjungimus librum illum prolixum, cui titulus, *In S. Babylam, et contra Julianum atque Gentiles :* Savilium et Frontonem Ducæum secuti, qui similiter hunc librum post Homiliam locaverunt. Librum vocamus : neque enim existimamus esse concionem in cœtu populi habitam ; nam tantæ prolixitatis librum quis una vice pronuntiatum credat ? Adde non terminari clausula illa, qua in gloriam Trinitatis conciones suas omnes claudit Chrysostomus. Ad hæc autem num. 14 dicit : *Ideo enim vivis etiamnum testibus hæc scribo*, quæ sane verba non videntur [530] esse concionantis in cœtu populi. At, inquies, non paucis in locis quosdam ceu præsentes alloquitur. Id ego fateor, sed oratorio more et declamantis ritu ceu præsentes quosdam compellat : nam oratio tota declamationem tropis figurisque redundantem sapit ; vel etiam hunc seu librum seu orationem texuit amicis et in conclavi recitandam.

Tempus quo hæc scripsit Chrysostomus eruere licet ex ejus verbis num. 21, ubi dicit jam vigesimum annum agi, ex quo Julianus Apostata templum Jerosolymitanum instaurare conatus est : id vero tentavit Julianus anno Christi 362, unde sequatur anno 382 hunc scripsisse librum. Si annorum numerum accurate retulerit Chrysostomus, stabit calculus. Verum solet ille non tanto scrupulo has suæ etiam ætatis notas apponere : etenim Homilia III de Incomprehensibili, quam vertente anno 386 certissime habuit, annos item viginti numerat a tempore Juliani Apostatæ ; cum autem ille anno 363 cæsus sit, annos saltem viginti quatuor dicere debuit : non enim a nece ejus, sed a tentata templi Jerosolymitani instauratione, etiam ibi, calculum ducere videtur. Vide Monitum in Homilias de Incomprehensibili, ubi alium huic similem anachronismum observamus. Itaque etsi clare calculum ponat Chrysostomus, non usque

DE SANCTO HIEROMARTYRE (a) BABYLA.

1. Volebam equidem hodierno die debitum reddere, quod nuper vobis, cum hic essem, promisi : sed quid faciam ? Beatus Babylas interveniens apparuit, et ad seipsum nos vocavit ; non quod vocem miserit, sed

(a) Vox illa, *hieromartyre*, a Græcis medii ævi titulo adjecta fuit. Non est enim, ut quidem existimo, prisci usus.

ADMONITIO.

adeo certum est, an huic calculo standum sit. Id unum possumus sine periculo dicere, anno circiter 382 hunc librum a Chrysostomo scriptum fuisse, neque tamen repuguare si vel paucis ante, vel paucis post annis illum ediderit. Hermantius, qui putat hunc librum esse concionem ad populi cœtum habitam, vult eam in annum 386 cum tardissime conferri : quia eo primum anno presbyter factus Chrysostomus concionari cœpit : nam ipso testificante Chrysostomo, nullam ante, quam presbyter esset, concionem habuerat. Verum, ut supra dicebamus, nullum præ se fert signum hic liber concionis ad populum habitæ, estque tantæ prolixitatis ut non potuerit una solum vice recitari. Ad hæc vero quis credat eum longissimam illam monodiæ Libanii refutationem, quæ mediam ferme partem libri occupat, in cœtu populi protulisse ? Hactenus de tempore.

Argumentum libri est historia martyrii S. Babylæ Episcopi Antiocheni, declamatorio more narrata tropisque redundans ; in qua plerumque veritatem desideres. Nam ut certum existimo S. Babylam pro Christo cæsum esse, ita genus et causam martyrii ex populi rumore potius, quam ex vera rerum gestarum historia a Chrysostomo proferri non dubium est. Nam quis, quæso, ille fuerit Romanorum Imperator Christianus, qui inita cum rege barbaro pace, ea conditione, ut filium ille sibi educandum traderet, acceptum pro pignore pacis filium confestim jugulaverit, eaque de causa a beato Babyla ecclesiæ aditu interclusus, eumdem S. præsulem in carcerem trudi et obtruncari jusserit? Hunc Imperatorem quidam sive scholiastes sive librarius dicit esse Numerianum. Quo quid ineptius? Nam vel Christianum dicere Numerianum, vel interfectorem cujusdam regis barbarorum filii in pacis pignus sibi traditi, æque cum vera historia pugnat. Nec magis creditur Actis quibusdam a Bollando editis ad 24 Januarii, ubi Numerianus idolorum cultor inducitur S. Babylam tentans ad impietatem suam trahere, ipsumque cum pueris quibusdam martyrii gloria afficiens : quæ certe non possunt ad Babylam nostrum referri. Hinc quæstio oritur an plures ejusdem nominis sint. Qua de re vide Bollandum in Actis SS. Januarii 21. Verisimile igitur est hic Imperatorem Philippum memorari, qui imperii invadendi causa cæso Gordiano Augusto, postquam tam iniqua cæde voti compos factus Antiochiam venerat, Paschatis tempore ad ecclesiam preeum mysteriorumque consors futurus, accedebat. Quo comperto, S. Babylas accedentem Imperatorem repulit, ecclesiæ aditu interdixit, et pœnitentium loco se sistere jussit, donec pœnitentia abluto expiatoque scelere, ad communionem fidelium postea reciperetur. Hanc a S. præsule repulsam grato animo modesteque tulisse Philippum, narrat Eusebius, itemque pœnitentium locum adiisse, ac tum posteaquam crimen secundum Ecclesiæ statuta confessus, exhomologesi, ut vocabant, facta, deposuerat, in Ecclesiam admissum fuisse. Sub hæc autem imperante Decio, Christianorum hoste, B. Babylas pro Christo cervices dedit. Quod de pœnitentia deque Christianismo Philippi ab Eusebio non quasi certum, sed ceu a quibusdam auditum narratur, a multis vocatur in dubium. Adeantur ii, qui ex instituto rem pluribus tractaverunt. Verisimile autem est, uti dicebam, ex historia illa Gordiani a Philippo cæsi manasse illam, quam superius ex Chrysostomo retulimus ; sed ita deturpatam deformatamque in omnibus suis partibus, ut alia penitus esse videatur.

Longe saniora sunt quæ de reliquiis S. Babylæ ex suburbio Daphnes in urbem Antiochiam Chrysostomus recenset, necnon de templo Apollinis divinitus tacto et combusto. Horum enim non ipse modo Chrysostomus [531] oculatus testis erat, sed etiam omnes ejus auditores, quos in homilia sua alloquitur. Illius enim prodigii cum in homilia tum in libro de Babyla mentionem facit.

Homiliæ interpretatio Latina est Frontonis Ducæi. Libri vero in Babylam et contra Julianum interpretationem novam adornavimus, quia Germani Brixii illa, quæ in prius editis erat, paraphrasin omnino sapiebat.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΒΑΒΥΛΑΝ.

α'. Ἐγὼ μὲν ἐβουλόμην ἀποδοῦναι τὸ χρέος τήμερον, ὃ πρώην ἐνταῦθα γενόμενος ὑπεσχόμην ὑμῖν· ἀλλὰ τί πάθω; Μεταξὺ φανεὶς ὁ μακάριος Βαβύλας, πρὸς ἑαυτὸν ἡμᾶς ἐκάλεσεν, οὐ φωνὴν ἀφεὶς, ἀλλὰ τῇ

λαμπηδόνι τῆς δψεως ἐτιστρέψας ἡμᾶς. Μὴ τοίνυν δυσχεράνητε πρὸς τὴν ὑπέρθεσιν τῆς ἀποδόσεως· πάντως ὅσῳ πλείων γίνεται ὁ χρόνος, τοσούτῳ καὶ ὁ τόκος ὑμῖν αὔξεται. Μετὰ γὰρ τόκου τὸ ἀργύριον τοῦτο καταβαλούμεθα· ἐπειδὴ καὶ ὁ παρακαταθέμενος αὐτὸ Δεσπότης οὕτως ἐκέλευσε. Θαῤῥοῦντες οὖν ὑπὲρ τῶν δεδανεισμένων, ὡς καὶ τοῦ κεφαλαίου καὶ τῆς ἐργασίας μενόντων ὑμῖν, τὸ παρεμπεσὸν σήμερον κέρδος μὴ παραδράμωμεν, ἀλλὰ κατατρυφήσωμεν τῶν τοῦ μακαρίου Βαβύλα κατορθωμάτων.

Ὅπως μὲν οὖν τῆς Ἐκκλησίας προέστη τῆς παρ' ἡμῖν, καὶ τὴν ἱερὸν ταύτην διέσωσε ναῦν, ἐν χειμῶνι, καὶ κλύδωνι, καὶ κύμασι, καὶ ὅσην πρὸς βασιλέα παῤῥησίαν ἐπεδείξατο, καὶ πῶς τὴν ψυχὴν ἔθηκεν ὑπὲρ τῶν προβάτων, καὶ τὴν μακαρίαν ἐκείνην ἐδέξατο σφαγήν· ταῦτα, καὶ τὰ τοιαῦτα, τοῖς πρεσβυτέροις τῶν διδασκάλων καὶ τῷ κοινῷ πατρὶ [τῷ] ἡμῶν ἀφήσομεν εἰπεῖν. Τὰ γὰρ ἀρχαιότερα τῶν πραγμάτων οἱ γεγηρακότες ὑμῖν δύνανται διηγεῖσθαι καλῶς· ὅσα δὲ νεωστὶ γέγονε, καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἡμετέρας, ταῦτα ὁ νέος ἐγὼ πρὸς ὑμᾶς διηγήσομαι, τὰ μετὰ τελευτὴν λέγω, τὰ μετὰ τὴν ταφὴν τοῦ μάρτυρος, τὰ ἡνίκα ἐν τῷ προαστείῳ διέτριβε. Καὶ οἶδα μὲν, ὅτι γελάσονται τὴν ὑπόσχεσιν ἡμῶν Ἕλληνες, εἰ μετὰ τελευτὴν καὶ ταφὴν τὰ τοῦ ταφέντος καὶ διαλυθέντος εἰς κόνιν ὑπισχνούμεθα λέγειν ἀνδραγαθήματα· οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μάλιστα ἐροῦμεν, ἵνα τὸ παράδοξον τοῦτο δείξαντες ἀληθῶς, τὸν γέλωτα εἰς τὴν ἐκείνων περιτρέψωμεν κεφαλήν. Ἀνθρώπου μὲν γὰρ ἁπλῶς οὐκ ἂν γένοιτο κατορθώματα μετὰ τελευτήν· μάρτυρος δὲ γένοιτ' ἂν πολλὰ καὶ μεγάλα, οὐχ ἵνα ἐκεῖνος λαμπρότερος γένηται (οὐδὲν γὰρ αὐτῷ δεῖ τῆς παρὰ τῶν πολλῶν δόξης), ἀλλ' ἵνα σὺ μάθῃς ὁ ἄπιστος, ὅτι θάνατος μαρτύρων οὐκ ἔστι θάνατος, ἀλλὰ ζωῆς βελτίονος ἀρχὴ καὶ πολιτείας πνευματικωτέρας προοίμια, καὶ μετάστασις ἀπὸ τῶν ἐλαττόνων πρὸς τὰ βελτίω. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι γυμνὸν τοῦ μάρτυρος τὸ σῶμα πρόκειται τῆς ψυχικῆς ἐνεργείας ἔρημον· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τῆς ψυχῆς αὐτῆς ἑτέρα παρακάθηται μείζων αὐτῷ δύναμις, ἡ τοῦ ἁγίου Πνεύματος χάρις, πᾶσιν ὑπὲρ τῆς ἀναστάσεως ἀπολογουμένη, δι' ὧν θαυματοποιεῖ. [532] Εἰ γὰρ νεκροῖς σώμασι καὶ διαλυθεῖσιν εἰς κόνιν μείζονα τῶν ζώντων ἁπάντων δύναμιν ὁ Θεὸς ἐχαρίσατο, πολλῷ μᾶλλον αὐτοῖς ζωὴν χαριεῖται βελτίω τῆς προτέρας, καὶ μακαριωτέραν κατὰ τὸν τῶν στεφάνων καιρόν. Τίνα οὖν ἐστιν αὐτοῦ τὰ κατορθώματα; Ἀλλὰ μὴ θορυβηθῆτε, ἂν μικρὸν ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. Καὶ γὰρ οἱ τὰς εἰκόνας ἐπιδεῖξαι βουλόμενοι καλῶς, μικρὸν τοῦ πινακίσκου τοὺς θεωμένους ἀποστήσαντες, οὕτως αὐτὰς ἐκκαλύπτουσι, σαφεστέραν τῷ διαστήματι ποιοῦντες τὴν ὄψιν αὐτοῖς. Ἀνάσχεσθε τοίνυν καὶ ὑμεῖς εἰς τοὐπίσω τὸν λόγον ἀνελκόντων ἡμῶν.

Ἐπειδὴ γὰρ ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανὸς ἀνέβη ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν, καὶ τῶν σκήπτρων ἐπελάβετο τῶν δεσποτικῶν, εὐθέως καὶ κατὰ τοῦ πεποιηκότος αὐτὸν τὰς χεῖρας ἀντῆρε Θεοῦ, καὶ τὸν εὐεργέτην ἠγνόησε, καὶ κάτωθεν ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανὸν βλέπων ὑλάκτει κατὰ τοὺς μαινομένους τῶν κυνῶν, οἳ καὶ τῶν μὴ τρεφόντων, καὶ τῶν τρεφόντων ὁμοίως καταβοῶσι· μᾶλλον δὲ καὶ ἐκείνων ἀγριωτέραν ἐμάνη μανίαν. Οἱ μὲν γὰρ καὶ τοὺς οἰκείους καὶ τοὺς ἀλλοτρίους ὁμοίως ἀποστρέφονται καὶ μισοῦσιν· οὗτος δὲ τοὺς μὲν ἀλλοτρίους τῆς αὐτοῦ σωτηρίας δαίμονας ἔσαινε, καὶ παντὶ θεραπείας ἐθεράπευε τρόπῳ· τὸν δὲ εὐεργέτην, καὶ σωτῆρα, καὶ μηδὲ τοῦ Μονογενοῦς φεισάμενον δι' αὐτὸν, ἀπεστράφη, καὶ ἐμίσει, καὶ τὸν σταυρὸν διέσυρε, πρᾶγμα, ὃ τὴν οἰκουμένην ἐπ' ὄψιν κειμένην ἀνέστησε, καὶ τὸ σκότος πάντοθεν ἀπήλασε, καὶ τῶν ἀκτίνων ἡμῖν λαμπρότερον εἰσήγαγε φῶς. Καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἴστατο, ἀλλ' ἐκ μέσης ἁναρπάσεσθαι τῆς οἰκουμένης τὸ τῶν Γαλιλαίων ἔθνος ἐπηγγέλλετο· καὶ γὰρ οὕτως ἡμᾶς εἰώθει καλεῖν. Καίτοι εἰ τὸ ὄνομα τῶν Χριστιανῶν μύσος εἶναι ἐνόμιζε, καὶ πολλῆς τὸ πρᾶγμα γέμειν αἰσχύνης, τίνος ἕνεκεν οὐκ ἐντεῦθεν ἡμᾶς, ἀλλ' ὀνόματι ξένῳ καταισχύνειν ἐπεθύμει; Ἀλλὰ γὰρ ᾔδει σαφῶς, ὅτι τὸ καλεῖσθαι ἀπὸ τῆς πρὸς τὸν Χριστὸν οἰκειώσεως, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις, καὶ ταῖς ἀνωτέρω δυνάμεσι μέγας κόσμος ἐστί. Διὰ τοῦτο πάντα ἐκίνει, ὥστε τοῦτον ἡμᾶς ἀποσυλῆσαι τὸν κόσμον, καὶ καταλῦσαι τὸ κήρυγμα. Ἀλλὰ τοῦτο ἀμήχανον ἦν, ἄθλιε καὶ ταλαίπωρε, ὥσπερ ἀμήχανον ἦν κατασκάψαι τὸν οὐρανὸν, καὶ σβέσαι τὸν ἥλιον, καὶ τὰ θεμέλια τῆς γῆς διασεῖσαι καὶ καταβαλεῖν. Καὶ ταῦτα προανεφώνησεν ὁ Χριστὸς οὕτως εἰπών· *Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.* Ἀλλ' οὐκ ἀνέχῃ τοῦ Χριστοῦ λέγοντος· οὐκοῦν δέχου τὴν ἀπὸ τῶν πραγμάτων φωνήν. Ἐγὼ μὲν γὰρ καταξιωθεὶς εἰδέναι, τί ποτέ ἐστιν ἀπόφασις Θεοῦ, πῶς ἰσχυρὸν, καὶ ἄμαχον πρᾶγμα, καὶ τῆς φυσικῆς ἀκολουθίας, καὶ τῆς τῶν πραγμάτων πείρας πάντων ἀξιοπιστοτέραν ταύτην εἶναι πεπίστευκα· σὺ δὲ ὁ χαμαὶ συρόμενος ἔτι, καὶ πρὸς λογισμῶν ἐπτοημένος ἐξέτασιν ἀνθρωπίνων, δέχου τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν· οὐδὲν ἀντιλέγω, οὐδὲ φιλονεικῶ.

[533] β'. Τί οὖν λέγει τὰ πράγματα; Εἶπεν ὁ Χριστὸς, ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν ἀπολέσθαι εὐκολώτερον, ἢ τῶν αὐτοῦ διαπεσεῖν τινα λόγων· ἀντεφθέγξατο τούτοις ὁ βασιλεὺς, καὶ ἠπείλησεν ἀναιρήσειν τὰ δόγματα. Ποῦ οὖν ὁ βασιλεὺς ὁ ταῦτα ἀπειλήσας; Ἀπόλωλε, καὶ διέφθαρται, καὶ νῦν ἐστιν εἰς ᾅδου τὴν ἀπαραίτητον ἀναμένων κόλασιν. Ποῦ δὲ ὁ Χριστὸς, ὁ ἐκεῖνα ἀποφηνάμενος; Ἐν οὐρανοῖς, ἐν δεξιᾷ τοῦ Πατρὸς τὸν ὑψηλότατον τῆς δόξης κατέχων θρόνον. Ποῦ τοῦ βασιλέως τὰ βλάσφημα ῥήματα, καὶ ἡ ἀκόλαστος γλῶττα; Τέφρα γέγονε, καὶ κόνις, καὶ σκωλήκων τροφή. Ποῦ τοῦ Χριστοῦ ἡ ἀπόφασις; Ἀπ' αὐτῆς τῶν πραγμάτων λάμπει τῆς ἀληθείας, ὥσπερ ἀπὸ στήλης χρυσῆς τῆς τῶν ἔργων ἐκβάσεως ἀπαστράπτουσα. Καίτοι οὐδὲν τότε παρέλιπεν ὁ βασιλεὺς, τὸν πρὸς ἡμᾶς μέλλων αἴρεσθαι πόλεμον· ἀλλὰ καὶ μάντεις ἐκάλει, καὶ γόητας συνεκρότει, καὶ πάντα ἦν δαιμόνων μεστὰ καὶ πνευμάτων πονηρῶν.

Τίνες οὖν αἱ τῆς θεραπείας ταύτης ἀμοιβαί; Ὁ-

quod splendidi oris dignitate nos ad se converterit. Ne igitur ægre feratis, si reddere differamus : omnino enim quanto protrahitur tempus longius, tanto vobis et fœnus augetur : nam pecuniam cum fœnore persolvemus (*Luc.* 19. 23) ; quando ita Dominus jussit, qui nostræ illam fidei commisit. In tuto ergo rem creditam fore confidentes, utpote cum sors vobis et lucrum immota et certa maneant, interrepentem hodie quæstum ne prætermittamus, sed præclaris beati Babylæ facinoribus oblectemur.

Babylas Antiochenæ ecclesiæ Episcopus. — Enimvero quo pacto præfectus huic Ecclesiæ nostræ fuerit, et in mediis procellis, tempestatibus, fluctibusque sacram hanc navim servarit, quantamque fiduciam, cum Imperatorem alloqueretur, præ se tulerit, et quo pacto pro ovibus animam suam posuerit, ac beatam illam cædem subierit, hæc et alia ejusmodi senioribus commemoranda doctoribus et communi patri nostro relinquemus : res enim antiquiores præclare vobis a senibus possunt narrari ; quæ vero non ita pridem ac nostra ætate sunt gesta, vobis juvenis ego narrabo, quæ nimirum post obitum, post exsequias martyris, ac dum in suburbio moraretur, acciderunt. Ac scio equidem fore, ut promissum nostrum gentiles irrideant, quod post obitum et exsequias ejus, qui sepultus sit et in cinerem dissolutus, nos præclara facinora commemoraturos promittamus : non tamen idcirco tacebimus, sed ob hoc ipsum potissimum verba faciemus, ut cum rem istam mirabilem ostenderimus, risum et sannas in illorum caput convertamus. Nam hominis quidem cujusvis recte facta post mortem esse nequeunt, martyris vero et multa et magna esse possunt : non ut ille fiat illustrior ; neque enim ille commendatione indiget vulgi : sed ut tu discas, infidelis, mortem martyrum non esse mortem, sed initium vitæ melioris, magisque spiritualis conversationis præludium, atque a deterioribus ad meliora transmigrationem. Noli enim hoc spectare, nudum martyris corpus animæ operatione destitutum esse propositum ; sed illud considera, majorem ipsa anima virtutem illi quamdam assidere, Spiritus sancti virtutem, quæ editis a se miraculis omnibus spem certam resurrectionis ejus facit. Si enim mortuis corporibus et in pulverem resolutis majorem, quam vivis omnibus, virtutem Deus largitus est, multo magis vitam illis priore potiorem ac feliciorem, quo tempore coronas dividet, largietur. Quæ tandem igitur ejus sunt recte facta ? Verumtamen nolite turbari, si paulo altius sermonem duxerimus : nam et qui recte volunt imagines spectandas proponere, cum spectatores paululum a tabula secedere jusserint, illas deinde retegunt, ut ipsius distantiæ beneficio clarius ab eis possint videri : patimini ergo vos quoque retrorsum orationem nos retrahere.

Juliani Apostatæ in Christianos conatus ; Christiani ab ipso Galilæi appellantur. — Postquam enim is qui cunctos impietate superavit, in imperatorium thronum ascendit Julianus, et sceptrum accepit, confestim in eum, a quo creatus fuerat, Deum manus sustulit, bene meritum de se ignoravit, ac de terra inferius in cælum respiciens, rabidorum more canum allatrabat, qui in homines a quibus non aluntur, et in eos pariter a quibus aluntur, clamorem tollunt : imo vero sæviori quam illi furore percitus erat. Nam illi quidem et domesticos et alienos pariter aversantur et oderunt : hic vero dæmonibus ab ejus salute alienis blandiebatur, atque omni eos cultus genere colebat : bene autem de se meritum, ac servatorem suum, quique ne Filio quidem suo unigenito ipsius causa pepercit, aversabatur et oderat, crucemque deridebat, rem quæ terrarum orbem pronum in faciem provolutum erexit, quæ tenebras undequaque discussit, et solaribus radiis splendidiorem lucem invexit. Neque vero huc usque tantum progressus est ejus furor, sed ex orbe terrarum exterminaturum se Galilæorum nationem pollicebatur : sic enim nos appellare solitus erat : quamquam si Christianorum nomen abominandum esse arbitrabatur, rem multæ plenam ignominiæ, qua de causa non inde nos, sed peregrini nominis illius ignominia notare cupiebat ? At enim probe noverat nomen illud quod necessitudinem aliquam cum Christo designat, non hominibus tantum, sed et angelis, et superioribus virtutibus magno esse ornamento : ideo nullum non lapidem movebat, ut hoc nos ornamento spoliaret ac prædicationem dissolveret. Verumtamen fieri non poterat illud, o miser et infortunate, ut neque fieri poterat, ut cælum destrueres, solem exstingueres, terræ fundamenta concuteres atque everteres, idque prædixit olim Christus cum ita dixit : *Cælum et terra transibunt ; verba autem mea non transibunt* (*Matth.* 24. 35). Sed Christi verba ferre non potes, vocem igitur factorum ipsorum admitte. Nam ego quidem, cui scire contingit quid sit denuntiatio divina, quam potens et invicta res illa sit, ipso naturæ ordine factorumque omnium experientia certiorem ac fide digniorem illam esse credo : tu vero qui humi serpis adhuc, et humanarum cogitationum disquisitionibus es addictus, testimonium factorum admitte : nihil contradico, non contendo.

2. Quid ergo res gestæ narrant ? Dixit Christus facilius esse, ut cælum et terra dispereant, quam ut unum aliquod verborum ejus intercidat (*Luc.* 16. 17) : contradixit his Imperator, et Christiana se dogmata exterminaturum comminatus est. Ubi nunc igitur est ille qui talia comminatus est ? Periit et e medio sublatus est, jamque apud inferos inevitabili supplicio torquetur. Ubi vero Christus est, a quo illa sunt denuntiata ? In cælis, in dextera Patris altissimum gloriæ thronum obtinens. Ubi verba Imperatoris blasphema, et insolens illa lingua ? Cinis et pulvis, et vermium cibus evasit. Ubi Christi denuntiatio ? Ab ipsa veritate rerum gestarum elucet, ac tamquam ab aurea columna quadam ab eventu factorum coruscat. Tametsi nihil ab Imperatore tum prætermissum est, quo se ad bellum nobis inferendum compararet : sed et vates accersebat, et præstigiatores convocabat, omniaque dæmonibus et malignis spiritibus redundabant.

Fames Juliano imperante gravissima ; Apollinis que-

rela de Reliquiis S. Babylæ. — Quæ tandem igitur cultus istius fuere præmia? Civitatum eversiones, et fames quovis genere famis acerbior. Scitis enim utique ac recordamini, quo pacto venalibus rebus destitutum fuerit forum, ac plenæ tumultuum officinæ, cum unusquisque quod primum occurrisset, præripere contenderet ac discedere. Sed quid ego famem dico, cum vel ipsi aquis destituti fontes essent, fontes qui copia fluentorum flumina ipsa superabant? Quando autem in fontium mentionem incidimus, age deinceps ad Daphnes suburbium ascendamus, et orationem ad martyris præclara facinora traducamus. Enimvero probra et dedecora gentilium divulgare percupitis, attamen hoc pacto etiam illa in medium adducemus : siquidem ubi martyrum fit mentio, illic et gentilium dedecus innotescit. Hic igitur Imperator cum Daphnen ascendisset, illic Apollinem precibus fatigabat, sollicitabat, supplicabat, ut sibi de rebus futuris quidpiam vaticinaretur. Quid igitur magnus ille gentilium vates deus? Mortui me impediunt, inquit, ne loquar; at tu capsulas effringe, ossa effodi, mortuos transfer. Quid scelestius his mandatis fieri possit? Insolitas dæmon sepulcrorum spoliationis leges invehit, et novos abigendi hospites modos excogitat. Quis umquam mortuos ejectos audivit? quis anima destituta corpora sedibus pelli jussa vidit, quemadmodum hic imperavit, et communes naturæ leges funditus evertit? Sunt enim apud mortales omnes hæ leges communes, ut qui vita functus est, terra condatur, sepulturæ tradatur, ac sinu magnæ omnium matris obvolvatur. Atque has non Græcus, non barbarus, non Scytha, nec si quis illis immanior reperiatur, umquam leges convulsit, sed reverentur et observant omnes, adeoque sacræ et apud omnes veneratione sunt dignæ; dæmon autem sublata larva communia naturæ dogmata palam oppugnat : piaculum enim, inquit, sunt mortui. Non mortui sunt piaculum, scelestissime dæmon, sed voluntas prava res abominanda est. Quod si dicendum sit admiratione dignum aliquid, vivorum potius nequitiæ plena, quam mortuorum detestanda sunt corpora : nam illa quidem animæ famulantur imperiis; hæc vero immobilia jacent : quod autem immobile est omnique sensu destitutum, ab omni criminatione liberum esse solet. Quamquam alioqui ne vivorum quidem corpora dixerim ego natura esse abominanda, sed ubique pravam et perversam voluntatem omnium criminationibus esse obnoxiam.

Daphnes tentatum ab Apolline stuprum exprobrat. — Non corpus mortuum est piaculum, o Apollo, sed puellam caste vivere volentem persequi, virginisque pudicitiæ stuprum offerre, et ab impudenti actione depulsum lugere, hoc accusatione dignum et pœna. Ac multi quidem apud nos mirabiles magnique prophetæ exstiterunt, qui de rebus futuris vaticinati sunt, nec uspiam iis a quibus interrogabantur imperabant, ut defunctorum ossa refoderent : quin ipse etiam Ezechiel, prope ipsa stans ossa (*Ezech.* 37), non modo nihil ab illis impediebatur, sed et carnem illis, nervos, pellesque circumdedit, ac rursus ad vitam illa revocavit. Magnus autem Moyses non juxta mortua stetit ossa, sed ipsum integrum mortuum proferens Joseph (*Exod.* 13. 19), ita futura prædicebat : ac merito sane. Nam illorum quidem verba Spiritus donum erant; horum autem verba fraus et mendacium, quod nulla potest ratione celari. Nihil enim aliud hæc fuisse quam obtentum et prætextum, ac beatum Babylam eum reformidasse, satis liquet ex iis, quæ ab Imperatore sunt acta : siquidem reliquis omnibus omissis mortuis solum illum martyrem loco movebat. Quamquam si quod illum abominaretur, ac non potius timeret, hæc ab illo gerebantur, confringi loculum, in mare demergi, in solitudinem amandari, vel alio quopiam perditionis genere deleri jubendum fuit; hoc enim abominantis fuisset. Ita fecit Deus cum de gentium abominationibus Hebræos alloquutus est, confringi statuas ipsarum jussit, non ab suburbiis in urbes piacula transferri.

3. *Apollinis Daphnes templum fulmine tactum.* — Ac movebatur quidem loco martyr; dæmon autem ne sic quidem securitate fruebatur, sed confestim didicit ossa quidem martyris loco moveri posse, manus autem martyris evitari non posse. Nam simul ac loculus ad urbem protractus est, de cœlo fulmen in statuæ caput immissum cuncta combussit. Enimvero si minus antea, tum saltem impium Imperatorem irasci par fuit, et in martyrium martyris (*a*) iram effundere, sed ne tum quidem ausus fuit : tantus illum timor occupaverat, quin potius licet incendium videret intolerabile, causamque probe illius nosset, quietus fuit. Neque vero tantum hoc mirum est quod martyrium non subvertit, sed quod ne tectum quidem templo rursus imponere ausus est. Noverat quippe, noverat immissam esse cladem a numine, ac pertimescebat, ne si quid ulterius excogitasset, ignem illum in suum caput accerseret. Propterea cernere templum Apollinis ita desolatum sustinuit : neque ulla fuit alia causa, ob quam id quod evenerat minime reparavit, nisi solus timor, qui eum invitum quietem agere coegit : idque cum sciret quantam ignominiam dæmoni relinqueret, quantum martyrii decus. Stant enim jam pro tropæis parietes, et tuba clariorem vocem mittunt; ac Daphnes incolis, urbis incolis, his qui e longinquis regionibus illuc ventitant, hujus ætatis ac temporum futurorum hominibus ipso aspectu cuncta narrant, luctam, congressum, victoriam martyris. Nam qui longe dissitus est a suburbio, cum martyrium quidem loculo destitutum, templum autem Apollinis tecto privatum intuitus fuerit, thorum utriusque causam verisimile est quæsiturum; cumque deinde totam historiam didicerit, sic inde discessurum. Ejusmodi sunt præclara martyris post obitum ejus facinora. Quamobrem vestram quoque laudo civitatem, quod multum erga sanctum istum studium exhibueritis. Nam quo tempore Daphne revertebatur, tota nobis civitas in viam effusa est; vacua fuerunt viris fora, vacuæ feminis ædes, deserti a virginibus thalami : sic

(*a*) Martyrium martyris est ecclesia martyris.

λεων ἀνατροπαὶ, καὶ λιμὸς ἁπάντων λιμῶν ὁ πικρότατος. Ἴστε γὰρ δήπου καὶ μέμνησθε, πῶς κενὴ μὲν ἦν ὠνίων ἡ ἀγορὰ, μεστὰ δὲ θορύβων τὰ ἐργαστήρια, ἑκάστου φιλονεικοῦντος τὸ φανὲν προαρπάσαι, καὶ ἀπελθεῖν. Καὶ τί λέγω λιμὸν, ὅπου γε καὶ αὗται τῶν ὑδάτων ἐπιλειπόμεναι αἱ πηγαὶ, πηγαὶ ποταμοὺς τῇ ξαψιλείᾳ τοῦ ῥεύματος ἀποκρύπτουσαι; Ἀλλ' ἐπειδὴ πηγῶν ἐμνήσθην, δεῦρο λοιπὸν ἐπὶ τὴν Δάφνην ἀνέλθωμεν, καὶ τὸν λόγον πρὸς τὰ τοῦ μάρτυρος κατορθώματα συνελάσωμεν. Καίτοι γε ἐπιθυμεῖτε τὰς Ἑλληνικὰς ἐκπομπεύειν ἀσχημοσύνας ἔτι· ἀλλ' ὅμως, καὶ οὕτως αὐτὸς ὢν, ἀπάγωμεν [a]· πάντως γὰρ, ὅπου μαρτύρων μνήμη, ἐκεῖ καὶ Ἑλλήνων αἰσχύνη. Οὗτος τοίνυν ὁ βασιλεὺς ἀνιὼν εἰς τὴν Δάφνην, συχνῶς ἠνώχλει τὸν Ἀπόλλωνα δεόμενος, ἱκετεύων, ἀντιβολῶν, ὥστε μαντεύσασθαί τι περὶ τῶν μελλόντων αὐτῷ. Τί οὖν ὁ μάντις, ὁ μέγας τῶν Ἑλλήνων θεός; Νεκροί με κωλύουσι φθέγγεσθαι, φησίν· ἀλλὰ ἀνάῤῥηξον τὰς θήκας, ἀνόρυξον τὰ ὀστᾶ, μετάστησον τοὺς νεκρούς. Τί τούτων ἀνοσιώτερον γένοιτ' ἂν τῶν ἐπιταγμάτων; Ξένους ὁ δαίμων τυμβωρυχίας εἰσάγει νόμους, καὶ καινοὺς ξενηλασίας ἐπινοεῖ τρόπους. Τίς ἤκουσε νεκροὺς ἐλαυνομένους ποτέ; τίς εἶδε σώματα ἄψυχα κελευόμενα μετανίστασθαι, καθάπερ οὗτος ἐπέταττε, τοὺς κοινοὺς τῆς φύσεως ἐκ βάθρων ἀνατρέπων νόμους; Κοινοὶ γάρ εἰσι τῆς φύσεως νόμοι παρὰ πᾶσιν ἀνθρώποις, τὸν ἀπελθόντα τῇ γῇ κρύπτεσθαι, καὶ ταφῇ παραδίδοσθαι, καὶ τοῖς κόλποις τῆς πάντων μητρὸς περιστέλλεσθαι γῆς. Καὶ τούτους οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐ Σκύθης, οὐκ εἴ τις ἐκείνων ἀγριώτερος ἐκίνησε τοὺς νόμους ποτὲ, ἀλλ' αἰδοῦνται, καὶ φυλάττουσιν ἅπαντες, καὶ οὕτως εἰσὶν ἱεροὶ, καὶ πᾶσιν αἰδέσιμοι. Ἀλλ' ὁ δαίμων ἐπάρας τὸ προσωπεῖον, γυμνῇ τῇ κεφαλῇ πρὸς τὰ νοινὰ τῆς φύσεως ἵσταται δόγματα· Μίασμα γὰρ, φησὶν, εἰσὶν οἱ νεκροί. Οὐχ οἱ νεκροὶ μίασμα, πονηρότατε [534] δαῖμον, ἀλλὰ προαίρεσις πονηρὰ μύσος ἐστίν. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τὰ τῶν ζώντων μᾶλλον μεστὰ κακίας, ἢ τὰ τῶν τετελευτηκότων, εἰσὶ σώματα μιαρά· τὰ μὲν γὰρ διακονεῖται τοῖς τῆς ψυχῆς ἐπιτάγμασι· τὰ δὲ κεῖνται ἀκίνητα· τὸ δὲ ἀκίνητον καὶ πάσης αἰσθήσεως ἔρημον, καὶ κατηγορίας ἂν εἴη πάσης ἐλεύθερον. Πλὴν ἀλλ' οὐδὲ τὰ τῶν ζώντων εἴποιμι ἂν ἔγωγε σώματα εἶναι τῇ φύσει μιαρὰ, ἀλλὰ πανταχοῦ τὴν πονηρὰν καὶ διεστραμμένην προαίρεσιν ταῖς παρὰ πάντων κατηγορίαις εἶναι ὑπεύθυνον.

Οὐκ ἔστι σῶμα νεκρὸν μίασμα, Ἄπολλον, ἀλλὰ τὸ κόρην διώκειν σωφρονεῖν βουλομένην, καὶ σεμνότητα διορύττειν παρθένου, καὶ τῆς ἀναισχύντου πράξεως ἀποτυχόντα θρηνεῖν, τοῦτο καὶ κατηγορίας καὶ κολάσεως ἄξιον. Πολλοὶ γοῦν παρ' ἡμῖν ἐγένοντο προφῆται θαυμαστοὶ καὶ μεγάλοι, καὶ πολλὰ περὶ τῶν μελλόντων προειπόντες, καὶ οὐδαμοῦ τοὺς ἐρωτῶντας ἐκέλευον τὰ τῶν ἀπελθόντων ἀνορύττειν ὀστᾶ· ἀλλ' ὁ μὲν Ἰεζεκιὴλ αὐτῶν τῶν ὀστῶν πλησίον ἑστὼς, οὐ μόνον οὐδὲν ἐνεποδίζετο παρ' ἐκείνων, ἀλλὰ καὶ σάρκας αὐτοῖς καὶ νεῦρα καὶ δέρματα περιθεὶς, εἰς ζωὴν ἐπανήγαγεν αὐτὰ πάλιν. Ὁ δὲ μέγας Μωϋσῆς οὐ πλησίον ὀστῶν εἱστήκει νεκρῶν, ἀλλ' αὐτὸν ὅλον νεκρὸν ἐπιφερόμενος τὸν Ἰωσὴφ, οὕτω τὰ μέλλοντα προὔλεγε· καὶ μάλα εἰκότως. Τὰ μὲν γὰρ ἐκείνων ῥήματα Πνεύματος ἁγίου χάρις ἦν· τὰ δὲ τούτων ἀπάτη, καὶ ψεῦδος οὐδαμόθεν συσκιασθῆναι δυνάμενον. Ὅτι γὰρ σκῆψις ταῦτα, καὶ πρόφασις ἦν, καὶ τὸν μακάριον ἐδεδοίκει Βαβύλαν, δῆλον ἐξ ὧν ὁ βασιλεὺς ἔπραξε· τοὺς γὰρ ἄλλους ἅπαντας νεκροὺς ἀφεὶς, ἐκεῖνον τὸν μάρτυρα μόνον ἐκίνει. Καίτοι γε εἰ βδελυττόμενος αὐτὸν, ἀλλὰ μὴ φοβούμενος ταῦτα ἔπραττεν, ἐχρῆν κελεῦσαι συντριβῆναι τὴν λάρνακα, καταποντισθῆναι, εἰς ἐρημίαν ἀπαχθῆναι, ἑτέρῳ τινὶ ἀπωλείας ἀφανισθῆναι τρόπῳ. Τοῦτο γὰρ ἦν βδελυττομένου. Οὕτως ὁ Θεὸς ἐποίησεν, ὅτε περὶ τῶν βδελυγμάτων τῶν ἐθνῶν τοῖς Ἑβραίοις διελέγετο· συντριβῆναι τὰς στήλας αὐτῶν ἐκέλευσεν, οὐχ ἁπὸ τῶν προαστείων ἐπὶ τὰς πόλεις ἄγειν τὰ μιάσματα.

γ'. Ὁ μὲν οὖν μάρτυς ἐκινεῖτο, ὁ δὲ δαίμων οὐδὲ οὕτως ἀδείας ἀπέλαυεν· ἀλλ' εὐθέως ἐμάνθανεν, ὅτι ὀστᾶ μὲν μάρτυρος μετακινῆσαι δυνατόν ἐστιν, χεῖρας δὲ μάρτυρος διαφυγεῖν ἀδύνατον. Ὁμοῦ τε γὰρ ἡ λάρναξ ἐπὶ τὴν πόλιν εἵλκετο, καὶ κεραυνὸς ἄνωθεν ἐπὶ τὴν κεφαλὴν ἤρχετο τοῦ ξοάνου, καὶ τὰ πάντα κατέφλεγε. Καίτοι γε, εἰ καὶ μὴ πρότερον, τότε γοῦν εἰκὸς ἦν ὀργισθῆναι τὸν ἀσεβῆ βασιλέα, καὶ τὴν ὀργὴν ἀφεῖναι εἰς τὸ μαρτύριον τοῦ μάρτυρος· ἀλλ' οὐδὲ τότε ἐτόλμησε· τοσοῦτος αὐτὸν κατεῖχε φόβος· ἀλλὰ καίτοι τὸν ἐμπρησμὸν ὁρῶν ἀφόρητον ὄντα, καὶ τὴν αἰτίαν εἰδὼς ἀκριβῶς, ἡσύχαζε. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι τὸ μαρτύριον οὐ κατέσκαψεν, ἀλλ' ὅτι μηδὲ τὴν στέγην ἐπιθεῖναι πάλιν τῷ ναῷ οὐκ ἐτόλμησεν. Ἤδει γὰρ, ἤδει θεήλατον οὖσαν τὴν [535] πληγὴν, καὶ ἐδεδοίκει μὴ περαιτέρω τι διανοηθεὶς, ἐπὶ τὴν οἰκείαν ἐκεῖνο καλέσῃ τὸ πῦρ κεφαλήν. Διὰ τοῦτο ἠνείχετο εἰς τοσαύτην ἐρημίαν κατενεχθέντα τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁρῶν. Οὐδὲ γὰρ ἄλλη τις ἦν αἰτία, δι' ἣν οὐ διώρθωσε τὸ γεγενημένον, ἀλλ' ἡ φόβος μόνον δι' ὃν ἄκων ἡσύχαζε, καὶ ταῦτα εἰδὼς, ὅσον μὲν ὄνειδος καταλείπει τῷ δαίμονι, ὅσον δὲ κόσμον τῷ μάρτυρι. Καὶ γὰρ ἑστήκασιν οἱ τοῖχοι νῦν ἀντὶ τροπαίων, σάλπιγγος λαμπροτέραν ἀφιέντες φωνὴν, τοῖς ἐν τῇ Δάφνῃ, τοῖς ἐν τῇ πόλει, τοῖς πόῤῥωθεν ἀφικνουμένοις, τοῖς συνοῦσι, τοῖς αὖθις ἐσομένοις ἀνθρώποις ἅπαντα διηγοῦνται διὰ τῆς ὄψεως, τὴν πάλην, τὴν συμπλοκὴν, τὴν νίκην τοῦ μάρτυρος. Τὸν γὰρ πόῤῥωθεν ἀφιστάμενον τοῦ προαστείου, καὶ τὸ μὲν μαρτύριον τοῦ ἁγίου τῆς λάρνακος ἔρημον, τὸν δὲ ναὸν τοῦ Ἀπόλλωνος τὴν στέγην ἁρπαγεῖσαν ὁρῶντα, εἰκὸς τὴν αἰτίαν τούτων ἑκατέρων ζητεῖν· εἶτα πᾶσαν μαθόντα τὴν ἱστορίαν, οὕτως ἀπελθεῖν ἐκεῖθεν. Τοιαῦτα τοῦ μάρτυρος τὰ κατορθώματα, τὰ μετὰ τὴν τελευτήν. Διὸ καὶ τὴν ὑμετέραν μακαρίζω πόλιν, ὅτι πολλὴν περὶ τὸν ἅγιον τοῦτον ἐπεδείξασθε τὴν σπουδήν. Καὶ γὰρ τότε, ἡνίκα ἀπὸ τῆς Δάφνης ἐπανῄει, πᾶσα μὲν ἡμῖν ἡ πόλις εἰς τὴν ὁδὸν ἐξεχύθη, καὶ κεναὶ μὲν αἱ ἀγοραὶ ἀνδρῶν, κεναὶ δὲ γυναικῶν ἦσαν αἱ οἰκίαι, ἔρημοι δὲ παρθένων οἱ θάλαμοι. Οὕτω καὶ ἡλικία πᾶσα, καὶ φύσις ἑκατέρα

[a] Ἀλλ' ὅμως καὶ οὕτως αὐτὸς ὢν ἀπάγωμεν. Hujus pericopes talem esse sensum recte notat Savil., nempe: *Etiamsi ego quoque hoc cupiam, abstineamus.* Edit.

τῆς πόλεως ἐξεπήδησαν, ὥσπερ πατέρα ἀπολαμβάνοντες χρόνιον, ἐκ μακρᾶς ἐπανιόντα τῆς ἀποδημίας. Καὶ ὑμεῖς μὲν αὐτὸν τῷ τῶν ὁμοζήλων ἀπεδώκατε χορῷ· ἡ δὲ τοῦ Θεοῦ χάρις οὐκ εἴασεν ἐκεῖ διηνεκῶς μεῖναι, ἀλλὰ πάλιν αὐτὸν τοῦ ποταμοῦ πέραν μετέστησεν, ὥστε πολλὰ τῶν χωρίων τῆς εὐωδίας ἐμπλησθῆναι τοῦ μάρτυρος. Καὶ οὐδὲ ἐνταῦθα ἐλθὼν μόνος ἔμελλεν ἔσεσθαι, ἀλλὰ ταχέως γείτονα καὶ ὁμόσκηνον τὸν ὁμότροπον ἔλαβε. Καὶ γὰρ τῆς ἀρχῆς ἐκοινώνησεν αὐτῷ τῆς αὐτῆς, καὶ παῤῥησίαν ἴσην ἐπεδείξατο τῆς εὐσεβείας ἕνεκεν. Διὸ καὶ τὴν σκηνὴν ἔλαχεν αὐτῷ τὴν αὐτήν, οὐ μάτην, ὡς ἔοικεν, ὁ θαυμαστὸς οὗτος τοῦ μάρτυρος ζηλωτής. Τοσοῦτον γὰρ ἐπόνει τὸν χρόνον ἐκεῖ, βασιλεῖ συνεχῶς ἐπιστέλλων, ἄρχοντας ἐνοχλῶν, καὶ τὴν ἀπὸ τοῦ σώματος λειτουργίαν εἰσφέρων τῷ μάρτυρι. Ἴστε γὰρ δήπου, καὶ μέμνησθε, ὅτι μὲν θέρους τῆς ἀκτῖνος μέσης κατεχούσης τὸν οὐρανὸν, μετὰ τῶν προσευχομένων αὐτῷ, καθ' ἑκάστην ἐβάδιζεν ἐκεῖ τὴν ἡμέραν, οὐχ ὡς θεατὴς μόνον ἀλλὰ καὶ ὡς κοινωνὸς τῶν γινομένων ἐσόμενος. Καὶ γὰρ λίθου συνεφήψατο πολλάκις, καὶ σχοῖνον εἵλκυσε, καὶ οἰκοδομίας δεομένῳ τινὸς, πρὸ τῶν ὑπουργούντων ὑπήκουσεν· ἤδει γὰρ, ἤδει πόσοι τούτων αὐτῷ κείσονται οἱ μισθοί. Καὶ διὰ τοῦτο διετέλει θεραπεύων τοὺς μάρτυρας, οὐκ οἰκοδομαῖς μόνον λαμπραῖς, οὐδὲ ἐπαλλήλοις ἑορταῖς, ἀλλὰ τῷ βελτίονι τούτων τρόπῳ. Τίς δέ ἐστιν οὗτος; Μιμεῖται τὸν βίον αὐτῶν, ζηλοῖ τὴν ἀνδρείαν, διὰ πάντων κατὰ δύναμιν τὴν εἰκόνα [536] διασώζει τῶν μαρτύρων ἐν ἑαυτῷ· ὅρα γάρ· Ἐπέδωκαν ἐκεῖνοι τὰ σώματα τῇ σφαγῇ· ἐνέκρωσεν οὗτος τὰ μέλη τῆς σαρκὸς τὰ ἐπὶ τῆς γῆς· ἔστησαν ἐκεῖνοι πρὸς φλόγα πυρὸς, ἔσβεσεν οὗτος τῆς ἐπιθυμίας τὴν φλόγα· ἐμαχήσαντο πρὸς ὀδόντας θηρίων ἐκεῖνοι, ἀλλὰ καὶ οὗτος τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν παθῶν, τὴν ὀργὴν ἐκοίμισεν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι καὶ μάρτυρας οὕτω γενναίους ἡμῖν ἐχαρίσατο, καὶ ποιμένας μαρτύρων ἀξίους, εἰς καταρτισμὸν τῶν ἁγίων, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ

καὶ κατὰ Ἰουλιανοῦ, καὶ πρὸς Ἕλληνας [a].

—

α'. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μέλλων πρὸς τὸ πάθος ἤδη χωρεῖν, καὶ τὸν θάνατον ἀποθνήσκειν τὸν ζωοποιὸν αὐτῇ τῇ τελευταίᾳ νυκτὶ, καλέσας ἰδίᾳ τοὺς ἑαυτοῦ μαθητὰς, ἄλλα τε διελέχθη πολλὰ καὶ παρῄνεσε· καὶ μετὰ τῶν ἄλλων εἶπέ τι καὶ τοιοῦτον αὐτοῖς· *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει.* Καίτοι πολλοὶ ἕτεροι διδάσκαλοί τε ἐγένοντο, καὶ μαθητὰς ἔσχον καὶ θαύματα ἐπεδείξαντο, καθὼς Ἑλλήνων παῖδες κομπάζουσι, ἀλλ' ὅμως οὐδεὶς οὐδέποτε ἐκείνων τοιοῦτον οὐδὲν οὔτε εἰς νοῦν ἐβάλετο, οὔτε εἰπεῖν ἐτόλμησεν. Οὐδ' ἂν ἔχοιεν Ἑλλήνων τινὲς [b], κἂν πάντα ἀναισχυντοῖεν, ἐπιδεῖξαι πρόῤῥησιν ἢ λόγον τοιοῦτον κείμενον παρ' αὐτοῖς· ἀλλὰ φάσματα μὲν τῶν κατοιχομένων καὶ νεκρῶν τινων εἴδωλα δεῖξαι πολλοὶ πολλοὺς παρ' αὐτοῖς θαυματοποιοὺς φασι, καὶ φωνὰς δέ τινας ἀπὸ μνημείων τισὶν ἐνεχθῆναι λέγουσιν, ὅτι δέ τις τῶν ζησάντων ἀνθρώπων καὶ θαυμασθέντων παρ' αὐτοῖς, ἢ οὓς μετὰ τελευτὴν ἐνόμισαν εἶναι θεοὺς, εἶπέ τι τοιοῦτον τοῖς ἑαυτοῦ μαθηταῖς, οὐδεὶς ἂν αὐτῶν ἰσχυρίσαιτό ποτε. Καὶ τὴν αἰτίαν δὲ εἰ βούλεσθε ἐρῶ, διὰ τί τὰ ἄλλα πάντα ἀπηρυθριασμένως, καὶ γυμνῇ ψευδόμενοι τῇ κεφαλῇ, τοιοῦτον οὐδέποτε οὐδὲν πλάσασθαι ἐτόλμησαν. Οὐ γὰρ ἁπλῶς, οὐδὲ ἄνευ τινὸς λόγου ταύτης ἀπέσχοντο τῆς μιχανῆς, ἀλλ' εἶδον τοῦτο κακούργως οἱ λυμεῶνες ἐκεῖνοι, ὅτι τὸν μέλλοντα ἀπατᾶν πιθανά τινα καὶ πολλῆς γέμοντα κομψείας, καὶ πρὸς τὸ μὴ φωραθῆναι [c] δυσδιάγνωστα συντιθέναι χρή. Καὶ γὰρ τοὺς δεινοὺς τῶν τε ἰχθύων τῶν τε ὀρνίθων θηρευτὰς ἔθος οὐ γυμνὰ προτιθέναι τὰ θήρατρα, ἀλλὰ τῷ δελέατι πάντοθεν αὐτὰ περιστείλαντας ἀκριβῶς, οὕτω τῆς ἄγρας περιγενέσθαι ἑκατέρας ἑκατέρους. Εἰ δὲ ἐκκαλύψαντες αὐτὰ τοῖς ἁλίσκεσθαι μέλλουσιν οὕτω παρεῖχον ὁρᾶν, οὔτε ἰχθῦς, οὔτε ὄρνιθες [d] τῶν ἀρκύων ἐκείνων ἐντὸς ἂν ἐγένοντό ποτε· μᾶλλον δὲ οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθον αὐτοῖς, ἀλλὰ κεναῖς ἂν ἕκαστος [537] ἀπῆλθε χερσὶν οἴκαδε, ὅ τε θαλάττιος ὅ τε χερσαῖος θηρατής. Ἐπεὶ οὖν καὶ τούτοις σαγηνεύειν ἀνθρώπους προὔκειτο, οὐκ ἔῤῥιψαν γυμνὴν τὴν ἀπάτην εἰς τὸ τοῦ βίου πέλαγος, ἀλλὰ πλασάμενοι καὶ συνθέντες τὰ δυνάμενα τοὺς ἀλογωτέρους ἑλεῖν, περαιτέρω προελθεῖν ἐφείσαντο τῷ ψεύδει, δεδοικότες τὴν ὑπερβολὴν, καὶ φοβούμενοι, μὴ τῇ τῶν δευτέρων ἀμετρίᾳ καὶ τὰ πρότερα [e] ἀναλύσωσιν. Εἰ γὰρ εἶπον ὅτι τοιοῦτόν τι παρ' αὐτοῖς ἐπηγγείλατό τις, οἷον ὁ ἡμέτερος Σωτὴρ τοῖς μαθηταῖς εἶπε τοῖς ἑαυτοῦ, καὶ οἱ παρ' αὐτῶν ἠπατημένοι κατεγέλασαν ἂν αὐτῶν, ὡς οὐδὲ πιθανὰ ψεύσασθαι δυνηθέντων. Τὸ γὰρ τοιαῦτα καὶ προλέγειν καὶ πληροῦν μετὰ ἀληθείας, τῆς μακαρίας ἐκείνης δυνάμεως μόνης ἐστίν.

Εἰ δέ τι καὶ δαίμονες ἴσχυσάν ποτε φαντάσαι τοὺς ἠπατημένους μικρὸν, ἀλλ' ὅτε οὔπω τοῦ φωτὸς ἡ πηγὴ γνώριμος ἦν τοῖς πολλοῖς. Καὶ τότε δὲ αὐτόθεν ἐδείκνυτο, ὅτι δαιμόνων ἦν ἔργα τὰ τελούμενα, τῇ τε ἄλλῃ ἀπάτῃ καὶ ταῖς θυσίαις αὐταῖς. Τὸ γὰρ ἀνθρωπίνοις αἵμασι τοὺς ἑαυτῶν προστάττειν φοινίττεσθαι βωμοὺς, καὶ παρὰ τῶν σπειράντων τὰ τοιαῦτα αὐτοῖς κελεύειν ἱερεῖα καταβάλλεσθαι, τίνα οὐκ ἂν ἀποκρύψειε μανίας ὑπερβολήν; Οἱ γὰρ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενοι συμφορῶν, μηδὲ εἰδότες ὅρον τινὰ καὶ πέρας τῆς μάχης τῆς πρὸς ἡμᾶς, ἀλλὰ ἀθάνατα λυττῶντες ἀεὶ, καθάπερ οὐκ ἀρκοῦν αὐτῶν ἐμπλῆσαι τὸν θυμὸν, τὸ γυναῖκας καὶ

[a] Reg. unus: Κατὰ Ἑλλήνων, καὶ εἰς τὸν ἅγιον ἱερομάρτυρα Βαβύλαν. Colb.: Λόγος εἰς τὸν μακάριον Βαβύλαν καὶ κατὰ Ἑλλήνων.

[b] Savil. et unus hic et iterum Ἑλλήνων παῖδες.

[c] Unus codex et Savil. in textu πρὸς τὸ φωραθῆναι, alii omnes πρὸς τὸ μὴ φωραθῆναι. Infra alii θηρευτάς, alii θηματάς.

[d] Alii οὔτε ὄρνις, et postea ἐγένετο.

[e] Duo codd., τὰ πρότερον. Mox alii εἶπον τοιοῦτόν τι, alii εἶπον ὅτι τοιοῦτόν τι.

et omnis ætas, et uterque sexus exsilierunt ex urbe, tanquam patrem ex longa peregrinatione post multum tempus revertentem recepturi. Ac vos quidem illum eodem zelo succensorum cœtui reddidistis, Dei vero gratia perpetuo manere illic non permisit, sed rursus illum ultra flumen (*a*) transtulit, ut multa loca suavi martyris odore complerentur. Neque vero, cum huc venisset, solus mansurus fuit, sed vicinum confestim et contubernalem, iisdemque moribus præditum accepit. Nam et ejusdem præfecturæ particeps factus est, et æqualem loquendi libertatem in causa religionis exhibuit : quapropter et idem ac ipse domicilium obtinuit, non frustra, ut videtur, hic mirabilis martyris imitator. Tanto enim tempore illic laboravit ad Imperatorem literas mittens, magistratus interpellans, et corporis ministerium martyri deferens. Scitis enim utique ac recordamini, quo pacto æstivo tempore, dum meridiani solis radiis cælum arderet, cum suis assessoribus singulis diebus illuc pergeret, non ut spectaret solum, sed etiam ut in eorum, quæ gerebantur, consortium veniret. Nam et lapides sæpius attigit, et funem traxit, et ei qui structura aliqua indigebat, ante ipsos ministros obtemperavit. Noverat quippe, noverat quanta ipsi horum causa præmia reservanda essent : atque idcirco in obsequio cultuque martyrum perseverabat, non splendidis tantum ædificiis struendis, aut continuis festis celebrandis, sed potiori quadam his omnibus ratione : quanam illa tandem ? Vitam imitatur illorum, fortitudinem æmulatur, ac per omnia imaginem martyrum pro viribus in seipso conservat. Vide enim : exposuerunt illi corpora mactationi ; at hic membra carnis mortificavit, quæ sunt super terram : restiterunt illi flammæ ignis, hic cupiditatis flammam restinxit : pugnarunt illi cum dentibus bestiarum, sed et hic sævissimam in nobis perturbationum iram sedavit. Horum igitur omnium causa Deo gratias agamus, quod et martyres nobis ita generosos largitus sit, et martyribus dignos pastores ad consummationem sanctorum, in ædificationem corporis Christi (*Ephes.* 4. 12), cum quo Patri gloria, honor, imperium, cum sancto et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) Orontem intelligit ad quem fluvium sita Antiochia.

LIBER IN SANCTUM BABYLAM,

CONTRA JULIANUM, ET CONTRA GENTILES (*a*).

1. Dominus noster Jesus Christus supplicium jam jam subiturus, et morte vivifica moriturus, nocte illa postrema discipulos seorsim vocavit, ipsisque tum alia multa monita dedit, tum hæc etiam verba fecit : *Amen, amen dico vobis, qui credit in me, opera, quæ ego facio, et ipse faciet, et majora his faciet* (*Joan.* 14. 12). Atqui multi alii magistri exstitere, qui discipulos habuerunt et miracula perpetrarunt, ut Græci jactitant ; attamen nullus eorum umquam simile quidpiam vel cogitare vel dicere ausus est. Neque possunt quidquam eorum, etsi admodum impudentes sint, prædictionem sermonemve similem penes se exhibere ; sed spectra defunctorum mortuorumque simulacra multi eorum dicunt a plurimis apud se mirabilium patratoribus ostendi ; voces item e sepulcris ad quosdam emissas jactitant : quod autem quis ex viris, qui apud se vixerunt et admirationi habiti sunt, aut ex iis quos post decessum deos reputaverunt, tale quidpiam discipulis dixerit, nullus eorum affirmare audeat. Causam autem, si placet, aperiam ; cur scilicet cum cætera omnia impudenter effutierint, et perfricta fronte mentiti sint, nihil hujusmodi comminisci ausi sint. Non enim abs re, neque sine quadam ratione a tali commento abstinuere ; sed astute conspicati sunt pestiferi illi homines eum, qui fucum facere velit, oportere probabilia quædam, et fallaciæ plena, quæ facile non possint falsi argui, proferre. Nam in more est ut piscibus avibusque callidioribus non nudi hami proponantur, sed esca obtegente illi capiantur, atque ita venatio utraque prospere cedat ; si vero conspicua retia essent, neque pisces neque aves irretirentur umquam, imo vero ne vel tantillum accederent ; sed tum piscator, tum venator vacuis manibus redirent. Quia igitur illis in proposito erat homines ceu sagena capere, non nudam fallaciam in hujus vitæ pelagus immisere, sed iis confictis ac compositis, quibus possent imprudentiores capere, ulterius mendacio progredi supersederunt, veriti ne ultra modum procederent, metuentesque, ne posteriorum fraudum immoderato usu priores subverterent. Nam si dixissent suorum quempiam rem talem pollicitum esse, qualem discipulis Servator noster promisit, etiam iis quos deceperant sese ridiculos præbuissent, utpote qui ne verisimilia quidem mentiri possent : talia enim prædicere atque præstare ad beatam illam virtutem solam pertinet.

Humanæ Gentilium victimæ. — Quod si potuere olim dæmones iis, quos deceperant, nonnihil phantasmatis exhibere, id tunc evenit, cum luminis fons vulgo nondum cognitus esset. Illo quippe tempore tum ex aliis fallaciis, tum ex ipsis sacrificiis ostensum est ea, quæ gerebantur, dæmónum opera esse. Nam quod humano sanguine aras suas cruentari juberent, et a generantibus taies sibi parari victimas præciperent, id quam insaniæ speciem non obruat ? Qui enim calamitatibus nostris nunquam satiantur, neque ullum finem terminumve ponunt bello contra nos indicto, sed immortali semper rabie ducti, ac si non

(*a*) Contulimus Codices Regg. 1673, 2745, 2117, et Colb. 974, 2143.

satis sit ad eorum explendum animum, quod mulieres et parvuli ovium boumque loco ad aras suas immolentur, novam homicidii iniquitatem excogitarunt inauditumque calamitatis induxere modum. Quos enim par erat peremptorum cædes lugere, iis persuasere ut ad miseram illam subeundam cædem sese offerrent; utque non leges modo ab hominibus positæ violarentur, ipsas quoque naturæ leges funditus destruxerunt, ipsam adversum se naturam grassari curantes, omniumque scelestissimam cædem in hominum vitam inducentes. Nullos enim inimicos perinde atque parentes tunc formidabant omnes : ac quibus maxime fidendum erat, eos in primis suspectos habebant et aversabantur. Siquidem nefarii dæmones, per quæ Deus illos ad hujus mundi contemplationem induxerat, per eadem ab ejusmodi dono dejicere satagebant, dum eos qui vitam ministraverant, mortis auctores constituerent, declarare volentes, nihil eos amplius ex Dei bonitate consequutos esse : ut qui non aliis opus haberent interfectoribus, quam parentibus. Hæc etiamsi magnum aliquod miraculum subsequutum fuisset (ne dicam ostensum fuisse, rem exiguam ac nihili faciendam, multaque plenam fallacia esse); sed etiamsi vere magna patrata fuissent, ea sane quæ dixi, iis saltem qui non mente capti sunt, demonstrare possunt, quinam essent qui talia agerent, quam flagitiosi, quam scelesti, qui nihil non molirentur ad nostram statusque nostri subversionem.

2. *Christus etiam Gentilibus bona contulit.* — At Dominus noster Jesus nihil tale imperavit nobis; sed mirabilis cum sit ob prodigia, nec minus præceptis quam signis admirandus, jure ab omnibus adoretur, ac Deus esse credatur. Hanc enim impietatem adventu ipse suo solvit : quodque mirabilius est, a fera illa et immani tyrannide non nos tantum, qui adoramus eum, sed etiam eos, qui ipsum blasphemis dictis impetunt, liberavit : neque enim Gentilium quisquam tales hostias dæmonibus suis posthac immolare coactus est : tanta nempe usus est erga genus nostrum benignitate; majoraque bona Deus inimicis suis contulit, quam mala dæmones amicis. Dæmones quippe eos, qui se colerent et honorarent, ad proprios mactandos filios coegerunt; Christus vero adversarios suos his præceptis liberos esse curavit, et ferini ministerii immunitatem, et pacem hanc mirabilem, non suis modo contulit, sed et alienis præstitit : ostendens illos tyrannos generis nostri hostes et corruptores esse; quapropter etiam iis, qui sibi hærebant, quasi alienis utebantur, alieni quippe revera erant. Ille vero rex creator et servator totius generis humani erat; ideoque ab se alienis quasi propriis pepercit. Etenim proprium ejus opificium erat humana natura, quemadmodum discipulus ejus ait : *In propria venit, et sui eum non receperunt* (*Joan.* 1. 11). Ejus vero totam in nos clementiam enarrare non est præsentis temporis; sed etiamsi per cuncta sæcula de illa quis loqueretur, etiamsi tantam haberet virtutem, quantam par est incorporeas illas habere virtutes, ne sic quidem illam pro dignitate posset attingere. Quam bonus enim sit, ipse solus novit, quandoquidem ipse solus ita bonus est. Vide igitur quæ verba discipulis proferat : *Amen, amen dico vobis, qui credit in me, opera, quæ ego facio, et ipse faciet, et his majora faciet* (*Joan.* 14. 12). Neque enim tantum illis honoris contulisset, nisi immensa bonitate præditus esset. Quod si quis dubitando quærat a nobis, ubinam finem habuerit hoc oraculum, accepto libro, cui nomen Acta apostolorum, qui non omnium, sed unius vel duorum acta, eaque non ita multa continet, videbit ægrotos in lectulis decumbentes, umbrasque beatorum illorum vel solo tactu sanitatem restituisse; multosque furiosos Pauli tantum vestimentis ab agitante se dæmone liberatos. Quod si quis hæc fucum esse dicat et portentorum figmenta non credibilia, vel ea quæ nunc videntur satis sunt ad blasphemum ejus os obturandum et confundendum, et ad effrenem ejus linguam cohibendam. Nulla enim in orbe nostro est regio, nulla gens, nulla urbs, ubi hæc miracula non celebrentur : quæ utique si figmenta essent, non admirationi haberentur. Cujus rei testimonium vos ipsi exhibere potestis : non enim fidem aliunde mutuari opus habebimus, cum vos inimici nostri eam exhibueritis. Cur, quæso, Zoroastrem (*a*) illum et Zamolxin multi ne nomine quidem norunt, imo nonnisi admodum pauci norunt? nonne quia figmenta erant omnia, quæ de illis dicebantur? Quamquam tum illi, tum ii qui illa confinxerunt, viri graves fuisse ferantur; illi quidem ad præstigias inveniendas exercendasque, hi vero ad mendacium verborum fuco adumbrandum. Sed hæc frustra et incassum proferuntur, quando ipsum argumentum pravum et fallax esse comperitur; ut contra quando certum verumque est, frustra omnia cedunt, quæ ad illud evertendum ab inimicis excogitantur : veritatis quippe robur nullo eget auxilio; sed etiamsi innumeri sint qui illam exstinguere conentur, non solum non destruitur, sed etiam impugnantium opera splendidior sublimiorque evadit, illosque irridet, qui frustra sese excruciant et insaniunt.

Rerum, philosophorum, rhetorum contra Christianos conatus vani. — Nostra quippe illa, quæ vos figmenta esse dicitis, et tyranni et reges et dicendo invicti sophistæ; itemque philosophi et præstigiatores et magi et dæmones destruere curarunt; *Et infirmata est contra illos lingua eorum* (*Psal.* 63. 9), secundum propheticum sermonem, et *Sagittæ parvulorum factæ sunt plagæ eorum* (*Ibid. v.* 8). Reges quippe ex insidiis contra nos structis tantum lucrati sunt, quantum satis erat ad ferini animi famam apud omnes sibi parandam : ob iram enim contra martyres susceptam, in communem naturam ferocientes, sese imprudentes exercentis opprobriis obnoxios reddiderunt. Philosophi autem et acuti rhetores opinionem magnam, alii probitatis, alii eloquentiæ apud multos habentes, post commissam adversum nos pugnam ridiculi effecti, a pueris nugacibus nihil differre visi sunt. A tot enim

(*a*) Zoroaster magicæ artis inventor, qui risit eo ipso die, quo natus est. Vide Plinium l. 30. c. 1. Euseb. de Præpar. Evang. et Suidam. Zamolxis Pythagoræ discipulus, qui pro Saturno a Thracibus habitus est. Herodot. lib. 4.

παῖδας ἀντὶ προβάτων καὶ βοῶν εἰς τοὺς αὐτῶν κατασφάττεσθαι βωμούς, ἐπενόησαν ξένην ἀνδροφονίας παρανομίαν, καὶ καινότερον συμφορᾶς ἐπεισήγαγον τρόπον. Οὓς γὰρ ἔδει πενθεῖν τὰς τῶν ἀνηρημένων σφαγὰς, τούτους ἔπεισαν εἰς τὴν ἀθλίαν ἐκείνην μιαιφονίαν προαγειν αὐτούς. Καὶ ἵνα μὴ μόνον οἱ παρὰ τῶν ἀνθρώπων τεθέντες ἀτιμάζωνται νόμοι, καὶ τοὺς τῆς φύσεως αὐτοὺς θεσμοὺς ἐκ βάθρων ἀνέσπασαν, αὐτὴν καθ' ἑαυτῆς ἐκβαχχεύσαντες, καὶ τὸν ἁπάντων ἐναγέστερον φόνον εἰς τὸν τῶν ἀνθρώπων εἰσάγοντες βίον. Οὐδένας γὰρ ἐχθροὺς οὕτω λοιπὸν, ὡς τοὺς γεγεννηκότας ἅπαντες ἔδεισαν [a], καὶ οἷς ἐχρῆν μάλιστα πάντων θαῤῥεῖν, τούτους μάλιστα πάντων δι' ὑποψίας εἶχον καὶ ἀπεστρέφοντο. Οἱ γὰρ ἀλάστορες ἐκεῖνοι, δι' ὧν ὁ Θεὸς αὐτοὺς ἐπὶ τὴν θεωρίαν τοῦδε τοῦ κόσμου παρήγαγε, διὰ τούτων αὐτοὺς ταύτης ἐκβαλεῖν ἐφιλονείκησαν τῆς δωρεᾶς, τοὺς πρὸς τὸ ζῆν ὑπηρετησαμένους, τούτους καὶ τοῦ θανάτου καταστήσαντες αἰτίους, ὥσπερ ἐπιδεῖξαι βουλόμενοι, ὅτι πλέον οὐδὲν αὐτοῖς γέγονεν ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ· οὐ γὰρ ἑτέρων δεήσονται σφαγέων [b], ἀλλὰ τῶν φυσαμένων αὐτῶν. Ταῦτα εἰ καὶ θαῦμά τι παρηκολούθησεν μέγα, μὴ ὅτι εἴ που τι καὶ ἐδείχθη μικρὸν καὶ οὐδενὸς ἄξιον λόγου, καὶ πολλῆς γέμον ἀπάτης ἦν, ἀλλ' εἰ καὶ μεγάλα ἦν τὰ γινόμενα ταῦτα, ἅπερ εἶπον, τοῖς μὴ λίαν ἐξεστηκόσιν ἱκανὰ δεῖξαι, τίνες ἦσαν οἱ καὶ ἐκεῖνα ἐργαζόμενοι, πῶς [538] μιαροὶ καὶ παμμίαροι, καὶ πάντα ἐπ' ἀνατροπῇ [c] καὶ τῆς ζωῆς καὶ τῆς καταστάσεως τεκταίνοντες τῆς ἡμετέρας.

β'. Ἀλλ' οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς τοιοῦτον οὐδὲν ἐπέταξεν ἡμῖν, ἀλλὰ θαυμαστὸς ὢν διὰ τὰ τεράστια, διὰ τὰ προστάγματα τῶν θαυμάτων οὐχ ἧττον, παρὰ πάντων ἂν προσκυνοῖτο δικαίως καὶ πιστεύοιτο εἶναι Θεός. Τὴν γὰρ παρανομίαν ταύτην αὐτὸς ἐλθὼν ἔλυσε· καὶ τὸ θαυμαστότερον, ὅτι τῆς ἀγρίας καὶ ἀπηνοῦς τυραννίδος, οὐ τοὺς προσκυνοῦντας αὐτὸν μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς βλασφημοῦντας αὐτὸν ἐκείνους ἀπήλλαξεν· οὐδὲ γὰρ Ἑλλήνων τις ἔτι τοιαύτας θυσίας τοῖς ἑαυτοῦ δαίμοσι προσάγειν ἠνάγκασται. Τοσαύτῃ πρὸς τὸ ἡμέτερον ἀεὶ φιλανθρωπίᾳ κέχρηται γένος, καὶ ὧν οἱ δαίμονες τοὺς ἑαυτῶν φίλους εἰργάσαντο κακῶν, μείζονα ὁ Θεὸς τοὺς ἐχθροὺς [d] ἐποίησεν ἀγαθά. Οἱ μὲν γὰρ δαίμονες τοὺς θεραπεύοντας αὐτοὺς καὶ τιμῶντας, τῶν οἰκείων παίδων γενέσθαι σφαγέας ἠνάγκασαν· ὁ δὲ Χριστὸς τοὺς ἀποστρεφομένους αὐτὸν τούτων τῶν ἐπιταγμάτων ἀπήλλαξε, καὶ τῆς θηριώδους λειτουργίας τὴν ἀτέλειαν, καὶ τὴν θαυμαστὴν ταύτην εἰρήνην, οὐκ εἰς τοὺς οἰκείους μόνους συνέκλεισεν, ἀλλὰ καὶ εἰς τοὺς ἀλλοτρίους ἐξήγαγε, δεικνὺς ὅτι ἐκεῖνοι μὲν τύραννοί τινες καὶ τοῦ γένους ἡμῶν ἐχθροὶ καὶ λυμεῶνές εἰσι, δι' ὃ καὶ τοῖς ὠχειωμένοις ὡς ἀλλοτρίοις ἐκέχρηντο· καὶ γὰρ ἦσαν ἀλλότριοι. Ὁ δὲ βασιλεὺς καὶ δημιουργὸς καὶ σωτὴρ τοῦ παντὸς γένους ἀνθρώπων αὐτὸς ἦν· διὸ καὶ τῶν ἠλλοτριωμένων ὡς ἰδίων ἐφείδετο. Καὶ γὰρ ἦν ἴδιον ἔργον αὐτοῦ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, καθὼς καὶ ὁ μαθητὴς αὐτοῦ φησιν· *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἐδέξαντο* [e]. Ἀλλὰ πᾶσαν μὲν αὐτοῦ καταλέγειν τὴν φιλανθρωπίαν οὐ τοῦ παρόντος καιροῦ, ἀλλὰ κἂν πάντας τοὺς αἰῶνας περὶ αὐτῆς φθέγγηταί τις, κἂν τοσαύτην ἔχῃ δύναμιν, ὅσην τὰς ἀσωμάτους δυνάμεις εἰκὸς, οὐδὲ οὕτως ἐφάψεται τῆς ἀξίας ποτέ. Ὅσον γάρ ἐστιν ἀγαθὸς, μόνος οἶδεν αὐτὸς, ἐπειδὴ καὶ μόνος ἐστὶν οὕτως [f] ἀγαθός. Ὅρα γοῦν οἷα τοῖς μαθηταῖς φησιν· *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει.* Οὐδὲ γὰρ ἂν τοσαύτης αὐτοῖς μετέδωκε τῆς τιμῆς, μὴ λίαν καὶ ἀπείρως ὢν ἀγαθός. Εἰ δέ τις ἡμῖν ἀμφισβητοίη, ποῦ τέλος ἔσχεν οὗτος ὁ χρησμὸς, τὸ βιβλίον μετὰ χεῖρας λαβὼν, ὃ καλεῖται μὲν Πράξεις ἀποστόλων, ἔχει δὲ αὐτὰς οὐ πάσας, ἀλλ' οὐδὲ πάντων αὐτῶν, ἀλλ' ἑνὸς ἢ δύο, καὶ ταύτας εὐαριθμήτους, ὄψεται τοὺς μὲν ἀῤῥωστοῦντας ἐπὶ τῶν κλινιδίων κατακειμένους, τὰς δὲ σκιὰς μόνον τῶν μακαρίων ἐκείνων ἐφαπτομένας τε αὐτῶν ἅμα καὶ τὴν ὑγίειαν ἐργαζομένας, πολλοῖς δὲ τῶν μαινομένων τῶν ἱματίων Παύλου οὐδὲν πλέον ἐδέησε πρὸς τὴν τοῦ κινοῦντος αὐτοὺς δαίμονος ἀπαλλαγήν. Εἰ δέ τις ταῦτα τῦφον εἶναι λέγοι, καὶ τερατείαν πλασμάτων ἀπίθανον, ἀλλὰ τά γε νῦν ὁρώμενα ἱκανὰ τὸ βλάσφημον ἐμφράξαι στόμα καὶ καταισχῦναι, καὶ τὴν ἀχαλίνωτον γλῶτταν ἐπισχεῖν. Οὐ γάρ ἐστιν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ οὐ χώρα, οὐκ ἔθνος, [539] οὐ πόλις, ἔνθα ταῦτα οὐκ ᾄδεται τὰ παράδοξα, οὐ θαυμασθέντα ποτὲ εἰ πλάσματα ἦν. Καὶ τοῦ λόγου τὴν μαρτυρίαν ὑμεῖς ἂν παράσχοιτε ταύτην ἡμῖν· οὐ γὰρ δεησόμεθα παρ' ἑτέρων τὴν πίστιν τῶν λεγομένων λαβεῖν, ὑμῶν τῶν ἐχθρῶν ταύτην παρεχομένων ἡμῖν. Εἰπὲ γάρ μοι, διὰ τί τὸν Ζωροάστρην ἐκεῖνον καὶ τὸν Ζάμολξιν οὐδὲ ἐξ ὀνόματος ἴσασιν οἱ πολλοὶ, μᾶλλον δὲ οὐδέ τινες, πλὴν ὀλίγων τινῶν; ἆρ' οὐχ ὅτι πλάσματα ἦν τὰ περὶ ἐκείνων λεγόμενα ἅπαντα; Καίτοι γε κἀκεῖνοι καὶ οἱ τὰ ἐκείνων συνθέντες δεινοὶ γενέσθαι λέγονται, οἱ μὲν γοητείαν εὑρεῖν καὶ ἐργάσασθαι, οἱ δὲ συσκιάσαι ψεῦδος τῇ τῶν λόγων πιθανότητι. Ἀλλὰ πάντα μάτην γίνεται καὶ εἰκῇ, ὅταν ἡ τῶν λεγομένων ὑπόθεσις σαθρὰ καὶ ψευδὴς οὖσα τύχῃ, ὥσπερ οὖν, ὅταν ἰσχυρὰ καὶ ἀληθὴς, ἅπαντα πάλιν μάτην γίνεται καὶ εἰκῇ τὰ πρὸς ἀνατροπὴν ἐπινοούμενα παρὰ τῶν ἐχθρῶν· οὐδεμιᾶς γὰρ δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλὰ κἂν μυρίους ἔχῃ τοὺς σβεννύντας αὐτὴν, οὐ μόνον οὐκ ἀφανίζεται, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων φαιδροτέρα καὶ ὑψηλοτέρα ἄνεισι, τῶν εἰκῇ κοπτόντων ἑαυτοὺς καὶ μαινομένων καταγελῶσα.

Τὰ μὲν γὰρ παρ' ἡμῖν, ἃ φατε πλάσματα εἶναι, καὶ τύραννοι καὶ βασιλεῖς καὶ λόγων ἄμαχοι σοφισταὶ, ἤδη δὲ καὶ φιλόσοφοι καὶ γόητες καὶ μάγοι καὶ δαίμονες καθελεῖν ἐσπούδασαν, *Καὶ ἐξησθένησεν ἐπ' αὐτοὺς ἡ γλῶσσα αὐτῶν*, κατὰ τὸν προφητικὸν λόγον, καὶ *Βέλη* [g] *νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν*. Οἱ μὲν γὰρ βασιλεῖς τοσοῦτον ἐκέρδαναν ἐκ τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὅσον θηριωδίας δόξαν παρὰ πᾶσιν λαβεῖν [h]. Διὰ γὰρ τὸν κατὰ τῶν μαρτύρων θυμὸν εἰς τὴν τῆς κοινῆς φύσεως ἐξενεχθέντες ἀπήνειαν, μυρίοις ἑαυτοὺς οὐ συνεῖδον περιβαλόντες ὀνείδεσιν. Οἱ δὲ φιλόσοφοι καὶ δεινοὶ ῥήτορες δόξαν πολλὴν, οἱ μὲν ἐπὶ σεμνότητι, οἱ δὲ ἐπὶ λόγων δυνάμει παρὰ τοῖς πολλοῖς ἔχοντες, μετὰ τὴν πρὸς ἡμᾶς μάχην καταγέλαστοι γεγόνασι, καὶ παίδων λῃρούντων ἁπλῶς οὐδὲν διαφέρειν ἔδοξαν. Ἀπὸ γὰρ ἐθνῶν

[a] Savil. in marg. et codex unus ἐδεδίεσαν.
[b] Sic Sav. et unus codex, atque ita legerat interpr. vetus, alii σφαγῶν. Paulo post duo codices αὐτῶν. Τούτοις εἰ καὶ θαῦμά τι παρηκολούθησε, μὴ θαυμάσῃς· ὅτι εἴ που καὶ ἐδείχθη, μικρόν.
[c] Duo mss. et Savil. in marg. ἐπ' ἐκτροπῇ.
[d] Alii τοῖς ἐχθροῖς.
[e] Alii οὐ παρελάβον.
[f] Alii οὗτος.
[g] Alii καὶ βέλος.
[h] Sic nos e Savilio, postulante sensu. Editum fuerat ἐλαύνον Edit.

καὶ δήμων τοσούτων οὐ σοφόν τινα, οὐκ ἄσοφον, οὐκ ἄνδρα, οὐ γυναῖκα, ἀλλ' οὐδὲ παιδίον μικρὸν μεταπεῖσαι ἴσχυσαν, ἀλλὰ τοσοῦτός ἐστι τῶν ὑπ' αὐτῶν γεγραμμένων ὁ γέλως, ὥστε ἀφανισθῆναι καὶ τὰ βιβλία πάλαι, καὶ ἅμα τῷ δειχθῆναι, καὶ ἀπολέσθαι τὰ πολλά. Εἰ δέ πού τι καὶ εὑρεθείη διασωθὲν, παρὰ Χριστιανοῖς τοῦτο σωζόμενον εὕροι τις ἄν· τοσοῦτον ἀπέχομεν βλάβην τινὰ παρὰ τῆς ἐκείνων ὑποπτεύειν ἐπιβουλῆς· οὕτω καταγελῶμεν τῆς πολλῆς τῶν μηχανημάτων αὐτῶν περιεργίας. Οὔτε γὰρ εἰ τὰ σώματα ἀδαμάντινα καὶ ἄφθαρτα ἦν ἡμῖν, σκορπίους, καὶ ὄφεις, καὶ πῦρ ταῖς χερσὶν ἐπισφίγγοντες ἐδείσαμεν ἄν, ἀλλὰ καὶ ἐπεδειξάμεθα· οὔτε ἐπειδὴ τὰς ψυχὰς ἡμῖν καὶ τὴν πίστιν τοιαύτην κατεσκεύασεν ὁ Χριστὸς, τὰ φάρμακα τῶν ἐχθρῶν ἔχοντες δεδοίκαμεν. Εἰ γὰρ ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ πάσης τοῦ διαβόλου τῆς τυραννίδος πατεῖν [540] ἡμῖν ἐπιτέταχται, πολλῷ μᾶλλον ἐπάνω σκωλήκων καὶ κανθάρων· τοσοῦτον γὰρ τὸ μέσον τῆς τούτων βλάβης πρὸς τὴν ἐκείνου τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν.

γ'. Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, τὰ δὲ ὑμέτερα, ἐπολέμησε μὲν αὐτοῖς οὐδεὶς οὐδέποτε· οὐδὲ γὰρ θέμις Χριστιανοῖς, ἀνάγκῃ καὶ βίᾳ καταστρέφειν τὴν πλάνην, ἀλλὰ καὶ πειθοῖ καὶ λόγῳ καὶ προσηνείᾳ τὴν τῶν ἀνθρώπων ἐργάζεσθαι σωτηρίαν. Ὅθεν οὐδεὶς τῶν τὰ τοῦ Χριστοῦ φρονούντων βασιλεὺς δόγματα καθ' ὑμῶν ἔθηκε τοιαῦτα, οἷα καθ' ἡμῶν οἱ τὰ τῶν δαιμόνων θεραπεύσαντες [a] ἐπενόησαν. Ἀλλ' ὅμως τοσαύτης ἀπολαύσασα ἡσυχίας, καὶ ὑπ' οὐδενὸς ἐνοχληθεῖσά ποτε τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἡ πλάνη ἀφ' ἑαυτῆς ἐσβέσθη, καὶ περὶ ἑαυτὴν διέπεσε, καθάπερ τῶν σωμάτων τὰ τηκεδόνι παραδοθέντα μακρᾷ, καὶ μηδενὸς αὐτὰ βλάπτοντος, αὐτόματα φθείρεται, καὶ διαλυθέντα κατὰ μικρὸν ἀφανίζεται. Ὥστε εἰ καὶ μὴ τέλεον ὁ σατανικὸς οὗτος ἐξήλειπται γέλως ἀπὸ τῆς γῆς, ἀλλ' ἱκανά γε τὰ ἤδη γενόμενα πιστώσασθαι καὶ ὑπὲρ τῶν μελλόντων ὑμᾶς. Τοῦ γὰρ πλείονος καθαιρεθέντος ἐν οὕτω χρόνῳ βραχεῖ, περὶ τοῦ λειπομένου οὐδεὶς φιλονεικήσει λοιπόν. Οὐδὲ γὰρ πόλεως ἁλούσης, καὶ τειχῶν κατενεχθέντων, καὶ βουλευτηρίων, καὶ θεάτρων, καὶ περιπάτων κατακαυθέντων, καὶ τῶν ἐν ἡλικίᾳ πάντων ἀνῃρημένων στοάς τις ἰδὼν ἡμικαύστους, καὶ οἰκιῶν ὀλίγων ἑστῶτα μέρη, μετὰ γραϊδίων [b] καὶ παιδίων μικρῶν, ἀμφισβητήσειε τῷ νικήσαντι, καὶ περιγενομένῳ τοῦ πλείονος, ὡς οὐ δυναμένῳ κατεργάσασθαι τὸ περιλειφθέν. Ἀλλ' οὐ τά γε τῶν ἁλιέων τοιαῦτα, ἀλλὰ καθ' ἑκάστην ἀνθεῖ τὴν ἡμέραν, καὶ ταῦτα οὐ δι' εὐρυχωρίας τινὸς καὶ ἀνέσεως εἰς τὸν ἡμέτερον εἰσαχθέντα βίον, ἀλλὰ διὰ θλίψεως [c], καὶ πολέμων, καὶ μάχης. Ὁ μὲν γὰρ Ἑλληνισμὸς πανταχοῦ τῆς γῆς ἐκταθεὶς, καὶ τὰς ἁπάντων ἀνθρώπων ψυχὰς κατασχών, οὕτως ὕστερον μετὰ τὴν τοσαύτην ἰσχὺν, καὶ τὴν ἐπίδοσιν, ὑπὸ τῆς τοῦ Χριστοῦ κατελύθη δυνάμεως· τὸ δὲ κήρυγμα τὸ ἡμέτερον οὐ μετὰ τὸ διαδοθῆναι πανταχοῦ, καὶ στῆναι βεβαίως, ἔσχε τοὺς πολεμοῦντας, ἀλλὰ πρὶν ἢ παγῆναι καὶ φυτευθῆναι ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἐξ αὐτῶν τῶν προοιμίων πρὸς ἅπασαν ἠναγκάζετο παρατάττεσθαι τὴν οἰκουμένην, *Πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας*· οὔπω γὰρ τοῦ σπινθῆρος τῆς πίστεως ἁφθέντος καλῶς, ποταμοὶ καὶ ἄβυσσοι

[a] Alii θεραπεύοντες.

[b] Alii codices μέρη καὶ γραϊδίων, Morel. μέρη μετὰ γραϊδίων, unus μέρη καὶ γραΐδα μετὰ παιδίων.

[c] Alii διὰ θλίψεων.

πάντοθεν ἐπέρρεον. Ἴστε δὲ δήπου ὡς οὐκ ἔστιν ἴσον τὸ μυρίοις ἔτεσι ῥιζωθὲν ἀνασπάσαι φυτὸν, καὶ τὸ ἐπὶ τῆς γῆς ἄρτι τεθέν· ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων, ἐπέκλυζε μὲν ἔτι μικρὸν ὄντα τὸν σπινθῆρα, ὡς ἔφην, τῆς εὐσεβείας τὸ τῶν ἐναντίων πέλαγος· ὁ δὲ οὐ μόνον οὐκ ἐσβέννυτο τούτῳ, ἀλλὰ καὶ μείζων γενόμενος καὶ φαιδρότερος πάντα ἐπῄει ταχέως [d], τὰ μὲν τῶν ἐχθρῶν καταλύων καὶ ἀναλίσκων εὐκόλως, τὰ δὲ τῶν οἰκείων ἀνιστῶν, καὶ πρὸς ὕψος ἄφατον αἴρων, καίτοι [541] ἀνδρῶν εὐτελῶν καὶ ἀσήμων ὑπηρετησαμένων αὐτῷ. Τὸ δὲ αἴτιον οὐκ ἦν τῶν ἁλιέων ἐκείνων οὔτε τὰ ῥήματα, οὔτε τὰ θαύματα, ἀλλὰ τῆς εἰς αὐτοὺς ἐνεργούσης δυνάμεως τοῦ Χριστοῦ. Τῶν γὰρ ταῦτα ἐργασαμένων, ὁ μὲν ἦν σκηνοποιὸς, ὁ Παῦλος, ὁ Πέτρος δὲ ἁλιεὺς, καὶ οὐκ ἂν οὕτως εὐτελέσι καὶ ταπεινοῖς πλάσαι τι τοιοῦτον ἐπῆλθέ ποτε, πλὴν εἰ μαίνεσθαί τις αὐτοὺς φαίη καὶ παραπαίειν. Ὅτι δὲ οὐκ ἐμαίνοντο δῆλον ἐξ ὧν εἰπόντες κατώρθωσαν, καὶ ἐκ τῶν ἔτι καὶ νῦν πειθομένων αὐτοῖς. Οὐκ ἂν οὖν ποτε τοιαῦτα ἐψεύσαντο, οὐδὲ ἐκόμπασαν ἁπλῶς. Καὶ γὰρ, ὅπερ ἀρχόμενος ἔφην, ὁ μέλλων ἐξαπατᾷν, ψεύδεται μὲν, ψεύδεται δὲ οὐχ οὕτως ὡς πᾶσι γενέσθαι καταφανής. Εἰ γὰρ καὶ τῶν πραγμάτων ἐκβεβηκότων, καὶ τοσούτων μαρτυρούντων τῷ τέλει, τῶν τε ἐν ἐκείνοις πιστευσάντων τοῖς χρόνοις καὶ τῶν ἐξ ἐκείνου πανταχοῦ ταῦτα ᾀδόντων, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ βαρβάροις, καὶ τοῖς ἐκείνων μᾶλλον ἐκτεθηριωμένοις, ὅμως εἰσί τινες μετὰ τοσαῦτα τεκμήρια, καὶ τῆς οἰκουμένης ὡς εἰπεῖν ἁπάσης τὴν μαρτυρίαν, οἳ διαπιστοῦσι τοῖς γεγενημένοις, καὶ πολλοὶ οὕτως ἀβασανίστως καὶ ἀνεξετάστως· τίς ἂν παρὰ τὴν ἀρχὴν μήτε πράγματα θεασάμενος, μήτε μαρτυρίας ἀξιοπίστους τούτων ἔχων, ταύτην ἂν τὴν πίστιν ἐδέξατο τῇ ψυχῇ; τί δὲ ὅλως καὶ ἐπῆρε [e] πλάσαι καὶ συνθεῖναί τι τοιοῦτον αὐτούς; Οὔτε γὰρ λόγων ἰσχύϊ (πῶς γὰρ, ὧν θάτερος οὔτε γράμματα ὅλως ἠπίστατο;), οὔτε χρημάτων ἐθάῤῥουν περιουσίᾳ· καὶ γὰρ τῆς ἀναγκαίας μόλις εὐπόρουν τροφῆς, ἀπὸ τῆς τῶν χειρῶν τέχνης διαζῶντες ἀμφότεροι. Ἀλλ' οὐδὲ ἐπὶ γένους λαμπρότητι παρῆν αὐτοῖς μέγα φρονεῖν· τοῦ μὲν γὰρ οὐδὲ τὸν πατέρα ἴσμεν ὅστις ἦν, οὕτως ἦν ἄσημος καὶ ἀφανής· τοῦ Πέτρου δὲ δῆλος μέν ἐστιν ὁ πατὴρ, τοσοῦτον δὲ ἔχει θατέρου πλέον, ὅσον τὴν προσηγορίαν αὐτοῦ γνώριμον ἡμῖν ἐποίησαν αἱ Γραφαὶ μόνον, καὶ τοῦτο διὰ τὸν υἱόν. Εἰ δὲ καὶ χώραν τις καὶ ἔθνος ἐξετάζειν βούλοιτο, τὸν μὲν Κίλικα εὑρήσει, τὸν δὲ πόλεως ἀσήμου πολίτην, μᾶλλον δὲ οὐδὲ πόλεως, ἀλλὰ κώμης τῆς ἐσχάτης· ἀπὸ Βηθσαϊδὰ γάρ· τῆς Γαλιλαίας δέ ἐστι χωρίον οὕτω καλούμενον, ἐξ ἧς ὁ μακάριος ἐκεῖνος ἦν. Καὶ τὰς τέχνας δέ τις αὐτῶν ἀκούσας, ὄψεται οὐδὲν μέγα ἐχούσας καὶ σεμνόν· τοῦ μὲν γὰρ ἁλιέως ὁ σκηνοποιὸς τιμιώτερος, τῶν δὲ ἄλλων χειροτεχνῶν εὐτελέστερος. Πόθεν οὖν, εἰπέ μοι, πόθεν πρᾶγμα τοσοῦτον ὑποκρίνασθαι ἐτόλμησαν; ποίαις ἐπαρθέντες ἐλπίσι; τίνι θαῤῥήσαντες; ἆρα τῷ καλάμῳ καὶ τῷ ἀγκίστρῳ, ἢ τῇ σμίλῃ καὶ τῷ τρυπάνῳ; Οὐκ ἀπελθόντες ἀπάγξεσθέ που, ἢ καὶ κατακρημνίσετε ἑαυτοὺς τοσαύτην ὀφλισκάνοντες ἄνοιαν;

δ'. Θῶμεν δὲ, εἰ βούλεσθε, καθ' ὑμᾶς καὶ τὸ ἀδύνατον τοῦτο γενέσθαι δυνατὸν, καὶ τὸν μὲν ἀπὸ τῆς λίμνης ἀνελθόντα λέγειν, ὅτι Ἡ σκιὰ τοῦ σώματος τοῦ ἐμοῦ

[d] Savil. et unus cod. πάντα ἐπῄει ταχέως, Morel. et alii πάντα ἔπνει ταχ. Prior lectio præstare videtur.

[e] Alii ὅλως ἐπῆρε, Savil. in textu et alii ὅλως καὶ ἐπῆρε, Morel. et Savil in marg. ὅλως ἐξεπῆρε. Infra Savil. in textu μ. γαλοτρογεῖν.

populis gentibusque non sapientem quempiam, non insipientem, non virum, non mulierem, non parvulum ad suam pertrahere sententiam potuerunt; sed eorum scripta usque adeo risu digna sunt, ut ex eorum libris alii jamdiu perierint, alii statim atque visi sunt exoleverint. Quod si quid ex iis supersit, apud Christianos servari comperitur : tantum abest ut ex eorum insidiis damni quidpiam nobis timendum suspicemur; ita ridemus versutos illorum adversum nos conatus. Neque enim si corpora nobis adamantina essent et incorruptibilia, scorpiones, serpentes et ignem manu stringere formidaremus, verum ostentandi causa faceremus; sic neque quando nobis Christus ejusmodi animos atque fidem paravit, venena hostium penes nos habentes pertimescimus. Nam si nobis jussum est supra serpentes, scorpiones et omnem diaboli tyrannidem ambulare (*Luc.* 10. 19), multo magis supra vermes et lumbricos : tantum enim est intervallum inter illorum nocumentum et maligni diaboli insidias.

3. Et nostrarum quidem rerum illa est ratio, vestras autem res oppugnavit nemo umquam : neque enim fas est Christianis necessitate ac violentia errorem subvertere, sed suadela, sermone et mansuetudine hominum salus curanda est. Quamobrem nemo ex Christianis Imperatoribus talia contra vos posuit decreta, qualia contra nos ii qui dæmones colebant. Attamen error ille gentilium, tantam consequutus quietem et a nemine turbatus umquam, per se tamen exstinctus est, et in se ipse corruit, more corporum, quæ diuturna tabe infecta, nemine lædente, per sese corrumpuntur, et paulatim dissoluta pereunt. Itaque etsi satanicus iste risus non prorsus in terra deletus est, at quæ jam contigerunt satis sunt ad futurorum confirmandam fidem. Cum enim ita brevi tempore maxima pars eversa jam fuerit, de reliquo nemo postea controversiam movebit. Etenim urbe capta, muris dirutis, prætoriis, theatris, ambulacris exustis, cæsisque omnibus qui florida erant ætate, si quis semiustas porticus videat, paucarum ædium stantes adhuc partes, cum aniculis et puerulis, nequaquam victori, qui summam rei confecit, timuerit, ne quod residuum est perficere non valeat. Piscatorum autem res non ita se habent, sed quotidie magis magisque florent, non per apertam planitiem ac per quietem ad nostram usque ætatem deductæ, sed per ærumnas, bella et prælia. Gentilitas quippe cum ubique terrarum prolata omnium animos occupasset, ita demum, post tantum robur atque incrementum, a Christi virtute soluta est; prædicatio autem nostra non tunc hostes habere cœpit, cum ubique propagata firmiter staret, sed priusquam in auditorum animis defigeretur et fundaretur, ab ipso rei primordio, contra universum terrarum orbem aciem instruere cogebatur, *Contra principatus et potestates, et rectores tenebrarum sæculi hujus, adversus spiritualia nequitiæ* (*Ephes.* 6. 12) : cum enim scintilla fidei nondum bene accensa esset, tum flumina et abyssi undique influebant. Scitis porro non perinde esse plantam ab innumerabilibus jam annis radices agentem evellere, atque eam quæ nuper insita fuerit. Sed in eo rei statu pietatis scintillam adhuc modicam, ut dixi, inundavit adversariorum pelagus, quæ tamen nedum exstingueretur, major etiam ac splendidior effecta, omnia cito pervadebat, res adversariorum facile devastans ac consumens, suam vero rem erigens atque in immensam tollens altitudinem, etiamsi viri tenues atque obscuri eam administrarent.

Vilis conditionis homines rem Christianam propagarunt. — Nec in causa erant piscatorum hujusmodi verba vel miracula, sed Christi virtus in ipsis operans. Ex illis enim, qui talia patrabant, alter Paulus erat, tentoriorum artifex; alter Petrus piscator : neque tam tenuibus hominibus in mentem venisset unquam rem talem confingere, nisi quis eos insaniisse et mente captos fuisse dicat. Quod autem non insanirent, palam est tum ex iis, quæ sermone perfecere, tum ex iis, qui etiamnum illis obtemperant. Numquam igitur talia illi ementiti fuissent, vel gloriabundi jactitassent. Etenim, ut principio dicebam, qui decipere vult, mentitur quidem, sed non ita mentitur, ut ab omnibus deprehendi possit. Nam si, postquam res contigerunt et tam multi earum eventum testificati sunt, tum ex iis, qui illis temporibus crediderunt, tum ex iis, qui postea hæc ubique celebrarunt, nec apud nos tantum, sed apud barbaros, et apud eos qui ipsis barbaris efferatiores sunt, supersunt tamen quidam, qui post tot signa, et totius, ut ita dicam, orbis testimonium, rebus gestis non credunt, ac multi nullo examine, nulla perquisitione præmissa : quis ab initio, nullis perspectis rebus, nullo fide digno testimonio munitus, hanc fidem animo exceperit? quid tandem illos induxerit ad tale quidpiam fingendum et comminiscendum? Neque enim dicendi vi fidebant; (qui enim id fieri possit, cum alter ne literas quidem nosset?) neque divitiarum copiæ, quibus alimenta necessaria vix suppeterent, et qui diurno opificio victitarent; neque de generis splendore gloriari poterant : alterius enim ne patrem quidem novimus, ita erat obscurus atque ignotus; Petri vero pater quidem notus est, sed id tantum amplius habet, quam alter, quod solam patris appellationem, idque propter filium, Scriptura commemoret. Si regionem quis et gentem explorare velit, alium Cilicem deprehendet, alium ignobilis urbis civem; imo vero non urbis, sed vici infimi incolam : Bethsaidæ enim, vici nempe in Galilæa sic vocati, beatus ille vir incola erat. Artes vero eorum si quis audiat, nihil magnum vel honorabile comperiet : nam piscatore quidem honestior est tentoriorum artifex; cæteris autem artificibus vilior. Undenam, quæso, unde rem tantam simulare ausi fuissent? qua spe elati? cui fidentes? an calamo et hamo? an cultro et terebræ? Homines insani, annon abscedentes vos strangulabitis, aut præcipites dabitis?

4. Fingamus autem, si placet, rem quæ fieri nequeat, fieri revera posse, et eum qui e stagno prodiit dicere : Umbra corporis mei mortuos suscitavit; cum vero qui ex pelliceorum tentoriorum officina

exiit, paria de vestimentis suis jactitare : quis auditorum usque adeo mente captus erat, ut circa res tantas nudis verbis fidem haberet? Cur nullus illo tempore artifex quidpiam simile de seipso, aut alius de illo dixit? Atqui si res nostræ figmenta essent, eos qui postea fuerunt, facilius similia mentituros fuisse verisimile erat. Illi enim priores non poterant exemplo aliorum, qui præcessissent, spem habere circa figmenti successum; hi vero posteriores, illos intuiti, commentum facilius ausi fuissent, cum priorum exemplum posterioribus fiduciam præberet, quasi nullus in terra mente præditus esset, sed omnes mente capti et insani essent, ita ut cuivis liceret quæcumque vellet de seipso dicere aliisque persuadere. Nugæ plane, et risu digna sunt gentilitiæ stultitiæ verba. Quemadmodum enim si quis cælum sagittis impetere velit, quasi telis ipsum diruperurus; aut Oceanum haurire, quasi manibus evacuaturus illum, ex urbanioribus nemo erit, quin rideat, ex gravioribus nemo non id effusis lacrymis deplorabit : sic cum nobis gentiles contradixerint, par est eos irridere ac deplorare : rem enim magis arduam suscipiunt, quam qui vel cælum confodere vel abyssum evacuare se posse speraverit. Neque enim lux umquam obscura erit, donec lux erit, neque nostrarum rerum veritas confutabitur : veritas quippe est, qua nihil validius. Quod igitur vetera illa, quæ aure percipimus, non minus credibilia sint, quam ea quæ nunc præsentia cernimus, quivis non mente captus et insanus confiteatur; ut autem victoriam cumulatius referamus, rem admirandam, ætate nostra gestam, referam. At ne turbemini, si miraculum nostra ætate editum narraturum me pollicitus, ex veteri historia narrationem ordiar : neque enim in his solum consistam, neque novo argumento aliena vetera referam : nam utraque mutuo hærent, nec licet eorum seriem disjungere, ut auditis rebus comperietis.

5. *Historia Imperatoris cujusdam fabulosa.* — Erat quis Imperator (*a*) majorum nostrorum ævo, qui qualis in cæteris fuerit, dicere nequeo : at audito scelere, quod aggredi est ausus, reliquam morum immanitatem cognoscetis. Quodnam igitur scelus illud? Genti cum illo bellum gerenti visum fuerat bellum solvere mutuarumque cædium finem facere, res componere, pericula et formidines sedare, suis se rebus continere, neque his ampliores expetere : præstare enim mediocribus sine formidine frui, quam majoribus inhiantes in metu ac timore degere semper, malaque cæteris inferentes, ab illis vicissim accipere. Cum autem constitutum illis esset, bello prorsus deposito, quietam transigere vitam, visum est firma pactione validisque conditionibus [1] pacem stabilire. Tum fœdere facto, dato acceptoque juramento, regi præterea suo suadere conantur, filium suum admodum puerum, in solidum pacis pignus traditum iis, qui prius hostes erant, fiduciam præstare posse, simulque propositi sui testimonium exhibere, quod nempe sine dolo pacem cum ipsis fecerit. Qua oratione rex adductus filium dedit, ut quidem existimabat ille, amicis et sociis; ut vero rei exitus probavit, feræ omnium immanissimæ. Nam cum amicitiæ et fœderis lege puerum regium accepisset, omnia simul conculcavit et evertit, juramenta, fœdera, hominum reverentiam, pietatem erga Deum, ætatis commiserationem : non belluam illam juventus flexit, non ea quæ hujusmodi scelera sequi solet ultio trucem hominem deterruit; non patris filium deponentis verba animum subiere, quæ dum in manibus traderet fecerat, rogans eum, ut in magna cura haberet, se filio ipsum constituere patrem quasi ab se genitum, obsecrans ut eum ita enutriret educaretque, et majorum suorum nobilitate dignum redderet; inter hæc verba dextram pueri homicidæ dextræ junxit, et perfusus lacrymis abscessit. Horum ille scelestissimus nihil in animo recepit, sed iis omnibus simul excussis, cædem omnium cædium immanissimam perpetrat. Hoc enim flagitium proprii filii cæde atrocius est : vos testes appello, qui non ita doluissetis, si quidem ex meo affectu vestrum metiri liceat, si audissetis ipsum filium occidisse suum : tunc enim cum communi lege naturalis quoque lex subverti videretur : hic autem plurima simul concurrerunt, quæ præ multitudine naturali necessitate fortiora sint. Quoties enim mecum reputo puerulum, qui nihil injuriæ fecerat, a patre traditum, a majorum suorum regia abductum, qui domesticas delicias, gloriam, honorem, cum extranea educatione commutaverat, ut pactionibus initis scelestus ille fidere posset : ab ipso postea male affectum, splendore paternæ domus ejus gratia privatum, ab eodemque demum interfectum, contraria patior, simul animo contabescens et exæstuans, quorum aliud ira, aliud mœstitia parit. Cum enim cogito sceleratum illum armatum, gladiumque vibrantem, pueri collum apprehendentem, et qua dextera depositum receperat, eadem gladium in illud intendentem, disrumpor atque ira præfocor; rursus cum juvenem conspicio formidantem, trementem, extremisque gemitibus ejulantem, patrem inclamantem horumque causam esse dicentem, ac cædem non ei, qui gladium in guttur infigeret, sed parenti imputantem, neque fugere neque se ulcisci posse, sed frustra parentem incusare, plagam excipere, palpitare, calcibus pavimentum ferire, terram sanguineis rivis inquinare : ipsa mihi viscera discerpuntur, cogitatio obtenebratur, ac mœstitiæ caligo quædam oculis offunditur. At fera illa nihil simile passa est; sed ac si agnus vel vitulus sibi mactandus esset, sic ad nefariam illam cædem affectus erat. Et puer quidem plaga recepta jacebat mortuus : homicida vero sceleri patrocinabatur, posterioribus priora obtegere curans. Putat fortasse quispiam me de sepultura loquuturum esse, dicturumque, defuncto ne tantillum quidem terræ interfectorem dedisse : ego vero atrocius aliud dicam. Nam cum iniquas manus tali sanguine fœdasset, novamque tragœdiam exhibuisset, ac si nihil perpetras-

[1] Unus secunda manu, *juramentis*, pro, *conditionibus*.

(*a*) In Codice Reg. 2989 scribitur ad marg., Νουμεριανός, qua de re dictum in Monito.

νεκροὺς ἀνέστησε· τὸν δὲ ἐκπηδήσαντα τῶν τοῦ σκηνορ-
ραφείου δέρρεων, τὰ αὐτὰ δὴ ταῦτα κομπάζειν ἐκείνῳ
περὶ τῶν ἱματίων αὐτοῦ· τίς οὕτως ἐμεμήνει τῶν
ταῦτα ἀκουόντων, ὡς ψιλοῖς ῥήμασι τιστεῦσαι περὶ
πραγμάτων τοιούτων; Διατί δὲ μηδεὶς [542] τῶν κατ'
ἐκεῖνον τὸν χρόνον χειροτέχνης ἀνὴρ εἶπέ τι περὶ ἑαυτοῦ
τοιοῦτόν ποτε, ἢ ἕτερός τις περὶ αὐτοῦ; Καίτοι εἰ τὰ
ἡμέτερα πλάσματα ἦν, τοὺς μετ' ἐκείνους εὐκολώτερον
τὰ τοιαῦτα ψεύδεσθαι εἰκὸς ἦν. Ἐκεῖνοι μὲν γὰρ οὐκ
εἶχον εἰς ἑτέρους ἀνενεγκόντες ὑπὲρ τούτων, ἐλπίσαι τοῦ
πλάσματος [a] περιέσεσθαι· οἱ δὲ μετ' ἐκείνους, εἰς ἐκεί-
νους ὁρῶντες, προχειρότερον ἂν τοῦ πλάσματος κατ-
ετόλμησαν τοῦ παραδείγματος τῶν προτέρων τοῖς δευτέ-
ροις παρακελευομένου θαῤῥεῖν, ὡς οὐδενὸς ἐν τῇ γῇ
νοῦν ἔχοντος, ἀλλὰ πάντων ἐξεστηκότων καὶ μεμηνότων,
καὶ τοῖς βουλομένοις ἐξὸν ἅπασιν, ἅπερ ἂν θέλωσι περὶ
ἑαυτῶν λέγειν τε καὶ πιστεύεσθαι. Λῆρος ταῦτα καὶ
γέλως, καὶ μωρίας Ἑλληνικῆς ῥήματα. Καθάπερ γὰρ
ἂν εἴ τις προαχθείη τοξεύειν τὸν οὐρανὸν, ὡς διαῤῥήξων
αὐτὸν τοῖς αὑτοῦ βέλεσιν, ἢ τὸν Ὠκεανὸν ἐξαντλεῖν, ὡς
κενώσων αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν, οὐδεὶς ὅστις οὐ
γελάσεται τῶν ἀστειοτέρων αὐτὸν, οἱ δὲ σεμνότεροι καὶ
δακρύσονται δάκρυσι πολλοῖς· οὕτως ὅταν ἡμῖν Ἕλληνες
ἀντιλέγωσι, γελᾷν αὐτοὺς καὶ δακρύειν καλόν· πολλῷ
γὰρ τοῦ τὸν οὐρανὸν τρώσειν καὶ τὴν ἄβυσσον κενώσειν
ἐλπίζοντος ἀπορωτέροις ἐπιχειροῦσι πράγμασιν. Οὔτε
γὰρ τὸ φῶς ἔσται σκότος ποτὲ, ἕως ἂν ᾖ φῶς, οὔτε ἡ
τῶν παρ' ἡμῖν πραγμάτων ἀλήθεια διελεγχθήσεται·
ἀλήθεια γάρ ἐστι· ταύτης δὲ ἰσχυρότερον οὐδέν. Ὅτι
μὲν οὖν καὶ τὰ ἀρχαῖα ἃ ἀκοῇ ἴσμεν, τῶν παρόντων καὶ
ὁρωμένων οὐχ ἧττόν ἐστι πιστὰ, πᾶς ὁστισοῦν μὴ παρα-
παίων καὶ ἐξεστηκὼς ὁμολογήσειεν ἄν· ἵνα δὲ καὶ ἐκ
περιουσίας τὴν νίκην ἀρώμεθα, βούλομαι καὶ ἐπὶ τῆς
ἡμετέρας γενεᾶς γενόμενόν τι παράδοξον εἰπεῖν. Ἀλλὰ
μὴ θορυβηθῆτε εἰ θαῦμα ὑποσχόμενος ἐρεῖν ἐφ' ἡμῶν
γεγονὸς, εἶτα ἐκ παλαιᾶς ἱστορίας ἄρχομαι τοῦ διηγή-
ματος ὑφαίνειν τὴν ἀρχήν. Οὔτε γὰρ μέχρις ἐκείνων
στήσομαι μόνον, οὔτε ἀλλότρια τῆς νέας ὑποθέσεως ἐρῶ
τὰ παλαιά· ἀλλήλων γὰρ ἑκάτερα ἔχεται, καὶ διαζευχθῆ-
ναι τὴν ἀκολουθίαν αὐτῶν οὐκ ἔνι· εἴσεσθε δὲ καλῶς αὐ-
τῶν τῶν πραγμάτων ἀκούσαντες.

ε'. Ἐγένετό τις βασιλεὺς ἐπὶ τῶν προγόνων τῶν ἡμετέ-
ρων, καὶ τὰ μὲν ἄλλα ὁποῖός τις ἦν οὗτος ὁ βασιλεὺς,
οὐκ ἔχω λέγειν· τὸ δὲ ἄγος ὅπερ ἐτόλμησεν ἀκούσαντες
εἴσεσθε καὶ περὶ τῆς λοιπῆς τῶν τρόπων ὠμότητος. Τί
οὖν τὸ ἄγος ἦν; Ἔδοξεν ἔθνει τινὶ τῶν ἐκείνῳ πολεμούν-
των τῷ βασιλεῖ καταλῦσαι τὸν πόλεμον, καὶ μήτε ἑτέρους
κόπτειν, μήτε αὐτοὺς ὑπὸ ἑτέρων κόπτεσθαι τοῦ λοιποῦ,
ἀλλὰ πραγμάτων μὲν ἀπηλλάχθαι, καὶ κινδύνων, καὶ φό-
βων, στέργειν δὲ τοῖς ὑπάρχουσι, καὶ μηδὲν πλέον τῶν
ὄντων ἐπιζητεῖν· κρεῖττον γὰρ εἶναι μετὰ ἀφοβίας ἀπο-
λαύειν μετρίων, ἢ τοῦ πλείονος ἐφιεμένους δεδοικέναι,
καὶ τρέμειν ἀεὶ, καὶ κακὰ αὐτοῖς τε καὶ ἑτέροις διδόν-
τας καὶ παρ' ἑτέρων λαμβάνοντας ζῆν. Δόξαν δὴ κατα-
θέσθαι τὸν πόλεμον, καὶ τὸν ἀπράγμονα βίον ζῆν, ἔδοξεν
ἰσχυρῷ τινι θεσμῷ καὶ ὅροις [b] ἀσφαλέσι τοῦτο καταδῆσαι
τὸ καλόν· καὶ ποιησάμενοι συνθήκας, καὶ λαβόντες
ὅρκους, καὶ δόντες, [543] ἐκ περιουσίας ἐπεχείρουν πεί-
θειν τὸν βασιλέα τὸν αὐτῶν, τὸν υἱὸν τὸν αὐτοῦ (παιδίον
δὲ ἦν κομιδῇ) τῆς εἰρήνης ἐνέχυρον καταθέντα ἀσφαλὲς,
τοῖς τε πρότερον πολεμίοις οὖσι παρέχειν θαῤῥεῖν, τῆς τε
οἰκείας γνώμης μαρτύριον ἐξενεγκεῖν, ὡς ἀδόλως τὴν
εἰρήνην πεποιημένου πρὸς αὐτούς. Καὶ ταῦτα λέγοντες
ἔπεισαν, καὶ ἐξέδωκε τὸν υἱὸν ὁ βασιλεὺς, ὡς μὲν αὐτὸς
ᾤετο, τοῖς φίλοις καὶ συμμάχοις, ὡς δὲ τὸ τέλος ἔδειξε,
τῷ πάντων ἀπηνεστάτῳ θηρίῳ. Λαβὼν γὰρ νόμῳ φιλίας
καὶ συνθηκῶν τὸ παιδίον ἐκεῖνο τὸ βασιλικὸν, πάντα ὁμοῦ
κατεπάτησε καὶ ἀνέτρεψε τοὺς ὅρκους, τὰς συνθήκας,
τὴν πρὸς ἀνθρώπους αἰδῶ, τὴν πρὸς τὸ Θεῖον εὐλάβειαν,
τὸν ἀπὸ τῆς ἡλικίας ἔλεον· καὶ οὔτε ἡ νεότης τὸ θηρίον
ἐπέκαμψεν, οὔτε ἡ παρεπομένη τοῖς τοιούτοις μιάσμασι
δίκη τὸν ἄγριον ἐκεῖνον ἐφόβησεν, οὔτε τὰ τοῦ παρακα-
ταθεμένου πατρὸς αὐτὸν εἰσῆλθε ῥήματα, ἅπερ ἐκεῖνος
τὸν υἱὸν ἐγχειρίζων ἴσως ἐπέσκηπτεν, ἐν ἐπιμελείᾳ τε
αὐτὸν ἔχειν ἀξιῶν πολλῇ, καὶ πατέρα αὐτὸν ἐπιφημίζων
τῷ παιδὶ, καὶ ὡς αὐτὸν γεγεννηκότα, οὕτω τρέφειν καὶ
παιδεύειν παρακαλῶν, καὶ τῆς τῶν οἰκείων προγόνων
εὐγενείας ἄξιον ἀποφαίνειν· καὶ μετὰ τούτων τῶν
ῥημάτων τὴν δεξιὰν τοῦ παιδὸς τῇ δεξιᾷ τοῦ φονέως
ἐντιθεὶς, καὶ μετὰ δακρύων διαλυόμενος· τούτων οὐδὲν
εἰς νοῦν ὁ μιαρὸς ἐκεῖνος ἐβάλετο, ἀλλὰ πάντα ῥίψας
ἀθρόως ἀπὸ τῆς ψυχῆς, τὸν φόνον ἐκεῖνον τὸν πάντων
ἐναγέστατον τῶν φόνων ἐργάζεται. Τοῦτο γὰρ καὶ παι-
δοκτονίας χεῖρον τὸ μίασμα· καὶ μάρτυρες ὑμεῖς, οἱ
οὐκ ἂν οὕτως ἀλγήσαντες [c], εἴπερ τοῖς ἐμοῖς πάθεσι
καὶ τὰ ὑμέτερα στοχάζεσθαι χρὴ, εἰ τὸν υἱὸν ὅτι
κατέσφαξεν ἠκούσατε τὸν ἑαυτοῦ· τότε μὲν γὰρ μετὰ
τῶν κοινῶν νόμων καὶ οἱ τῆς φύσεως ἐδόκουν ἀνατετρά-
φθαι θεσμοί· ἐνταῦθα δὲ πολλὰ ὁμοῦ συνδεδράμηκεν, ἃ
καὶ τῆς φυσικῆς ἀνάγκης ἰσχυρότερα τῷ πλήθει γίνεται.
Ὅταν γὰρ ἐννοήσω τὸ μειράκιον τὸ μηδὲν ἠδικηκὸς, τὸ
παρὰ τοῦ πατρὸς ἐκδοθὲν, τὸ τῶν προγονικῶν βασιλείων
ἀποσπασθὲν, καὶ τῆς οἰκείας τρυφῆς, καὶ δόξης, καὶ
τιμῆς, ἀλλαξάμενον τὴν ἐν ἀλλοτρίᾳ διαγωγὴν, ἵνα
ἐξῇ τῷ μιαρῷ θαῤῥεῖν ἐκείνῳ περὶ τῶν συνθηκῶν,
εἶτα ὑπ' αὐτοῦ κατεργασθὲν, καὶ τῶν οἴκοι λαμπρῶν
δι' αὐτὸν ἀποστερηθὲν, καὶ ὑπ' αὐτοῦ πάλιν ἀποσφαγὲν [d],
ἐναντίον τι πάσχω πάθος, τηκόμενός τε ὁμοῦ τὴν ψυχὴν καὶ
ἐξοιδῶν, τὸ μὲν τοῦ θυμοῦ, τὸ δὲ τῆς ἀθυμίας ἐργαζο-
μένης. Ὅταν μὲν γὰρ ἐννοήσω τὸν μιαρὸν ἐκεῖνον ὁπλι-
ζόμενον, καὶ τὸ ξίφος ἀνατείνοντα, καὶ τὴν δειρὴν
κατέχοντα τοῦ παιδὸς, καὶ τὴν δεξιὰν, ᾗ τὴν παρακατα-
θήκην ἐδέξατο, ταύτῃ κατ' αὐτῆς ὠθοῦντα τὸ ξίφος,
διαῤῥήγνυμαι καὶ ἀποπνίγομαι τῷ θυμῷ· ὅταν δὲ πάλιν
ἴδω τὸν νέον δεδοικότα, καὶ τρέμοντα, καὶ οἰμώζοντα
τὰς ἐσχάτας οἰμωγὰς, καὶ τὸν πατέρα ἀνακαλοῦντα, καὶ
τούτων αἴτιον αὐτὸν γεγενῆσθαι λέγοντα, καὶ τὴν
σφαγὴν οὐ τῷ βαπτίζοντι τὸ ξίφος εἰς τὸν λαιμὸν, ἀλλὰ
τῷ γεγεννηκότι λογιζόμενον, καὶ μὴ δυνάμενον ἐκφυγεῖν,
μηδὲ ἐπαμῦναι ἑαυτῷ, ἀλλ' ἀνήνυτα λοιπὸν τῷ φυσα-
μένῳ μεμφόμενον, καὶ δεχόμενον τὴν πληγὴν, καὶ
ἀσπαίροντα [e], καὶ λακτίζοντα τοῦδαφος, καὶ τὴν γῆν
τοῖς τῶν αἱμάτων μολύνοντα κρουνοῖς, διακόπτομαι τὰ
[544] σπλάγχνα, καὶ σκοτοῦμαι τὸν λογισμὸν, καί μού
τις ἀχλὺς ἀθυμίας καταχεῖται τοῖς ὀφθαλμοῖς. Ἀλλ' οὐχ
ὁ θὴρ ἐκεῖνος ἔπαθέ τι τοιοῦτον οὐδὲν, ἀλλ' ὥσπερ τινὰ
ἀρνὸν [f] καταθύειν μέλλων ἢ μόσχον, οὕτω διετέθη πρὸς
τὴν μιαρὰν ἐκείνην σφαγήν. Καὶ ὁ μὲν παῖς ἔκειτο
νεκρὸς δεξάμενος τὴν πληγὴν, ὁ δὲ σφαγεὺς ἐπηγωνίζετο
τῷ μιάσματι, τοῖς δευτέροις τὰ πρότερα ἀποκρύψαι φι-
λονεικῶν. Τάχα μέ τις οἴεται τι περὶ τῆς ταφῆς ἐρεῖν,
καὶ ὅτι μετὰ τὴν σφαγὴν οὐδὲ βραχείας τῷ φονευθέντι
μετέδωκε γῆς· ἐγὼ δέ τι τούτου τολμηρότερον ἕτερον
ἐρῶ. Τὰς γὰρ ἀνόμους χεῖρας ἐκείνας τοιούτῳ μολύνας
αἵματι, καὶ τὴν καινὴν ἐργασάμενος τραγῳδίαν, ὡς

[a] Alii τοῦ πράγματος.
[b] Mus secunda manu: ὅρκοις.
[c] Alii οἳ οὐκ ἂν οὕτως ἠλγήσατε.
[d] Alii ἀποσφαχθέν.
[e] Alii σπαίροντα.
[f] Savil. et alii ὥσπερ τι ἀρνίον.

οὐδὲν ὅλως τετολμηκὼς ὁ ἀναιδὴς, καὶ πετρῶν αὐτῶν σκληρότερος, πρὸς τὴν Ἐκκλησίαν ἠπείγετο τοῦ Θεοῦ. Καὶ ἴσως τινὲς θαυμάζουσι, πῶς οὐκ ἐπλήγη θεηλάτῳ πληγῇ τοιαῦτα τολμῶν, ἢ πῶς οὐκ ἐπαφῆκεν αὐτῷ σκηπτὸν ἄνωθεν ὁ Θεὸς, καὶ πρὸ τῆς εἰσόδου τὴν ἀναίσχυντον ὄψιν κατέφλεξε τῷ κεραυνῷ· ἐγὼ δὲ εἴ τινες ἔλαβον τοῦτον τὸν λογισμὸν, ἐπαινῶ μὲν αὐτοὺς καὶ θαυμάζω τῆς πυρώσεως, λείπειν δὲ αὐτοὺς [a] οὐ μικρὸν τῷ θαύματι τούτῳ καὶ τοῖς ἐπαίνοις φημί. Δικαίαν μὲν γὰρ τὴν ἀγανάκτησιν ἔσχον ὑπέρ τε τοῦ οὐκ ἐν δίκῃ κατακοπέντος παιδὸς, ὑπέρ τε τῶν τοῦ Θεοῦ νόμων οὕτως ὑβρισθέντων ἰταμῶς, ἀλλὰ τῷ θυμῷ ζέοντες, οὐ συνεῖδον ὅσον ἰδεῖν [b] ἐχρῆν· τοῦ γὰρ δικαίου τούτου νόμος ἕτερος ἀνώτερος πολλῷ κεῖται ἐν τοῖς οὐρανοῖς. Τίς οὖν ἐστιν ὁ νόμος; Τοῖς ἡμαρτηκόσι μὴ κατὰ πόδας τὴν τιμωρίαν ἐπάγειν, ἀλλ' ἐνδιδόναι τῷ πεπλημμεληκότι χρόνους καὶ προθεσμίαν, ὥστε τὸ πλημμεληθὲν ἀποδύσασθαι, καὶ διὰ τῆς μετανοίας ἐξισωθῆναι τοῖς οὐδὲν εἰργασμένοις δεινὸν, ὅπερ καὶ τότε ἐνεδείξατο εἰς τὸν δείλαιον ἐκεῖνον ὁ Θεός· ἐγίνετο δὲ πλέον οὐδὲν, ἀλλ' ἔμενεν ἀδιόρθωτος. Ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο προειδὼς, οὐδὲ οὕτως ὑπερεῖδεν αὐτὸν, οὐδὲ ἐνέλιπε τὰ παρ' ἑαυτοῦ ποιῶν, ἀλλ' αὐτὸς μὲν καὶ ἐπεσκόπησε κάμνοντα, καὶ τὰ πρὸς ὑγίειαν ἔπραξεν· ἐκεῖνος δὲ οὐκ ἠθέλησε τὸ φάρμακον δέξασθαι, ἀλλὰ καὶ τὸν ἐπὶ τούτῳ πεμφθέντα συνέκοψεν ἰατρόν. Τὸ δὲ φάρμακον καὶ ὁ τῆς ἰατρείας τρόπος τοιοῦτος ἦν·

ς'. Ἔτυχε κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν τὸ ἀπηνὲς τοῦτο δρᾶμα ἐτολμᾶτο καὶ ἐλεεινὸν, ἄνδρα τινὰ μέγαν καὶ θαυμαστὸν, (εἴ γε δεῖ αὐτὸν ἄνδρα καλεῖν), τῆς ποίμνης ἐπιμελεῖσθαι τῆς παρ' ἡμῖν· Βαβύλας ἦν ὄνομα αὐτῷ. Οὗτος τοίνυν τότε τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν τὴν ἐνθάδε ὑπὸ τῆς τοῦ Πνεύματος χάριτος ἐγχειρισθεὶς, τὸν Ἠλίαν καὶ τὸν τούτου ζηλωτὴν [c] τὸν Ἰωάννην ὅτι παρήλασε μὲν οὐκ ἂν εἴποιμι. μὴ καὶ λίαν φορτικὸν τὸ λεγόμενον ᾖ, ἔφθασε δὲ οὕτως, ὡς μηδὲ τὸ τυχὸν ἀπολειφθῆναι τῆς ἐλευθερίας τῶν γενναίων ἐκείνων ἀνδρῶν. Οὐ γὰρ τετράρχην πόλεων ὀλίγων, οὐδὲ ἐνὸς ἔθνους βασιλέα, ἀλλὰ τὸν τὸ πλεῖστον μέρος τῆς οἰκουμένης ἁπάσης κατέχοντα, αὐτὸν δὴ τοῦτον τὸν ἀνδροφόνον, καὶ πολλὰ μὲν ἔθνη, πολλὰς δὲ πόλεις καὶ στρατιὰν ἄπειρον κεκτημένον, [545] καὶ πάντοθεν ὄντα φοβερὸν, ἀπό τε τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπό τε τῆς τῶν τρόπων θρασύτητος, ὡς ἀνδράποδον εὐτελὲς καὶ οὐδενὸς ἄξιον λόγου, οὕτω τῆς ἐκκλησίας ἐξέβαλε, μετὰ τοσαύτης ἀταραξίας καὶ ἀφοβίας, μεθ' ὅσης ἂν ποιμὴν πρόβατον ψώρας ἐμπεπλησμένον καὶ νενοσηκὸς τῆς ποίμνης ἀπείρξειε, κωλύων εἰς τὰ λοιπὰ διαβῆναι τὴν νόσον τοῦ κάμνοντος. Καὶ ταῦτα ἔπραττεν, ἔργῳ τὸν τοῦ Σωτῆρος λόγον [d] βεβαιῶν, ὅτι μόνος δοῦλός ἐστιν ὁ τὴν ἁμαρτίαν ποιῶν, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους, κἂν ἁπάντων δοκῇ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων κρατεῖν· ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, κἂν ἐν τῇ τῶν ὑπηκόων καταλέγηται τάξει, πάντων ἐστὶ βασιλέων βασιλικώτερος. Αὐτίκα γοῦν τὸν ἄρχοντα διέταττεν ὁ ἀρχόμενος, καὶ τῷ κρατοῦντι πάντων [e] ἔκρινεν ὁ ὑπήκοος, καὶ τὴν καταδικάζουσαν αὐτὸν ψῆφον ἔφερε. Σὺ δὲ ταῦτα ἀκούων, μὴ παρέλθῃς ἁπλῶς τὸ λεχθέν· ἱκανὸν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ τοῦτο ἀπαγγελθὲν, ὅτι τὸν βασιλέα τῶν τῆς ἐκκλησίας προθύρων ἐξήλασε τῶν ὑπὸ τὴν ἀρχὴν ὄντων τις τὴν αὐτοῦ, διαναστῆσαι καὶ ἐκπλῆξαι τὴν τῶν ἀκουόντων ψυχήν. Εἰ δὲ βούλει τὸ θαῦμα ἅπαν καταμαθεῖν ἀκριβῶς, μὴ ψιλῷ τῷ ῥήματι πρόσεχε, ἀλλ' ὑπόγραψον τοὺς δορυφόρους, τοὺς ὑπασπιστὰς, τοὺς στρατηγοὺς, τοὺς ἄρχοντας, τοὺς ἐν ταῖς βασιλικαῖς αὐλαῖς τρεφομένους, τοὺς ἐπὶ τῶν πόλεων τεταγμένους, τὸν τῦφον τῶν προηγουμένων, τῶν ἑπομένων τῶν σοβούντων τὸ πλῆθος, τὴν ἄλλην θεραπείαν ἅπασαν. Εἶτα αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλοῦ μὲν ἐπιβαίνοντα τοῦ φρονήματος, σεμνότερον δὲ ἀπὸ τῶν ἱματίων φαινόμενον, καὶ τῆς ἁλουργίδος, καὶ τῶν λίθων τῶν πανταχοῦ διεσπαρμένων κατὰ τὴν δεξιὰν, κατὰ τὴν συμβολὴν τῆς χλανίδος, τῶν ἀπὸ τοῦ διαδήματος ἐξ αὐτῆς ἀστραπτόντων τῆς κεφαλῆς. Καὶ μηδὲ μέχρι τούτου στήσῃς τὴν εἰκόνα, ἀλλ' ἔκτεινον αὐτὴν καὶ ἐπὶ τὸν τοῦ Θεοῦ δοῦλον, τὸν μακάριον Βαβύλαν, καὶ τὸ σχῆμα τὸ ταπεινὸν, καὶ ἐπὶ τὴν στολὴν τὴν ἰδιωτικὴν, καὶ τὴν συντετριμμένην ψυχὴν, καὶ τὸ θράσους ἀπηλλαγμένον φρόνημα, καὶ οὕτως ἀμφοτέρους διαγράψας καὶ ἀντιθεὶς, τότε γνώσῃ τὸ θαῦμα καλῶς, μᾶλλον δὲ οὐδὲ οὕτως ἐπιλήψῃ τῆς ἀκριβείας αὐτῆς· τὴν γὰρ παῤῥησίαν ἐκείνην λόγος μὲν οὐδεὶς οὐδὲ ὄψις παραστῆσαι δύναιτ' ἄν, ἡ πεῖρα δὲ μόνη καὶ ἡ χρῆσις αὐτῆς. Καὶ τὸ παράστημα δὲ τῆς τοῦ γενναίου ψυχῆς μόνος ἐκεῖνος δύναιτ' ἂν εἰδέναι καλῶς, ὁ δυνηθεὶς εἰς τὴν αὐτὴν αὐτῷ τῆς παῤῥησίας φθάσαι κορυφήν. Πῶς γὰρ προσῆλθεν ὁ γέρων; πῶς τοὺς δορυφόρους διέκοψε; πῶς τὸ στόμα διῆρε; πῶς ἐφθέγξατο; πῶς ἐπετίμησε; πῶς τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισε τὸ φλεγμαῖνον ἔτι τῷ θυμῷ καὶ ζέον τῷ φόνῳ; πῶς ἀπώσατο τὸν ἀνδροφόνον; Οὐδὲν αὐτὸν τῶν δρωμένων κατέπληξε, καὶ τῆς προθέσεως ἐξέκρουσεν. Ὦ ψυχῆς ἀκαταπλήκτου καὶ διανοίας ὑψηλῆς! ὦ φρενῶν οὐρανίων καὶ παραστήματος ἀγγελικοῦ! Ὥσπερ γὰρ ἐν τοίχῳ γεγραμμένην ἅπασαν τὴν φαντασίαν ἐκείνην ὁρῶν, οὕτως ἀταράχως ἅπαντα ἔπραττεν ὁ γενναῖος ἀνήρ. Καὶ γὰρ ἦν πεπαιδευμένος [546] ἀπὸ τῶν θείων δογμάτων, ὅτι σκιὰ καὶ ὄναρ καὶ τούτων οὐδαμινώτερα ἅπαντα τὰ τοῦ κόσμου πράγματα. Διὰ τοῦτο οὐδὲν αὐτὸν τούτων καταπτῆξαι ἐποίησεν, ἀλλὰ καὶ μᾶλλον ἐθάῤῥυνεν. Ἡ γὰρ ὄψις ἐκείνη τῶν ὁρωμένων τὴν διάνοιαν παρέπεμπεν ἐπὶ τὸν ἄνω βασιλέα τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ καὶ βλέποντα ἀβύσσους, ἐπὶ τὸν θρόνον τὸν ἔνδοξον καὶ ὑψηλὸν, ἐπὶ τὴν στρατιὰν τὴν οὐράνιον, ἐπὶ τὰς μυριάδας τῶν ἀγγέλων, ἐπὶ τὰς χιλιάδας τῶν ἀρχαγγέλων, ἐπὶ τὸ βῆμα τὸ φοβερὸν, ἐπὶ τὸ κριτήριον τὸ ἀδέκαστον, ἐπὶ τὸν τοῦ πυρὸς ποταμὸν, ἐπὶ τὸν κριτὴν αὐτόν. Διά τοι τοῦτο ὅλον ἑαυτὸν μεταστήσας ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, ὡς ἐκείνῳ τῷ δικαστῇ παρεστὼς, καὶ αὐτοῦ κελεύοντος ἀκούων, τὸν ἐναγῆ καὶ μιαρὸν τῆς ἱερᾶς ἀγέλης ἐξωθεῖν, οὕτως ἐξέβαλε, καὶ τῶν λοιπῶν προβάτων ἀφώρισε, καὶ πρὸς οὐδὲν ἐπεστρέφετο τῶν ὁρωμένων καὶ δοκούντων εἶναι φοβερῶν, ἀλλ' ἀνδρείως αὐτὸν μάλα καὶ γενναίως ἀπωσάμενος, παρέστη τυραννουμένοις τοῖς τοῦ Θεοῦ νόμοις. Καίτοι πόσῃ περὶ τοὺς λοιποὺς αὐτὸν παῤῥησίᾳ κεχρῆσθαι εἰκός; Ὁ γὰρ τῷ κρατοῦντι μετὰ τοσαύτης ἐξουσίας προσενεχθεὶς, τίνα τῶν λοιπῶν ἔδεισεν ἄν; Ἐγὼ τὸν ἄνδρα ἐκεῖνον στοχάζομαι, μᾶλλον δὲ οὐ στοχάζομαι, ἀλλὰ πιστεύω, μὴ πρὸς χάριν, μὴ πρὸς ἀπέχθειαν, μήτε πρᾶξαι, μήτε εἰπεῖν τί ποτε, ἀλλὰ καὶ πρὸς φόβον, καὶ πρὸς τὴν τούτου δυνατωτέραν κολακείαν, καὶ πρὸς τὰ ἄλλα τὰ τοιαῦτα (πολλὰ δὲ τὰ ἀνθρώπινα) γενναίως στῆναι καὶ ἀνδρείως, καὶ μηδὲ μικρόν τι τῆς ὀρθῆς διαφθεῖραι κρίσεως. Εἰ γὰρ στολισμὸς ἀνδρὸς, καὶ γέλος ὀδόντων, καὶ βῆμα ποδὸς ἀπαγγέλλει τὰ περὶ αὐτοῦ, πολλῷ μᾶλλον τὰ τοσαῦτα κατορθώματα πᾶσαν ἡμῖν ἱκανὰ τοῦ λοιποῦ βίου παραδεῖξαι τὴν ἀρετήν· οὐδὲ γὰρ ἐπὶ τῇ παῤῥησίᾳ μόνον αὐτὸν θαυμάζειν χρὴ, ἀλλὰ καὶ ἐπὶ τῷ μέχρι τοσούτου τὴν παῤῥησίαν ἐκτεῖναι, καὶ ἐπὶ τῷ πάλιν μηδὲν προσθεῖναι πλέον αὐτῇ.

[a] Savil. et quidam mss. αὐτῶν.
[b] Savil. et unus ὃ συνιδεῖν.
[c] Alii τὸν ἐκείνου ζηλ.
[d] Alii τὸν τοῦ Θεοῦ λόγον.
[e] Alii καὶ τὸν κρατοῦντα πάντων.

set impudens ille, ipsis petris durior, ad ecclesiam Dei concessit. Forte mirantur quidam, cur non immissa de cælo plaga percussus fuerit qui talia ausus esset, aut cur non Deus eum fulmine ferierit, ut ante ingressum os illud impudens igneo ictu conflagraret. Ego vero si quibus hæc cogitatio animum subiit, laudo eos et æstum eorum admiror; attamen eorum laudibus et admirationi non minimum quidpiam deesse puto. Justa quippe indignatione commoti sunt, tum super injuste cæso puero, tum super Dei legibus ita temere violatis; sed ira ferventes non quantum opus erat perspexerunt: justitiæ enim hujus lex alia longe superior in cælis est. Quænam igitur hæc lex? Ne peccatoribus protinus ultio inferatur, sed delinquenti tempus detur et induciæ, ut delictum possit excutere, et per pœnitentiam iis qui nihil mali admiserunt æquari : quod tunc in nefario illo demonstratum est; nihil enim profecit, sed sine emendatione mansit. Deus certe benignus cum sit, hoc prospiciens, ne ita quidem contempsit illum, nec quæ a se erant facere desiit; sed illum et ægrum visitavit, et ejus restaurandæ sanitati studuit. Ille vero remedium accipere noluit; imo ad hoc missum medicum concidit. Medicina porro et medicinæ modus hujusmodi erat.

6. *Babylas Imperatorem ecclesiæ aditu arcet.* — Eo tempore quo drama illud et facinus immane miserandumque agebatur, fuit vir magnus et mirabilis, si tamen fas sit illum appellare virum, qui hujus gregis curam gerebat, nomine Babylas. Hic itaque, cui hæc Christi Ecclesia a Spiritus gratia concredita fuerat, quod Heliam ejusque æmulum Joannem antecelleret non dixerim, ne quid molestius proferam, sed ita attigit, ut ne tantillum quidem generosis ejusmodi viris inferior esset. Neque enim paucarum urbium tetrarcham, neque gentis unius regem, sed eum, qui maximam orbis partem teneret, hunc ipsum scilicet sanguinarium, qui plurimas gentes, multas urbes, immensum exercitum moderabatur, atque omni ex parte formidabilis erat, ab imperii magnitudine, a morum ferocitate, quasi vile ac nullius pretii mancipium, ab ecclesia expulit cum tanta firmitate animique constantia, quanta pastor scabiosam et morbidam ovem a grege arceat, cohibens ne morbus ejus cæteras oves afficiat. Id vero fecit Servatoris verbum confirmans, nempe servum esse solum eum, qui peccatum faciat, quamvis sexcentas capite coronas gestet, quamvis universis totius orbis hominibus imperare videatur : illum vero qui nullius peccati sibi conscius sit, etsi inter subditos locum habeat, plus quam reges omnes regnare existimandum esse. Statim ergo imperanti præcepit subditus, et de omnium moderatore judicium tulit, atque damnationis sententiam emisit. Tu vero dum hæc audis, ne dictum obiter prætereas. Nam vel hoc solum, quod Imperatorem subditus quispiam ab ecclesiæ vestibulo ejecerit, sufficit ad auditorum animos excitandos percellendosque. Si vis autem totum miraculum diligenter ediscere, ne simplici dictioni attendas, sed tecum reputa satellites, scutatos, tribunos, duces qui in regia aluntur, eos qui civitatibus præficiuntur, præeuntium fastum, sequentium et abigentium multitudinem, aliumque famulatum totum. Deinde ipsum Imperatorem in medio, ingenti cum fastu ingredientem, qui honorabilior videatur ex vestibus, ex purpura, ex gemmis tum undique sparsis in dextra, ad commissuram paludamenti, tum ex diademate in ejus capite fulgentibus. Neque huc usque imaginem sistas, sed eam usque ad servum Dei beatum Babylam extendas, ejusque humilem habitum, amictum vulgarem, animum contritum, sensum ab omni audacia alienum; et cum ambos descripseris mutuoque contuleris, tunc rem illam mirabilem probe cognosces; imo ne sic quidem accurate comprehendes : illam quippe loquendi libertatem nec sermo nec oris species repræsentare potest, sed sola experientia et usus. Porro imperturbatum ejus animum ille solus probe nosse possit, qui idipsum cum illo fiduciæ culmen attingere valeat. Quomodo enim senex ille accessit? quomodo satellites trajecit? quomodo os aperuit? quomodo loquutus est? quomodo corripuit? quomodo dextram imposuit pectori illi adhuc intumescenti atque cæde ferventi? quomodo homicidam repulit? Nihil rerum gestarum exterruit et a proposito deduxit. O animum imperterritum, mentemque sublimem! o cæleste pectus et constantiam angelicam! Ac si enim pompam illam in muro depictam conspiceret, sic intrepide omnia generosus vir perferet. Erat enim divinis his dogmatibus institutus, quod scilicet, umbra et somnium hisque inaniora sint hujus mundi negotia. Ideo nihil eorum ipsum exterruit, imo fiduciam omnia indidere : illarum quippe rerum aspectus ejus mentem transmittebat ad supernum regem, qui sedet super Cherubim et intuetur abyssos, ad thronum gloriosum et excelsum, ad cælestem exercitum, ad myriadas angelorum, ad millia archangelorum, ad terribile illud tribunal, ad judicium illud sine acceptione personarum, ad fluvium ignis, ad Judicem ipsum. Quapropter se totum a terra in cælum transferens, quasi illi Judici adstaret, ipsumque imperantem audiret, ut nefarium illum ac scelestum ex sacro ovili expelleret, sic ejecit et a reliquis ovibus sequestravit, ad nihil eorum respiciens, quæ videbantur terribilia esse, sed viriliter illum ac generose admodum repellens violatis Dei legibus opem tulit. Atqui quanta erga cæteros fiducia usum illum esse par est? Qui enim imperantem tanta cum potestate aggressus est, quem reliquorum formidaverit? Equidem opinor, imo non opinor, sed credo, virum illum nec ad gratiam nec ad odium quidpiam fecisse vel dixisse umquam; sed adversus timorem, et adversus timore potentiorem adulationem, et alia similia, quæ apud homines multa adsunt, utiliter fortiterque stetisse, ac ne tantillum quidem recti judicii adulterasse. Si enim amictus viri, dentium risus, pedum incessus ejus mores arguunt (*Eccli.* 19. 26), multo magis cætera ab eo præclare gesta ostendere possunt quantæ in reliqua vita virtutis fuerit : neque enim ob fiduciam solum admirandus ille est, sed quod fiduciam illam eo usque produxerit, tum etiam quod ei nihil ulterius addiderit.

7. Talis quippe est Christi sapientia, quæ nec plus justo decertare permittat, sed ubique moderationem servet. Atqui ipsi licebat, si voluisset, ultra progredi. Ei enim qui vitæ curam abjecisset (non enim prorsus accessisset, nisi se hujusmodi cogitationibus armavisset), cum potestate omnia facere licebat, et Imperatorem contumeliis aspergere, et diadema de capite detrahere, et pugnis os contundere, quando dextram in pectus impegit. Sed nihil horum fecit : spirituali namque sale conditam habebat animam : quamobrem nihil temere vel frustra egit, sed omnia recto rationis judicio et saniori modo : non quemadmodum gentilium sapientes, qui moderate numquam, sed ubique, ut ita dicam, aut plus aut minus, quam par est, confidentiam exhibent suam, ita ut nusquam fortitudinis, sed irrationabilium affectuum opinionem ubique sibi conciliént ; ubi minus præstitere, formidinis ; ubi excessere, arrogantiæ et vanæ gloriæ apud omnes convicti. At non item beatus ille : non enim temere quod in mentem subiret agebat, sed cunctis accurate examinatis, concinnatisque secundum divinas leges cogitationibus, sic ad opus eas eduxit. Ideoque sectionem non in superficie tantum fecit, ne major pars affecti membri remaneret ; neque profundiorem, quam par erat, ne plagæ excessu sanitatem corrumperet ; sed plaga ad morbum attemperata, sic optimam adhibuit medicinam. Hinc illum ira, ignavia, arrogantia, vanæ gloriæ cupidine, odio, metu, adulatione purum esse fidenter pronuntiarim.

Modus in rebus. — Quod si quid inexspectatum dicere opus sit, non tam miror beatum illum quod Imperatoris furorem reprimere ausus sit, quam quod intellexerit quatenus hoc ipsum facere oporteret, nec quidquam ulterius vel fecerit vel dixerit. Quod autem hoc sit illo mirabilius, multos invenire est, qui cum illud fecerint, hoc præstare non potuerunt. Nam cum libertate loqui quilibet sæpe possunt ; idipsum autem tempore, modo, moderatione ac prudentia congruenti præstare, magni admirandique animi est. Quandoquidem beatum David magna cum confidentia contumeliis incessit Semei, virumque sanguinum vocavit (2. *Reg.* 16. 5) ; at non id ego fiduciam vel libertatem dixerim, sed linguæ potius intemperantiam animique audaciam, contumaciam, arrogantiam, et quidvis potius, quam libertatem. Par est enim, ut puto, eum, qui redarguturus est, ab audacia maxime atque arrogantia abstinere, vimque suam in natura tantum verborum gestorumque demonstrare. Medici namque cum putrida membra resecare et æstuantia comprimere opus est, non iræ pleni medicinam aggrediuntur : sed nunc maxime in convenienti statu cogitationem continere student, ne perturbatio animi noceat arti. Quod si is, qui corpus sanare cupit, tanta opus habet animi tranquillitate, animarum medico quid, quæso, faciendum statuemus, et quantam in eo philosophiam requiremus ? Longe majorem scilicet, et tantam quantam ille martyr exhibuit. Nobis enim quosdam ceu terminos et regulas ponens, ut inde modum agendi in cæteris proportione quadam mutuemur, sic miserum illum a sacro limine repulit. Videturque unum tantum tunc probe gestum opus fuisse ; sed si quis illud examinet et undique accurate perpendat, et secundum, et tertium huic insitum, magnumque utilitatis thesaurum reperiet. Nam qui tunc rejiciebatur, unus tantum erat ; qui lucrum inde reportarunt, plurimi : siquidem in imperio ejus, quod maximam orbis partem complectebatur, quotquot increduli erant, obstupefacti miratique sunt, ubi didicerunt quantam servis suis Christus loquendi fiduciam indidisset, suam ipsorum illiberalem et abjectam servitutem deriserunt, viderunt quantum inter Christianorum nobilitatem et gentilium turpitudinem discriminis esset. Etenim ii apud illos, quibus sacrorum cura concredita est, plus quam dominos, plus quam idola sua Imperatores colunt, illorumque metu simulacris suis assident, ita ut maligni dæmones Imperatoribus sibi collati honoris gratiam habeant. Itaque ubi contingit quempiam Imperatorem creari, qui cum illis religione non consentiat, si quis idolorum templa ingrediatur, in muris passim videbit extensas aranearum telas, tantoque pulvere conspersam statuam, ut neque nasus, neque oculus, neque alia quævis pars vultus appareat, altarium vero reliquiæ solum, majori abrupta parte, supersunt, et alioqui tam densa undique herba circumdata sunt, ut qui altaria esse ignoret, acervum sterquilinii esse putet. Hujus rei causa est, quod olim illis liceret quæcumque vellent suffurari et per statuarum cultum ventri indulgere : nunc autem quam ob causam sese cruciaverint ? Assidentes enim ac sese conficientes ab illis ne minimum quidem præmii expectant : sunt enim ligna et lapides : quod autem illos ad simulandum cultum inducit, est honor quem illis exhibent Imperatores ; verum et ille sublatus est, quando Imperatores sapiunt, et Dei Filium adorant.

8. *Res Christianorum in persequutione florent magis.* — At nostra non hoc se habent modo, sed plane contrario. Cum enim quis religione nobiscum consentiens imperatorium adit thronum, Christianorum res segniores evadunt : tantum abest ut humanis honoribus erigantur ; cum autem quis impius nobis plane infestus innumerisque nos malis afficiens imperium tenet, tunc florent nostra ac splendidiora efficiuntur, tunc præmiorum et tropæorum tempus, tunc coronarum, præconiorum, ac fortitudinis exhibendæ occasio. Quod si quis dicat etiam nunc superesse urbes quæ circa idolorum insaniam parem exhibent cultum, primo quidem paucas numerabit, verumtamen ne hac quidem ratione verbis meis officiet : manet enim eadem hypothesis, ac pro Imperatore cives habent, qui parem illis præstent honorem. Atque hujus cultus causæ sunt crapulæ et comessationes tum diurnæ tum nocturnæ, tibiæ, tympana, libertas impudentissime loquendi turpia, agendi turpiora, sese cibis ingurgitandi donec dirumpantur præ ebrietate, debacchandi, et in fœdissimam insaniam delabendi : hi turpissimi sumptus jam labentem errorem detinent et fovent. Opulentiores enim eos qui ob ignaviam fame per-

ζ'. Τοιαύτη γὰρ ἡ τοῦ Χριστοῦ σοφία, μήτε ἐλλιπῶς μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, ἀλλὰ πανταχοῦ τὴν συμμετρίαν φυλάττουσα. Καίτοι γε ἐνῆν εἴπερ ἐβούλετο καὶ περαιτέρω προελθεῖν. Τῷ γὰρ ἀπαγορεύσαντι τὸ ζῆν [a] (οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθεν, εἰ μὴ τοιούτοις αὐτὸν ὥπλισε λογισμοῖς) μετ' ἐξουσίας ἅπαντα πράττειν ἐξῆν, καὶ ὕβρεσι πλύναι τὸν βασιλέα, καὶ τὸ διάδημα καθελεῖν τῆς κεφαλῆς, καὶ πληγὰς εἰς τὸ πρόσωπον ἐντεῖναι, ὅτε τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισεν. Ἀλλ' οὐδὲν τούτων ἐποίησε· τῷ γὰρ ἄλατι τῷ πνευματικῷ τὴν ψυχὴν ἠρτυμένος ἦν δι' ὅπερ οὐδὲν ἔπραττεν εἰκῇ καὶ μάτην, ἀλλὰ πάντα κρίσει λογισμῶν ὀρθῇ, καὶ μετὰ καταστάσεως ὑγιοῦς· οὐ καθάπερ οἱ παρ' Ἕλλησι σοφοὶ, οἳ συμμέτρως μὲν οὐδέποτε, πανταχοῦ δὲ, ὡς εἰπεῖν, ἢ πλέον ἢ ἔλαττον τοῦ δέοντος [b] παῤῥησιάζονται, ἵνα ἀνδρείας μὲν οὐδαμοῦ, παθῶν δὲ ἀλογίστων δόξαν λάβωσι πανταχοῦ, ἐν οἷς μὲν ὑστέρησαν, δειλίας, ἐν οἷς δὲ ὑπερέβησαν, ἀλαζονείας καὶ φιλοδοξίας [547] παρὰ πᾶσιν ἁλισκόμενοι. Ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος· οὐ γὰρ ἁπλῶς τὸ ἐπελθὸν ἔπραττεν, ἀλλὰ πάντα βασανίζων ἀκριβῶς, καὶ πρὸς τοὺς θείους νόμους τοὺς λογισμοὺς ἁρμόζων τοὺς ἑαυτοῦ, οὕτως ἐπὶ τὸ πράττειν ἐξήγαγεν αὐτούς. Διὰ τοῦτο καὶ τὴν τομὴν οὔτε ἐπιπόλαιον ἔδωκεν, ὥστε μὴ πλέον τοῦ νενοσηκότος ἐναπομεῖναι μέρος, οὔτε βαθυτέραν τοῦ δέοντος, ὥστε μὴ τῷ περιττῷ τῆς πληγῆς λυμήνασθαι τὴν ὑγίειαν πάλιν, ἀλλὰ συμμετρήσας τῷ νοσήματι τὴν πληγήν, οὕτω τὴν ἀρίστην ἰατρείαν εἰργάσατο. Ἐντεῦθεν αὐτὸν καὶ θυμοῦ, καὶ δειλίας, καὶ ἀλαζονείας, καὶ δοξομανίας, καὶ ἀπεχθείας, καὶ φόβων, καὶ κολακείας θαῤῥούντως ἀπεφηνάμην εἶναι καθαρόν.

Εἰ δὲ δεῖ τι καὶ παράδοξον εἰπεῖν, οὐχ οὕτω θαυμάζω τοῦ μακαρίου τὸ κατατολμῆσαι τῆς τοῦ κρατοῦντος μανίας, ὡς τὸ συνιδεῖν μέχρι τίνος τοῦτο ποιῆσαι ἐχρῆν, καὶ μηδὲν περαιτέρω μήτε πρᾶξαι, μήτε εἰπεῖν. Καὶ ὅτι τοῦτο ἐκείνου θαυμαστότερον, πολλοὺς ἂν εὕροι τις τούτου μὲν περιγεγονότας, ὑπ' ἐκείνου δὲ ἡττηθέντας· τὸ μὲν γὰρ ἁπλῶς παῤῥησιάσασθαι, καὶ τῶν τυχόντων πολλάκις ἐστὶ, τὸ δὲ εἰς δέον καὶ καιρῷ τῷ προσήκοντι, καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς· ἐπεὶ καὶ τὸν μακάριον Δαυὶδ, μετὰ πολλῆς τῆς ἐξουσίας ὕβρισεν ὁ Σεμεΐ, καὶ ἄνδρα αἱμάτων ἐκάλεσεν· ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο παῤῥησίαν ἐγὼ, ἀλλὰ γλώττης ἀκολασίαν καὶ θρασύτητα διανοίας, καὶ ἀναγωγίαν, καὶ ἀπόνοιαν, καὶ πάντα μᾶλλον ἢ παῤῥησίαν. Δεῖ γὰρ, οἶμαι, τὸν μέλλοντα εἶναι ἐλεγκτικὸν, θρασύτητος μάλιστα καὶ ἀπονοίας ὡς πορρωτάτω τὴν ἑαυτοῦ ψυχὴν ἀπαγαγεῖν, καὶ τὸ δραστήριον ἐν τῇ φύσει τῶν ῥημάτων καὶ τῶν πραγμάτων ἐπιδείκνυσθαι μόνον. Καὶ γὰρ ἰατρῶν παῖδες, ὅταν τέμνειν τὰ σεσηπότα δέῃ τῶν μελῶν, ἢ τὰ φλεγμαίνοντα καταστέλλειν, οὐκ ὀργῆς πρότερον γεμίσαντες ἑαυτοὺς, οὕτως ἐπὶ τὴν ἰατρείαν ἔρχονται, ἀλλὰ τότε μάλιστα ἐν καταστάσει τῇ προσηκούσῃ σπουδάζουσι φυλάττειν τὸν λογισμὸν, ὥστε μὴ τῇ τέχνῃ λυμήνασθαι τὴν ἐκείνου ταραχήν. Εἰ δὲ σωμά τις θεραπεύειν μέλλων τοσαύτης δεῖται γαλήνης, τὸν ψυχὰς ἰατρεύοντα ποῦ τάξομεν, εἰπέ μοι, καὶ πόσην ἀπαιτήσομεν φιλοσοφίαν; Πολλῷ μείζονα δῆλον ὅτι, καὶ τοσαύτην, ὅσην ὁ ἀγαθὸς ἐκεῖνος ἐπεδείξατο μάρτυς. Καθάπερ γάρ τινας ὅρους καὶ κανόνας ἡμῖν τιθεὶς, ἵν' ἐξ ἐκείνων τὰ μέτρα, καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν ἀναλογίαν λαμβάνωμεν, οὕτω τὸν δεῖλαιον ἐκεῖνον ἀπὸ τῶν ἱερῶν περιβόλων ἀπώσατο. Καὶ δοκεῖ μὲν ἓν κατόρθωμα εἶναι τὸ γεγονὸς, εἰ δέ τις αὐτὸ διασκέψαιτο καὶ ἀναπτύξας πάντοθεν κατοπτεύσειεν ἀκριβῶς, καὶ δεύτερον, καὶ τρίτον συμπεφυκὸς εὑρήσει καλὸν, καὶ πολὺν τῆς ὠφελείας τὸν θησαυρόν. Ὁ μὲν γὰρ ἀπελαυνόμενος τότε εἷς μόνος ἦν, οἱ δὲ δι' ἐκείνου κερδαίνοντες πολλοί. Τῆς γὰρ ἀρχῆς τῆς ὑπὸ τῷ τυράννῳ κειμένης (αὕτη δὲ ἦν τὸ πλεῖστον τῆς οἰκουμένης μέρος), ὅσοιπερ ἂν ἦσαν ἄπιστοι, κατεπλάγησαν, καὶ ἐθαύμασαν μαθόντες ὅσης τοῖς ἑαυτοῦ δούλοις ὁ Χριστὸς τῆς παῤῥησίας μετέδωκε, κατεγέλασαν τῆς παρ' αὐτοῖς δούλοπρεπείας, καὶ ἀνελευθερίας, [548] καὶ ταπεινότητος, εἶδον ὅσον τῆς Χριστιανῶν εὐγενείας πρὸς τὴν Ἑλλήνων αἰσχύνην τὸ μέσον. Οἱ μὲν γὰρ παρ' αὐτοῖς τὴν τῶν ἱερῶν ἐπιμέλειαν ἐγκεχειρισμένοι, μᾶλλον δεσποτῶν, καὶ τῶν εἰδώλων δὲ αὐτῶν τοὺς βασιλεῖς θεραπεύουσι, καὶ διὰ τὸν ἐκείνων φόβον, καὶ τοῖς ξοάνοις αὐτοῖς παρεδρεύουσιν, ὡς τοὺς πονηροὺς δαίμονας τοῖς βασιλεῦσι χάριν ἔχειν τῆς εἰς αὐτοὺς τιμῆς. Αὐτίκα γοῦν ὅταν τινὰ συμβῇ μὴ τὰ ἐκείνων φρονοῦντα ἐπὶ ταύτην ἐλθεῖν τὴν ἀρχὴν, εἰσιών τις εἰς τοὺς τῶν εἰδώλων ναοὺς, πανταχοῦ τῶν τοίχων ὄψεται διατεταμένα τὰ τῶν ἀραχνίων ὑφάσματα, καὶ τοσαύτην ἐπικειμένην τῷ ξοάνῳ τὴν κόνιν, ὡς μήτε ῥῖνα, μήτε ὀφθαλμὸν, μήτε ἄλλο τι τοῦ προσώπου, φαίνεσθαι μέρος· τῶν δὲ βωμῶν τῶν μὲν τὰ λείψανα μόνον ἕστηκε, τοῦ πλείονος ἀποθραυσθέντος μέρους, τοὺς δὲ οὕτω βαθεῖα πάντοθεν περιβάλλει πόα, ὡς τὸν ἀγνοοῦντα κοπρίας τινὸς σωρείαν εἶναι νομίζειν τὸ φαινόμενον. Τὸ δὲ αἴτιον, ὅτι πάλαι μὲν αὐτοῖς κλέπτειν ἐξῆν ὅσα ἐβούλοντο, καὶ γαστρίζεσθαι διὰ τῆς τῶν ξοάνων θεραπείας, νῦν δὲ ὑπὲρ τίνος ἑαυτοὺς κόψουσι; Προσεδρεύοντες γὰρ καὶ δαπανώμενοι, παρ' ἐκείνων μὲν οὐδεμίαν προσδοκῶσιν ἀμοιβήν· καὶ γάρ εἰσι ξύλα καὶ λίθοι· τὸ δὲ πεῖθον αὐτοὺς ὑποκρίνεσθαι τὴν θεραπείαν, ἡ παρὰ τῶν κρατούντων τιμὴ, καὶ αὕτη ἀνῄρηται, τῶν βασιλευόντων γενομένων συνετῶν, καὶ τὸν τοῦ Θεοῦ προσκυνούντων Υἱόν.

η'. Ἀλλ' οὐ τά γε ἡμέτερα τοιαῦτα, ἀλλὰ πᾶν τοὐναντίον. Ὅταν μὲν γάρ τις ὁμολογῶν ἡμῖν ἐν τῇ περὶ τοῦ Θείου δόξῃ ἐπὶ τὸν βασιλικὸν ἀναβῇ θρόνον [c], ῥᾳθυμότερα γίνεται τὰ Χριστιανῶν· τοσοῦτον ἀπέχει ταῖς ἀνθρωπίναις ὀρθοῦσθαι τιμαῖς· ὅταν δέ τις κρατήσῃ δυσσεβὴς καὶ πάντοθεν ἡμᾶς ἐλαύνων, καὶ μυρίοις περιβάλλων κακοῖς, τότε εὐδοκιμεῖ καὶ λαμπρότερα γίνεται τὰ καθ' ἡμᾶς, τότε ἀριστείων καὶ τροπαίων καιρὸς, τότε στεφάνων καὶ ἀναῤῥήσεων καὶ πάσης ἀνδραγαθίας ἀφορμή. Εἰ δὲ λέγοι τις ὅτι καὶ νῦν εἰσὶ πόλεις τὴν ἴσην δεισιδαιμονίαν ἐπιδεικνύμεναι περὶ τὴν τῶν εἰδώλων μανίαν, πρῶτον μὲν εὐαριθμήτους καὶ ὀλίγας ἐρεῖ, πλὴν ἀλλ' οὐδὲ οὕτω τὸν ἡμέτερον βλάψει λόγον. Ἡ γὰρ ὑπόθεσις ἡ αὐτὴ, καὶ ἀντὶ τοῦ κρατοῦντος, τοὺς τὴν πόλιν οἰκοῦντας ἔχουσι τὴν ἴσην αὐτοῖς παρεχομένους τιμήν· καὶ τοῦτο αἴτιον τῆς θεραπείας, αἱ κραιπάλαι, καὶ οἱ κῶμοι, οἱ μεθ' ἡμέραν, οἱ διὰ πάσης νυκτὸς, οἱ αὐλοὶ καὶ τὰ τύμπανα, τὸ μετὰ πάσης ἀναισχυντίας αἰσχρὰ μὲν εἰπεῖν, πρᾶξαι δὲ αἰσχρότερα· τὸ διαῤῥαγῆναι μὲν ὑπὸ τῆς ἀδηφαγίας, ἐκβακχευθῆναι δὲ ὑπὸ τῆς μέθης, καὶ εἰς τὴν αἰσχίστην μανίαν ἐκπεσεῖν· αὗται αἱ ἀσχήμονες δαπάναι συνέχουσιν ἔτι καὶ διακρατοῦσι διαπίπτουσαν τὴν πλάνην. Οἱ γὰρ εὐπορώτεροι τοὺς διὰ τὴν ἀργίαν ὑπὸ

[a] Morel. καίτοι γε ἐνῆν, εἴπερ ἐβούλετο, καὶ περαιτέρω προελθεῖν· τῷ γὰρ ἀπαγορεύσαντι τὸ ζῆν. Reg. unus ἐβούλετο περαιτέρω προελθεῖν. Μὴ γάρ. Mox Reg. unus et Savil. τὴν ἀρχὴν προελθεῖν ἐπῆλθεν, εἰ μὴ τοιούτοις ἑαυτὸν ὥπλισε λογ. Reg. alius τὴν ἀρχὴν προελθεῖν ἦν, οὐδ' εἰ μὴ τοιούτοις ἑαυτόν. Infra Savil. et unus cod. καθελεῖν ἐκ τῆς κεφ.

[b] Unus τοῦ εἰκότος. Paulo post Savil. et unus Regius ἀλογίστων (ἀλόγιστον) δόξαν.

[c] Savil. et unus cod. ἀναβῆναι θρόνον τύχοι.

φοῦ λιμοῦ φθειρομένους ἐκλέγοντες, ἐν τάξει παρασίτων καὶ τῶν περὶ τὰς τραπέζας τρεφομένων ἔχουσι κυνῶν, τοῖς λειψάνοις τοῖς ἀπὸ τῶν παρανόμων δείπνων διασπῶντες τὰς γαστέρας τὰς ἀναιδεῖς, καὶ πρὸς ὅπερ ἂν θέλωσιν αὐταῖς χρώμενοι. Ἡμεῖς δὲ καθάπαξ τὴν ὑμετέραν ἀλογίαν καὶ παρανομίαν μισήσαντες, τοὺς μὲν ἀργοῦντας καὶ διὰ [549] τοῦτο πεινῆν ἀναγκαζομένους οὐ τρέφομεν, ἀλλ' ἐργαζομένους καὶ ἑαυτοῖς καὶ ἑτέροις ἐπαρκεῖν πείθομεν· τοὺς δὲ ἀναπήρους τῷ σώματι γενόμενους παρὰ τῶν ἐχόντων τῆς ἀναγκαίας μόνον συγχωροῦμεν ἀπολαύειν τροφῆς· κῶμοι δὲ καὶ μέθαι καὶ πᾶσα ἡ λοιπὴ μανία καὶ αἰσχρότης ἐκβέβληται, ἀντεισῆκται δὲ ἀντὶ τούτων ὅσα σεμνὰ, ὅσα ἁγνὰ, ὅσα δίκαια, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος. Καὶ τὰ ἄλλα δὲ ἃ ὑπὲρ τῶν παρ' αὐτοῖς φιλοσοφησάντων κομπάζουσιν, ἀπέδειξε κενοδοξίαν καὶ θρασύτητα, καὶ παιδικῆς ἔργα διανοίας. Οὐ γὰρ πίθον ἐκεῖ λαβὼν κατέκλεισεν ἑαυτὸν, οὐδὲ ῥάκη περιβαλλόμενος [a], οὕτω περιῄει κατὰ τὴν ἀγοράν. Ταῦτα γὰρ δοκεῖ μέντοι να εἶναι θαυμαστὰ, καὶ πόνον ἔχειν πολὺν καὶ τὴν ἐσχάτην ταλαιπωρίαν, ἔπαινου δὲ παντὸς ἀπεστέρηται. Καὶ τοῦτο δὲ τῆς τοῦ διαβόλου κακουργίας, τοὺς δουλεύοντας αὐτῷ τοιούτοις παραδιδόναι πόνοις, οἳ καὶ διασπάσονται τοὺς ἡπατημένους, καὶ μάλιστα πάντων καταγελάστους ἀποφανοῦσιν αὐτούς· πόνος γὰρ οὐδὲν κέρδος ἔχων, ἐγκωμίου παντὸς ἀπεστέρηται.

Καὶ γὰρ ἔτι καὶ νῦν εἰσιν ἄνθρωποι φθορεῖς [b] καὶ μυρίων γέμοντες κακῶν, τοῦ φιλοσόφου πολλῷ μείζονα ἐπιδεικνύμενοι· οἱ μὲν γὰρ ἥλους ὀξεῖς καὶ ἠκονημένους ἔφαγον, οἱ δὲ ὑποδήματα διεμασήσαντο καὶ κατέπιον; οἱ δὲ πρὸς ἕτερα πολλῷ τούτων παρεβουλεύσαντο μοχθηρότερα, καίτοι τὰ τοιαῦτα πολλῷ τοῦ πίθου καὶ τῶν ῥακίων θαυμαστότερα· ἀλλ' οὐκ ἀποδεχόμεθα αὐτὰ, ὥσπερ οὖν οὐδὲ ἐκεῖνα, ἀλλ' ἐξίσης τῷ φιλοσόφῳ κακίζομεν καὶ δακρύομεν καὶ τούτους καὶ πάντας ὁμοίως τοὺς τὰ τοιαῦτα τερατευομένους εἰκῇ. Ἀλλὰ καὶ παρρησίαν ἐπεδείξατο πρὸς βασιλέα πολλήν. Ἴδωμεν οὖν καὶ τὴν πολλὴν παρρησίαν, μή ποτε καὶ αὕτη τῆς τοῦ πίθου τερατείας ματαιοτέρα οὖσα τύχοι· τίς οὖν ἡ παρρησία; Ἐλαύνοντι τῷ Μακεδόνι ποτὲ ἐπὶ τὸν Πέρσην, ἐπιστάντι τε αὐτῷ καὶ ἀπαγγεῖλαι προτρέψαντι [c] εἴ τινος δέοιτο, οὐδενὸς, ἔφη, πλὴν τοῦ μὴ ἐπισκοτεῖν αὐτῷ τὸν βασιλέα· καὶ γὰρ ἔτυχε τότε ἡλίῳ θερμαινόμενος ὁ φιλόσοφος. Οὐ καταδύσεσθε; οὐκ ἐγκαλύψεσθε; οὐκ ἀπελθόντες ἑαυτούς που κατορύξετε, ἐπὶ τούτοις μέγα φρονοῦντες ἐφ' οἷς αἰσχύνεσθαι ἐχρῆν; Πόσῳ γὰρ βέλτιον ἦν ἱμάτιον ἐνδύντα ἀδρὸν ἐνεργὸν εἶναι, καί τι τῶν χρησίμων τὸν βασιλεύοντα τότε αἰτεῖν, ἢ καθῆσθαι μετὰ τῶν ῥακίων θερμαινόμενον, κατὰ τὰ μικρὰ καὶ ὑπημάζια τῶν παιδίων, ἅπερ αἱ τίτθαι, μετὰ τὸ λοῦσαι καὶ ἀλεῖψαι, προτιθέασιν εἰς τοῦτο, εἰς ὅπερ ὁ φιλόσοφος τότε ἐκάθητο [d], γραϊδίου δυστήνου χάριν αἰτῶν; Ἀλλ' ἡ παρρησία ἴσως θαυμαστή; Ἀλλὰ ταύτης οὐδὲν τερατωδέστερον. Τὸν γὰρ ἀγαθὸν ἄνδρα, πρὸς τὸ κοινωφελὲς ἅπαντα πράττειν χρὴ, καὶ τὸν τῶν ἄλλων βίον κατορθοῦν· τὸ δὲ ἀξιῶσαι μὴ ἐπισκοτεῖν, ποίαν πόλιν, ποίαν οἰκίαν, τίνα ἄνδρα, ποίαν γυναῖκα διέσωσεν; Εἰπὲ τῆς παρρησίας τὸ κέρδος· τὸ γὰρ τοῦ μάρτυρος ἡμεῖς ἐπεδείξαμεν, καὶ προϊόντες δὲ αὐτὸ σαφέστερον ἐκκαλύψομεν.

[550] θ'. Τέως δὲ τὸν ὑβριστὴν ἐκόλασε, καὶ ταύτῃ ἦ τὸν ἱερέα κολάζειν θέμις ἐστὶ, τὰ τῶν ἀρχόντων κατέστειλε φρονήματα, τοῖς τοῦ Θεοῦ νόμοις κινουμένοις ἐπήμυνε, τιμωρίαν ὑπὲρ τοῦ κακῶς σφαγέντος ἀπῄτησε, κἂν πασῶν τιμωριῶν χαλεπωτέραν τοῖς γε νοῦν ἔχουσι. Μέμνησθε δήπου πάντως, ὅτε περὶ τοῦ φόνου διελεγόμην, πῶς ἕκαστος διεθερμαίνετο τῶν ἀκροατῶν, καὶ τὸν αὐθέντην λαβεῖν εἰς χεῖρας [e] ἐπεθύμει, καὶ φανῆναί ποθεν τὸν ἐκδικήσοντα τὸν φόνον ηὔχετο Τοῦτο τοίνυν ὁ μακάριος ἐκεῖνος ἐποίησε, καὶ δίκην ἐπέθηκεν αὐτῷ τὸν βασιλέα ἐπισκοτοῦντα ἀποστῆναι ἀξιῶν, ἀλλ' ἀναιδῶς τοῖς ἱεροῖς ἐπιπηδῶντα περιβόλοις, καὶ πάντα συγχέοντα, καθάπερ τινὰ κύνα καὶ οἰκέτην ἀγνώμονα τῶν δεσποτικῶν ἀπείργων αὐλῶν. Ὁρᾷς ὡς οὐ κομπάζων ἔλεγον, ὅτι παιδικῆς ἔργα διανοίας τὰ τῶν παρ' ὑμῖν φιλοσόφων ἀπέδειξε θαύματα; ἀλλὰ καὶ ἐσωφρόνησεν ὁ Σινωπεὺς ἐκεῖνος, καὶ ἐν ἐγκρατείᾳ διήγαγε, καὶ τῶν κατὰ νόμον οὐκ ἀνεχόμενος γάμων. Ἀλλὰ πῶς καὶ τίνι τρόπῳ προστίθει. Ἀλλ' οὐ προσθήσεις, ἀλλ' ἥδιον τῶν τῆς σωφροσύνης ἐγκωμίων ἀποστερήσεις αὐτὸν, ἢ τὸν τρόπον τῆς σωφροσύνης ἐρεῖς, οὕτως αἰσχρὸς καὶ πολλῆς γέμων αἰσχύνης ἦν. Ἐπῆλθον δ' ἄν καὶ τὸν τῶν ἄλλων λῆρον, καὶ τὴν ματαιοπονίαν καὶ τὴν αἰσχρότητα· ποῦ γὰρ, εἰπέ μοι, χρήσιμον γονῆς ἀπογεύεσθαι ἀνθρωπίνης, ὅπερ ὁ Σταγειρίτης ἐποίει; ποῖον δὲ ὄφελος μίγνυσθαι μητράσι καὶ ἀδελφαῖς, ὅπερ ὁ τῆς Στοᾶς προεστὼς φιλόσοφος ἐνομοθέτει; Καὶ τὸν τῆς Ἀκαδημίας δὲ ἄρξαντα, καὶ τὸν ἐκείνου διδάσκαλον, καὶ τοὺς ἔτι τούτων [f] μᾶλλον θαυμαζομένους, τούτων αἰσχροτέρους ἀνέδειξα ἄν, καὶ τὴν παιδεραστίαν, ἣν σεμνὸν εἶναι τίθενται καὶ φιλοσοφίας μέρος, ἐξεκάλυψα πάσης ἀπαμφιάσας τῆς ἀλληγορίας, εἰ μὴ εἰς μακρὸν ὁ λόγος ἡμῖν ἐξετείνετο μῆκος, καὶ πρὸς ἕτερον ἠπείγετο μέρος, καὶ ἱκανῶς καὶ διὰ τοῦ ἑνὸς τὸν γέλωτα πάντων διήλεγξεν.

Ὅταν γὰρ ὁ κρατῶν, κατὰ τὸ δοκοῦν αὐστηρότερον εἶναι τῆς φιλοσοφίας μέρος, καὶ παρρησίας, καὶ ἐγκρατείας ἕνεκεν, οὕτως αἰσχρὸς, καὶ ἄτοπος, καὶ περιττὸς ἀποφαίνηται· (καὶ γὰρ καὶ τὸ ἀνθρώπων ἀπογεύεσθαι ἔλεγεν ἀδιάφορον εἶναι)· τίς ἡμῶν πρὸς τοὺς ἄλλους λόγος ἔσται λοιπὸν, τοῦ κατὰ τὴν κορυφὴν τοῦ ἐπιτηδεύματος ὑπὲρ τοὺς ἄλλους λάμψαντος οὕτω καταγελάστου, καὶ μειρακιώδους, καὶ ἀνοήτου δειχθέντος ἅπασι; Δι' ὅπερ ἐπανίωμεν ὅθεν ταῦτα εἰπεῖν ἐξέβημεν. Τοὺς μὲν οὖν ἀπίστους οὕτω συνέστειλεν ὁ μακάριος, τοὺς δὲ πιστοὺς εὐλαβεστέρους κατέστησεν, οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ στρατιώτας καὶ στρατηγοὺς, καὶ ὑπάρχους, δείξας ὅτι ὁ βασιλεὺς, καὶ ὁ πάντων ἔσχατος παρὰ Χριστιανοῖς, ὀνόματα μόνον ἐστὶ, καὶ τῶν ἐλαχίστων ὁ τὸ διάδημα ἔχων οὐδὲν ἔσται σεμνότερος, ὅταν κολάζεσθαι καὶ ἐπιτιμᾶσθαι δέῃ. Πρὸς δὲ τούτοις τοὺς βουλομένους ἀναισχυντεῖν, καὶ κόμπον τινὰ πεπλασμένον τὰ παρ' ἡμῖν

[a] Unus Regius γὰρ ὡς ὁ πίθον ἐκεῖνος λαβὼν..... οὐδὲ ῥάκη ὡς περιβ.

[b] Alii φθόροι.

[c] Alii ἐπιτρέψαντι. Paulo post Savil. et unus c dex ἡλίῳ θερόμενος. Et infra μεγαλοφρονοῦντες.

[d] Savil. et unus τότε ἐκεῖνος ἐκαθητο.

[e] Sic omnes præter Morel. Ibi habet εἰς χεῖρα.

[f] Alii ἀπέδειξα.

eunt, in ordinem parasitorum adscitos, tamquam canes circa mensas victitantes enutriunt, impudentes ventres iniquarum epularum reliquiis distendunt, et pro lubito iis utuntur. Nos vero qui insipientiam iniquitatemque vestram aversamur, eos qui præ ignavia fame laborant, non alimus, sed ipsis suademus, ut laborantes et sibi et aliis victum parent; eos autem, qui mutilo sunt corpore, ab iis qui subministrare possunt, necessariam solum escam accipere concedimus : comessationes, ebrietates, ac reliqua omnis insania et turpitudo a nobis eliminata est; eorumque loco inducta sunt quæcumque gravia, quæcumque casta, quæcumque justa, quæcumque laudabilia, si qua virtus, si qua laus. Cætera porro, quæ de philosophis suis jactabundi dictitant, vanam gloriam, audaciam et puerilis animi opera demonstrant. Non illic (apud Christianos) dolio quis accepto sese inclusit (*a*), non lacceris pannis vestitus forum circuivit. Hæc quippe licet mirabilia esse videantur, multumque laboris et ærumnæ habeant, indigna laude sunt. Est autem diaboli astutiæ eos, qui sibi serviunt, laboribus hujusmodi addicere, qui et a se deceptos discrucient, et maxime omnium ridiculos exhibeant. Labor enim is, ex quo nullum lucrum manat, omni prorsus laude caret.

Circulatorum quorumdam gesta. — Siquidem etiam nunc sunt homines perditi, innumeris pleni flagitiis, qui plura, quam philosophus ille, exhibuere; alii enim clavos acutissimos deglutiunt, alii calceos mandunt et devorant, alii ad alia sceleratiora male consulti se conferunt : atqui hæc longe sunt mirabiliora, quam dolium et panni : verum neque hæc neque illa probamus, sed perinde philosophum, atque hos et omnes quotquot portentosa hujusmodi exhibent, miseros prædicamus et deploramus. Sed multa, dices, usus est apud regem loquendi libertate. Videamus itaque egregiam loquendi libertatem, num et ipsa sit vel portentoso dolio ineptior. Quænam illa libertas? Cum ad Persas moveret Macedo, dum ipsi adstaret, rogaretque an quapiam re opus haberet, Nulla, inquit : solum ne mihi rex umbram faciat : tunc enim philosophus apricabatur. Annon pudore suffundemini? annon vos obtegetis? annon hinc facessentes terra vos obruetis, de iis altum sapientes, de quibus pudore affici oporteret? Quanto enim satius fuisset veste indutum crassiuscula, operi vacantem, aliquid, quod usui foret, a rege petiisse, quam lacero pallio vestitum sedisse apricantem, instar lactentium puerorum, quos lotos et unctos nutrices inibi ad eam rem collocant, ob quam tunc philosophus sedebat infelicis aniculæ gratiam flagitans? Sed admiranda fortasse est illa loquendi libertas? Imo vero nihil illa prodigiosius. Bonum enim virum oportet facta sua omnia publica utilitate metiri, aliorumque vitam emendare; postulare autem ne sibi umbram faceret, quam urbem, quam domum, quem virum, quam mulierem conservavit? Indica quod ex loquendi libertate lucrum : nam lucrum a libera martyris voce natum nos ostendimus, et ulterius progressi clarius aperiemus.

9. Interim ille injurium illum punivit, quatenus sacerdoti fas erat, principum altos spiritus coercuit, violatis Dei legibus opem tulit, supplicium pro cæso juvene exegit, omnium suppliciorum gravissimum, iis certe qui mente valent. Meministis plane, cum de cæde verba faceremus, quomodo singuli auditorum inflammarentur, et principem manibus tenere cuperent, atque ultorem alicunde cædis apparere. Hoc itaque beatus ille vir fecit, pœnamque ipsi congruentem imposuit, quæ posset illum convertere, si modo stupidus admodum non fuisset, non ab Imperatore postulans ut a sole se calefaciente deflecteret, sed impudenter in sacra septa insilientem omniaque confundentem, ceu canem aut improbum famulum a dominicis atriis, depellens. Vides me non jactabunde dixisse, puerilis animæ gesta esse vestrorum philosophorum miracula a Babyla demonstrari? At temperans fuit, continentemque vitam egit Sinopensis ille, qui ne legitimas quidem nuptias contraxerit. Sed adde quomodo et qua ratione. Tu vero non addes, quin libentius eum continentiæ laudibus privabis, quam temperantiæ modum efferas, ita nempe [illegible] pis ac dedecore plenus est. Ad aliorum quoque nu[illegible] vanum studium et turpitudinem libenter transi[illegible] nam ubi, quæso, utile est humanum semen gus[illegible], ut faciebat Stagirites (*a*)? quæ utilitas cum matribus et sororibus misceri, ut Stoæ, sive porticus, præfectus philosophus lege sanxit (*b*)? Academiæ quoque principem, ejusque magistrum, itemque alios, qui majori admirationi habentur, his obscœniores fuisse ostenderem, infamemque puerorum amorem, quem honestum et partem philosophiæ esse statuunt, omni retecta allegoria denudarem, nisi nobis ad alia properantibus oratio longius protraheretur, ac nisi ex uno quam ridiculi cæteri sint satis argueretur.

Contra Platonem. — Quando enim præcipuus qui severiorem philosophiæ partem sequi videbatur, tum ex loquendi fiducia, tum ex temperantia, adeo turpis, adeo absurdus et ineptus esse deprehensus est, quippe qui humanis vesci carnibus indifferens esse dixerit, quorsum attinet contra cæteros verba facere, cum ille qui ad fastigium instituti positus præ aliis fulgebat, tam ridiculus, puerilis et stultus apparuerit omnibus? Quamobrem eo redeamus, unde ad hæc dicenda digressi sumus. Incredulos itaque beatus ille ita compescuit, fideles autem religiosiores reddidit : non privatos modo, sed etiam milites, tribunos, præfectos, ostendens Imperatorem et omnium novissimum apud Christum mera nomina esse, et diademate redimitum non potiori esse loco, quando punitione et correctione utendum est. Ad hæc vero impudentes illos, qui dicerent nostra non aliud esse quam fucum et figmen-

(*a*) Ad Diogenem Cynicum alludit.

(*a*) Aristoteles.
(*b*) Zeno Citieus uxores communes esse statuit. *Vide Laertium.*

tum, refrenavit, apostolorum fiduciam operibus comprobans, docensque talibus olim viris opus fuisse, quando signorum ostensio majorem ipsis præbebat potestatem. Tertium quoque præclarum facinus non leve deprehenditur, futurorum quippe sacerdotum et regum animos, horum quidem depressit, illorum vero extulit, declarans sacerdotem cum terræ tum eorum quæ in terra geruntur, verius præfectum esse, quam eum qui purpura induitur, oportereque potestatem illam non minuere, sed animam potius exuere, quam potestatem, quam Deus superne ipsi attribuit. Nam is, qui sic moriatur, etiam post mortem possit omnes juvare; qui vero hunc ordinem dereliquit, non modo post mortem nemini profuit, sed etiam vivens multos ex subditis molliores effecit, et apud exteros vituperabilis ridiculusque est: insuperque hinc abscedens multo cum dedecore ac mœrore ad Christi tribunal sistetur, unde ipsum in fornacem abducent potestates ad id deputatæ. Quamobrem sapiens quidam monet, *Ne accipias faciem contra tuam animam* (*Eccli.* 4. 26). Quod si viro injuria affecto non tutum est dissimulare, qui, violatis Dei legibus, tacet ac negligit, quo supplicio dignus non erit? Cum his etiam aliud, his non minus bonum, nos docuit, oportere scilicet quemque suo fungi officio, etiamsi [illegible]llam inde lucrum ad alios emanet: neque enim ille [illegible]piam ex loquendi libertate ad Imperatoris utilita[illegible]lucratus est; attamen quod penes se erat totum [illegible]evit, ac nihil reliquum fecit.

Martyrium sancti Babylæ. — Qui autem morbo laborabat, arrogantia sua artificis peritiam inutilem reddidit, ingenti cum furore medicamentum e vulnere removens. Ac si enim non satis esset necem patrasse, et in templum Dei impudenter insiliisse, cædi cædem alteram adjecit, et ac si contenderet posterioribus priora superare, ac præcedentes morbos subsequentium magnitudine obscurare (talis quippe est diaboli insania, ut contraria simul paret): sic utrique cædi id eximium dedit, ut congruentiam quamdam mutuo haberent. Et erat quidem prior pueri cædes miserabilior secunda, secunda vero sceleratior priore, nempe sancti Babylæ. Anima quippe quæ semel peccatum degustavit [1] ac sensu caret, multum adjicit morbo incrementum. Et quemadmodum scintilla in immensam materiam incidens quod occurrit statim incendit, neque hic tamen consistit, sed quod reliquum est statim consumit, et quanto plura flamma apprehenderit, tanto majorem vim accipit ad reliquorum perniciem, deprehensorumque lignorum copia iis quæ mox inflammanda sunt insidiosa evadit, flamma iis quæ jam correpta sunt semper se armante contra ea quæ mox corripientur: sic se habet et peccati natura, ubi quamdam animæ cogitationem occupaverit, nec quisquam est qui malum exstinguat, ulterius progressa gravior et magis indomita efficitur: ideoque posteriora plerumque peccata validiora fuere prioribus, anima semper posteriorum accessione ad majorem arrogantiam et contemptum elata, ac per hæc vim suam dissolvente, peccati vero robur alente. Sic itaque multi in omne peccatorum genus non advertentes prolapsi sunt, quia flammam initio non restinxerunt: ita miser ille graviora prioribus posteriora adjunxit. Postquam enim juvenem illum peremerat, a cæde ad inferendam templo injuriam progressus est, ac rursus hac via procedens, ad arrogantiam contra sacerdotium exhibendam se accinxit [1], sanctumque ferro vinctum et in carcerem conjectum sic ultus est, beneficii pœnas repetens, cumque eum ideo admirari, coronare et plus, quam parentes, honorare oporteret, maleficorum eum subire vincula vinculorumque miserias coegit.

10. Sic, quemadmodum dicebam, subortum peccatum, nemine prohibente ne ad ulteriora progrederetur, cohiberi postea continerique non potest: perinde atque equi furentes, rejectis e corpore frenis, excussisque sessoribus ac supinis humi relictis, occurrentibus admodum molesti sunt, nemineque cohibente, impetu sese in præcipitia conjiciunt. Ideo animas hujusmodi salutis nostræ inimicus in insaniam conjicit, ut eas desertas, nemine curante, corripiens disperdat, et innumeris circumdet malis. Etenim qui corpore laborant, donec medicos se adire patiuntur, magnam salutis spem habent; cum vero in phrenesin lapsi calcibus impetunt mordentque eos, qui se a morbo eruere volunt, tum sane incurabiliter ægrotant, non tam ob morbi naturam, quam quia deserti fuerunt ab iis, qui ipsos a furore liberare potuissent. In quem furorem hic, de quo loquimur, se conjecit: comprehenso namque medico, dum vulnus adhuc secaret, eum statim expulit, et a domo quam potuit longissime exegit. Licebatque hic Herodis drama non tantum auribus percipere, sed coram majori cum petulantia gestum spectare: quia illud majori cum ostentatione et apparatu diabolus in mundi theatrum iterum induxit, pro tetrarcha personam Imperatoris constituens, et pro una causa duplex rei argumentum, illo longe turpius, præbens; ita ut non numero tantum, sed ipsa quoque rerum natura tragœdia multo insignior esset. Non enim hic sicut illic nuptiæ violabantur, neque ex illegitimo coitu, sed ex scelestiori puerilis cædis inquinamento, ex tyrannide crudelissima, et ex iniquitate, non in uxorem, sed in ipsam sanctimoniam exhibita, hanc historiam malignus ille texuit. Conjectus ergo in carcerem beatus ille, gaudebat quidem de vinculis, sed dolebat de vinculorum auctoris pernicie: neque enim pater, neque pædotriba, cum ille de filii, hic de discipuli flagitio vel calamitate clariores evadunt, mœrore vacuam voluptatem ex illa claritate capiunt. Quamobrem beatus Paulus Corinthiis dicebat: *Oramus autem ut nihil mali faciatis, non ut nos probati appareamus, sed ut vos quod bonum est faciatis: nos autem ut reprobi simus* (2. *Cor.* 13. 7). Sic itaque admirando illi viro optatior

[1] Unus Cod. et Savil. in marg., *anima quippe ad malum semel inclinata.*

[1] Unus Cod. post, *accinxit*, addit, *neque eo stetit, sed sanctum ferro*, etc.

εἶναι λέγοντας ἐπεστόμισε, τὴν τῶν ἀποστόλων παῤῥησίαν διὰ τῶν ἔργων ἐπιδείξας. [551] καὶ διδάξας, ὅτι καὶ πάλαι τοιούτους ἄνδρας γενέσθαι εἰκὸς ἦν, ὅτε καὶ πλείονα ἡ τῶν σημείων ἐπίδειξις παρεῖχε τὴν ἐξουσίαν αὐτοῖς. Ἔστι τι καὶ τρίτον κατόρθωμα οὐ τὸ τυχόν, τῶν γὰρ μετὰ ταῦτα ἱερᾶσθαι καὶ βασιλεύειν μελλόντων [a] τὰ φρονήματα, τῶν μὲν κατέστειλε, τῶν δὲ ἐπῆρεν, ἀποφήνας, ὅτι τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ πραττομένων κυριώτερος ἐπίτροπος ὁ τὴν ἱερωσύνην λαχὼν τοῦ τὴν ἀλουργίδα ἔχοντός ἐστι, καὶ χρὴ τῆς ἐξουσίας ταύτης τὸ μέγεθος μὴ ἐλαττοῦν, ἀλλὰ τῆς ψυχῆς ἐξίστασθαι πρότερον, ἢ τῆς αὐθεντίας, ἣν ὁ Θεὸς ἄνωθεν ταύτῃ συνεκλήρωσε τῇ ἀρχῇ. Ὁ μὲν γὰρ οὕτως ἀποθανών, καὶ μετὰ τὴν τελευτὴν δύναιτ' ἂν ἅπαντας ὠφελεῖν ὁ δὲ ταύτην τὴν τάξιν λιπών, οὐ μόνον μετὰ τὸν θάνατον οὐδένα ὤνησεν, ἀλλὰ καὶ ζῶν τῶν τε ὑπ' αὐτῷ ταττομένων [b] τοὺς πλείονας μαλακωτέρους εἰργάσατο, καὶ παρὰ τοῖς ἔξωθεν ἐπονείδιστος καὶ καταγέλαστος γίνεται. Καὶ ἀπελθὼν δὲ ἐντεῦθεν, μετὰ πολλῆς αἰσχύνης καὶ κατηφείας παραστήσεται τῷ βήματι τοῦ Χριστοῦ, ἐκεῖθέν τε αὐτὸν πάλιν εἰς τὴν κάμινον ἀπάξουσιν ἕλκουσαι αἱ πρὸς τοῦτο ταχθεῖσαι δυνάμεις. Διά τοι τοῦτο σοφός τις παραινεῖ λόγος· *Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου.* Εἰ δὲ, ἀνδρὸς ἀδικουμένου, οὐκ ἀσφαλὲς ὑποκρίνεσθαι, τῶν θείων νόμων ὑβριζομένων, ὁ σιγήσας καὶ παριδών τίνος οὐκ ἔσται κολάσεως ἄξιος; Μετὰ δὲ τούτων οὐχ ἧττον ἐδίδαξε καλὸν, ὅτι τὰ αὑτοῦ ποιεῖν ἕκαστον χρὴ, κἂν μηδεὶς ὁ δεχόμενος ᾖ τῶν γινομένων τὸ κέρδος. Οὐδὲ γὰρ αὐτός τι τότε τῆς παῤῥησίας εἰς τὴν ὠφέλειαν ἀπώνατο τοῦ βασιλέως, ἀλλ' ὅμως τὸ αὑτοῦ πᾶν ἐπλήρωσε, καὶ ἐνέλιπεν οὐδέν.

Ὁ δὲ κάμνων διὰ τῆς οἰκείας ἀπονοίας ἐλυμήνατο τοῦ τεχνίτου τὴν ἐπιστήμην, μετὰ πολλοῦ τοῦ θυμοῦ τὸ φάρμακον ἀπὸ τοῦ τραύματος ἀφελών. Ὥσπερ γὰρ οὐκ ἀρκοῦν εἰς ἀσέβειαν τὸ φονεῦσαι, καὶ ἀναισχύντως ἐπιπηδῆσαι τῷ ναῷ τοῦ Θεοῦ, προσετίθει φόνῳ φόνον ἕτερον, καὶ καθάπερ φιλονεικῶν ὁμοῦ καὶ νικῆσαι τοῖς ὑστέροις τὰ πρότερα, καὶ τὰ τῶν φθασάντων πάθη μαυρῶσαι τῇ τῶν ὑστέρων ὑπερβολῇ (τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μανία, τὰ ἐναντία κατασκευάζειν ἅμα), οὕτως ἀμφοτέραις ταῖς σφαγαῖς ἔχειν τι κατάλληλον, ἐξαίρετον ἔδωκεν. Καὶ ἦν ἡ μὲν προτέρα ἐλεεινοτέρα τῆς δευτέρας, ἡ τοῦ παιδός· ἡ δὲ δευτέρα ἐναγεστέρα τῆς προτέρας, ἡ τοῦ μακαρίου Βαβύλα. Ψυχὴ γὰρ ἅπαξ [c] ἁμαρτίας γευσαμένη, καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην. Καὶ οἷον εἰς ὕλην ἄφατον σπινθὴρ ἐμπεσὼν, καίει μὲν εὐθέως τὸ προστυγχάνον, οὐχ ἵσταται δὲ μέχρις ἐκείνου μόνον, ἀλλὰ πᾶν ἐπινέμεται τὸ λοιπὸν, καὶ ὅσῳ περ ἂν πλείονα λάβῃ τῇ φλογὶ, τοσούτῳ πλείονα προσλαμβάνει τὴν ἰσχὺν πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, καὶ γίνεται τῶν ἁλόντων ξύλων τὸ πλῆθος τοῖς ἁλίσκεσθαι μέλλουσιν ἐπιβουλὴ, τοῖς ληφθεῖσι κατὰ τῶν μελλόντων ὁπλιζομένης ἀεὶ τῆς φλογός· οὕτω καὶ ἡ τῆς ἁμαρτίας φύσις, ἐπειδάν τινος λάβηται τῶν τῆς ψυχῆς λογισμῶν, καὶ [552] μηδεὶς ὁ σβεννύων ᾖ τὸ κακὸν, προϊοῦσα περαιτέρω χαλεπωτέρα γίνεται καὶ δυσχείρωτος· καὶ διὰ τοῦτο τὰ μετὰ ταῦτα πολλάκις τῶν προτέρων ἰσχυρότερα γέγονεν ἁμαρτήματα, τῆς ψυχῆς ἀεὶ τῇ τῶν δευτέρων προσθήκῃ πρὸς μείζονα ἀπόνοιαν καὶ καταφρόνησιν αἱρομένης, καὶ διὰ τούτων τὴν μὲν οἰκείαν διαλυούσης δύναμιν, τὴν δὲ τῆς ἁμαρτίας τρεφούσης· οὕτω γοῦν πολλοὶ εἰς πᾶν εἶδος ἁμαρτημάτων ἐλθόντες ἔλαθον, ἐπειδὴ τὴν φλόγα ἀρχομένην οὐκ ἔσβεσαν· οὕτω καὶ ὁ δεῖλαιος ἐκεῖνος χαλεπώτερα τοῖς προτέροις προσετίθει τὰ δεύτερα. Ἐπειδὴ γὰρ τὸν νέον ἐκεῖνον ἀπώλεσεν, ἀπὸ τοῦ φόνου πρὸς τὴν ὕβριν τὴν εἰς τὸν νεὼν ὥρμησε, καὶ πάλιν ἐκ ταύτης ὁδῷ προβαίνων, εἰς τὴν κατὰ τῆς ἱερωσύνης ἀπόνοιαν ἐπαπεδύσατο, καὶ τὸν [d] ἅγιον σιδήρῳ δήσας, καὶ εἰς δεσμωτήριον ἐμβαλὼν, οὕτω τέως ἐκόλαζε, δίκην αὐτὸν τῆς εὐεργεσίας ἀπαιτῶν, καὶ ὑπὲρ ὧν θαυμάζειν ἔδει, καὶ στεφανοῦν, καὶ τῶν γεγεννηκότων μᾶλλον τιμᾶν, ὑπὲρ τούτων τὰ τῶν κακούργων ὑπομένειν ἠνάγκαζε δεσμά, καὶ τὴν ἀπὸ τῶν δεσμῶν ταλαιπωρίαν περιθείς.

ι'. Οὕτως, ὅπερ ἔφην, ἀρχὴν ἁμαρτία λαβοῦσα, καὶ μηδένα τὸν εἰς τὸ πρόσω προβῆναι κωλύοντα ἔχουσα, δυσανάσχετος καὶ ἀκάθεκτος γίνεται, κατὰ τοὺς μεμηνότας τῶν ἵππων, οἳ ἐπειδὰν τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλόντες, καὶ τὸν ἐπιβάτην ῥίψαντες ἀπὸ τῶν νώτων ὕπτιον, τοῖς ἁπαντῶσιν ἀφόρητοι γένωνται, μηδενὸς αὐτοὺς κωλύοντος, ὑπὸ τῆς ἀτάκτου ῥύμης φέροντες ἑαυτοὺς κατεκρήμνισαν. Διά τοι τοῦτο εἰς μανίαν τὰς τοιαύτας ἐκφέρει ψυχὰς ὁ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, ἵνα αὐτὰς ἐν ἐρημίᾳ τῶν θεραπευσόντων [e] ἀπολαβὼν κατακόψῃ, καὶ μυρίοις περιβάλῃ κακοῖς. Καὶ γὰρ οἱ τὰ σώματα ἀῤῥωστοῦντες, ἕως μὲν ἂν προστόντας τοὺς θεραπεύοντας ἀνέχωνται, πολλὴν [f] τὴν ἐλπίδα τῆς ὑγιείας ἔχουσιν· ἐπειδὰν δὲ εἰς φρενῖτιν ἐκπεσόντες λακτίζωσι, καὶ δάκνωσι τοὺς βουλομένους ἀπαλλάξαι τῆς ἀῤῥωστίας αὐτοὺς, τότε νοσοῦσιν ἀνίατα, οὐ διὰ τὴν τῆς νόσου φύσιν, ἀλλὰ διὰ τὴν ἐρημίαν τῶν ἀπαλλάξαι δυναμένων τῆς μανίας αὐτούς· εἰς ἣν καὶ οὗτος ἑαυτὸν κατέστησε· λαβὼν γὰρ τὸν ἰατρὸν, τέμνοντα ἔτι τὸ τραῦμα, ἀπήλασεν εὐθέως, καὶ ὡς πορῥωτάτω τῆς οἰκίας ἀπήγαγε. Καὶ ἦν τὸ Ἡρώδου δρᾶμα μηκέτι μόνον ἀκοῇ μανθάνειν, ἀλλὰ καὶ ὄψεσι μετὰ πλείονος τῆς περιπετείας θεωρεῖν· ἐπειδὴ καὶ μετὰ πλείονος αὐτὸ τῆς ἐπιδείξεως καὶ παρασκευῆς ὁ διάβολος πάλιν εἰς τὸ τοῦ βίου θέατρον εἰσήγαγεν, ἀντὶ τετράρχου βασιλέα καταστήσας [g], καὶ ἀντὶ μιᾶς αἰτίας διπλῆν ὑπόθεσιν τῷ πράγματι δοὺς, καὶ πολὺ τῆς προτέρας μιαρωτέραν, ὡς μὴ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ αὐτῇ τῶν πραγμάτων τῇ φύσει λαμπροτέραν ταύτην γενέσθαι τὴν τραγῳδίαν. Οὐ γὰρ γάμος ἐνταῦθα ὑβρίζετο καθάπερ ἐκεῖ, οὐδὲ ἀπὸ παρανόμου μίξεως, ἀλλ' ἀπὸ μολυσμοῦ παιδοκτονίας ἐναγεστέρου, καὶ τυραννίδος ἀπηνεστάτης, καὶ παρανομίας οὐκ εἰς γυναῖκα γενομένης, ἀλλ' εἰς αὐτὴν τὴν ἁγιστείαν, ταύτην τὴν ἱστορίαν ἔπλεξεν ὁ πονηρός. Ἐμβληθεὶς τοίνυν εἰς τὸ δεσμωτήριον [h] ὁ μακάριος, ἔχαιρε μὲν ἐπὶ τοῖς δεσμοῖς, ἤλγει δὲ ἐπὶ τῇ [555] τοῦ δήσαντος ἀπωλείᾳ. Οὔτε γὰρ πατὴρ οὐδὲ παιδοτρίβης, ὅταν ὁ μὲν ἐκ τῆς τοῦ παιδὸς, ὁ δὲ ἐκ τῆς τοῦ μαθητοῦ μοχθηρίας καὶ δυσπραγίας λαμπρότεροι γίνωνται, καθαρὰν ἀθυμίας τὴν ἐκ τῆς εὐδοκιμήσεως ἔχουσιν ἡδονήν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος Κορινθίοις ἔλεγεν· *Εὐχόμεθα δὲ μηδὲν κακὸν ποιῆσαι ὑμᾶς, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.* Οὕτω γοῦν καὶ

[a] Alii βασιλεύειν λαχόντων.
[b] Sic Savil. et duo mss. Morel. vero καὶ ζώντων τῶν ὑπ' αὐτῷ τατ.
[c] Unus cod. et Savil. in marg. Βαβύλα· ἡ γὰρ ἐπιῤῥεπὴς πρὸς κακίαν ψυχὴ ἅπαξ.
[d] Unus cod. ἐπαπεδύσατο. Οὐχ ἵσταται δὲ μέχρις ἐκείνης· ἀλλὰ καὶ τόν.
[e] Alii ἐκβάλωσι.. ῥίψωσι.. ἀφόρητοι γίνονται... θεραπευόντων.
[f] Savil. et unus cod. ἂν προσίωνται τοὺς θεραπεύοντας, πολλήν.
[g] Alii κατασκευάσας.
[h] Alii ἐν τῷ δεσμωτηρίῳ.

ἐκείνῳ τῷ θαυμαστῷ τότε ποθεινότερον ἦν τῶν ἀπὸ τοῦ δεσμωτηρίου μισθῶν ἡ τοῦ μαθητοῦ σωτηρία, καὶ τὸ σωφρονήσαντα ἀποστερῆσαι τούτων τῶν ἐπαίνων αὐτὸν, μᾶλλον δὲ τὸ μηδὲ τὴν ἀρχὴν εἰς ταύτην αὐτὸν τὴν διαστροφὴν ἐμπεσεῖν. Οἱ γὰρ ἅγιοι τοὺς στεφάνους αὐτοῖς οὐκ ἀπὸ τῶν ἀλλοτρίων βούλονται πλέκεσθαι συμφορῶν· εἰ δὲ ἀπὸ τῶν ἀλλοτρίων οὐ βούλονται, πολλῷ μᾶλλον ἀπὸ τῶν τοῖς οἰκείοις συμβαινόντων κακῶν. Τούτου χάριν καὶ ὁ μακάριος Δαυὶδ μετὰ τὰ τρόπαια καὶ τὴν νίκην ἐπένθει καὶ ἐδάκρυεν, ἐπειδὴ μετὰ τῆς τοῦ παιδὸς συμφορᾶς αὕτη γέγονε· καὶ τοῖς τε ἐξιοῦσι στρατηγοῖς ἐπέσκηπτεν ὑπὲρ τοῦ τυράννου πολλὰ, καὶ ἀνελεῖν αὐτὸν ἐπειγομένους ἐπεῖχε λέγων, *Φείσασθε τοῦ παιδαρίου Ἀβεσσαλὼμ*, καὶ πεσόντα ἐπένθει, καὶ ἀνεκαλεῖτο [a] τὸν ἐχθρὸν μετὰ οἰμωγῶν καὶ δακρύων πικρῶν.

α'. Εἰ δὲ ὁ φυσικὸς πατὴρ οὕτω φιλόστοργος, πολλῷ μᾶλλον ὁ πνευματικός. Ὅτι γὰρ τῶν κατὰ σάρκα οἱ κατὰ πνεῦμα γονεῖς κηδεμονικώτεροι, τοῦ Παύλου λέγοντος ἄκουε· *Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* Ἀλλὰ τοῦτο μὲν τὴν ἰσότητα παρίστησιν ἡμῖν, καίτοι γε μόλις ἂν πατέρες ταύτην ἀφήσαιεν τὴν φωνὴν, ἀλλ' ὅμως συγχωρείσθω καὶ μέχρι τοσούτου φθάσαι αὐτούς· δεῖ δὲ τὸ πλέον ἐπιδεῖξαι λοιπόν. Πόθεν οὖν τοῦτο ἐπιδείξομεν; Ἀπὸ τῶν αὐτῶν σπλάγχνων πάλιν, καὶ ἀπὸ τῶν τοῦ νομοθέτου ῥημάτων. Τί δὲ ἐκεῖνός φησιν; *Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας.* Οὐδεὶς δὲ ἂν ἕλοιτο πατὴρ, πρὸν μυρίων ἀπολαύειν ἀγαθῶν, μετὰ τῶν τέκνων κολάζεσθαι· ὁ δὲ Ἀπόστολος ἅτε ἐν τῇ χάριτι πολιτευσάμενος, καὶ ταύτης ἐπίτασιν πεποίηται τῆς φιλοστοργίας διὰ τὸν Χριστόν. Οὐ γὰρ μετ' ἐκείνων κολάζεσθαι εἵλετο καθάπερ ἐκεῖνος, ἀλλ' ἵνα ἑτέροις σωθῆναι ἐκγένηται [b], αὐτὸς ἀπολέσθαι ηὔχετο λέγων· *Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα.* Τοσαύτη εὐσπλαγχνία καὶ φειδὼ παρὰ ταῖς τῶν ἁγίων ψυχαῖς. Ὅθεν καὶ οὗτος μειζόνως διεκόπτετο τὰ σπλάγχνα, τὴν ἀπώλειαν τοῦ βασιλέως περαιτέρω προϊοῦσαν ὁρῶν. Οὐδὲ γὰρ μόνον ὑπὲρ τοῦ νεὼ δακνόμενος ἔπραττεν, ἀλλὰ καὶ ὑπὸ τῆς πρὸς ἐκεῖνον εὐνοίας ἐπικαμπτόμενος. Ὁ μὲν γὰρ εἰς τὴν τοῦ Θεοῦ λειτουργίαν ὑβρίζων, ἐκείνην μὲν ἔβλαψεν οὐδὲν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς.

ια'. Διόπερ ὁ φιλόπαις πατὴρ, θεωρῶν κατὰ κρημνῶν ὠθούμενον τῷ θυμῷ τὸν ὑβριστὴν, ἀνέχειν τὴν ἄλογον φορὰν ἐσπούδαζεν, ὥσπερ τινὰ δυσήνιον ἵππον, εἰς τοὐπίσω διὰ τῆς ἐπιπλήξεως ἀνακρούσασθαι σπεύδων αὐτόν. Ἀλλ' οὐκ εἴασεν ἐκεῖνος ὁ δείλαιος, ἀλλὰ [554] τὸν χαλινὸν ἐνδαχὼν, καὶ ἀντιτείνας, καὶ θυμῷ καὶ μανίᾳ ἀντὶ τῶν ὀρθῶν λογισμῶν ἑαυτὸν ἐκδοὺς, εἰς τὰ βάραθρα τῆς ἐσχάτης ἀπωλείας ἐνέβαλε· καὶ τὸν ἅγιον τοῦ δεσμωτηρίου ἐξαγαγὼν τὴν ἐπὶ θανάτῳ ἀπαχθῆναι δεδεμένον ἐκέλευσε. Καὶ ἦν ἐναντία τῶν ὁρωμένων τὰ δρώμενα. Ὁ μὲν δεδεμένος πάντων ὁμοῦ τῶν δεσμῶν ἐλύετο, καὶ τῶν ἀπὸ τοῦ σιδήρου, καὶ τῶν ἔτι σφοδροτέρων, φροντίδων λέγω καὶ πόνων, καὶ τῶν ἄλλων ἁπάντων τῶν διὰ τὸν ἐπίκηρον βίον περιισταμένων ἡμᾶς [c]. Ὁ δὲ λελύσθαι δοκῶν καὶ σιδήρου καὶ ἀδάμαντος, ἐτέροις χαλεπωτέροις περιεβάλλετο δεσμοῖς, ταῖς σειραῖς τῶν ἁμαρτιῶν ἐπισφιγγόμενος. Μέλλων τοίνυν ὁ μακάριος ἀποσφάττεσθαι ἐκεῖνος, μετὰ τοῦ σιδήρου τὸ σῶμα ταφῆναι ἐπέσκηψε, δεικνὺς ὅτι τὰ δοκοῦντα ἐπονείδιστα εἶναι, ταῦτα ὅταν διὰ τὸν Χριστὸν γίνηται, σεμνά τέ ἐστι καὶ λαμπρὰ, καὶ οὐ μόνον οὐκ ἐγκαλύπτεσθαι, ἀλλὰ καὶ σεμνύνεσθαι ἐπ' αὐτοῖς χρὴ τὸν πάσχοντα· κἀν τούτῳ τὸν μακάριον Παῦλον μιμούμενος, ὃς ἄνω καὶ κάτω τὰ στίγματα, τὰ δεσμὰ, τὴν ἅλυσιν ἔστρεφε, καυχώμενος καὶ μέγα φρονῶν, ἐφ' οἷς ἠσχύνοντο ἕτεροι. Ὅτι γὰρ ἠσχύνοντο, δῆλον ἡμῖν αὐτὸς ἐποίησε διὰ τῆς πρὸς τὸν Ἀγρίππαν γενομένης ἀπολογίας αὐτῷ. Λέγοντος γὰρ ἐκείνου, *Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι* [d], ὁ Παῦλος εἶπεν, *Ηὐξάμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ, καὶ ἐν πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ τοὺς περιεστῶτας πάντας γενέσθαι Χριστιανοὺς, χωρὶς τῶν δεσμῶν τούτων·* οὐκ ἂν τοῦτο προσθεὶς, εἰ μὴ τὸ πρᾶγμα ἐπονείδιστον εἶναι ἐδόκει τοῖς πολλοῖς. Φιλοδέσποτοι γὰρ ὄντες οἱ ἅγιοι, τὰ ὑπὲρ τοῦ Δεσπότου πάθη μετὰ πολλῆς ἐδέχοντο τῆς προθυμίας, καὶ φαιδρότεροι τούτοις ἐγίνοντο. Καὶ ὁ μέν φησι· *Χαίρω ἐν τοῖς παθήμασί μου·* ὁ δὲ Λουκᾶς περὶ τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ τὰ αὐτὰ δὴ ταῦτα φθέγγεται· μετὰ γὰρ τὰς πολλὰς μάστιγας ἀνεχώρουν, φησὶ, χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Ἵν' οὖν μή τις τῶν ἀπίστων ἀνάγκης εἶναι νομίσῃ τοὺς ἄθλους καὶ κατηφείας, αὐτὰ τῶν ἄθλων τὰ σύμβολα συνταφῆναι κελεύει τῷ σώματι, δεικνὺς ὅτι λίαν αὐτὰ ἠσπάζετο καὶ ἐφίλει, διὰ τὸ λίαν [e] ἐκκρεμᾶσθαι τῆς ἀγάπης τοῦ Χριστοῦ. Καὶ κεῖνται νῦν μετὰ τῆς τέφρας αἱ πέδαι, πᾶσι παραινοῦσαι τοῖς τῶν Ἐκκλησιῶν προεστῶσι, κἂν δεθῆναι δέῃ, κἂν σφαγῆναι, κἂν ὁτιοῦν παθεῖν, πάντα προθύμως καὶ μετὰ πολλῆς ὑπομένειν τῆς ἡδονῆς, ὥστε τῆς ἐμπιστευθείσης ἡμῖν ἐλευθερίας μηδὲ τὸ τυχὸν προδοῦναι καὶ καταισχῦναι μέρος. Καὶ ὁ μὲν μακάριος ἐκεῖνος οὕτω λαμπρῶς τὸν βίον κατέλυσε· τάχα δέ τις καὶ ἡμᾶς οἴεται ἐνταῦθα καταλύσειν τὸν λόγον· μετὰ γὰρ τὴν τοῦ βίου τελευτὴν οὐκ εἶναι λοιπὸν κατορθωμάτων οὐδὲ ἀνδραγαθίας ἀφορμὰς, ὥσπερ οὐδὲ τοῖς ἀθληταῖς μετὰ τὸ παρελθεῖν τοὺς ἀγῶνας στεφάνους πλέκεσθαι δυνατόν. Ἀλλ' Ἕλληνες μὲν εἰκότως ταῦτα νομίζουσιν, ἐπειδὴ καὶ μέχρι τοῦ παρόντος βίου τὴν ἐλπίδα συνέκλεισαν τὴν αὐτῶν· ἡμεῖς δὲ, οἷς ἑτέρας ζωῆς φαιδροτέρας ἀρχὴ ἡ ἐνθάδε γίνεται τελευτὴ, ταύτης ἀφεστήκαμεν τῆς ὑπονοίας καὶ δόξης. Καὶ ὅτι δικαίως, σαφέστερον [555] μὲν καὶ ἐν ἑτέρῳ δείξομεν λόγῳ· τέως δὲ καὶ τὰ μετὰ τὴν τελευτὴν τῷ γενναίῳ κατορθωθέντα Βαβύλᾳ [f] ἱκανὰ πίστιν μεγάλην τῷ λόγῳ παρασχεῖν. Ἐπειδὴ γὰρ ἕως θανάτου περὶ τῆς ἀληθείας ἠγωνίσατο, καὶ μέχρις αἵματος ἀντικατέστη πρὸς τὴν ἁμαρτίαν μαχόμενος, καὶ ὥστε μὴ ἀφεῖναι τὴν τάξιν, ἣν ἔταξεν αὐτὸν ὁ μέγας βασιλεὺς, ἀφῆκε τὴν ψυχὴν, καὶ παντὸς ἀριστέως λαμπρότερον ἐτελεύτησεν, αὐτὸν μὲν εἶχε λοιπὸν ὁ οὐρανὸς, τὸ δὲ σῶμα τὸ πρὸς τὴν ἀριστείαν διακονησάμενον ἡ γῆ, καὶ διενείματο ἡ κτίσις τὸν ἀθλητήν. Καίτοι γε ἐνῆν καὶ μετατεθῆναι αὐτὸν κατὰ τὸν Ἐνὼχ, καὶ ὁρπαγῆναι κατὰ τὸν Ἠλίαν, οὓς ἐζήλωσεν· ἀλλ' ὁ Θεὸς φιλάνθρωπος ὢν, καὶ μυρίας ἡμῖν τοῦ σώζεσθαι προφάσεις διδοὺς, καὶ ταύτην μετὰ τῶν ἄλλων διέτεμεν ἡμῖν τὴν ὁδὸν, ἱκανὴν παρακαλέσαι πρὸς ἀρετὴν, τὰ τῶν ἁγίων λείψανα παρ' ἡμῖν τέως ἀφείς. Μετὰ γὰρ τὴν διὰ τοῦ λόγου δύναμιν,

[a] Sic Savil. et duo mss., alii vero ἀνεκάλει. Mox aliqui μέχρι τούτου φθάνειν.

[b] Sic Savil. et omnes mss., alii ἑτέροις σωθῆναι ἐγγένηται.

[c] Alii ἡμῖν Paulo post Savil. et unus codex περισφιγγόμενος.

[d] Sic Savil. et duo mss. In Morel. legitur κινδυνεύεις με ἐν ὀλίγῳ ποιῆσαι Χριστιανόν.

[e] Alii τὸ σφόδρα.

[f] Sic Savil., et duo mss. Morel. vero τοῦ γενναίου κατορθώματα Βαβύλα.

erat discipuli salus, quam carceris merces; optatius item, ut discipulus resipiscens his eum laudibus privasset; imo potius, ut prorsus in hanc perversitatem lapsus non esset. Nolunt enim sancti coronas sibi necti ex alienis calamitatibus : quod si ab alienis nolint, multo sane minus a domesticorum ærumnis. Qua de causa beatus David post tropæa et victoriam lugebat et lacrymabatur, quod ea cum filii calamitate conjuncta esset : quin et exeuntibus ducibus multa pro tyranni salute præcipiebat, et eos, qui ipsum occidere cupiebant, his verbis cohibebat : *Parcite puero Absalom* (2. *Reg.* 18. 5) : et prostratum lugebat, inimicumque cum gemitibus et amaris lacrymis compellabat.

Pater spiritualis amantior prolis, quam carnalis.—Quod si naturalis pater ita prolis amans est, multo magis spiritualis : quod enim secundum spiritum parentes prolem magis curent, quam ii qui secundum carnem, audi Paulum dicentem, *Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* (2. *Cor.* 11. 29)? Sed hoc quidem æqualitatem nobis repræsentat : atqui vix patres hanc vocem emittant, sed concedatur tamen eousque illos accedere : jam quod majus est exhibere est opus. Undenam exhibebimus? Ex ipsis iterum visceribus, atque ex legislatoris verbis. Ille vero quid dicit? *Si remittas eis peccatum, remitte; sin minus, dele me de libro quem scripsisti* (*Exod.* 32. 31. 32). Nullus vero pater, cui innumeris frui bonis liberum sit, cum liberis supplicium subire voluerit : Apostolus vero, utpote in gratia versatus, paternum hujusmodi affectum, propter Christum, majorem exhibet. Non enim cum ipsis pœnas dare volebat ut ille; sed ut alii salutem consequi possent, ipse sibi perniciem precabatur his verbis : *Optabam anathema esse a Christo pro fratribus meis, cognatis meis secundum carnem* (*Rom.* 9. 3). Tanta misericordia, tantus affectus penes sanctos est. Quare et Babylæ viscera magis excruciabantur, quod Imperatoris exitium ultra semper intendi cerneret. Neque enim templi solum causa dolens hæc agebat; sed etiam affectu erga Imperatorem inductus. Nam qui divinum ministerium contumelia afficit, ipsum quidem nihil lædit, seipsum vero innumeris complicat malis.

11. *Babylas obtruncatur; jubet catenas cum corpore suo sepeliri : reliquiarum cultus.* — Quapropter pater ille prolis amans, contumeliosum illum iratum per præcipitia ferri cernens, brutum impetum coercere curabat, ceu quemdam effrenem equum a tergo deterrere satagens. At non sustinuit infelix ille, sed frenum mordens, et obsistens, seseque furori et insaniæ, misso rectæ rationis judicio, dederis, in barathra extremæ perniciei sese conjecit, sanctumque e carcere eductum, ad cædem vinctum jussit abduci. Atque hic ea, quæ cernebantur, iis quæ fiebant contraria erant. Ille quidem vinctus omnibus simul vinculis solutus erat, tam ferreis, quam aliis gravioribus, sollicitudinibus scilicet atque laboribus, aliisque omnibus, quæ nos in hac mortali vita circumsistunt; contra qui solutus ferro et adamante videbatur, aliis longe gravioribus vinculis constrictus erat, catenis peccatorum vinctus. Cædi proximus vir beatus cum ferro corpus suum sepeliri mandavit, docens ea, quæ ignominiosa videntur, cum propter Christum fiunt, honorifica et splendida esse, patientemque nedum pudorem, hinc gloriam reportare : hac item in parte beatum Paulum imitatus, qui ultro citroque stigmata, vincula, catenam versabat, gloriabundus altumque sapiens in iis, quorum alios puderet. Quod autem alios puderet, palam nobis fecit ea defensione, qua apud Agrippam usus est. Illo namque dicente, *In modico suades me Christianum fieri*, Paulus dixit, *Opto apud Deum et in modico et in magno, non tantum te, sed etiam eos qui adsunt omnes fieri Christianos, exceptis vinculis his* (*Act.* 26. 28. 29) ; quod non adjecisset, nisi id ignominiosum multis visum fuisset. Sancti enim Dominum amantes, ærumnas pro illo magna cum alacritate suscipiebant, per quas etiam lætiores evadebant. Unde hic quidem ait, *Gaudeo in afflictionibus meis* (*Col.* 1. 24) ; Lucas vero de reliquo apostolorum cœtu eadem ipsa loquitur : nam post multa flagella recedebant, inquit, gaudentes, quoniam digni habiti essent pro nomine Christi contumeliam pati (*Act.* 5. 41). Ne quis ergo gentilium putaret, certamina per vim ac necessitatem committi, ipsa certaminum symbola cum corpore suo sepeliri jussit, ostendens ea sibi admodum grata et amabilia esse, quod totus penderet a caritate Christi. Et jacent etiam nunc cum cineribus compedes, ut moneant omnes Ecclesiarum præfectos, etsi vincula, cædem et quælibet alia pati oporteat, omnia alacriter ac cum voluptate multa sustinenda esse, ita ut concreditam nobis libertatem ne minimum quidem prodamus aut dedecoremus. Et quidem ille vir beatus ita splendide vitam clausit. Putat forte quispiam nos his orandi finem facturos esse, cum post vitæ finem nulla sit reliqua virtutis operumque occasio, quemadmodum nec athletis exacto certaminum tempore coronas nectere licet. Verum id gentiles quidem non abs re arbitrantur, quia spem suam illi intra hujus vitæ terminos incluserunt : nos vero, quibus obitus alterius illustriorisque vitæ initium est, ab hac opinione atque sententia longe absumus ; quod autem id jure ac merito, in alia oratione probabitur : interim vero ea, quæ post mortem a generoso illo Babyla præclare gesta sunt, magnam verbi fidem præstare possunt. Quia enim usque ad mortem pro veritate certavit, et usque ad sanguinem restitit contra peccatum depugnans, et ut ordinem, quem ipsi constituerat Rex ille magnus, non desereret, animam ipsam deposuit, omnique athleta splendidius occubuit : illum quidem deinceps cælum habuit, corpus autem, quod ad certamen ministraverat, terra occupat, ita ut creatura athletam diviserit. Atqui poterat ille et transferri ut Enoch, et rapi ut Helias, qui utriusque æmulator fuerat : at Deus ille clemens, qui infinitas nobis salutis occasiones contulit, hanc quoque nobis cum aliis aperuit viam, quæ nos possit ad virtutem evocare, sanctorum reliquias apud nos Interim

relinquens. Nam post sermonis virtutem secundum tenent ordinem sanctorum sepulcra, ad animos intuentium hominum ad imitationem concitandos. Ac sicubi quis ejusmodi capsæ adstet, statim ejus efficaciam sensu percipit. Etenim capsæ aspectus animum occupans, ipsum percellit et excitat, atque illum sic afficit, ac si ille qui jacet simul precaretur, adesset, videretur. Hinc alacritate plenus ille, qui sic affectus est, in alterumque virum mutatus, ita discedit. Probe autem animadvertet defunctorum phantasiam ex ipsis locis in viventium animis excitari, si quis cogitet, quomodo ii qui lugendi causa veniunt, statim atque ad sepulcra accesserunt, ac si vice urnæ eos qui in urna jacent stantes viderent, sic illos e limine statim compellent. Multi vero, intolerabili affecti dolore, prope sepulcra mortuorum domicilium sibi perenne constituerunt, id nequaquam facturi, nisi ex loci conspectu quidpiam consolationis percepissent. Ecquid de loco et sepulcro loquor? cum vestis sæpe sola mortuorum visa, aut verbum unum mente repetitum, animum excitarit, et labentem memoriam reduxerit. Ideo reliquias sanctorum nobis Deus dimisit.

12. *SS. Martyrum miracula.*—Me autem non hæc frustra jactitare, sed ad utilitatem nostram ita provisum esse, fidem facere possunt miracula, quæ a sanctis quotidie martyribus eduntur, necnon multitudo ita concurrentium virorum, nec minus, quam illa, beati hujus viri etiam post obitum præclara gesta. Postquam enim ita ut mandaverat sepultus est, longumque tempus post sepulturam effluxit, ita ut ossa tantum et pulvis in tumulo remaneant, visum est cuidam ex iis, qui postea imperaverunt, in hoc suburbium Daphnen capsam adduci: idque visum est, Deo Imperatoris animum ad eam rem movente. Cum enim videret locum adolescentium lascivia, ceu quadam tyrannide, obsessum, ita ut periculum esset, ne ab honestioribus, iisque qui probe vivere vellent, prorsus desereretur, misericordia motus super hujusmodi damno, misit qui contumeliam vindicaret. Deus enim locum illum amœnum et amabilem reddidit, et aquarum copia ac specie, et natura soli atque tempestatum temperie, non solum ut inde recrearemur, sed ut etiam ea de re optimum Opificem celebraremus. Salutis porro nostræ inimicus, qui Dei donis semper in contrarium abutitur, corruptorum juvenum turbæ dæmonumque domiciliis occupatum ab se locum addicens, turpi fabula famam ejus dehonestavit, qua fabula suburbii gratia dæmoni consecrabatur. Fabula autem hujusmodi est.

Daphnes historia. — Daphne puella erat, filia Ladonis fluvii: nam erronibus illis mos semper fuit fluvios gignentes inducere, prolem eorum in res sensu carentes mutare, et multa hujusmodi portentosa fingere. Hanc porro puellam admodum formosam Apollinem quondam vidisse narrant, ejusque amore captum fuisse; insequentem ut caperet, fugisse puellam, et in hoc suburbio substitisse. Tum matrem ejus opem tulisse filiæ, ne injuriam pateretur, atque aperto statim gremio virginem excepisse, ac pro puella plantam ejusdem nominis edidisse; lascivumque amatorem amoribus suis fraudatum, arborem complexum esse, ac tum plantam, tum locum ipsum sibi proprium effecisse: hinc considere in loco semper, eumque cæteris, quæ per orbem sunt, anteferre, ac præ omnibus diligere. Aiunt item regem qui tunc imperabat, templum et aram construxisse, quo posset dæmon insaniam suam per eum locum consolari. Hæc est fabula, damnum vero ex fabula exortum non jam fabula fuit. Postquam enim juvenes lascivi suburbii pulchritudinem contaminarunt, ut dictum est, ibidem in comessationibus et ebrietate victitantes, ut hoc malum in dies propagaretur, diabolus fabulam effinxit, dæmonemque ibi constituit, ut hæc historia majus illis lasciviæ et impietatis incendium pararet. Ad tanta igitur tollenda mala hunc sapientissimum modum excogitavit Imperator, ut sanctum illum transferret, et medicum ægris mitteret. Nam si jussione et auctoritate imperatoria civibus iter ad suburbium interdixisset, id tyrannicum, imo crudelitatis feritatisque plenum visum esset; sin probos modestosque solum adire permisisset, lascivis autem intemperantibusque aditum interclusisset, difficultatis plenum fuisset decretum, unde quotidie lites oboriri necesse erat, dum singulorum vita disquireretur. Itaque sancti viri præsentiam hisce malis optimum exitum allaturam esse putavit: martyrem quippe solvendæ dæmonis potentiæ juvenumque luxui emendando parem esse intelligebat: neque spe lapsus est. Statim enim atque Daphnen quis advenit, et a suburbii limine martyrium conspicit, sic reprimitur, ac si quis juvenis in convivio pædagogum adstantem intuens, atque oculo præcipientem, ut decore servato bibat, comedat, loquatur, rideat, caveatque ne modum excedens existimationem suam dehonestet: aspectuque tali religiosior factus, beatumque illum animo sibi repræsentans, ad capsam statim properat; quo cum pervenerit, majore afficitur metu; mox ignavia procul abacta, ceu volatilis factus[1], ita discedit. Atque eos, quos ex urbe ascendentes in via offendit, pari cum temperantia Daphnen recreatum remittit, tantum non vocem illam inclamans, *Exsultate Domino in tremore* (*Psal.* 2. 11), illudque apostolicum adjiciens, *Sive manducatis, sive bibitis, sive aliud quid facitis, omnia ad gloriam Dei facite* (1. *Cor.* 10. 31). Eos autem qui sumpto cibo in urbem descendunt, si contingat excusso freno seguius egisse, atque in crapulam absurdasque delicias delapsos esse, eos, inquam ebrios in diversorio suo exceptos non sinit ebrietatis damno affectos domum abire, sed incusso timore ad eamdem temperantiam adducit, quam servabant antequam in ebrietatem demergerentur. Etenim quasi tenuis quædam aura eos, qui in martyrio fuerunt, undique perflat; aura, inquam, non sensibilis, nec augendo corpori apta, sed quæ in ipsam animam penetret, eamque undique decenter componat, omnem terrenam molem præscindat, eamque aggravatam et labentem recreet ac leviorem reddat.

[1] Aliqui ad marg., *humilis factus*.

δευτέραν ἔχουσι τάξιν οἱ τῶν ἁγίων τάφοι, πρὸς τὸ διεγείρειν εἰς τὸν ἴσον ζῆλον [a] τὰς τῶν θεωμένων αὐτοὺς ψυχάς· καὶ εἴ πού τις ἐπιστῇ θήκῃ τοιαύτῃ, καὶ τῆς ἐνεργείας εὐθέως ταύτης σαφῆ λαμβάνει τὴν αἴσθησιν. Ἡ γὰρ ὄψις τῆς λάρνακος εἰς τὴν ψυχὴν ἐμπίπτουσα καταπλήττει τε αὐτὴν καὶ διανίστησι, καὶ ὡς αὐτοῦ τοῦ κειμένου συνευχομένου, καὶ παρεστῶτος, καὶ ὁρωμένου, οὕτως αὐτὴν διακεῖσθαι ποιεῖ. Εἶτα προθυμίας πολλῆς ὁ τοῦτο παθὼν πληρωθείς, καὶ ἕτερος ἀνθ' ἑτέρου γενόμενος, οὕτως ἐκεῖθεν ἀπέρχεται. Μάθοι δ' ἄν τις καλῶς, ὡς ἡ φαντασία τῶν ἀπελθόντων ἀπὸ τῶν τόπων ἐγγίνεται ταῖς τῶν ζώντων ψυχαῖς, εἰς νοῦν τοὺς πενθοῦντας λαβών, οἳ ἅμα τε τοῖς τῶν τεθνηκότων τάφοις ἐφίστανται, καὶ ὥσπερ ἀντὶ τῆς θήκης τοὺς ἐν τῇ θήκῃ κειμένους ἑστῶτας ἰδόντες, οὕτως αὐτοὺς ἀπὸ τῶν προθύρων εὐθέως ἀνακαλοῦσι. Πολλοὶ δὲ τῶν ἀφορήτως πρὸς τὰ πάθη διατεθέντων, παρὰ τοῖς μνήμασι τῶν ἀπελθόντων τὸν ἅπαντα κατῴκισαν ἑαυτοὺς χρόνον, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μή τινα παραμυθίαν ὑπὸ τῆς τῶν τόπων ἐλάμβανον ὄψεως. Καὶ τί λέγω τόπον καὶ τάφον; καὶ γὰρ ἱμάτιον μόνον πολλάκις τῶν ἀπελθόντων ὀφθὲν, καὶ ῥῆμα εἰς διάνοιαν ἐλθὸν, διήγειρε τὴν ψυχὴν καὶ τὴν μνήμην ἀνέστησε διαπίπτουσαν. Διὰ ταῦτα ἡμῖν τὰ λείψανα τῶν ἁγίων ἀφῆκεν ὁ Θεός.

ιβ'. Καὶ ὅτι οὐχ ἁπλῶς κομπάζων ταῦτα λέγω νῦν, ἀλλὰ πρὸς ὠφέλειαν τὴν ἡμετέραν τοῦτο γεγένηται, ἱκανὰ μὲν τὸν λόγον πιστώσασθαι καὶ τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν μαρτύρων γινόμενα θαύματα, καὶ τὸ πλῆθος τῶν οὕτως ἐπιτρεχόντων ἀνδρῶν· οὐχ ἧττον δὲ ἐκείνων, καὶ τὰ τοῦ μακαρίου τούτου κατορθώματα τὰ μετὰ τὴν τελευτήν. Ἐπειδὴ γὰρ ἐτάφη καθὼς ἐπέσκηψε, καὶ χρόνος παρῆλθε μακρὸς μετὰ τὴν ταφὴν, ὡς ὀστᾶ λειπεπεσθαι μόνον καὶ κόνιν ἐν τῇ σορῷ, ἔδοξέ τινι τῶν μετὰ ταῦτα βασιλευσάντων, εἰς τὸ προάστειον τοῦτο τὴν Δάφνην ἀπενεχθῆναι τὴν λάρνακα, ἔδοξε δὲ τοῦ Θεοῦ πρὸς τοῦτο κινήσαντος τὴν τοῦ βασιλέως ψυχήν. Ὡς γὰρ εἶδε τὸ χωρίον ὑπὸ τῆς τῶν νέων ἀσελγείας τυραννούμενον, καὶ κινδυνεῦον ἄβατον εἶναι τοῖς σεμνοτέροις, καὶ ἐπιεικῶς [556] βουλομένοις βιοῦν, ἐλεήσας αὐτὸ τῆς ἐπηρείας, ἔπεμψε τὸν ἀμυνοῦντα τὴν ὕβριν. Ὁ μὲν γὰρ Θεὸς αὐτὸ καλόν τε καὶ ἐπέραστον εἰργάσατο, καὶ τῇ τῶν ὑδάτων ἀφθονίᾳ, καὶ ὥρᾳ, καὶ τῇ φύσει τῆς γῆς, καὶ τῇ τῶν ὡρῶν εὐμοιρίᾳ, οὐχ ἵνα ἁπλῶς ἀναπαυώμεθα, ἀλλ' ἵνα καὶ ὑπὲρ τούτου τὸν ἀριστοτέχνην δοξάζωμεν· ὁ δὲ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, καὶ εἰς τοὐναντίον ἀεὶ καταχρώμενος ταῖς τοῦ Θεοῦ δωρεαῖς, τῷ πλήθει τῶν διεφθαρμένων νέων καὶ ταῖς τῶν δαιμόνων οἰκήσεσι τὸ χωρίον προκαταλαβών, ἐπεφήμισεν αὐτῷ τινα καὶ μῦθον αἰσχρὸν, ὥστε ἀναθεῖναι διὰ τούτου τῷ δαίμονι τοῦ προαστείου τὴν χάριν· ὁ δὲ μῦθος τοιοῦτος ἦν·

Τὴν Δάφνην κόρην οὖσάν φησι, καὶ θυγατέρα τοῦ Ἀδώνος ποταμοῦ· καὶ γὰρ ποταμοὺς γεννῶντας εἰσάγειν, καὶ τὰ γεννώμενα εἰς ἀναίσθητα μεταβάλλειν, καὶ πολλὰ τοιαῦτα αὐτῷ τερατεύεσθαι ἔθος ἀεὶ τοῖς πλανωμένοις. Ταύτην οὖν τὴν κόρην εὔμορφον οὖσαν ἰδεῖν ποτε τὸν Ἀπόλλω φασὶ, καὶ ἰδόντα παθεῖν τι πρὸς αὐτὴν, καὶ παθόντα διώκειν ὥστε ἑλεῖν· τὴν δὲ φεύγειν, καὶ φεύγουσαν ἐπιστῆναί τε τῷ προαστείῳ· καὶ τὴν μητέρα τὴν ὕβριν ἀμῦναι ταύτην αὐτῇ, διαστῆναί τε γὰρ εὐθέως καὶ δέξασθαι τὴν παρθένον, καὶ ἀντὶ τῆς παιδὸς ἀναδοῦναι φυτὸν ἐπώνυμον [b] τῇ παιδί· τὸν δὲ ἀκόλαστον ἐραστὴν ἀποτυχόντα τῶν παιδικῶν, περιπλακῆναί τε τῷ δένδρῳ, καὶ οἰκειώσασθαι καὶ τὸ φυτὸν, καὶ τὸν τόπον, καὶ προσεδρεύειν τῷ χωρίῳ λοιπὸν, καὶ τοῦτο πάσης τῆς γῆς μάλιστα ἀσπάζεσθαι καὶ φιλεῖν· κελεῦσαί τε τὸν βασιλεύοντα τότε, νεὼν αὐτῷ δείμασθαι καὶ βωμὸν, ἵν' ἔχῃ παραμυθεῖσθαι διὰ τοῦ τόπου τὴν μανίαν ὁ δαίμων. Καὶ ὁ μὲν μῦθος οὗτος, ἡ δὲ ἀπὸ τοῦ μύθου γενομένη βλάβη οὐκέτι μῦθος ἦν. Ἐπειδὴ γὰρ οἱ τῶν νέων ἀκόλαστοι φθάσαντες, ὅπερ ἔφην, ἐξύβρισαν εἰς τὸ τοῦ προαστειου κάλλος, ἐπὶ κώμοις καὶ μέθαις τὰς ἐκεῖ ποιούμενοι διατριβὰς, βουλόμενος τοῦτο ἐπιδοθῆναι τὸ κακὸν ὁ διάβολος, τόν τε μῦθον ἔπλασε, καὶ τὸν δαίμονα κατῴκισεν, ὡς καὶ ἀσελγείας καὶ ἀσεβείας ὑπέκκαυμα γενέσθαι μεῖζον τὴν ἱστορίαν ταύτην αὐτοῖς. Πρὸς δὲ τὴν λύσιν τῶν τοσούτων κακῶν εὗρε ταύτην τὴν σοφωτάτην μηχανὴν ὁ βασιλεὺς, τὸ μετοικίσαι τε τὸν ἅγιον, καὶ πέμψαι τὸν ἰατρὸν πρὸς τοὺς κάμνοντας. Διατάξει μὲν οὖν καὶ αὐθεντίᾳ βασιλικῇ τὴν εἰς τὸ προάστειον ἐγκόπτειν ὁδὸν τοῖς τὴν πόλιν [c] οἰκοῦσιν, ἐδόκει τυραννίδος ἔργον εἶναι μᾶλλον καὶ ὠμότητος καὶ ἀγροικίας πολλῆς· εἰ δὲ προέθηκεν ὅτι, Οἱ μὲν ἐπιεικέστεροι καὶ μετριώτεροι ἀναβαινέτωσαν, οἱ δὲ ἀσελγεῖς καὶ ἀκόλαστοι κωλυέσθωσαν, ἄπορον ἦν τὸ ἐπίταγμα, καὶ δίκας ἐχρῆν καθ' ἑκάστην γίνεσθαι τὴν ἡμέραν, τῆς ἑκάστου χρινομένης ζωῆς· μόνην δὲ τῶν τοσούτων δεινῶν διέξοδον ἀρίστην, τὴν τοῦ μακαρίου γενέσθαι παρουσίαν· τήν τε γὰρ τοῦ δαίμονος διαλῦσαι δύναμιν, καὶ τὴν τῶν νέων ἐπιστρέψαι διάχυσιν, ἱκανὸν εἶναι τὸν μάρτυρα· καὶ οὐκ ἐσφάλη τῆς ἐλπίδος. Ἅμα τε γὰρ ἐφίσταταί τις τῇ Δάφνῃ, [557] καὶ τὸ μαρτύριον εὐθέως ἀπὸ τῶν τοῦ προαστείου προθύρων ἰδὼν, συστέλλεται, καθάπερ τις νέος ἐν συμποσίῳ παιδαγωγὸν θεασάμενος ἐφεστῶτα καὶ παρακελευόμενον διὰ τῆς ὄψεως ἐν τάξει τῇ προσηκούσῃ πίνειν τε καὶ ἐσθίειν, καὶ φθέγγεσθαι, καὶ γελᾷν, φυλαττόμενον μή που τὸ μέτρον ὑπερβὰς τὴν δόξαν αἰσχύνῃ τὴν ἑαυτοῦ· γενόμενος δὲ ὑπὸ τῆς ὄψεως εὐλαβέστερος, καὶ τὸν μακάριον φαντασθεὶς, πρὸς τὴν λάρνακα εὐθέως ἐπείγεται, καὶ ἐλθὼν ἐκεῖ, μείζονά τε προσλαμβάνει φόβον, καὶ πᾶσαν ὀλιγωρίαν ἐκβαλὼν, καὶ γενόμενος [d] πτηνὸς, οὕτως ἄπεισι. Καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας δεχόμενος ἀπὸ τῆς ὁδοῦ, μετὰ τοιαύτης σωφροσύνης παραπέμπει πρὸς τὴν τῆς Δάφνης ἀνάπαυσιν, μόνον οὐκ ἐκείνην αὐτοῖς ἐπιβοῶν τὴν φωνήν· *Ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ·* καὶ τὸ ἀποστολικὸν προστιθείς· *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε·* τοὺς δὲ εἰς τὴν πόλιν κατιόντας μετὰ τὴν τροφὴν [e], εἰ συμβαίη ῥᾳθυμότερον διατεθέντας ἀποῤῥῖψαι τὸν χαλινὸν, καὶ εἰς κραιπάλην καὶ εἰς ἄτοπον ἐξενεχθῆναι τρυφὴν, δεξάμενος πάλιν μεθύοντας εἰς τὸ αὐτοῦ καταγώγιον, οὐκ ἀφίησι τὴν ἀπὸ τῆς μέθης βλάβην ἔχοντας οἴκαδε ἀπελθεῖν, ἀλλὰ σωφρονίσας τῷ φόβῳ, πρὸς τὴν αὐτὴν ἐπανάγει νῆψιν, ἣν καὶ πρὸ τοῦ τῇ μέθῃ βαπτισθῆναι ἐφύλαττον. Καὶ γὰρ ὥσπερ τις αὔρα λεπτὴ τοὺς ἐν τῷ μαρτυρίῳ γενομένους περιπνεῖ πάντοθεν, αὔρα οὐκ αἰσθητή τις, οὐδὲ σωμάτων αὐξητική, ἀλλ' εἰς αὐτὴν ἱκανὴ διαδῦναι τὴν ψυχὴν, καὶ καταστέλλουσα πάντοθεν αὐτὴν εὐσχημόνως, καὶ πᾶν γήϊνον περικόπτουσα βάρος· ἀναπαύει τε καὶ κουφοτέραν ἐργάζεται τὴν βεβαρημένην καὶ καταπίπτουσαν.

[a] Savil. τὸν τῶν ἴσων ζῆλον.
[b] Sic Savil et mss. Morel. vero ὁμώνυμον.
[c] Savil. et mss. τὴν πόλιν. Morel. perperam τὴν οἰκουμένην.
[d] Πτηνός, aliqui ad marg. habent ταπεινός, glossematis more.
[e] Alii τροφήν, alii τρυφήν.

ιγ'. Καὶ τὸ μὲν τῆς Δάφνης κάλλος καὶ τοὺς ῥᾳθυμοτέρους ἐκκαλεῖται πρὸς ἑαυτήν· ὁ δὲ μάρτυς καθάπερ ἐν ἀλείᾳ τινὶ [a] καθήμενος καὶ λοχῶν τοὺς εἰσιόντας, κατέχει τέως αὐτούς, καὶ ῥυθμίσας πρότερον, οὕτως ἀφίησιν, οὐδὲ ὑβριστικῶς, ἀλλὰ σεμνῶς τῇ ἐρωμένῃ χρησομένους λοιπόν. Ἐπειδὴ γὰρ τῶν ἀνθρώπων οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ διὰ φροντίδας βιωτικὰς, οὐκ ἐθέλουσιν εἰς τὰς τῶν μαρτύρων θήκας ἅπαντᾶν, ᾠκονόμησεν ὁ Θεὸς τούτῳ σαγηνεύεσθαι τῷ τρόπῳ, καὶ τῆς θεραπείας αὐτοὺς ἀπολαύειν τῆς ἐν τῇ ψυχῇ· καὶ γίνεται παρόμοιον ὥσπερ ἂν εἴ τις τὸν κάμνοντα ὠφέλιμα φάρμακα προσίεσθαι μὴ καταδεχόμενον μεθοδεύσειεν ἡδύσματι τὸ φάρμακον ἐγκατακρύψας τινί. Τῷ γοῦν χρόνῳ θεραπευόμενοι εἰς τοῦτο κατέστησαν, ὡς μηκέτι τὴν τρυφὴν μόνον, ἀλλὰ καὶ τοῦ ἁγίου τὴν ἐπιθυμίαν τῆς ἐπὶ τὸ προάστειον ἀνόδου πρόφασιν γίνεσθαι τοῖς πολλοῖς· μᾶλλον δὲ οἱ μὲν ἐπιεικέστεροι διὰ τοῦτο μόνον ἔκεῖσε ἔρχονται, οἱ δὲ ἐκείνων ἐλάττους δι' ἀμφότερα, οἱ δὲ ἔτι τούτων ἀτελέστερον διακείμενοι διὰ μόνην μὲν ἀναβαίνουσι τὴν τρυφήν· ἐπειδὰν δὲ παραγένωνται, καλέσας αὐτοὺς ὁ μάρτυς καὶ ἑστιάσας τοῖς αὐτοῦ, καὶ καθοπλίσας καλῶς, οὐδὲν ἀφίησι δεινὸν παθεῖν· καὶ ἔστιν ὁμοίως θαυμαστὸν τὸ ἐκεῖ γινόμενον, σωφρονῆσαί τινα τῶν ἀβρῶν καὶ ῥᾳθύμων, καὶ οἷον ἐκ μέσης μανίας ἀνενεγκεῖν, ἢ εἰς κάμινον ἐμπεσόντα μηδὲν [558] ὑπὸ τοῦ πυρὸς παθεῖν. Τ῎ς τε γὰρ νεότητος, καὶ τῆς τόλμης τῆς ἀλόγου, καὶ τοῦ οἴνου, καὶ τῆς πλησμονῆς φλογὸς χαλεπώτερον περιισταμένων τοὺς λογισμοὺς, ἡ παρὰ τοῦ μακαρίου δρόσος διὰ τῶν ὄψεων, εἰς τὴν τῶν ὁρώντων καταβαίνουσα ψυχὴν, τήν τε φλόγα ἐκοίμισε, καὶ τὸν ἐμπρησμὸν ἔστησε, καὶ πολλὴν τῆς διανοίας κατέσταξε τὴν εὐλάβειαν. Καὶ τῆς μὲν ἀσελγείας τὴν τυραννίδα οὕτως ὁ μακάριος κατέλυσε· πῶς δὲ καὶ τοῦ δαίμονος τὴν δύναμιν ἔσβεσε; Πρῶτον μὲν τούτοις αὐτοῖς ἄπρακτον αὐτοῦ καὶ τὴν προσεδρείαν καὶ τὴν ἀπὸ τοῦ μύθου βλάβην ἐργασάμενος, ὕστερον δὲ καὶ αὐτὸν ἀπελάσας τὸν δαίμονα. Πρὶν ἢ δὲ τὸν τρόπον τῆς διώξεως εἰπεῖν, ἐκεῖνο ὑμᾶς ἐπισημήνασθαι ἀξιῶ, ὅτι οὐκ εὐθέως αὐτὸν ἀνελθὼν ἐξέβαλεν, ἀλλὰ μένοντα εἰργάσατο ἄπρακτον, καὶ ἐπεστόμισε, καὶ τῶν λίθων ἀπέφηνεν ἀφωνότερον· τοῦ δὲ ἀπελάσαι τὸ μένοντος περιγενέσθαι οὐκ ἔλαττον ἦν. Καὶ ὁ πάντας πανταχοῦ πρότερον ἀπατῶν οὐδὲ πρὸς τὴν κόνιν ἀντιβλέψαι ἐτόλμησε τοῦ μακαρίου Βαβύλα· τοσαύτη τῶν ἁγίων ἡ δύναμις, ὧν ζώντων μὲν οὐδὲ τὰς σκιὰς φέρουσιν, οὐδὲ τὰ ἱμάτια, τελευτησάντων δὲ καὶ τὰς λάρνακας τρέμουσιν. Ὥστε εἴ τις ἀπιστεῖ τοῖς ὑπὸ τῶν ἀποστόλων γεγενημένοις, τὰ παρόντα θεωρῶν παυέσθω τῆς ἀναισχυντίας ποτέ. Ὁ γὰρ πάντα τὰ τῶν Ἑλλήνων πάλαι νικῶν [b], καθάπερ ὑπὸ δεσπότου τοῦ μάρτυρος ἐπιτιμηθεὶς, ἐπαύσατο τῆς ὑλακῆς, καὶ οὐδὲν ἐφθέγγετο. Καὶ τὸ μὲν πρῶτον ἐδόκει, διὰ τὸ μὴ μετέχειν θυσιῶν καὶ τῆς ἄλλης θεραπείας, τοῦτο ποιεῖν. Τοιοῦτος γὰρ ὁ τῶν δαιμόνων τρόπος· ὅταν μὲν τῇ κνίσσῃ, καὶ τῷ καπνῷ, καὶ τοῖς αἵμασιν αὐτοὺς θεραπεύωσι, καθάπερ κύνες αἱμοβόροι καὶ λίχνοι παραγίνονται λάψοντες· ὅταν δὲ μηδεὶς ὁ ταῦτα παρέχων ᾖ, καθάπερ τινὶ λιμῷ διαφθείρονται. Καὶ τῶν μὲν θυσιῶν καὶ τῶν αἰσχρῶν ἐπιτελουμένων τελετῶν· οὐδὲν γὰρ αὐτῶν ἕτερον τὰ μυστήρια, ἀλλ' ἢ ἔρωτες ἄτοποι, καὶ παίδων ὕβρεις, καὶ γάμων διαφθοραὶ, καὶ οἰκιῶν ἀνατροπαί· τῶν γὰρ φόνων τοὺς σκαιοὺς τρόπους [c] καὶ τὰ τῶν φόνων ἀνομώτερα δεῖπνα ἀφίημι νῦν· ἀλλ' ὅμως τούτων μὲν τελουμένων πάρεισι καὶ εὐφραίνονται, κἂν κακοῦργοι, κἂν γόητες, κἂν λοιμοὶ οἱ ταῦτα τελοῦντες ὦσι· μᾶλλον δὲ οὐδέ εἰσιν ἕτεροί τινες οἱ ταῦτα διακονούμενοι. Σώφρων γὰρ ἀνὴρ καὶ ἐπιεικὴς καὶ σεμνὸς οὐκ ἂν ἀνάσχοιτο κώμου καὶ μέθης, οὐδὲ ῥῆμα αἰσχρὸν οὔτε αὐτὸς ἐκβαλεῖν, οὔτε ἑτέρου τινὸς τοιαῦτα ἀσχημονοῦντος ἀκοῦσαι. Καίτοι γε ἐχρῆν εἰ τῆς ἀρετῆς ἐπεμελεῖτο τῆς ἀνθρωπίνης, καὶ τῆς εὐζωΐας τῶν προσκειμένων αὐτῷ λόγον εἶχε βραχὺν, μηδὲν πλέον βίου ζητεῖν ἀρίστου καὶ τρόπων ὀρθότητος, καὶ τὴν ἀσχήμονα πᾶσαν ἐκείνην ἀφεῖναι θοίνην. Ἀλλ' ἐπειδὴ τῆς τῶν ἀνθρώπων ἀπωλείας αὐτοῖς οὐδὲν προτιμότερον, τούτοις καὶ τέρπονται καὶ τιμᾶσθαι λέγουσιν, ἃ τὸν βίον ἀνατρέπειν εἴωθε τὸν ἡμέτερον, καὶ πάντα ἐκ βάθρων ἀνασπᾷν τὰ καλά.

[559] ιδ'. Τὸ μὲν οὖν πρῶτον ἐδόκει καὶ οὗτος διὰ τοῦτο σιγᾷν, ἠλέγχετο δὲ ὕστερον ἰσχυρᾷ πεπεδημένος ἀνάγκῃ. Ὁ γὰρ ἀναγκάζων φόβος αὐτὸν ἀντὶ χαλινοῦ τινος ἐπικείμενος ἐκώλυε τῇ συνήθει χρῆσθαι κατὰ τῶν ἀνθρώπων ἀπάτῃ. Πόθεν τοῦτο δῆλον; Ἀλλὰ μὴ θορυβηθῆτε· πρὸς γὰρ αὐτὴν βαδιοῦμαι τὴν ἀπόδειξιν, μεθ' ἣν οὐδὲ τοῖς μεμελετηκόσιν ἀναισχυντεῖν ἐξέσται τοῦτο ποιεῖν, οὐ περὶ τῶν παλαιῶν ἐκείνων, οὐ περὶ τῆς τοῦ μάρτυρος δυνάμεως, οὐ περὶ τῆς τοῦ δαίμονος ἀσθενείας. Οὐδὲ γὰρ δέομαι στοχασμοῖς τισι καὶ δι' εἰκότων τοῦτο ποιῆσαι φανερὸν, ἀλλ' αὐτὴν τοῦ δαίμονος τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν. Αὐτὸς γὰρ ὑμῖν καιρίαν ἔδωκε τὴν πληγὴν, καὶ τὴν παῤῥησίαν ὑμῶν πᾶσαν ἐξέκοψεν. Ἀλλὰ μὴ ὀργίζεσθε αὐτῷ· οὐ γὰρ ἑκὼν τὰ αὐτοῦ κατέβαλεν, ἀλλὰ ἀναγκαζόμενος ὑπὸ μείζονος δυνάμεως τοῦτο ἔπραττε. Πῶς δὲ τοῦτο γέγονε, καὶ τίς ὁ τρόπος; Τοῦ βασιλέως τελευτήσαντος τοῦ τὸν μάρτυρα μεταθέντος [d], τὸν ἀδελφὸν τὸν ἐκείνου παρήγαγεν εἰς μέσον διαδεξόμενον τὴν ἀρχὴν ὁ καὶ ἐκείνῳ πρότερον δοὺς τὴν τιμήν· καὶ δέχεται χωρὶς τοῦ διαδήματος τὴν βασιλείαν οὗτος· τοσοῦτον γὰρ καὶ τῆς τοῦ ἀδελφοῦ τοῦ τετελευτηκότος ἐξουσίας τὸ μέτρον ἦν. Γόης δὲ ὢν καὶ μιαρὸς, τὸ μὲν πρῶτον τὰ τοῦ Χριστοῦ φρονεῖν ὑπεκρίνατο [e], διὰ τὸν τὴν ἀρχὴν αὐτῷ δεδωκότα· ὡς δὲ καὶ οὗτος τὸν βίον μετήλλαξε, ῥίψας τὸ προσωπεῖον λοιπὸν, γυμνῇ τῇ κεφαλῇ, ἣν πάλαι ἔχων δεισιδαιμονίαν ἔκρυπτε, ταύτην εἰς μέσον ἐξήγαγε, καὶ πᾶσιν ἐποίησε φανερὰν, καὶ προστάγματα πανταχοῦ τῆς οἰκουμένης κατεπέμπετο τοὺς ναοὺς ἐπισκευάζεσθαι τῶν εἰδώλων, τοὺς βωμοὺς ἀνίστασθαι, τὰς παλαιὰς τοῖς δαίμοσιν ἀποδίδοσθαι τιμὰς, προσόδους αὐτοῖς γίνεσθαι πολλὰς πολλαχόθεν. Ἐντεῦθεν μάγοι, καὶ γόητες, καὶ μάντεις, καὶ οἰωνοσκόποι, καὶ μηναγύρται, καὶ πάσης ἐργαστήρια μαγγανείας πάντοθεν ἀπὸ τῆς οἰκουμένης συνέτρεχον, καὶ ἦν ἰδεῖν τὰ βασίλεια ἀνδρῶν ἀτίμων καὶ φυγάδων πληρούμενα. Οἱ μὲν γὰρ ὑπὸ τοῦ λιμοῦ πάλαι διαφθειρόμενοι, οἱ δὲ ἐπὶ ταῖς φαρμακείαις, καὶ ταῖς κακουργίαις ἐάλωσαν [f], δεσμωτήριά τε οἰκοῦντες, καὶ μέταλλα ἐργαζόμενοι, ἄλλοι δὲ ἐξ ἐπιτηδευμάτων αἰσχρῶν μόλις δυνάμενοι

[a] Savil. et Morel. ἐν ἁλείᾳ τινί, unus codex ἐν αὐλίᾳ τινί, alius ἐν αὐλίῳ τινί. Mox quidam mss. et Savil. κατέχει τε, et paulo post οὐχ ὑβριστικῶς.

[b] Savil in textu. κυκῶν· in marg. πάλαι νικῶν.

[c] Morel. et Savil. in marg. atque unus codex τους σκαιοὺς τρόπους, Savil. in textu et alius τοὺς καινοὺς τρόπους, alius τοὺς κενούς. Infra duo mss. δι' εἰκόνων τοῦτο.

[d] Unus cod. μάρτυρα ἀναγαγόντος.

[e] Alii ὑπεκρίνετο. Infra duo mss. ἣν παλαιὰν ἔχων.

[f] Savil. et unus ταῖς κακουργίαις ἁλόντες. Infra alii ἁλαρανέντες ἀῆρόως, ἐν. Mox alii ἀνεπέμπετο.

13. Et quidem Daphnes pulchritudo vel segniores ad se illicit : martyr vero ceu in piscatu quodam sedens, ac ingredientibus insidias parans, eos interim detinet, illos prius decenter affectos, sic remittit, ut amata non contumeliose, sed temperanter in posterum utantur. Quia enim ex hominibus alii segnitie, alii sæcularibus curis abducti, nolunt martyrum thecas adire, ideo providit Deus ut hoc irretirentur modo, et animæ curatione medelaque fruerentur. Et perinde accidit ac si quis ægrum congruentia remedia admittere nolentem , pharmacum dulci condimento obductum offerens, deciperet. Sic igitur paulatim ad sanitatem reducti, eo perveniunt, ut non jam deliciæ solum, sed etiam sancti desiderium suburbium adeundi occasio sit multis; imo vero qui modestiores sunt, hac una de causa illo accedunt; qui in minori gradu, utriusque rei causa ; qui vero his etiam imperfectiores sunt, ob delicias tantum eo ascendunt : cum autem eo advenerint, accitos martyr cum suis epulis exceperit, optima munitos armatura, non sinit quidpiam mali pati : perindeque mirum est, mollem et socordem aliquem temperantem reddere, et quasi ex media insania reducere, ut illic efficitur, ac si quis in fornacem illapsus nihil ex igne damni pateretur. Nam dum juventus, petulans audacia, vinum, satietas qualibet flamma vehementius cogitationem invadunt, ros a beato viro immissus, per oculos in ipsam descendens animam, flammam sopit, incendium exstinguit, magnamque pietatem in animum instillat. Sic igitur sanctus ille lasciviæ tyrannidem solvit. Quo autem pacto dæmonis potestatem exstinxit? Primo quidem tum sedem eorum illam, tum fabulæ noxam inutilem reddidit, deindeque dæmonem prorsus exegit. Verum antequam ejectionis modum dicam, illud vos animadvertere rogo, eum scilicet non statim atque advenit dæmonem expulisse, sed manentem illum agendis rebus ineptum reddidisse, osque illi obturasse, ita ut plusquam lapides mutum ipsum redderet : nec minus erat manentem superare, quam expellere. Ac qui prius omnes ubique homines decipiebat, ne cinerem quidem beati Babylæ respicere audebat : tanta est sanctorum potestas, quorum viventium ne umbras quidem neque vestimenta ferunt, mortuorum vero capsas tremunt. Itaque si quis apostolorum gestis fidem non habet, his saltem conspectis impudentiam tandem ponat. Nam qui omnia, quæ gentilium erant, olim vicerat, a martyre tanquam ab hero increpatus latrandi finem fecit, nec ultra loquutus est. A primo quidem videbatur, quod sacrificiorum cæterique cultus particeps non esset, id facere. Hic enim dæmonum mos est : cum homines nidore, fumo sanguineque ipsos colunt, tanquam canes sanguinarii et voraces lambendi causa adsunt; cum autem rursus nemo quidquam præbet hujusmodi , quasi fame pereunt. Dum sacrificia offeruntur, dum turpia celebrantur mysteria; nihil enim aliud sunt gentilium mysteria , quam obscœni amores, puerorum contumeliæ, adulteria, domorum subversiones: mitto nunc cædium sinistros mores [1], ac ipsis cædibus iniquiores cœnas : dum hæc, inquam, celebrantur, adsunt et lætantur : etiamsi malefici, etiamsi præstigiatores, etiamsi pestes sint, qui talia peragunt mysteria; imo vero non alii sunt qui hæc administrant. Sapiens enim vir, probus atque modestus nec comessationem nec ebrietatem admittit, nec obscœnum verbum emittit, neque alium talia proferentem audire vult. Atqui oportebat, si de hominum virtute sollicitus esset, et si sequacium suorum felicitatem vel tantillum curaret, nihil potius requirere, quam vitam optimam morumque probitatem, atque illas omnes turpissimas dapes relinquere. Sed quia hominum pernicie nihil ipsis optatius est, iis lætantur seseque honorari dicunt, qui e vitam nostram subvertere, omniaque bona funditus evellere solent.

14. *Dæmon sive oraculum Apollinis tacet ob præsentiam Reliquiarum S. Babylæ. Julianus Apostata cultum deorum instaurat.* — Primo quidem videbatur hic quoque dæmon ideo tacere; sed ut postea palam factum est , violenta necessitate præpeditus erat : metus enim imminens instar freni, ne solita contra homines fraude uteretur , impediebat. Unde hoc liquet? Sed ne turbemini; nam ad id demonstrandum propero, postea vero ne iis quidem, qui impudenter agere meditantur , id licebit; non circa vetera illa id præstare poterunt, non circa martyris potestatem , non circa dæmonum infirmitatem. Non conjecturis, non verisimilitudine ad id demonstrandum opus habeo , sed ipsum dæmonis super his testimonium exhibebo. Ipse enim lethalem vobis plagam inflixit, vestramque omnem fiduciam præcidit. At vos ne illi succenseatis : non enim sponte res suas prostravit, sed majori coactus virtute id effecit. Id vero quo modo et qua ratione factum est? Mortuo eo Imperatore, qui martyrem transtulerat, fratrem ejus imperium suscepturum in medium produxit is, qui illi hunc honorem contulerat: atqui hic sine diademate imperium accipit : par enim erat etiam defuncto fratri dignitatis mensura. Cum autem hic præstigiator ac scelestus esset, primo quidem ejus gratia qui sibi principatum dederat , Christianum se esse simulavit; illo autem vita functo, abjecta larva , perfricta fronte , quam antea intus celaverat superstitionem in medium producam nemini non manifestam fecit : tum mandata ubique terrarum mittebantur, ut idolorum templa instaurarentur, aræ excitarentur, pristini dæmonibus honores redderentur, multi ad illos concursus variis ex locis fierent [2]. Hinc magi, præstigiatores, vates, haruspices, menagyrtæ(*a*), omnesque præstigiarum officinæ undique ex toto orbe concurrebant ; videreque erat regiam ipsam infamibus fugitivisque viris refertam. Nam qui fame olim peribant , qui in maleficiis veneficiisque deprehensi , qui carceri mancipati , qui ad metalla damnati fuerant ; alii quoque qui sordidis artibus victum parare vix pote-

[1] Savil. in textu et alius, *cædium mores insolitos.*
[2] Forte melius, *multi illis proventus tribuerentur.*
(*a*) Menagyrtæ erant qui singulis mensibus Matri magnæ stipem cogebant. De quibus plura in Collectione Antiquitatum.

rant, sacerdotes et sacri vates statim effecti magno in honore erant. Et Imperator quidem duces ac præfectos missos faciebat, nihilque ducebat, amasios autem viros, meretricesque e fornicibus ubi prostabant eductas, secum per urbem totam et viculos circumducebat; imperatorius autem equus, et prætoriani omnes a tergo procul sequebantur; lenones et lenæ totusque amasiorum cœtus Imperatorem in medio positum circumdantes per forum ambulabant, talia verba jactantes, tales cachinnos effundentes, quales par erat hujusmodi officinæ homines. Scimus porro hæc posteros incredibilia putaturos esse, ob absurditatis magnitudinem : neque enim vel privatus homo ex iis qui vilem turpemque vitam duxerunt, tam indecore palam agere velit. Sed ad eos, qui etiamnum superstites sunt, nulla opus oratione : nam qui præsentes talia viderunt, hæc jam audituri sunt. Ideo enim vivis etiamnum testibus hæc scribo, ne quis me vetera quædam ignorantibus narrantem magna licentia mentiri existimet. Ex iis enim qui ea viderunt et senes et juvenes adhuc supersunt, quos rogo omnes, ut si quid a me additum fuerit, accedant meque redarguant : sed quod aliquid addiderim, me arguere non possunt; quod omiserim, possunt : neque enim turpitudinis excessus potest oratione repræsentari. Posteris vero non credituris hoc dixerim, dæmonem illum apud vos, quem Venerem vocatis, non pudere talibus uti ministris. Nihil itaque mirum est si miser ille, qui dæmonum ludibrio sese prorsus addixerat, non pudore afficeretur de quibus ipsi dii, quos ipse coleret, gloriabantur. Jam quis recenseat necromantias puerorumque cædes? Hæc quippe sacrificia, quæ ante Christi adventum homines offerre ausi sunt, postque ejus adventum cessaverunt, rursum instaurare aggressus est, non quidem palam : etiamsi enim Imperator esset et arbitratu suo omnia faceret, attamen facinoris impietas immanitasque ejus potestatis magnitudinem superabat. Illud tamen facere ausi sunt.

15. *Responsum dæmonis ridiculum.* — Hic igitur Imperator Daphnen frequenter cum multis donariis ascendens, plurimis oblatis sacrificiis, torrentesque sanguinis ex pecudum mactatione faciens, vehementer instabat oraculum a dæmone quærens, rogansque referri circa ea, quæ in mente versabat. At strenuus ille,

> Qui arenæ numerum novit mensuramque maris,
> Et surdum intelligit, et mutum audit,

ut ipse ait, noluit quidem aperte palamque dicere, se ob beatum Babylam, vicinamque illam virtutem, obstructo esse ore, ac loqui non posse, veritus ne cultoribus suis risum moveret, neu victus palam deprehenderetur, causam silentii aperuit : imo sese magis ridiculum, quam ipsum silentium, declaravit : nam silentio quidem infirmitatem tantum suam demonstrabat, tum vero infirmitatem simul, turpitudinem et impudentiam præ se ferebat, dum ea occultare, quæ occultari non poterant, conaretur. Quænam igitur hæc silentii causa? Daphne, inquit, locus est cadaveribus plenus, idque oraculum impedit. At quanto melius fuisset, miser, martyris virtutem confiteri, quam hæc impudenter prætexere? Hæc dæmon respondit, stultus autem Imperator, quasi in scena ludens fabulamque agens, ad beatum statim Babylam accessit. Atqui, o scelerati ac sceleratissimi, nisi vos mutho sponteque deciperetis et ad aliorum perniciem simulatione uteremini, quare tu indiscriminatim cadavera memoras, tu vero, quasi nominatim et distincte audisses, relictis aliis sanctum solum removes? Oportebat enim secundum dæmonis sententiam omnes in Daphne tumulos effodere, et terriculum illud a deorum aspectu quam longissime removere. At non de omnibus, inquies, cadaveribus loquutus est. Cur ergo id non professus est clare? Sane tibi hanc erroris fabulam agenti hoc ænigma reliquit. Ego, inquit dæmon, cadavera dico, ne me victum aperte fatear, et alioquin timeo sanctum nominatim proferre : tu quod dictum est intellige, et sanctum solum amove : ille quippe os nobis obstruxit. Tantam nempe cultorum suorum dementiam agnovit, ut tam apertam fraudem advertere non possent : etsi enim omnes mente capti insanique essent, ne sic quidem cladis suæ notitiam obtegere poterant : ita nempe clara et aperta omnibus erat. Nam si polluta quædam et exsecranda res sunt, ut dicis, hominum cadavera, quanto magis brutorum, tanto scilicet quanto hoc genus illo vilius est : multa vero canum, simiarum, asinorum cadavera proxime templum defossa sunt, quæ potius transmovere oportebat, nisi fortasse homines simiis censes esse viliores. Ubi nunc sunt, qui pulchrum illud Dei opificium, ad ministerium nostrum creatum, nempe solem, contumelia afficiunt, et dæmoni astrum illud adscribunt, atque hunc illud esse affirmant? Sol enim, cadaveribus innumeris in terra jacentibus, per universum orbem diffunditur, nec uspiam radios vel radiorum efficaciam pollutionis metu contrahit : deus autem vester nec turpem vitam, nec præstigias, nec cædes aversatur vel odio habet; sed diligit, amplectitur et amat; verum corpora tamen nostra aversatur : quamquam malitiæ species, etiam illam peragentibus summa reprehensione digna esse videatur; at mortuum immobileque corpus nec culpæ nec reprehensioni obnoxium est. Sed hoc est deorum vestrorum institutum, ut abominentur, quæ non abominanda sunt, colant autem et approbent ea, quæ omni sunt odio et exsecratione digna. Et bonus quidem vir neque a sano consilio, neque ab honesta actione per mortuum corpus deterrebitur; sed si animo sit sano, etsi ad ipsa sepulcra domicilium habeat, et temperantiam, et justitiam, et virtutem omnem exhibebit. Quivis item artifex, quæ ad artem spectant suam, omnia sine obice faciet, et rogantibus se præbebit, non modo prope cadavera sedens, sed etiamsi ipsa defunctorum sepulcra construere opus fuerit, et pictor, et latomus, et faber, et ærarius sculptor, denique omnes suam operam conferunt; unus autem omnium Apollo a cadaveribus impediri se ait, quominus futura prospiciat. Atqui et apud nos viri fuere magni et mirabiles, qui ante mille et quadringentos annos res futuras prædixerunt, et vaticinantes nihil horum requisierunt, non conquesti sunt, non defunctorum sepulcra dirui jus-

διαζῆν. Ἱερεῖς καὶ ἱεροφάνται ἀναφανέντες ἐξαίφνης, ἐν πολλῇ ἦσαν τῇ τιμῇ. Καὶ ὁ βασιλεὺς στρατηγοὺς μὲν καὶ ἄρχοντας παρεπέμπετο καὶ οὐδενὸς ἠξίου λόγου, ἄνδρας δὲ ἡταιρηκότας, καὶ τὰς ἀπὸ τοῦ τέγους γυναῖκας ἀναστήσας ἀπὸ τῶν οἰκημάτων, ἐν οἷς προεστήκεσαν, μεθ' ἑαυτοῦ τὴν πόλιν ἅπασαν περιῆγε καὶ τοὺς στενωπούς. Καὶ ὁ μὲν ἵππος ὁ βασιλικὸς, καὶ οἱ δορυφόροι πάντες, ὄπισθεν ἐκ πολλοῦ τοῦ διαστήματος εἵποντο· πορνοβόσκοι δὲ ἄνδρες, καὶ γυναῖκες προαγωγοὶ, καὶ πᾶς ὁ τῶν ἡταιρηκότων χορὸς τὸν βασιλέα κυκλώσαντες εἶχον ἐν μέσῳ διὰ τῆς ἀγορᾶς βαδίζοντες, καὶ τοιαῦτα φθεγγόμενοι, καὶ οὕτως ἀνακαγχάζοντες, ὡς τοὺς ἐκ τῆς ἐργασίας ἐκείνης εἰκὸς ἦν. Ταῦτα δὲ οἴδαμεν, ὅτι τοῖς μεθ' ἡμᾶς γενησομένοις ἄπιστα εἶναι δόξει, διὰ τὴν τῆς ἀτοπίας ὑπερβολήν· οὐδὲ γὰρ ἂν ἰδιώτην τῶν εὐτελῶς καὶ αἰσχρῶς βεβιωκότων [560] ἐλέσθαι τοιαῦτα δημόσια ἀσχημονεῖν. Ἀλλὰ πρὸς μὲν τοὺς ἔτι ζῶντας οὐδενὸς δέομαι λόγου· οἱ γὰρ παρόντες καὶ θεασάμενοι ταῦτα γινόμενα, οὗτοι καὶ λεγόμενα ἀκούουσι νῦν. Διὰ γάρ τοι τοῦτο τῶν μαρτύρων ἔτι περιόντων γράφω, ἵνα μή τίς με τὰ παλαιὰ διηγούμενον ἐν οὐκ εἰδόσι μετὰ πολλῆς ψεύδεσθαι τῆς ἐξουσίας νομίζῃ. Τῶν γὰρ ταῦτα θεασαμένων ἔτι καὶ γέροντες καὶ νέοι περίεισιν, οὓς ἀξιῶ πάντας, εἴ τι παρ' ἐμοῦ προστέθειται, προσιέναι καὶ διελέγχειν. Ἀλλὰ προστεθέντα μὲν οὐκ ἂν ἐλέγξαιεν, ἐλλείποντα δὲ μόνον· οὐδὲ γὰρ οἷόν τε πᾶσαν αὐτοῦ τῷ λόγῳ παραστῆσαι τῆς ἀσχημονύνης τὴν ὑπερβολήν. Πρὸς δὲ τοὺς μετὰ ταῦτα ἀπιστήσοντας ἐκεῖνο ἂν εἴποιμι, ὅτι Ὁ δαίμων ὁ παρ' ὑμῖν, ὃν Ἀφροδίτην καλεῖτε, οὐκ αἰσχύνεται τοιούτους ἔχων θεραπευτάς. Οὐδὲν οὖν θαυμαστὸν καὶ τὸν δείλαιον ἐκεῖνον, τὸν ἅπαξ ἑαυτὸν ἐκδεδωκότα τῷ τῶν δαιμόνων γέλωτι, μὴ ἐγκαλύπτεσθαι ἐφ' οἷς οἱ παρ' αὐτῷ θεραπευόμενοι σεμνύνονται θεοί. Τί ἂν τις λέγοι τὰς νεκυομαντείας, τὰς τῶν παίδων σφαγάς; Αἱ γὰρ θυσίαι ἐκεῖναι, αἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας τολμώμεναι, μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ κατασταλεῖσαι, ἐτολμῶντο πάλιν, φανερῶς μὲν οὐκέτι· εἰ γὰρ καὶ βασιλεὺς ἦν, καὶ μετ' ἐξουσίας ἅπαντα ἔπραττεν, ἀλλ' ὅμως ἡ τῆς τῶν δρωμένων ἀνοσιότητος ὑπερβολὴ, τῆς ἐξουσίας τὸ μέγεθος ἤλεγχεν· ἐτολμῶντο δὲ οὖν ὅμως.

ιε'. Οὗτος δὴ οὖν ὁ βασιλεὺς εἰς τὴν Δάφνην συνεχῶς ἀνιὼν μετὰ πολλῶν μὲν ἀναθημάτων, μετὰ πολλῶν δὲ θυσιῶν, καὶ χειμάρρους αἱμάτων ἐργαζόμενος ἀπὸ τῆς τῶν θρεμμάτων σφαγῆς, ἐπέκειτο σφοδρὸς [b] τὸν δαίμονα χρησμὸν ἀπαιτῶν καὶ ἀξιῶν ἀναιρεῖν ὑπὲρ τῶν κατὰ γνώμην αὐτῷ. Ὁ δὲ γενναῖος ἐκεῖνος,

Καὶ ψάμμου τ' ἀριθμὸν εἰδὼς καὶ μέτρα θαλάσσης,
Καὶ κωφοῦ συνιεὶς, καὶ οὐ λαλέοντος ἀκούων,

ὡς φησι, τὸ μὲν εἰπεῖν διαῤῥήδην καὶ σαφῶς, ὅτι διὰ τὸν ἅγιον Βαβύλαν καὶ τὴν ἐκ γειτόνων δύναμιν ἐπιστομισθεὶς οὐ δύναται [c] φθέγγεσθαι, παρῃτήσατο, δεδοικὼς μὴ γέλωτα παρὰ τοῖς θεραπευταῖς ὄφλῃ τοῖς ἑαυτοῦ· βουλόμενος δὲ συσκιάσαι τὴν ἧτταν, εἶπε πρόφασιν τῆς σιγῆς, ἢ μᾶλλον αὐτὸν καταγελαστότερον ἀπέφηνε τῆς σιγῆς. Ἐκείνῳ [d] μὲν γὰρ ἂν τὴν ἀσθένειαν μόνον ἀπεκάλυψε τὴν ἑαυτοῦ, νυνὶ δὲ καὶ τὴν ἀσθένειαν, καὶ τὴν ἀσγημοσύνην, καὶ τὴν ἀναισχυντίαν ἔδειξε, τὰ ἀσυσκίαστα συσκιάζειν ἐπιχειρῶν. Τίς γὰρ ἡ πρόφασις; Νεκρῶν ἐστι, φησὶ, τὸ χωρίον ἡ Δάφνη μεστὸν, καὶ τοῦτο κωλύει τὸν χρησμόν. Καὶ πόσῳ βέλτιον ἦν, ὦ δείλαιε, τοῦ μάρτυρος ὁμολογῆσαι τὴν δύναμιν, ἢ οὕτως ἀναίσχυντα προφασίζεσθαι! Καὶ ὁ μὲν δαίμων ταῦτα· ὁ δὲ ἀνόητος βασιλεὺς, καθάπερ ἐν σκηνῇ παίζων καὶ δρᾶμα ὑποκρινόμενος, ἐπὶ τὸν μακάριον εὐθέως ἦλθε Βαβύλαν. Καίτοι, ὦ μιαροὶ καὶ παμμίαροι, εἰ μὴ ἀλλήλους ἐξηπατᾶτε ἐκόντες καὶ συνυπεκρίνασθε πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, τί δήποτε σὺ μὲν λέγεις ἀνωνύμως καὶ ἀδιορίστως τοὺς νεκροὺς, σὺ δὲ, ὡς ὀνομαστὶ καὶ μετὰ διορισμοῦ τινος ἀκούσας, τῶν ἄλλων [561] ἀφέμενος τὸν ἅγιον μόναν κινεῖς; Ἐχρῆν γὰρ κατὰ τὴν τοῦ δαίμονος ἀπόφασιν πάσας ἀνορύττειν τὰς ἐν τῇ Δάφνῃ θήκας, καὶ τὸ μορμολυκεῖον τῆς τῶν θεῶν ὄψεως ἀπάγειν ὡς πορρωτάτω. Ἀλλ' οὐ περὶ πάντων εἶπε τῶν νεκρῶν. Τί οὖν τοῦτο οὐ διαῤῥήδην ὡμολόγησεν; Ἢ σοὶ τὸ δρᾶμα ὑποκρινομένῳ τῆς πλάνης τοῦτο ἀφῆκε τὸ αἴνιγμα. Ἐγὼ μὲν γὰρ λέγω τοὺς νεκροὺς, φησὶν, ὥστε μὴ δῆλην γενέσθαι τὴν ἧτταν· καὶ ἄλλως γὰρ δέδοικα ὀνομαστὶ τὸν ἅγιον εἰπεῖν, σὺ δὲ νόει τὸ λεχθὲν, καὶ ἀντὶ πάντων κίνει τὸν μάρτυρα· ἐκεῖνος γάρ ἡμᾶς ἐπεστόμισε. Τοσαύτην κατέγνω παραπληξίαν τῶν θεραπευόντων αὐτὸν, ὡς οὕτω φανερὰν ἀπάτην μὴ δύνηθῆναι συνιδεῖν. Εἰ γὰρ ἐξεστήκεσαν ἅπαντες, εἰ γὰρ ἐμεμήνεσαν, οὐδ' ἂν οὕτω διέφυγον τὴν τῆς ἥττης κατάγνωσιν, οὕτω φανερὰ πᾶσίν ἐστι καὶ σαφής. Εἰ γὰρ μίασμά τι καὶ μύσος ἐστὶν, ὡς φῂς, τὰ νεκρὰ τῶν ἀνθρώπων σώματα, πολλῷ μᾶλλον τὰ τῶν ἀλόγων, ὅσῳ καὶ τὸ γένος ἀτιμότερον τοῦ γένους· πολλῶν δὲ καὶ κυνῶν, καὶ πιθήκων, καὶ ὄνων ὀστᾶ πλησίον τοῦ ναοῦ κατορώρυκται, καὶ ταῦτα μᾶλλον ἐχρῆν μετακινεῖν, εἰ μὴ πιθήκων ἀνθρώπους ἀτιμοτέρους ἠγῇ. Ποῦ νῦν εἰσιν οἱ τὸ καλὸν τοῦ Θεοῦ δημιούργημα καὶ πρὸς ὑπηρεσίαν ἡμετέραν γεγονὸς τὸν ἥλιον ἐνυβρίζοντες, καὶ τῷ δαίμονι τὸ ἄστρον ἐπιφημίζοντες, καὶ τοῦτο ἐκεῖνον εἶναι λέγοντες; Ὁ μὲν γὰρ ἥλιος, μυρίων ἐν τῇ γῇ κειμένων νεκρῶν, ἐκχεῖται κατὰ τῆς οἰκουμένης, καὶ οὐδαμοῦ συστέλλει τὰς ἀκτῖνας οὐδὲ τὴν ἐκ τούτων ἐνέργειαν διὰ τοὺς μολυσμούς· ὁ δὲ θεὸς ὁ ὑμέτερος βίους μὲν αἰσχροὺς καὶ μαγγανείας καὶ φόνους οὐκ ἀποστρέφεται, οὐδὲ μισεῖ, ἀλλὰ καὶ ἀγαπᾷ, καὶ ἀσπάζεται καὶ φιλεῖ· σώματα δὲ ἐκτρέπεται τὰ ἡμέτερα· καίτοι τὸ μὲν τῆς κακίας εἶδος καὶ παρ' αὐτοῖς τοῖς δρῶσιν αὐτὸ μυρίας καταγνώσεως ἄξιον εἶναι δοκεῖ, τὸ δὲ σῶμα τὸ νεκρὸν καὶ ἀκίνητον οὐδεμιᾶς μετέχει μέμψεως, καὶ αἰτίας. Ἀλλ' αὕτη τῶν δαιμόνων ὑμῶν ἡ προαίρεσις, βδελύττεσθαι μὲν τὰ μὴ βδελυκτὰ, τιμᾷν δὲ καὶ ἀποδέχεσθαι τὰ παντὸς ἄξια μίσους καὶ ἀποστροφῆς. Καὶ ἀνὴρ μὲν ἀγαθὸς οὐδὲ βουλεύσασθαί τι χρήσιμον, οὔτε πρᾶξαί τι τῶν δεόντων ὑπὸ σώματος κωλυθήσεται νεκροῦ· ἀλλὰ ἂν ὑγιαίνῃ τὴν ψυχὴν, καὶ παρ' αὐτοῖς οἰκῶν τοῖς τάφοις, καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ πᾶσαν ἐπιδείξεται τὴν ἀρετήν. Καὶ χειροτέχνης δὲ ἕκαστος ἀνεμποδίστως τὰ τῆς οἰκείας ἐπιστήμης πάντα ἐργάσεται, καὶ παρέξει τοῖς δεομένοις αὐτοῦ, οὐ πλησίον νεκρῶν καθήμενος μόνον, ἀλλὰ κἂν αὐτὰ τὰ μνήματα τῶν κατοιχομένων οἰκοδομῆσαι [e] δέῃ, καὶ ὁ ζωγράφος, καὶ ὁ λιθοξόος, καὶ ὁ τέκτων, καὶ ὁ χαλκοτύπος, καὶ πάντες τὰ αὐτῶν συνεισφέρουσι· μόνος δὲ πάντων ὁ Ἀπόλλων ὑπὸ τῶν νεκρῶν κωλύεσθαί φησι τὰ μέλλοντα προορᾷν. Καὶ μὴν καὶ παρ' ἡμῖν ἄνδρες γεγόνασι μεγάλοι καὶ θαυμαστοὶ, καὶ τὰ πρὸ τετρακοσίων καὶ χιλίων προεῖπον ἐτῶν, καὶ [562] προλέγοντες οὐδὲν τούτων οὔτε ἐζήτησαν, οὔτε ἐμέμψαντο, οὔτε τοὺς τάφους τῶν ἀπελθόντων ἀναῤῥήγνυσθαι ἐκέλευσαν, καὶ τοὺς κειμένους ῥίπτεσθαι, καὶ τυμβωρυχίας ξένον καὶ ἀναίσχυντον ἐπινοεῖν τρόπον· ἀλλ' οἱ μὲν αὐτῶν ἔθνεσι

[a] Unus codex habet ἐναντιότητος.
[b] Savil. et duo mss. σφοδρῶς. Mox unus ἀξιῶν ἐρεῖν ὑπὲρ τῶν, alius ἀξιῶν ὑπὲρ τῶν.
[c] Savil. δύναμαι.
[d] Duo mss. ἐκείνως.
[e] Sic Savil. et duo mss., atque ita legerat vetus interpres. Morel. minus recte οἰκίσαι.

παροικοῦντες ἀθέοις καὶ μιαροῖς, οἱ δὲ ἐν μέσοις τοῖς βαρβάροις ὄντες, ἔνθα τὰ ἀληθῶς μολυσμοῦ ἄξια καὶ μιασμοῦ πάντα ἐδρᾶτο, μετὰ ἀληθείας ἅπαντα προὔλεγον, καὶ οὐδὲν αὐτοὺς ὁ τῶν ἄλλων μιασμὸς ἐκώλυεν εἰς τὴν πρόῤῥησιν. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν ἀληθῶς ὑπὸ θείας ἐνεργούμενοι δυνάμεως ἔλεγον ἅπερ ἔλεγον, ὁ δὲ δαίμων, κενὸς τῆς ἐνεργείας ἐκείνης καὶ ἔρημος ὤν, εἶχε μὲν οὐδὲν προεἰπεῖν, ὑπὲρ δὲ τοῦ μὴ δόξαι ἀπορεῖν, πιθανὰ ἁπλῶς καὶ καταγέλαστα προφασίζεσθαι ἀναγκάζεται. Διὰ τί γὰρ, εἰπέ μοι, κατὰ τὸν ἔμπροσθεν χρόνον οὐδέποτέ τι τοιοῦτον εἶπεν, οὐδὲ ἐφθέγξατο; Ὅτι τότε μὲν εἶχε τὸ μὴ θεραπεύεσθαι πρόφασιν, ταύτης δὲ αὐτῷ τῆς ἀπολογίας περιαιρεθείσης, κατέφυγεν ἐπὶ τοὺς νεκροὺς, στενοχωρηθεὶς μή τι πάθοι[a]. Οὐ γὰρ ἐβούλετο ἀσχημονεῖν, ἀλλ' ὑμεῖς αὐτὸν ἠναγκάσατε, διὰ τῆς πολλῆς θεραπείας τὴν ἀπολογίαν ἐκκόψαντες, καὶ οὐκ ἀφέντες εἰς τὴν τῶν θυσιῶν σπάνιν καταφυγεῖν.

ις'. Ἀκούσας δὴ ταῦτα ὁ ὑποκριτὴς ἐκέλευσε κατενεχθῆναι τὴν λάρνακα, ἵνα πᾶσιν ἡ ἥττα δήλη γένηται καὶ καταφανής. Εἰ μὲν γὰρ εἶπεν, ὅτι· Διὰ τὸν ἅγιον οὐ δύναμαι φθέγγεσθαι, ἀλλὰ μηδὲν κινεῖτε, μηδ' [b] ἐνοχλεῖτε περαιτέρω, τοῖς αὐτοῦ μόνοις ἂν ἐγένετο φανερόν· οὐ γὰρ ἂν εἰς ἑτέρους τοῦτο ἐξήνεγκαν αἰσχυνόμενοι· νῦν δὲ ὥσπερ ἐκπομπεῦσαι σπουδάζων τὴν ἀσθένειαν αὐτοῦ, οὕτως ἅπαντα πράττειν ἠνάγκαζε, δι' ὧν οὐδὲ βουλομένῳ[c] ἐνῆν συσκιάσαι τὸ γεγονός. Οὐδὲ γὰρ ἔτι δυνατὸν διασωθῆναι τὴν ὑπόκρισιν, διὰ τὸ μηδένα τῶν ἄλλων νεκρῶν ἀλλὰ μόνον τὸν μάρτυρα μετακινηθῆναι ἐκεῖθεν. Καὶ οὐχ οἱ τὴν πόλιν οἰκοῦντες μόνον, καὶ τὸ προάστειον, καὶ τοὺς ἀγροὺς, ἀλλὰ καὶ οἱ πόῤῥωθεν ἀφιστάμενοι τῶν χωρίων, καὶ τὴν λάρνακα οὐχ ὁρῶντες κειμένην, εἶτα τὴν αἰτίαν ἐξετάζοντες εὐθέως ἐμάνθανον, ὡς ὁ δαίμων παρὰ τοῦ βασιλέως ἀξιούμενος μαντεύεσθαι, εἶπε τοῦτο μὴ δύνασθαι ποιεῖν, ἕως ἂν αὐτοῦ τὸν μακάριον ἀποστήσῃ τις Βαβύλαν. Καίτοι γε, ὦ καταγέλαστε, ἐνῆν σοι καὶ εἰς ἑτέρας προφάσεις καταφυγεῖν, οἷα πολλάκις ποιεῖς, μυρία τεχνάζων ἐν ταῖς ἀπορίαις ἀεί· πρὸς μὲν τὸν Λυδὸν εἰπὼν, ὅτι Ἅλυν τὸν ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει[d], καὶ δείξας αὐτὸν ἐπὶ τῆς πυρᾶς· ἐπὶ δὲ τῆς Σαλαμῖνος αὐτῷ τε τῷ σοφῷ τούτῳ χρησάμενος, καὶ τὸν καταγέλαστον σύνδεσμον προσθείς· τὸ μὲν γὰρ εἰπεῖν,

Ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,

ὅμοιον ἦν τῷ τοῦ Λυδοῦ, τὸ δὲ προσθεῖναι,

Ἤτοι σκιδναμένης Δημήτερος, ἢ συνιούσης,

πλείονος γέλωτος, καὶ τοῖς ἐν ταῖς τριόδοις ὑπὸ τῶν ἀγυρτῶν λεγομένοις προσεοικός· ἀλλ' οὐδὲ τοῦτο ἤθελες. Καὶ ἐξῆν ἀσαφείᾳ κρύψαι[e] τὸν λόγον· καὶ γὰρ τοῦτο τῆς τέχνης ἀεὶ τῆς σῆς· ἀλλ' ἐπέκειντο πάντες πάλιν ἀγνοοῦντες, καὶ λύσιν ἐπιζητοῦντες. Καὶ ἐνῆν σοι [563] καταφυγεῖν ἐπὶ τοὺς ἀστέρας· καὶ γὰρ καὶ τοῦτο ποιεῖς πολλάκις, καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς. Οὐ γὰρ πρὸς ἄνδρας νοῦν ἔχοντας ὁ λόγος ἐστί σοι, ἀλλὰ πρὸς θρέμματα καὶ θρεμμάτων ἀλογωτέρους. Οὐκ ἦσαν τῶν Ἑλλήνων σοφώτεροι τῶν ταῦτα ἀκουόντων, καὶ οὐχ ἁφισταμένων τῆς ἀπάτης. Ἀλλὰ συνεώρων τὸ ψεῦδος; Οὐκοῦν ἐχρῆν τἀληθῆ πρὸς τὸν ἱερέα μόνον εἰπεῖν, καὶ αὐτὸς ἂν εὗρέ σου μᾶλλον συσκιάσαι τὴν ἥτταν. Νῦν δὲ τίς σε ἔπεισεν, ἄθλιε, εἰς οὕτω φανερὰν σαυτὸν ἀναισχυντίαν ἐμβαλεῖν; Ἀλλὰ τάχα σὺ μὲν οὐδὲν ἥμαρτες, ὁ δὲ βασιλεὺς κακῶς ὑπεκρίνατο, ἀδιορίστως μὲν περὶ τῶν νεκρῶν ἀκούσας, ἐπὶ δὲ τὸν ἅγιον μόνον ἐλθών· ἐκεῖνός σε διήλεγξε, καὶ τὴν ἀπάτην ἐγύμνωσεν, ἀλλ' οὐδὲ ἐκεῖνος ἐκών· οὐ γὰρ ἦν τοῦ αὐτοῦ, τοσούτοις τε ἀναθήμασι τιμᾷν, καὶ πάλιν ὑβρίζειν τὸν αὐτόν· ἀλλὰ πάντας ὁμοῦ τοῦ μάρτυρος ἐσκότωσεν ἡ δύναμις, καὶ οὐκ ἀφῆκε συνιδεῖν τὰ γινόμενα, ἀλλ' ἐπράττετο μὲν ἅπαντα ὡς κατὰ Χριστιανῶν, περιετρέπετο δὲ οὐκ εἰς τοὺς πάσχοντας, ἀλλ' εἰς τοὺς δρῶντας ὁ γέλως. Οὕτω που καὶ οἱ μαινόμενοι δοκοῦσι μὲν ἀεὶ τοὺς πλησίον ἀμύνεσθαι τοὺς τοίχους λακτίζοντες, καὶ ῥητὰ καὶ ἄῤῥητα τοὺς παρόντας λέγοντες κακά· αἰσχύνουσι δὲ δι' ὧν ποιοῦσιν οὐκ ἐκείνους, ἀλλ' ἑαυτούς· ὃ δὴ καὶ τότε ἐγένετο. Εἴλκετο μὲν γὰρ ἡ λάρναξ διὰ τῆς ὁδοῦ πάσης, ἐπανῄει δὲ ὁ μάρτυς καθάπερ τις ἀθλητὴς εἰς τὴν ἑαυτοῦ πόλιν δεύτερον φέρων στέφανον, ἐν ᾗ καὶ τὸν πρότερον ἀνεδήσατο. Ὥστε εἴ τις μὴ καταδέχοιτο τὴν ἀνάπτασιν, λαμπρότερα τοῦ μάρτυρος μετὰ τὴν τελευτὴν ἔργα θεώμενος, αἰσχυνέσθω λοιπόν. Οἷον γάρ τις [f] ἀριστεὺς, τροπαίοις συνῆπτε τρόπαια, μεγάλοις μείζονα καὶ θαυμαστοῖς θαυμαστότερα. Τότε μὲν γὰρ πρὸς βασιλέα μόνον ἠγωνίσατο, νῦν δὲ καὶ πρὸς βασιλέα καὶ δαίμονα· καὶ τότε μὲν τῶν ἱερῶν περιβόλων τὸν κρατοῦντα ἀπήλασε, νῦν δὲ τοῦ χωρίου παντὸς τῆς Δάφνης τὸν λυμεῶνα ἀπήγαγεν, οὐ χειρὶ χρώμενος καθάπερ καὶ πρότερον, ἀλλ' ἀοράτῳ δυνάμει τὴν ἀόρατον καταγωνιζόμενος. Καὶ ζῶντος μὲν οὐκ ἤνεγκε τὴν παῤῥησίαν ὁ ἀνδροφόνος, τελευτήσαντος δὲ οὐχ ὑπέμεινε τὴν κόνιν οὔτε ὁ βασιλεὺς, οὔτε ὁ δαίμων ὁ ταῦτα κινῶν τὸν βασιλέα ποιεῖν. Ὅτι γὰρ μείζονα τοῦ προτέρου φόβον τούτοις τοῖς δευτέροις εἰργάσατο, δῆλον ἐκεῖθεν. Ἐκεῖνος μὲν γὰρ αὐτὸν λαβὼν καὶ ἔδησε καὶ ἀνεῖλεν, οὗτοι δὲ μόνον μετέθηκαν. Διὰ τί γὰρ μὴ καταποντίσαι τὴν λάρνακα μήτε ἐκεῖνος ἐκέλευσε, μήτε οὗτος ἐθέλησε; διὰ τί μὴ συνέτριψε καὶ κατέκαυσε; διὰ τί μὴ εἰς ἔρημον καὶ ἀοίκητον αὐτὴν ἀπενεχθῆναι προσέταξεν; Εἰ γὰρ ἅγος ἦν καὶ μίασμα, καὶ βδελυττόμενος, ἀλλὰ μὴ δεδοικὼς ἐκεῖθεν αὐτὴν ἐκίνησεν, οὐκ εἰς τὴν πόλιν ἐχρῆν τὸ ἅγος εἰσάγειν, ἀλλ' ἀποικίζειν εἰς ὄρη καὶ νάπας.

ιζ'. Ἀλλ' ἤδει καὶ αὐτοῦ τοῦ Ἀπόλλωνος οὐχ ἧττον ὁ δείλαιος τοῦ μακαρίου τὴν ἰσχὺν καὶ τὴν παῤῥησίαν τὴν πρὸς τὸν Θεὸν, καὶ ἔδεισε, μὴ τοῦτο ἐργασάμενος σκηπτὸν ἢ τινα νόσον ἑτέραν ἐφ' ἑαυτὸν [564] προκαλέσηται. Καὶ γὰρ εἶχε πολλὰ τῆς τοῦ Χριστοῦ δυνάμεως τὰ τεκμήρια, ἔν τε τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐπιδειχθείσης, καὶ ἐν τοῖς σὺν αὐτῷ τότε τὴν ἐπ' αὐτοῦ [g] διέπουσιν ἀρχήν. Τῶν μὲν γὰρ πάλαι βασιλευσάντων οἱ τὰ τοιαῦτα τολμήσαντες, μετὰ πολλὰς καὶ ἀφορήτους συμφορὰς, αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσαν· ὡς τοῦ μὲν τὰς κόρας ἔτι ζῶντος αὐτομάτως ἐκπηδῆσαι τῶν ὀφθαλμῶν (Μαξιμῖνος οὗτος ἦν), τὸν δὲ μανέντα, τὸν δὲ ἄλλῃ τοιαύτῃ χρησάμενον συμφορᾷ, οὕτως ἐνθένδε ἀπελθεῖν. Τῶν δὲ σὺν αὐτῷ τότε ὄντων ὁ μὲν θεῖος, ὁ πρὸς πατρὸς νεανικώτερον τῇ καθ' ἡμῶν μανίᾳ χρησά-

[a] Savil. et unus στενοχωρηθεὶς μή τι πάθοι. In Mor. μὴ deest.
[b] Alii μηδὲ κινεῖτε μηδ'.
[c] Quidam mss. διὸ οὐδὲ βουλομένοις. Paulo post Savil. et quidam mss. ὑπόκρισιν ἦν, διὰ τό.
[d] Alii καταλύσεις.
[e] Sic Savil. et quidam mss. recte, Morel. male ἀσφαλείᾳ κρύψαι
[f] Savil. et unus cod. οἷα γάρ τις.
[g] Savil. in textu τὴν ὑπ' αὐτῷ, Savil. in marg. et Morel. ἐπ' αὐτοῦ, unus cod. ὑπ' αὐτόν. De his vero Imperatoribus alio loco dicetur.

serunt, non cadavera abjici, non sepulcrorum violationis novum impudentemque modum excogitari : attamen ex eis alii cum impiis scelestisque gentibus habitantes, alii in medio barbarorum, ubi omnia inquinata et contaminata erant, cum veritate omnia prædicebant, neque aliorum pollutio eorum vaticiniis oberat. Cur hoc? Quia illi divina virtute moti vere loquebantur; dæmon autem, vi illa vacuus ac destitutus, nihil prænuntiare poterat : ne autem hærere videretur, verisimilia quædam, sed ridicula fingere cogebatur. Cur enim, quæso, nihil hujusmodi antea dixerat, vel effutierat? Quia tunc prætextum proferre poterat, quod scilicet non coleretur; hac porro excusatione adempta, ad mortuos confugit, anxius ne quid sibi mali contingeret : nam a decoro recedere nolebat; sed vos illum coegistis, qui magno illo cultu ei excusationem ademistis, nec permisistis eum ad sacrificiorum penuriam confugere.

16. *S. Babylæ corpus transferri jubetur a Juliano Apostatâ.* — Hoc audito histrio ille jussit capsam inde auferri, ut victum esse dæmonem nemo ignoraret. Etenim si dixisset ille, Propter sanctum loqui non possum, sed nihil movete, nihil tumultus inferte, id suis tantum cultoribus notum fuisset : puduisset enim factum ad alios deferre; jam vero quasi infirmitatem suam traducere vellet, sic omnia facienda curavit, quibus ne volenti quidem rem obtegere licebat : neque enim jam simulatio servari potest, quod nullum aliud cadaver, sed solus martyr inde transferatur : nec solum qui urbem, suburbium et agros incolebant, sed etiam qui remotissime habitabant, cum jacentem capsam non cernerent, statim sciscitantes audiebant, dæmon ab Imperatore rogatus ut vaticinaretur, dixit se non posse, donec beatum hinc Babylam quis amovisset. Atqui, o ridicule, poteras ad alias excusationes confugere, ut sæpe soles, innumeris semper artificiis dubia responsa concinnans; Lydo nempe dicens (*a*), si Halŷn fluvium transmitteret, magnum imperium soluturum esse, ipsumque postea pyræ impositum exhibens; in Salamine item eodem usus es artificio, ridicula adjecta conjunctione : nam dicere,

Perdes tu filios mulierum,

simile ei erat, quod Lydo dixeras; adjicere autem,

Sive sparsa Cerere, sive coeunte,

majore id certe risu dignum fuit, quod sane conveniat circulatoribus in triviis; sed neque hoc tibi placuit. Licebat et tibi sermonem obtegere, quod artificium tibi semper solenne est. Verum institissent omnes, non intellectæ rei solutionem quærentes. Licebat quoque tibi ad astra confugere : id enim sæpe facis, neque pudore ruboreque perfunderis. Siquidem non cum viris mente præditis tibi res est, sed cum pecudibus, et quam pecudes ipsæ crassioribus : non erant illi Græcis sapientiores iis, qui hæc audierunt, nec tamen a fraude sese exemerunt. At mendacium intellexissent? Ergo oportuit uni sacerdoti veritatem aperire, et ipse cladem tuam melius quam tu occultasset. Jam vero quis te, miser, adduxit, ut te in tam manifestam impudentiam conjiceres? At fortasse tu nihil peccasti; Imperator vero male histrionem egit, qui cum indiscriminatim de cadaveribus audisset, sanctum illum dumtaxat aggressus est : ille te coarguit et fraudem nudavit, sed non id libens fecit : neque enim unius ejusdemque erat donaria afferre et contumelia afficere; sed martyris virtus omnes simul caligine offudit, nec ea quæ tum gerebantur videre permisit; verum omnia quidem ceu contra Christianos fiebant, at non in patientes, sed in agentes risus convertebatur. Sic et furiosi videntur sibi semper proximos ulcisci, dum contra parietes calcitrant, ac fanda nefandaque in præsentes jactitant; factis autem suis non illos sed seipsos pudore afficiunt : quod tunc etiam contigit. Trahebatur enim capsa per totam viam; martyr vero ceu quidam athleta in suam urbem revertebatur, secundam referens coronam, in qua urbe primo coronatus fuerat. Quamobrem si quis splendidiora post mortem martyris opera conspicatus, resurrectionem non admittat, in posterum erubescat. Ceu enim quidam strenuus bellator tropæis tropæa conjunxit, magnis majora et mirabilibus mirabiliora. Tunc enim cum Imperatore solo pugnabat, nunc cum Imperatore et dæmone : tunc a sacris septis Imperatorem abegit, nunc a toto Daphnes loco perniciosum illum abduxit, non manu usus ut antea, sed invisibili virtute invisibilem expugnans. Hujus viventis dicendi libertatem non tulit homicida ille, mortui vero cinerem non sustinuit tum Imperator, tum dæmon qui Imperatorem ad hæc agenda movit. Quod autem metum majorem his posterioribus duobus incusserit, quam priori incusserat, hinc palam est. Ille quippe comprehensum illum vinculis constrinxit et occidit, hi vero transtulere tantum. Cur enim capsam in mare præcipitare neque ille jussit, neque hic voluit? cur non contrivit aut combussit? cur non in desertum et inhabitatum locum ipsam transferri jussit? Nam si ea exsecranda et polluta res fuisset, eamque abominatus, non reformidans, inde illam amovit, non in urbem oportuit rem exsecrandam inducere, sed amandare in montes et saltus.

17. *Maximinus Imperator quod vexaret Christianos, pœnas dedit.* — At miser ille non minus quam Apollo beati viri robur et fiduciam erga Deum noverat, timuitque ne si id faceret aut fulmen aut morbum aliquem in se provocaret. Multa quippe Christi virtutis signa habebat, tum in decessoribus suis Imperatoribus exhibita, tum in iis etiam qui idem imperium secum administrabant. Etenim ex illis olim Imperatoribus qui talia ausi sunt, post multas intolerabilesque calamitates, turpiter ac misere vitam clauserunt, adeo ut unius adhuc viventis pupillæ ex oculis sponte exsilierint : hic autem Maximinus erat; alius in furorem actus, alius in similem lapsus calamitatem, sic mortem obierint. Cæterum ex iis qui tunc cum ipso erant, patruus, cum petulantius contra nos fureret et

(*a*) De Cræso loquitur.

sacra vasa sceleratis manibus contingere ausus esset, neque his contentus, contumelia ulterius progressus esset (ipsis enim inversis et in pavimento positis et extensis, iis insedit), derepente iniquæ hujusmodi sessionis pœnas dedit : ejus enim verenda corrupta vermibus scatebant, ita ut palam esset morbum divinitus immissum fuisse ; ad vulnus curandum medici mactatas aves pingues atque peregrinas ad putrefacta membra admoventes, vermiculos evocabant : illi vero non abscesserunt, sed mordicus putridis partibus hærebant : atque ita illum multis diebus absumptum, male perdiderunt. Alius vero quispiam imperatorii ærarii custos constitutus, priusquam aulæ imperatoriæ limen præteriret, statim crepuit medius, similisque cujusdam flagitii pœnas dedit. Hæc et his plura (non enim jam omnia recensere tempus est) secum reputans scelestus ille, temeritatem suam ulterius promovere non audebat. Quod autem hæc non a meipso dicam, ex iis quæ ab ipso postea gesta sunt, id conspicuum erit ; interim vero historiæ seriem persequamur.

Templum et statua Apollinis igne de cœlo tacta. — Quid igitur exinde evenit ? Admirandum sane illud est, quod non potentiam modo, sed etiam ineffabilem Dei benignitatem ostendit. Nam sanctus martyr intra septa erat, ubi prius situs fuerat, antequam Daphnen veniret ; malignus vero dæmon statim didicit, se frustra fraudes suas molitum esse ; neque sibi cum mortuo pugnam fore, sed cum vivente, ac viriliter agente, ac non se tantum, sed omnibus simul dæmonibus fortiore. Deum enim precatus ut ignem in templum immitteret, totum tectum combussit, idoloque ad extremos usque pedes absumpto, ita ut pulvis tantum et cinis remaneret, parietes solum stantes intactosque reliquit. Si quis vero nunc locum adeat, nequaquam ignis id opus esse dixerit : neque enim incendium illud sine aliquo ordine, neque ex inanimata materia factum esse videtur ; sed quasi manu quadam ignem circumducente, ac monstrante quibusnam parcere, quænam absumere oporteret, tanta nempe concinnitate, tanto artificio templum detectum est ; neque vero simile est incendio affectis, sed iis quorum integra septa, quæ solo tecto habent opus. Reliqua enim atque columnæ, tum quæ tectum, tum quæ vestibulum fulciebant, una excepta quæ ad posteriorem templi partem posita erat, stant omnes. Hæc tamen non temere tunc fracta est, sed ea de causa, quam mox dicturi sumus. Hoc ubi accidit, statim dæmonis sacerdos ad tribunal rapitur et incendii auctorem indicare cogitur. Cum non posset autem, eum, distortis antea cubitis, multis plagis afficientes, deinde sublimem agentes cæsis lateribus nihil amplius didicerunt : ac perinde accidit atque in resurrectione Christi. Tum enim milites ad custodiam corporis Jesu constituti sunt, ne possent, inquit, discipuli illud callide suffurari (*Matth.* 27. 64) : cæterum is fuit rei eventus, ut nulla vel impudentibus quidem occasio relinqueretur, qui vellent resurrectionis fidem tollere. Hic quoque trahebatur sacerdos, ut non divina ira, sed humana nequitia id accidisse testificaretur. Contortus tamen atque laceratus, cum nullum posset indicare, divinitus immissum fuisse ignem testatus est, ut nullus jam locus impudenter agentibus relinqueretur. Sed quod paulo ante alium in locum remisi, nunc oportune dicam. Quid illud est ? Ita illius animum exterruit martyr, ut non ultra progredi auderet. Neque enim postquam sacerdotem, quem prius tanto in honore habebat, incensi tecti causa tot malis affecerat, ita ut immanius, quam sanguinaria fera, ab ejus fortasse vorandis carnibus non abstinuisset, nisi res exsecranda omnibus visa esset : sanctum illum qui os dæmonis obstruxerat, rursus in urbem deduxisset, ut majore in honore esset : nam si non antea, cum dæmon se victum confessus est, at certe post incendium omnia evertisset et perdidisset, capsam et utrumque martyrium combussisset, tum quod in Daphne, tum quod in urbe erat, nisi metus iram superasset ac formido mœrorem vicisset. Solent enim multi, cum ira et mœrore corripiuntur, si ægritudinis auctores apprehendere non valeant, in obvios quosque ac suspectos iram effundere. Non procul autem hac suspicione martyr erat : nam simul atque in urbem pervenit, statim ignis templum invasit. Sed quod dixi, affectus cum affectu pugnabat, iramque vincebat metus. Cogita enim qualis esse poterat ille vir bonus, cum in suburbium ascendens, martyrium stans cerneret, ac templum incensum, idolum deletum, donaria absumpta, liberalitatis suæ et satanicæ pompæ sublatam memoriam. Etiamsi enim cum talia videntem neque ira neque tristitia invasissent, pudorem certe non tulisset, risumque tantum ; sed in beati illius martyrium iniquas manus extendisset, nisi id, quod dixi, cohibuisset illum. Neque enim modicum erat quod tunc agebatur, sed omnem gentilium confidentiam præciderat, omnem lætitiam exstinxerat ; tantamque illis mœstitiæ caliginem offuderat, quantam si omnia simul templa periissent.

18. *Libanii monodia.* — Quod autem hæc non jactabundus efferam, ipsa verba lamenti et monodiæ proferam, quam urbis sophista tunc in hunc dæmonem edidit. Sic autem habet næniæ initium : *Viri, quorum oculis, æque ac meis, caligo offusa est, nec pulchram, nec magnam deinceps hanc urbem vocemus.* Deinde cum nonnulla dixisset asseruissetque de Daphnes fabula (neque enim totam orationem hic intexere tempus patitur, ne longiores, quam par est, simus), Persarum, inquit, ille rex, qui civitatem cepit, templo pepercit : ipsa porro verba hæc sunt : *Qui exercitum contra nos movit, præstare putavit ut templum servaretur, statuæque decor barbarico furori prævaluit. Nunc autem, o sol, o terra ! quis vel unde hic hostis, qui nec gravis armaturæ militibus, nec equitibus, nec velitibus opus habens, parva scintilla omnia absumpsit ?* Postea ubi declaravit dæmonem tunc ab illo (Babyla) fuisse victum, cum res gentilium maxime florerent sacrificiis et initiationibus : *Et nostrum*, inquit, *templum ingens illud diluvium non dejecit, sed*

μενος, καὶ τῶν ἱερῶν σκευῶν ταῖς μιαραῖς τολμήσας ἅψασθαι χερσὶ, καὶ οὐδὲ τούτοις ἀρκεσθεὶς, ἀλλὰ περαιτέρω τῇ ὕβρει προελθὼν (περιστρέψας γὰρ αὐτὰ καὶ θεὶς ἐπὶ τοῦ ἐδάφους καὶ ἁπλώσας, οὕτως ἐκάθισεν ἐπ' αὐτῶν), παραχρῆμα ταύτης τῆς παρανόμου καθέδρας τὴν δίκην ἔδωκε. Διαφθαρὲν γὰρ αὐτοῦ τὸ αἰδοῖον σκώληκας ἔτεκε· καὶ, ὥστε δειχθῆναι ὅτι ἡ νόσος θεήλατος ἦν, πίονας ὄρνεις καὶ ξενικὰς καταθύοντες οἱ ἰατροὶ, καὶ πλησίον τῶν διεφθορότων μελῶν τιθέντες ἐξεκαλοῦντο τοὺς σκώληκας· οἱ δὲ οὐκ [a] ἀφίσταντο, ἀλλὰ ἀπριξ τῶν τεσηπότων εἶχοντο μερῶν, καὶ οὕτως αὐτὸν ἐπὶ πολλαῖς δαπανήσαντες ἡμέραις κακῶς ἀπώλεσαν. Ἕτερος δέ τις ἐπὶ τῇ φυλακῇ τῶν ταμείων τεταγμένος τῶν βασιλικῶν, πρὶν ἢ τὸν οὐδὸν ὑπερβῆναι τῶν βασιλείων, ἐλάκησεν ἄφνω μέσος, καὶ αὐτὸς ἑτέρας τινὸς τοιαύτης παρανομίας δίκην δούς. Ταῦτα δὴ καὶ τούτων πλείονα (οὐ γὰρ ἅπαντα καταλέγειν καιρὸς νῦν) εἰς νοῦν λαβὼν ὁ μιαρὸς, ἐδεδοίκει τὴν τόλμαν περαιτέρω προαγαγεῖν. Καὶ ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα λέγω νῦν, ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτοῦ γενομένων ἔσται δῆλον ἡμῖν· τέως δὲ τῆς ἀκολουθίας τῶν γεγενημένων ἐχώμεθα.

Τί δὴ τὸ ἐντεῦθεν ἦν; Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν ἄφατον φιλανθρωπίαν ἐπιδεικνύον τοῦ Θεοῦ. Ὁ μὲν γὰρ ἅγιος μάρτυς τῶν ἱερῶν εἴσω περιβόλων ἦν, ἐν οἷς καὶ πρότερον ἐτύγχανεν ὢν, πρὶν εἰς τὴν Δάφνην ἐλθεῖν· ὁ δὲ πονηρὸς δαίμων ἐμάνθανεν εὐθέως, ὅτι μάτην αὐτῷ τὰ τῆς ἀπάτης μεμηχάνηται, καὶ ὅτι οὐ πρὸς νεκρὸν τὸν ἀγῶνα εἶχεν, ἀλλὰ πρὸς ζῶντα καὶ ἐνεργοῦντα, καὶ οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ πάντων δαιμόνων ἰσχυρότερον. Παρακαλέσας γὰρ τὸν Θεὸν ἀφεῖναι πῦρ εἰς τὸν νεὼν, τὴν τε ὀροφὴν κατέφλεξε πᾶσαν, καὶ τὸ εἴδωλον μέχρις ἐσχάτων ἀφανίσας ποδῶν, τέφραν τε ἀποφήνας καὶ κόνιν, ἀφῆκεν ἑστάναι τοὺς τοίχους ἅπαντας. Καὶ εἴ τις ἐπισταίη τῷ τόπῳ νῦν, οὐκ ἂν εἴποι πυρὸς ἔργον εἶναι τὸ γεγονός· οὐδὲ γὰρ ἄτακτος [b], οὐδὲ ὡς ἐξ ὕλης ἀψύχου γέγονεν ἡ πυρπόλησις, ἀλλ' ὥσπερ τινὸς χειρὸς περιαγούσης τὸ πῦρ, καὶ δεικνυούσης τίνων μὲν φείσασθαι, τίνα δὲ ἀναλῶσαι ἐχρῆν, οὕτως εὐρύθμως [565] καὶ τεχνικῶς ὁ ναὸς ἐκκεκάλυπται [c], καὶ οὐ τοῖς ἐμπεπρησμένοις ἁπλῶς, ἀλλὰ τοῖς ἀρτίους μὲν ἔχουσι τοὺς περιβόλους, στέγης δὲ δεομένοις μόνης προσέοικεν. Τά τε γὰρ ἄλλα, καὶ οἱ κίονες οἵ τε τὸν ὄροφον ἀνέχοντες, οἵ τε τὰ προπύλαια ἅπαντες ἑστήκασι, πλὴν τοῦ περὶ [d] τὸν ὄπισθεν δόμον ἑνός· καὶ οὗτος δὲ οὐχ ἁπλῶς ἀφέθη διακλασθῆναι τότε, ἀλλὰ δι' αἰτίαν, ἣν μετὰ ταῦτα ἐροῦμεν. Τούτου δὴ συμβάντος, ἄγεται μὲν εἰς δικαστήριον εὐθέως ὁ τοῦ δαίμονος ἱερεὺς, καὶ τὸν αἴτιον ἠναγκάζετο λέγειν, ὡς δὲ οὐκ εἶχεν, ἐξαγωνίσαντες αὐτὸν, καὶ πολλὰς ἐπιθέντες πληγὰς, εἶτα μετεωρίσαντες καὶ τὰς πλευρὰς διαξαίνοντες ἐμάνθανον πλέον οὐδὲν, ἀλλ' ἐγίνετο παρόμοιον τῷ ἐπὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Καὶ γὰρ τότε ἐτάγησαν μὲν οἱ στρατιῶται τὸ σῶμα φυλάττειν τοῦ Ἰησοῦ, ἵνα μὴ ἐκγένηται, φησὶ, κακουργῆσαι περὶ τὴν κλοπὴν τοῖς μαθηταῖς· τὸ δὲ πρᾶγμα εἰς τοῦτο ἐξέβαινεν, ὥστε μηδὲ ἀναίσχυντον πρόφασιν ὑπολειφθῆναι τοῖς βουλομένοις περὶ τὴν πίστιν τῆς ἀναστάσεως κακουργεῖν. Καὶ ἐνταῦθα εἶλκετο μὲν ὁ ἱερεὺς, ἵνα μὴ θείας ὀργῆς, ἀλλ' ἀνθρωπίνης κακουργίας ἔργον εἶναι μαρτυρήσῃ τὸ γεγονὸς· στρεβλούμενος δὲ καὶ αἰκιζόμενος καὶ οὐδένα ἔχων ἐκδοῦναι, ἐμαρτύρει θεόπεμπτον εἶναι τὸ πῦρ, ὡς μηδὲ τοῖς ἀναισχυντεῖν βουλομένοις εἶναί τινα λόγον λοιπόν. Ἀλλ' ὅπερ πρὸ μικροῦ θέλων εἰπεῖν ἀνεβαλόμην, τοῦτο νῦν εὐκαίρως ἐρῶ. Τί δὲ τοῦτό ἐστιν; Ὅτι τῷ φόβῳ διέσεισεν αὐτοῦ τὴν ψυχὴν ὁ μάρτυς, ὡς μὴ περαιτέρω τῇ τόλμῃ [e] προελθεῖν. Οὐ γὰρ δήπου τὸν μὲν ἱερέα, καὶ ὃν ἐν τοσαύτῃ πρότερον ἦγε τιμῇ, τοσούτοις ὑπὲρ τῆς ὀροφῆς περιέβαλλε κακοῖς, καὶ θηρίου μᾶλλον αἱμοβόρου διεσπάραττε, τάχα δ' ἂν καὶ ἀπεγεύσατο τῶν σαρκῶν, εἰ μὴ πᾶσι τὸ πρᾶγμα ἐδόκει εἶναι μυσαρόν· τὸν δὲ ἅγιον αὐτοῦ τοῦ δαίμονος τὸ στόμα ἐμφράξαντα πάλιν εἰς τὴν πόλιν ἦγεν, ὥστε ἐν πλείονι εἶναι τιμῇ. Εἰ γὰρ καὶ μὴ πρότερον, ὅτε τὴν ἦτταν ὁ δαίμων ὡμολόγησεν, ἀλλὰ μετὰ τὸν ἐμπρησμὸν πάντα ἀνέτρεψεν ἂν καὶ ἀπώλεσε, καὶ κατέφλεξε τὴν λάρνακα, τὸ μαρτύριον ἑκάτερον, τό τε ἐν τῇ Δάφνῃ, τό τε ἐν τῇ πόλει, εἰ μὴ τοῦ θυμοῦ ὁ φόβος ἦν μείζων, καὶ τῆς ἀθυμίας ἐκράτει τὸ δέος. Ἔθος γὰρ τοῖς πολλοῖς τῶν ἀνθρώπων, ὅταν ὑπὸ ὀργῆς κατασχεθῶσι καὶ λύπης, κἂν μὴ τοὺς αἰτίους λάβωσι τῶν παθῶν, εἰς τοὺς ἐμπίπτοντας ἁπλῶς καὶ ὑπόπτους ἀφιέναι τὴν ὀργήν. Οὐ πόρρω δὲ τῆς ὑποψίας ταύτης ὁ μάρτυς ἦν· ἅμα τε γὰρ αὐτὸς εἰς τὴν πόλιν ἀφίκετο, καὶ τὸ πῦρ ἦλθεν εἰς τὸν ναόν. Ἀλλ' ὅπερ ἔφην, πάθος ἐμάχετο πάθει, καὶ ὀργῆς ἐκράτει δειλία. Ἐννόησον γάρ μοι τίς ἦν ὁ χρηστὸς ἐκεῖνος εἰς τὸ προάστειον ἀνιὼν, καὶ τὸ μὲν μαρτύριον ὁρῶν ἐστηκὸς, τὸν δὲ νεὼν ἐμπεπρησμένον, καὶ τὸ εἴδωλον ἠφανισμένον, καὶ τὰ ἀναθήματα ἀνηλωμένα, καὶ τῆς τε ἑαυτοῦ φιλοτιμίας καὶ τῆς σατανικῆς πομπῆς πᾶσαν ἐξηρημένην ὑπόμνησιν. Εἰ γὰρ μήτε θυμὸς αὐτὸν μήτε ἀθυμία ταῦτα ὁρῶντα εἰσῆει, τὴν γοῦν αἰσχύνην οὐκ ἂν ἤνεγκε, καὶ τὸν πολὺν γέλωτα, ἀλλ' ἐξέτεινεν ἂν τὰς ἀνόμους χεῖρας καὶ ἐπὶ τὸ τοῦ μακαρίου μαρτύριον, εἰ μὴ τοῦτο ὅπερ εἶπον κατεῖχεν αὐτόν. Οὐδὲ γὰρ μικρὸν ἦν τὸ [566] γεγονὸς, ἀλλὰ πᾶσαν μὲν τῶν Ἑλλήνων τὴν παῤῥησίαν ἐξέκοψεν, ἅπασαν δὲ τὴν εὐφροσύνην ἔσβεσε, τοσαύτην δὲ τῆς ἀθυμίας τὴν ἀχλὺν αὐτοῖς κατεσκέδασεν, ὅσην ἂν εἰ πάντες ἀπολώλεσαν οἱ νεοί.

ιη'. Καὶ ὅτι οὐ κομπάζων λέγω ταῦτα, αὐτὰ παραθήσομαι τὰ ῥήματα τῶν ὀδυρμῶν καὶ τῆς μονῳδίας, ἣν εἰς [f] τὸν δαίμονα τοῦτον ὁ τῆς πόλεως τότε εἰργάσατο σοφιστής. Ἔχει δὲ οὕτως ἡ τῶν θρήνων ἀρχή· *Ἄνδρες, ὦν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ οὖν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν ἔτι, μήτε μεγάλην καλῶμεν τήνδε τὴν πόλιν.* Εἶτα εἰπών τινα περὶ τοῦ μύθου τῆς Δάφνης καὶ διαλεχθεὶς (οὐ γὰρ ἅπαντα ἐνθεῖναι τὸν λόγον ἐνταῦθα καιρὸς, ὑπὲρ τοῦ μὴ μῆκος ἐπεισαγαγεῖν περιττὸν), λέγει, ὅτι ὁ Περσῶν βασιλεύς ποτε ὁ τὴν πόλιν ἑλὼν, ἐφείσατο τοῦ νεώ· τὰ δὲ ῥήματά ἐστι ταῦτα· *Ὁ μὲν στρατὸν ἐφ' ἡμᾶς [g] ἀγαγὼν, ᾤετο αὐτῷ βέλτιον εἶναι σεσῶσθαι τὸν νεὼν, καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ· νῦν δὲ, ἤ μοι καὶ γῆ, τίς ἡ πόθεν ὁ πολέμιος οὗτος, ὃς οὐδὲ ὁπλιτῶν, οὐδὲ ἱππέων, οὔτε ψιλῶν τινων δεηθεὶς μικρῷ σαιρίδι πάντα ἀνάλωσεν;* Εἶτα δεικνὺς, ὅτι αὐτοῦ τότε ἐκράτησεν ὁ μακάριος, ὅτε μάλιστα ἤνθει τὰ τῶν Ἑλλήνων θυσίαις καὶ τελεταῖς, φησί· *Καὶ δὴ καὶ ἡμῖν τὸν νεὼν ὁ μὲν πολὺς ἐκεῖνος κατακλυσμὸς οὐ*

[a] Savil. οἱ δὲ οὐ μόνον οὐκ. Mox unus εἶχοντο μελῶν. Infra Savil. et unus πρὶν ἢ τῶν οὐδῶν.
[b] Alii ἀτάκτως.
[c] Alii ἐκκέκαυται, alii ἐκκεκάλυπται.
[d] Alii πλὴν τῶν περί.
[e] Savil. et quidam mss. τῆς τόλμης.
[f] Unus codex μονῳδίας ἧς εἰς. Mox idem ad vocem σοφιστής, in marg. habet Ἀιβάνιος. Infra unus θρήνων ἀπαρχή.
[g] Sic Savil. et duo mss. Morel. ἐφ' ὑμᾶς.

πηρέσυρεν, ἐν αἰθρίᾳ δὲ καὶ τῆς νεφέλης παρελθούσης κατεγήνεκται· νεφέλην καὶ κατακλυσμὸν τὸν τοῦ προτέρου βασιλέως καιρὸν καλῶν. Καὶ παλιν μικρὸν προελθών, αὐτὸ δὴ τοῦτο πικροτέρως ἀποδύρεται λέγων· *Εἶτα διψώντων μέν σοι τῶν βωμῶν αἵματος, ἔμενες, Ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς Δάφνης, καὶ ῥᾳθυμούμενος· ἔστι δὲ ὅπη καὶ προπηλακιζόμενος περιχοπτόμενός τε τὸν ἔξω κόσμον ἠρέσχου* [a]· *νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς, στόμα βασιλέως ὅσιον τῷ ποδὶ δεξάμενος, ἰδὼν δν προὔλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμηνυμένου, πονηροῦ γειτονήματος ἀπαλλαγείς, νεκροῦ τινος ἐνοχλοῦντος ἐγγύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. Πόθεν ἔτι φιλοτιμησόμεθα πρὸς ἄνδρας ἱερῶν μεμημένους καὶ ἀγαλμάτων;* Τί λέγεις, ὦ θρηνῳδέ; Ἀτιμαζόμενος μὲν καὶ προπηλακιζόμενος τῆς Δάφνης ἔμενε φρουρὸς ἀσφαλής· τιμώμενος δὲ καὶ θεραπευόμενος οὐδὲ τὸν ναὸν ἴσχυσε φυλάξαι τὸν αὐτοῦ, καὶ ταῦτα εἰδὼς, ὅτι ἐκείνου πεσόντος εἰς μείζονα ἀτιμίαν καταστήσεται τῆς προτέρας; Τίς δὲ καὶ ὁ νεκρὸς, ὦ σοφιστά, ὁ τὸν σὸν θεὸν ἐνοχλῶν; ποῖον τὸ πονηρὸν γειτόνημα; Ἐνταῦθα γὰρ εἰς τὰς τοῦ μακαρίου Βαβύλα ἀνδραγαθίας ἐμπεσών, καὶ διανήξασθαι τὴν αἰσχύνην οὐκ ἔχων, ἐγκαλυψάμενος ἁπλῶς παρέδραμεν, ὅτι μὲν ὑπὸ τοῦ μάρτυρος ἠνωχλεῖτο καὶ ἐθλίβετο ὁ δαίμων, εἰπὼν, οὐκέτι δὲ προσθεὶς πῶς τὴν ἦτταν συσκιάσαι σπουδάσας ὁ δαίμων, μᾶλλον αὐτὴν ἐξεκάλυψεν· ἁπλῶς γάρ φησι· *Πονηροῦ γειτονήματος ἀπαλλαγείς.* Διὰ τί γὰρ οὐ λέγεις, ὦ ληρόσοφε, τὸν νεκρὸν τίς [567] ἦν, καὶ διὰ τί μόνος ἠνώχλει σου τὸν θεὸν, καὶ διὰ τί μετεκινεῖτο μόνος; Διὰ τί δὲ καὶ πονηρὸν αὐτὸν γειτόνημα καλεῖς, εἰπέ μοι; ὅτι τοῦ δαίμονος τὴν ἀπάτην ἤλεγξε; Καὶ μὴν τοῦτο οὐ πονηροῦ τινος γειτονήματος ἔργον ἦν, ὥσπερ οὖν οὐδὲ νεκροῦ, ἀλλὰ καὶ ζῶντος, καὶ ἐνεργοῦντος, καὶ χρηστοῦ, καὶ προστάτου, καὶ κηδεμόνος, καὶ πάντα ὑπὲρ τῆς ὑμετέρας πραγματευομένου σωτηρίας, εἴ γε ἐβούλεσθε. Ἵνα γὰρ ὑμῖν μὴ ἐξῇ ἐπὶ πλέον ἀπατᾶν ἑαυτοὺς, καὶ λέγειν, ὅτι ὀργιζόμενος, καὶ ὑπὲρ θυσιῶν ἐγκαλῶν, καὶ ὑπὲρ τῆς ἄλλης θεραπείας μεμφόμενος ἀνεχώρησεν ἐκὼν, διὰ τοῦτο αὐτὸν καὶ ἐκ τοῦ χωρίου τούτου παντὸς ἀπῆλασεν, ὃ μάλιστα πάντων φίλον ἦν αὐτῷ, καὶ ὃ τῶν ἄλλων μᾶλλον οὗτω προετίμησεν, ὡς καὶ ἀτιμαζόμενος προσεδρεύειν αὐτῷ. Σὺ γὰρ τοῦτο προλαβὼν εἶπες [b]· *Καὶ ἐν τούτῳ δὲ τῷ καιρῷ ἐν ᾧ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς αὐτῷ κατέσφαττεν ὁ βασιλεύς·* ὥστε πανταχόθεν ἐλέγχεσθαι, ὅτι ἀναγκαζόμενος καὶ ὑπὸ μείζονος ὠθούμενος δυνάμεως τὴν Δάφνην ἀπέλιπεν. Ἐνῆν μὲν γὰρ καὶ τοῦ ξοάνου μένοντος διώκειν αὐτὸν, ἀλλ' ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, ὥσπερ οὖν οὐδὲ πάλαι ὅτε ὑπ' αὐτοῦ πεπέδητο, ἀλλ' ἐνέκεισθε θεραπεύοντες. Δι' ὃ πρότερον ἀφεὶς ἑστάναι τὸ ξόανον, ὅτε μάλιστα ἤρθη τῆς ἀσεβείας ἡ φλὸξ, τότε αὐτὸ κατήνεγκε, δεικνὺς ὅτι τὸν νικῶντα οὕτω χρὴ νικᾶν, οὐ τεταπεινωμένων, ἀλλ' αἰρομένων καὶ λαμπρῶν ὄντων περιγινόμενον τῶν ἐχθρῶν. Διὰ τί γὰρ αὐτὸς τότε οὐκ ἐκέλευσε τῷ εἰς τὴν Δάφνην αὐτὸν ἀναγαγόντι βασιλεῖ, κατασκάψαι τὸν νεών, μεταθεῖναι τὸ ξόανον, ὥσπερ οὖν καὶ τὴν λάρνακα; Ὅτι οὔτε ἐβλάπτετο παρ' αὐτοῦ, οὔτε σαρκικῆς ἔχρῃζε συμμαχίας, ἀλλὰ καὶ τότε καὶ νῦν χωρὶς ἀνθρωπίνης αὐτὸν κατέβαλε χειρός. Καὶ τὴν μὲν προτέραν ἡμῖν οὐκ ἐδήλωσε νίκην, ἀλλ' ἐπιστομίσας αὐτὸν μόνον ἡσύχαζε. Τοιοῦτοι γὰρ οἱ ἅγιοι· κατορθοῦσθαι βούλονται τὰ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν μόνον, οὐκέτι δὲ καὶ ἐπιδείκνυσθαι τοῖς πολλοῖς, ὅτι αὐτῶν τὰ κατορθώματα, πλὴν εἴ πού τις χρεία ἀναγκάσειε· χρείαν δὲ τὴν τῶν σωζομένων κηδεμονίαν [c] λέγω πάλιν, ὅπερ τότε ἐγένετο. Ἐπειδὴ γὰρ τὰ τῆς ἀπάτης ηὔξετο κακὰ, ἐκκαλύπτεται μὲν ἡμῖν ἡ νίκη λοιπὸν, ἐκκαλύπτεται δὲ οὐχ ὑπὸ τοῦ νικήσαντος, ἀλλ' ὑπὸ τοῦ νικηθέντος αὐτοῦ. Οὕτω γὰρ ἥ τε μαρτυρία καὶ παρὰ τοῖς ἐχθροῖς ἀνύποπτος ἦν, ὅ τε ἅγιος τὰ περὶ ἑαυτοῦ λέγειν, καὶ ἀνάγκης οὔσης ἐξέφυγεν· ἐπειδὴ δὲ οὐδὲ οὕτω τὰ τῆς πλάνης ἔληγεν, ἀλλ' ἐνέκειντο πάλιν οἱ τῶν λίθων ἀναισθητότεροι τὸν ἡττημένον παρακαλοῦντες, καὶ πρὸς οὕτω φανερὰν ἀλήθειαν τυφλώττοντες, τηνικαῦτα ἐπαφεῖναι ἠναγκάσθη τῷ ξοάνῳ τὸ πῦρ, ὥστε διὰ τούτου τοῦ ἐμπρησμοῦ ἕτερον τὸν εἰδωλολατρείας σβέσαι ἐμπρησμόν.

ιθ'. Τί οὖν μέμφῃ τῷ δαίμονι λέγων, ὅτι *Ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας;* Οὐκ ἀπεπήδησεν ἐκὼν; ἀλλ' ἁπηλάθη καὶ ἐξεβλήθη ἄκων καὶ ἀναγκαζόμενος τότε, ὅτε μάλιστα μένειν ἤθελε, καὶ διὰ τὴν κνίσσαν, καὶ διὰ τὰ θύματα. Ὥσπερ γὰρ εἰς τοῦτο βασιλεύσας ὁ τότε κρατῶν, ἵνα τὰ θρέμματα τῆς οἰκουμένης ἀναλώσῃ πάσης, οὕτως ἀφειδῶς [568] κατέκοπτεν ἐπὶ τῶν βωμῶν πρόβατα καὶ βοῦς, καὶ εἰς τοῦτο μανίας ἦλασεν, ὡς καὶ τῶν παρ' αὐτοῖς δοκούντων ἔτι φιλοσοφεῖν πολλοὺς μάγειρον αὐτὸν, καὶ κρεῶν κάπηλον, καὶ πάντα τὰ τοιαῦτα ἀποκαλεῖν. Οὐκ ἂν οὖν οὕτω δαψιλοῦς τραπέζης, καὶ κνίσσης, καὶ καπνοῦ, καὶ χειμάῤῥων αἱμάτων ἀνεχώρησεν ὁ δαίμων ἐκὼν, ὁ καὶ χωρὶς τούτων μένων, ὡς ἔφης, διὰ τὴν πρὸς τὴν ἐρωμένην μανίαν.

Ἀλλὰ γὰρ τὸν παρ' ἡμῶν λόγον στήσαντες τέως, πάλιν ἐπακούσωμεν τῶν ὁδυρμῶν τοῦ σοφιστοῦ. Ἀφεὶς γὰρ τὸν Ἀπόλλω πρὸς τὸν Δία πάλιν ὀλοφύρεται λέγων· *Οἵαν, ὦ Ζεῦ, γνώμης καμούσης ἀφῃρέθημεν ἀνάπαυλαν· ὡς καθαρὸν μὲν θορύβων ἡ Δάφνη χωρίον, καθαρώτερος δὲ ὁ νεὼς, οἷον λιμένος ἐπὶ λιμένι παρ' αὐτῆς πεποιημένου τῆς φύσεως· ἀκυμάντοιν μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν παρεχομένου τοῦ δευτέρου. Τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ; τίς δὲ οὐκ ἂν φόβον; τίς δὲ οὐκ ἂν πένθος; τίς δὲ ἂν ἐπόθησε τὰς μακάρων νήσους;* Ποίαν ἀνάπαυλαν ἀφῃρέθημεν, ὦ μιαρέ; πῶς δὲ καθαρώτερος θορύβων ὁ νεὼς, καὶ λιμὴν ἀκύμαντος, ἔνθα αὐλοὶ, καὶ τύμπανα, καὶ κραιπάλαι, καὶ κῶμοι, καὶ μέθαι; *Τίς οὐκ ἂν αὐτόθι,* φησὶ, *νόσον ἀπέδυ;* Τίς μὲν οὖν τῶν προσκειμένων σοι οὐκ ἂν ἐδέξατο νόσον αὐτόθι, εἰ καὶ πρότερον ὑγιαίνων ἐτύγχανε, καὶ νόσον τὴν πασῶν χαλεπωτάτην; Ὁ γὰρ τὸν δαίμονα προσκυνῶν, καὶ τῆς Δάφνης τὴν ὑπόθεσιν ἀκούων, καὶ τοῦ θεοῦ τὴν μανίαν τοσαύτην ὁρῶν, ὡς καὶ καταποθείσης τῆς ἐρωμένης ἔτι προσεδρεύειν τῷ τόπῳ καὶ τῷ φυτῷ, πόσην ἐκεῖθεν οὐκ ἂν ἐδέξατο φλόγα μανίας; πόσον χειμῶνα; πόσον θόρυβον; πόσην νόσον; πόσον πάθος; Τοῦτο οὖν ἀνάπαυλαν καλεῖς ψυχῆς, καὶ λιμένα ἀκύμαντον; τοῦτο νόσων ἀπαλλαγήν; Καὶ τί θαυμαστὸν εἰ τὰ ἐναντία τοῖς ἐναντίοις τίθεσαι; Καὶ γὰρ οἱ μαινόμενοι τῶν πραγμάτων οὐδενὸς ὡς ἔχει φύσεως αἰσθάνονται, ἀλλὰ ἐναντίας τοῖς οὖσι τὰς ψήφους ἐκφέρουσιν. *Ὀλύμπια μὲν οὐ μάλα πόῤῥω·* πάλιν γὰρ ἐπὶ τὸν θρῆνον ἐλεύσομαι δεικνὺς ὅσην

[a] Alii et Liban. ed. ἠνείχου. Infra iidem πολλὰς δὲ βοῦς.
[b] Alii εἶπας. Paulo post unus codex πολλὰς δὲ βοῦς.
[c] Alii τὴν τῶν ἀνθρώπων κηδεμονίαν.

sereno tempore, cum nubes præteriisset, dejectum est. Nubem et diluvium vocat præcedentis Imperatoris tempus. Rursus paulum progressus hoc ipsum amarulentius deplorat his verbis : *Deinde cum aræ tuæ sanguinem sitirent, neglectus, o Apollo, sedulus Daphnes custos manebas; aliquando etiam lacessitus atque externo spoliatus ornatu patienter tulisti : nunc autem tot ovibus bobusque mactatis, os Imperatoris sacrum pede excepisti, intuitus quem prædicebas, visus ab eo, quem prænuntiaveras, malo vicino liberatus, mortuo quodam nempe, qui tibi molestiam creabat, ex medio cultu exsiliisti. Undenam ultra gloriabimur apud viros sacrorum statuarumque tuarum memores?* Quid ais, lugubris decantator? Itane contumelia et injuria affectus tutus mansit Daphnes custos; cum autem honor ipsi atque cultus redderetur, ne templum quidem suum servare potuit; præsertim cum sciret, collapso illo, majorem sibi ignominiam futuram esse? Quis autem ille mortuus, o sophista, qui deo illi molestiam creabat? ecqua illa mala vicinitas? Hic enim in beati Babylæ virtutes cum incidisset, nec ignominiam præterire posset, eam præ pudore se occultans præteriit : testatus autem dæmonem a martyre molestia atque ærumna affectum fuisse, nec adjiciens, dæmonem, cum cladem suam tegere vellet, magis illam detexisse, simpliciter dixit, a mala vicinitate liberatum esse. Cur non dicis, o sapientium nugacissime, quis ille mortuus esset, et quare solus deo tuo molestiam crearet? Quare vicinitatem illam malam vocas? an quia dæmonis fraudem arguebat? Atqui id non erat malæ vicinitatis opus; quemadmodum nec mortui, sed viventis, operantis, probi, patrocinantis et curatoris, atque omnia pro salute vestra agentis, si quidem voluissetis. Etenim ne vobis ulterius liceret vos ipsos decipere ac dicere ipsum iratum, et ob intermissa sacrificia expostulantem, deque reliquo pariter omisso cultu conquerentem, ultro abscessisse : ideo martyr eum ex loco prorsus ejecit, qui locus ipsi maxime omnium gratus erat, quemque aliis locis ita anteferebat, ut vel inhonoratus ibi insideret. Nam id tu quoque dicere prævertisti : *Atque hoc ipso tempore, quo multas ipsi oves et multos boves immolabat Imperator* (*Libanii verba*) : ut palam sit undequaque, ipsum coactum majoreque vi pulsum Daphnen reliquisse. Potuisset quidem Babylas vel manente statua ipsum loco pellere; at vos non credidissetis, quemadmodum neque olim, cum ab eo victus fuisset, vosque assiduo cultu instaretis. Quamobrem cum prius simulacrum stare permisisset, tunc illud dejecit, cum maxime flamma impietatis exsurgeret, ostendens victorem tum vincere oportere, non cum afflicti ac depressi, sed cum florentes atque elati sunt adversarii. Cur enim, cum Daphnen transportaretur, Imperatori se transferenti non mandavit, ut templum dirueret ac statuam transferret, ut capsam transferebat? Quia nimirum nihil ab illa lædebatur, neque carnali egebat auxilio; sed et tunc et nunc sine humana manu dejecit. Et primam quidem ille victoriam non declaravit nobis; sed cum illi os obstruxisset, quievit. Hujusmodi sunt sancti : ea solum, quæ ad hominum salutem spectant, perfici volunt, nec tamen multis hæc sua esse opera declarari, nisi urgente necessitate; necessitatem porro voco servandorum hominum salutem : quod et tunc factum est. Quoniam enim fraudis mala latius serpebant, tunc demum nobis victoria revelatur : et quidem non a victore, sed ab ipso victo. Hoc autem modo testimonium ne ipsis quidem hostibus suspectum erat, cum sanctus ille, vel urgente necessitate, quæ ad se spectabant prædicare renueret : at vero cum ne sic quidem error cessaret, sed rursus instarent illi, vel saxis ipsis stupidiores, devictum dæmonem implorantes, et ad tam apertam veritatem cæcutientes, tunc necesse fuit in statuam ignem jaculari, ut hoc incendio alterum, idololatriæ nempe, incendium exstingueretur.

19. Cur ergo dæmonem criminaris dicens, *De medio cultu te subtraxisti?* Non libens se subtraxit, sed invitus et coactus, ejectus et pulsus est, cum maxime manere, nidore et sacrificiis allicientibus, voluisset. Ac si enim ad hoc imperaret Imperator ille, ut orbis pecora omnia absumeret, sic affatim oves et boves ad aras mactabat, eo insaniæ progressus, ut multi ex iis qui etiam nunc apud eos philosophari videntur, coquum ipsum, carnium cauponem, et similibus vocabulis appellarent. Certe a tam lauta mensa, nidore, fumo, et sanguinis torrentibus libens non aufugisset dæmon, qui, ut tu dicebas, his destitutus, propter insanum puellæ amorem ibi manebat.

Jovem compellat Libanius; Libanii verba. — Verum hic, intermissa tantisper oratione, sophistæ lamenta iterum audiamus, qui misso jam Apolline, apud Jovem conqueritur his verbis : *Quale, o Jupiter, laborantis animi laxamentum perdidimus! quam tumultu vacuus Daphnes locus! quanto magis vacuum ipsum templum! quo in loco natura ceu portum in portu fecerat, fluctuum expertem utrumque, sed secundum majorem tranquillitatem afferentem. Quis ibi morbum non deposuit? quis non metum? quis non luctum? quis fortunatas insulas desideravit?* Quale laxamentum perdidimus, o sceleste? quomodo tumultu magis vacuum templum, quomodo portus fluctuum expers, ubi tibiæ, tympana, crapulæ, comessationes et ebrietates? *Quis non ibi morbum deposuit*, inquit? Imo quis cultorum tuorum non ibi morbum contraxit, etiamsi prius bene valeret, morbum, inquam, omnium gravissimum? Nam qui dæmonem adorat, et Daphnes fabulam audit, tantamque dæmonis insaniam videt, ut vel absorpta amica adhuc loco et arbori insideat, quantam hinc insaniæ flammam non concipiat? quantam tempestatem, quantum tumultum, quantum morbum, quantam perturbationem? Idne vocas animi laxamentum, et portum fluctuum expertem? idne morbi levamen? Ecquid mirum si contraria contrariis apponas? Nam qui furore correpti sunt, nullius rei naturam uti se habet sentiunt, sed contrarios rei veritati calculos ponunt. *Olympia siquidem non admodum procul :* rursus enim ad lamentum revertar, ut ostendam quantam gentiles

omnes tunc urbem incolentes plagam acceperint; palamque faciam Imperatorem non id æquo animo laturum, sed totum furorem in martyris arcam effusurum fuisse, nisi eum major metus cohibuisset? Quid igitur ait? *Olympia non admodum procul : celebritas urbes convocabit ; hæ venient boves agentes Apollini sacrificandos. Quid faciemus ? quo nos subducemus? quis deorum nobis terram dehiscere jubebit ? quis præco, quæ tuba non lacrymas exprimet? quis Olympia festum vocabit , quod proximus casus luctum invexerit ? Da mihi arcum corneum*[1], *inquit tragœdia. Ego autem dico , et vaticinii nonnihil , ut illo capiam , hoc sagittis impetam facinoris auctorem. O impiam audaciam ! o impuram animam ! o temerariam manum ! Tityus alter hic est , vel Idas Lyncei frater ; non magnus ut ille , non jaculator ut hic , sed in unum edoctus , contra deos insanire. Aloei filios diis insidias struere cogitantes morte sedusti , Apollo ; huic vero ignem procul ferenti non occurrit sagitta in cor ipsius involans. O dexteram furiosam ! o iniquum ignem ! quonam primum incidit ? quod mali exordium ? num a tecto exorsus ad reliqua processit ? ad caput illud , ad faciem , ad phialam , ad cidarim, ad talarem vestem ? Vulcanus, ignis penuarius, non comminatus est igni grassanti , cum gratiam referendam haberet deo ob sibi datum olim indicium. Sed neque Jupiter imbrium moderator aquam emisit in flammam, qui tamen Lydorum regi periclitanti pyram exstinxerit. Quid primum ad illum dixit , qui bellum aggressus est ? undenam illa confidentia? quomodo impetum servavit ? cur decretum suum non solvit, dei pulchritudinem reveritus ?* Quousque miser et infelix rem non intelliges, qui dicis hæc humanæ opus manus esse, et ceu lymphatus tecum ipse pugnas et digladiaris? Nam si Persarum regem , tantum dueentem exercitum , qui urbem ceperat , cæteraque omnia templa exusserat , facem manibus gerebat, et jamjam templo admoturus erat, dæmon mutavit; hoc enim initio næniæ tuæ lugens dicebas : *Persarùm regem , unum ex majoribus ejus, qui nobiscum bellum gerit, cum proditione urbem cepisset et incendisset, Daphnen idipsum facturum properantem , mutavit deus , ut abjecta face Apollinem adoraret : adeo illum conspectu suo emollivit atque convertit ;* ille, inquam, dæmon, qui furorem barbaricum et tantum exercitum superare, ut dicebas, et tantum tunc periculum effugere potuit, qui, ut adjicis, Aloidas diis insidias struentes morte sedavit : quomodo, quæso, is qui tanta potuit, nihil simile nunc effecit ? Atqui si nihil aliud, certe sacerdotem injuste laceratum, producto facinoris auctore, miserari oportuit.Et si quidem incendii tempore effugit ille, at quando miser ille suspensus latera perfoderetur, cumque rogatus facinoris auctorem declarare, non haberet quem nominaret, tunc certe sistere facinorosum producereque oportuit , vel saltem indicare , si producere non poterat. Nunc vero negligit ingratus ministrum suum injuste lancinatum intuitus , negligit ipsum Imperatorem tot victimis risum sibi parantem. Siquidem eum ceu furiosum et mente captum omnes deridebant , cum iram suam in miserum illum effunderet. Quomodo autem is qui Imperatoris adhuc procul agentis adventum prædicebat (nam et illud superius lugens dicebas), eum qui proxime stabat seque comburebat non vidit? Quamquam et illum vatem esse dicitis , aliasque aliis diis vestris , tamquam hominibus , artes assignatis : illi vaticinandi facultatem adscripsistis , nec tamen eum tecum artem suam communicare rogas. Quomodo proprias non novit calamitates , quod ne vir quidem ignoraret ? Annon fortasse dormivit cum ignis accenderetur ? At non ita sensus exspers est , ut admota flamma non statim surgat , et admoventem comprehendat. Vere *Græci semper pueri, senex Græcus nemo* (*a*). Cum enim propriam deplorare stultitiam oporteret , quod ipsis etiam rebus dæmonum fallaciam inclamantibus , neque sic resilitis , sed vos in perniciem dedentes , vestramque prodentes salutem , instar pecudum agimini, quo illi ducere velint , qui sedentes statuarum exitium lugetis. Tu vero arcum flagitas , nihilque differs ab eo, qui hæc in tragœdia loquitur. Quo pacto enim id non furor manifestus fuerit de armis ejusmodi aliquid exspectare , quæ ne possidenti quidem se opem tulere? Quod si tu tibi majorem et artem et experientiam inesse dicas , quam dæmoni , ipsum certe colere non oportebat , utpote imperitiorem et infirmiorem , vel in quibus illum præcellere dicitis. Quod si primas illi concedis , sive jaculari sive vaticinari oporteat , quomodo artis solum parte præditus , illa te præstare posse putasti , quæ non potuit is qui totam tenet artem ?

20. Hæc ridicula , hæc nugæ sunt ; neque enim ille vaticinandi artem quampiam habuit , neque si habuisset , illam exercere potuisset. Non enim vir, non utique hæc operatus est, sed divina virtus ; causam autem postea aperiam. Interim vero par est edi-scere cujus rei causa ingrati animi Vulcanum accuset his verbis : *Vulcanus autem , ignis penuarius , non comminatus est igni grassanti , cum gratia ipsi referenda esset deo ob datum olim indicium.* Quæ gratia? quod olim indicium ? quare præclara deorum tuorum gesta occultas? Nam si gratiam indicares , Vulcanum magis ingratum ostenderes. Sed rubore ac pudore teneris : igitur nos libere res tuas aperiemus. Quænam igitur illa gratia ? Martem olim Veneris amore captum, atque Vulcanum , qui maritus ejus erat , metuentem , cum eum absentem observasset , ad eam accessisse narrant, Apollinem vero , cum illos una commixtos vidisset , Vulcano adulterium renuntiasse : illum eo cum venisset , ambos in lecto repertos vinculis ut tunc erant colligasse , et ad turpe spectaculum deos evocasse, talesque de illis adulterii pœnas sumpsisse. Talis ergo gratiæ debitorem Vulcanum , tempore id postulante, ingratum in reddendo beneficio fuisse ait. Quid igitur Jupiter, o vir optime ? Nam et illum inhumanitatis accusas , *Sed neque Jupiter*, inquiens ,

[1] Sic unus Cod. et Savil. in margine. Alii editi, *arcus et clavicem*. Sic etiam in B., quæ lectio absona est.

(*a*) Hæc verba in Timæo proferuntur ab Ægyptio sacerdote Solonem alloquente.

ἅπαντες οἱ τότε τὴν πόλιν οἰκοῦντες Ἕλληνες ἐδέξαντο τὴν πληγήν, καὶ ὡς οὐκ ἂν τοῦτο[a] πράως ἤνεγκεν ὁ βασιλεύς, ἀλλὰ πάντα θυμὸν εἰς τὴν τοῦ μάρτυρος λάρναχα ἀφῆκεν ἄν, εἰ μὴ φόβῳ κατείχετο μείζονι. Τί οὖν φησιν; *Ὀλύμπια μὲν οὐ μάλα πόρρω· συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις, αἱ δὲ ἥξουσι βοῦς ἄγουσαι τῷ Ἀπόλλωνι θυσίαν. Τί δράσομεν; ποῖ καταδυσόμεθα; τίς ἡμῖν θεῶν διαστήσει τὴν γῆν; ποῖος κῆρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυον; τίς ἑορτὴν ἐρεῖ τὰ Ὀλύμπια, τοῦ πτώματος ἐγγύθεν ἐπεμβάλλοντος ὀδυρμόν; Δὸς τόξα μοι κερουλκά, φησὶν*[b] *ἡ τραγῳδία· ἐγὼ δὲ λέγω, καὶ μαντικῆς τι μικρὸν, ὅπως τῇ μὲν ἕλω, τῇ δὲ τοξεύσω τὸν δράσαντα. Ὦ τόλμης ἀσεβοῦς! ὦ ψυχῆς μιαρᾶς! ὦ θρασείας χειρός! Τίτυός τις οὗτος ἕτερος, ἢ Ἴδας, ὁ ἀδελφὸς Λυγκέως, οὐ μέγας μὲν ὥσπερ ἐκεῖνος, οὐδὲ τοξότης ὥσπερ οὗτος, ἀλλ' ἓν τοῦτο εἰδὼς τὸ κατὰ θεῶν* [569] *μαίνεσθαι. Τοὺς μὲν Ἀλωέως ἔτι διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσας, Ἄπολλον, τούτῳ δὲ πόρρωθεν φέροντι τὸ πῦρ οὐκ ἀπήντησεν ὀϊστὸς ἐπ' αὐτὴν πετόμενος*[c] *τὴν καρδίαν. Ὦ δεξιᾶς τελχῖνος! ὦ πυρὸς ἀδίκου! πῇ ποτε ἄρα τὸ πρῶτον ἔπεσε; τί τοῦ κακοῦ τὸ προοίμιον; ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τὰ ἄλλα προὔβη, τὴν κεφαλὴν ἐκείνην, τὸ πρόσωπον, τὴν φιάλην, τὴν κίδαριν, τὸν ποδήρη χιτῶνα; Ἥφαιστος δὲ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου· ἀλλ' οὐδὲ ὁ Ζεὺς, ὄμβρων ἠρίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. Τί πρῶτον ἆρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θάρσος; πῶς δὲ ἐφύλαξε τὴν ὁρμήν; πῶς δὲ οὐκ ἔλυσε τὸ δόγμα, τοῦ Θεοῦ τὸ κάλλος αἰδεσθείς;* Μέχρι τίνος οὐ διαβλέψεις, ἄθλιε καὶ ταλαίπωρε, ταῦτα ἀνθρωπίνης εἶναι λέγων χειρὸς, καὶ ὥσπερ οἱ παραπαίοντες ἐναντιολογῶν καὶ σαυτῷ μαχόμενος; Εἰ γὰρ τὸν Περσῶν βασιλέα, καὶ τοσαύτην ἄγοντα στρατιὰν, καὶ τὴν πόλιν ἑλόντα, καὶ τὰ λοιπὰ τῶν ἱερῶν ἐμπρήσαντα, καὶ τὴν δᾷδα μετὰ χεῖρας ἔχοντα, καὶ προσάγειν αὐτὴν ἤδη τούτῳ μέλλοντα τῷ ναῷ, μετέβαλεν ὁ δαίμων (καὶ γὰρ καὶ ταῦτα ἐν ἀρχῇ τῆς μονῳδίας ἔλεγες θρηνῶν, οὕτως εἰπών· *Τόν τοι βασιλέα Περσῶν τοῦ νῦν τούτου πολεμοῦντος πρόγονον, προδοσίᾳ τὸ ἄστυ λαβόντα καὶ ἐμπρήσαντα, χωρήσαντα ἐπὶ Δάφνην ὡς τὸ αὐτὸ δράσοντα, μετέβαλεν ὁ θεὸς, καὶ τὴν δᾷδα βίψας προσεκύνησε τῷ Ἀπόλλωνι· οὕτως αὐτὸν κατεπράϋνέ τε καὶ διήλλαξε*[d] *φανείς*)· ὁ δὴ θυμοῦ βαρβαρικοῦ καὶ τοσαύτης περιγενόμενος στρατιᾶς, ὡς ἔφης, καὶ δυνηθεὶς τότε τὸν κίνδυνον διαφυγεῖν (λέγεις δὲ ὅτι καὶ τοὺς Ἀλωέως παῖδας διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσε), πῶς οὖν ὁ τοσαῦτα δυνηθεὶς, οὐδὲν τοιοῦτον εἰργάσατο νῦν; Καίτοι εἰ μηδὲν ἕτερον, τὸν γοῦν ἱερέα σπαραττόμενον ἀδίκως ἐλεῆσαι ἐχρῆν, φανερὸν καταστήσαντα τὸν ἐπίβουλον. Καὶ εἰ τότε παρὰ τὸν ἐμπρησμὸν διέφυγεν, ὅτε γοῦν ὁ δείλαιος ἐκεῖνος κρεμάμενος διωρύττετο τὰς πλευρὰς, καὶ τὸν ἐργασάμενον ἀπαιτούμενος εἰπεῖν οὐκ εἶχε, τότε παραστῆναι ἐχρῆν καὶ ἐκδοῦναι τὸν δράσαντα, ἢ καὶ καταμηνῦσαι μόνον, εἴ γε ἐκδοῦναι οὐκ ἴσχυε[e]· νῦν δὲ περιορᾷ μὲν ὁ ἀχάριστος καὶ ἀγνώμων τὸν αὐτοῦ θεραπευτὴν καταξαινόμενον ἀλόγως, περιορᾷ δὲ τὸν βασιλέα μετὰ τοσαύτας θυσίας καταγελώμενον. Καὶ γὰρ ὡς μαινόμενον καὶ παραπαίοντα πάντες ἐγέλων αὐτὸν, ὅτε εἰς τὸν ἄθλιον ἐκεῖνον ἠφίει τὴν ὀργήν. Πῶς δὲ ὁ τοῦ βασιλέως τὴν παρουσίαν ἔτι μακρὰν ὄντος προλέγων (καὶ γὰρ καὶ τοῦτο ἀνωτέρω τούτων ἐθρήνεις), τὸν πλησίον ἑστῶτα καὶ καταχαίοντα αὐτὸν οὐκ εἶδε; Καίτοι γε καὶ μαντικὸν αὐτὸν εἶναί φατε, καὶ ἄλλοις ἄλλας διανέμοντες τέχνας καθάπερ ἀνθρώποις τοῖς ὑμετέροις θεοῖς, τούτῳ τὴν μαντικὴν ἀνεθήκατε, καὶ οὐδὲ μεταδοῦναι αὐτόν σοι τῆς τέχνης ἀξιοῖς. Πῶς οὖν τὰς οἰκείας οὐκ ἔγνω συμφοράς; καίτοι τοῦτο οὐδ' ἂν ἄνδρα διέλαθεν. Ἀλλ' ἆρα μὴ ἐκάθευδεν ἁπτομένου τοῦ πυρός; Ἀλλ' οὐδὲ οὕτως ἀναίσθητός τίς ἐστιν, [570] ὡς αὐτῷ τῆς φλογὸς προσφερομένης μὴ διαναστῆναι εὐθέως, καὶ τὸν προσάγοντα κατασχεῖν. Ἀληθῶς Ἕλληνες ἀεὶ παῖδες, *γέρων δὲ Ἕλλην οὐδείς.* Δέον γὰρ τὴν οἰκείαν ἄνοιαν θρηνεῖν, ὅτι τῶν πραγμάτων βοώντων τὴν τῶν δαιμόνων ἀπάτην, οὐδὲ οὕτως ἀφίστασθε, ἀλλ' ἐκδόντες ἑαυτοὺς εἰς ἀπώλειαν, καὶ τὴν ὑμετέραν ἀποδόμενοι σωτηρίαν, ἄγεσθε δίκην θρεμμάτων, ἥπερ ἂν κελεύωσιν ἕπεσθαι, οἳ κάθησθε ξοάνων πενθοῦντες ἀπώλειαν. Σὺ δὲ καὶ τόξα ἀπαιτεῖς, οὐδὲν ἐκείνου τοῦ ταῦτα ἐν τῇ τραγῳδίᾳ λέγοντος διεστηκώς. Πῶς γὰρ οὐ μανία πρόδηλος καὶ σαφὴς προσδοκᾶν τι τοῖς ὅπλοις τούτοις ἀνύειν, ἃ τὸν κεκτημένον οὐδὲν ὄνησεν; Εἰ μὲν γὰρ αὐτὸς μείζονα καὶ τὴν τέχνην καὶ τὴν ἐμπειρίαν τοῦ δαίμονος ἔχειν φῂς, οὐκ ἐχρῆν αὐτὸν τιμᾷν ἀμαθέστερόν τε ὄντα καὶ ἀσθενέστερον, ἐν οἷς αὐτόν φατε πάντων κρατεῖν. Εἰ δὲ τῶν πρωτείων ἐκείνῳ παραχωρεῖς, ἄν τε τοξεύειν, ἄν τε μαντεύεσθαι δέῃ, πῶς ἐν τῷ μέρει τῆς τέχνης ταῦτα προσεδόκησας δράσειν, ἅπερ ὁ τὴν ὅλην ἔχων οὐκ ἴσχυσε;

κ'. Γέλως ταῦτα καὶ λῆρος. Οὔτε γὰρ εἶχέ τι μαντικῆς, οὔτε κἂν εἶχεν ἤνυεν ἄν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ ταῦτα ἐργασάμενος ἀνὴρ, ἀλλὰ θεία τις δύναμις. Καὶ τὴν αἰτίαν δὲ μετὰ ταῦτα ἐρῶ· τέως δὲ ἄξιον μαθεῖν ὑπὲρ ὧν ἀγνωμοσύνην ἐγκαλεῖ τῷ Ἡφαίστῳ, οὕτωσί πως λέγων· *Ἥφαιστος δὲ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου.* Ποίαν χάριν; ποίου μηνύματος ἀρχαίου, εἰπέ; διὰ τί κρύπτεις σου τὰ σεμνὰ τῶν θεῶν κατορθώματα; Εἰ γὰρ καὶ τὴν χάριν εἶπες[f] αὐτὴν, μᾶλλον ἂν ἀγνώμονα τὸν Ἥφαιστον ἔδειξας. Ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς· οὐκοῦν ἡμεῖς μετὰ παῤῥησίας ἐροῦμεν τὰ σά. Τίς οὖν ἡ χάρις; Ἐρασθέντα ποτὲ τὸν Ἄρην τῆς Ἀφροδίτης, καὶ τὸν Ἥφαιστον (ἄνδρα γὰρ αὐτῆς εἶναι) δεδοικότα, τὴν ἀπουσίαν ἐπιτηρήσαντα τὴν ἐκείνου, πρὸς αὐτὴν εἰσελθεῖν φασι. Τὸν δὲ Ἀπόλλω θεασάμενον μιγνυμένους αὐτοὺς, ἀπελθόντα πρὸς τὸν Ἥφαιστον τὴν μοιχείαν κατειπεῖν· ἐλθόντα δὲ ἐκεῖνον καὶ ἀμφοτέρους ἐπὶ τῆς κλίνης εὑρόντα, δεσμὰ αὐτοῖς οὕτως ὡς εἶχον περιβαλόντα, καλέσαι τε τοὺς θεοὺς ἐπὶ τὴν ἀσχήμονα θεωρίαν, καὶ ταύτην τῆς μοιχείας εἰσπράξασθαι δίκην αὐτούς. Ταύτης οὖν τῆς χάριτος ὀφειλέτην ὄντα τὸν Ἥφαιστον, καιροῦ καλοῦντος, ἀγνωμονῆσαι περὶ τὴν ἀντίδοσίν φησι. Τί οὖν καὶ ὁ Ζεὺς, ὦ βέλτιστε; καὶ γὰρ καὶ τούτῳ πάλιν ἀπήνειαν ἐγκαλεῖς, *Ἀλλ' οὐδὲ ὁ Ζεὺς, λέγων, ὄμβρων ἠρίας ἔχων, ὕδωρ*

[a] Alii ἂν ταῦτα.

[b] Unus codex et Savil. in marg. τόξα μοι κερουλκά, quam lectionem Libanio edito consonam, absque ulla hæsitatione recepimus. In Chrysost. edit. absurde legebatur τόξα μοι καὶ χοίνικα. Edit.

[c] Sic omnes mss. Morel. vero φερόμενος.

[d] Sic Savil. et omnes mss. Morel. vero διήλεγξε.

[e] Savil. ἴσχυσε.

[f] Alii εἶπας.

ἐρῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ ξυστυχήσαντι σβέσας πυράν. Ἀλλὰ γὰρ καλῶς ποιῶν ἀνέμνησας ἡμᾶς καὶ τοῦ Λυδοῦ· καὶ γὰρ κἀκεῖνον ὁ μιαρὸς οὗτος δαίμων ἠπάτησεν ἐλπίσι φυσήσας κεναῖς, καὶ εἰς προῦπτον κακὸν ἐμβαλών. Καὶ εἰ μὴ φιλάνθρωπος ἦν ὁ Κῦρος, οὐδὲν ἂν αὐτὸν [a] ὤνησεν ὁ Ζεύς. Ὥστε μάτην ἐγκαλεῖς τῷ Διὶ ὡς προτιμήσαντι τοῦ παιδὸς τὸν Λυδόν· οὐδὲ γὰρ ἑαυτῷ ἔνθα μάλιστα πασῶν ἐτιμᾶτο πόλεων, τὴν Ῥωμύλου λέγω, κεραυνωθεὶς ἤμυνεν. Ἐπακούσωμεν δὲ καὶ τῶν [571] λοιπῶν τοῦ θρήνου ῥημάτων· οὕτω γὰρ τὸ πένθος εἰσόμεθα καλῶς, ὃ κατέσχεν αὐτῶν τὰς ψυχάς. *Ἄνδρες, ἔλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τοῦ θεοῦ, καί μοι πρὸ τῶν ὀμμάτων ἵστησιν ὁ λογισμὸς τὸν τύπον, ἡμερότητα μορφῆς, ἀπαλότητα δέρρης, ἐν λίθῳ καὶ ταῦτα, ζωστῆρα περὶ τῷ στήθει συνάγοντα χιτῶνα χρυσοῦν, ὡς αὐτοῦ τὰ μὲν ἐνιζάνειν, τὰ δὲ ὑπανίστασθαι. Τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; Ἐᾴκει γὰρ ᾄδοντι μέλος, καί πού τις καὶ ἤκουσεν, ὡς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος. Ὦτα εὐδαίμονα! Τὸ δὲ ᾆσμα ἆρα ἦν ἔπαινος τῆς γῆς, ἣ μοι φαίνεται καὶ ἐπέρδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε μιγεῖσά τε καὶ συνελθοῦσα.* Εἶτα μικρὰ πρὸς τὸν ἐμπρησμὸν ὀλοφυρόμενος, *Ἑβδόᾳ μέν*, φησίν, *ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς, ἐκυκᾶτο δ' ἐφ' ὕλῃ Δάφνης ἔνοικος ἱέρεια τοῦ θεοῦ· πλῆγαι δὲ στέρνων, καὶ οἰμωγή τις ὀξεῖα διὰ χωρίου πολυδένδρου δραμοῦσα, ἔπτηξε μὲν εἰς τὸ ἄστυ δειλή τε καὶ φρικώδης, ὄμμα δὲ ἄρχοντος ἄρτι γευόμενον ὕπνου, πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανέστησεν. Ὁ δὲ ἐμμανὴς ἤλαυνε, πτερὰ παρ' Ἑρμοῦ [b] ζητῶν, εἶτα αὐτὸς μὲν ἐπὶ ζήτησιν ἦει τῆς τοῦ κακοῦ ῥίζης, φλεγόμενος ἔνδον οὐχ ἧττον ἢ ὁ νεώς· δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ ὅτῳ πελάσειαν φθείρουσαι, τὸν Ἀπόλλω μὲν εὐθύς, ἅτε καὶ μικρὸν διέχοντα τοῦ στέγους, ἔπειτα δὲ τὰ ἄλλα κάλλη, Μουσῶν οἰκιστῶν εἰκόνας, λίθων ἀστραπάς, κιόνων ὥρας. Ὁ δὲ ὄμιλος ὑμοῦ περιεστήκεσαν ὀλοφυρόμενοι, βοηθεῖν δὲ ἀπορροῦντες, ὃ καταλαμβάνει τοὺς ἀπὸ τῆς γῆς ναυαγίαν ὁρῶντας, ὧν ἡ βοήθεια δακρῦσαι τὸ γινόμενον. Ἦ που μέγαν μὲν ἦγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ νύμφαι, μέγαν δὲ ὁ Ζεὺς ὁ ἐγγύς που καθήμενος, ὁποῖον εἰκὸς ἐπὶ τιμωῖς υἱέως συγκεχυμέναις, μέγαν δὲ δαιμόνων μυρίων ὄμιλος [c] ἐν τῷ ἄλσει διαιτωμένων, οὐδὲν ἐλάττω θρῆνον ἐκ μέσης τῆς πόλεως ἡ Καλλιόπη, τοῦ χοροποιοῦ τῶν Μουσῶν ἠδικημένου τῷ πυρί. Εἶτα πρὸς τῷ τέλει φησί· *Γεροῦ μοι καὶ νῦν, Ἄπολλον, οἷόν σε ἐποίησεν ὁ Χρύσης καταρώμενος τοῖς Ἀχαιοῖς, θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα, ὅτι δή σοι τὰς στολὰς ἡμῶν ἀποδιδόντων, καὶ ὅσον ἦν ἀπενεχθὲν ἀντικαθιστάντων, προαρπάσθη τὸ τιμώμενον, οἷον νυμφίου τινὸς πλεκομένων ἤδη στεφάνων ἀπελθόντος.*

κα'. Ὁ μὲν θρῆνος οὗτος, μᾶλλον δὲ ὀλίγα τοῦ θρήνου μέρη. Ἐμοὶ δὲ θαυμάζειν ἔπεισι [d], πῶς ἐφ' οἷς ἐγκαλύπτεσθαι ἐχρῆν, ἐπὶ τούτοις αὐτὸν σεμνύνειν οἴεται, οὐδὲν ἄμεινον ἀχολάστου νέου καὶ αἰσχροῦ κατὰ μεστημβρίαν ποιῶν αὐτὸν κιθαρίζοντα, καὶ τοῦ ᾄσματος ὑπόθεσιν εἶναι λέγων τὴν ἐρωμένην, καὶ ὦτα εὐδαίμονα καλῶν τὰ τῆς ᾠδῆς ἐπακούσαντα τῆς αἰσχρᾶς! Καὶ τὸ μέν τινας τῶν τὴν Δάφνην οἰκούντων δακρύειν, καὶ τοὺς προσκειμένους αὐτοῖς, καὶ τὸν τῆς πόλεως ἄρχοντα φλέγεσθαι, καὶ πλέον τῶν θρήνων μηδὲν ἐμποιεῖν, οὐδὲν θαυμαστόν, τὸ δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἐπὶ τῆς αὐτῆς ἀμηχανίας εἶναι, [572] καὶ δακρύειν μόνον κατ αὐτούς, καὶ μήτε τὸν Δία, μήτε τὴν Καλλιόπην, μήτε τὸν πολὺν τῶν δαιμόνων ὅμιλον, ἀλλὰ μηδὲ τὰς νύμφας αὐτὰς ἀρκέσαι πρὸς τὴν πυράν, ἀλλὰ πάντας κωκυτοὺς καὶ οἰμωγὰς ἐγείρειν μόνον, τοῦτό ἐστι τὸ πολλοῦ γέλωτος γέμον. Ὅτι μὲν οὖν μεγάλην εἶχον πληγήν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἀποδέδεικται· καὶ γὰρ καὶ ἐν μέσῳ που τῆς μονῳδίας ῥητῶς οὕτως περὶ τὰ καίρια πεπλῆχθαι αὐτοὺς ὡμολόγησεν. Οὐκ ἂν οὖν τοῦτ' πράως ἤνεγκεν ὁ βασιλεὺς, μὴ δέει καὶ τρόμῳ μείζονι κατεχόμενος. Ὥρα δὴ λοιπὸν ἐπιδεῖξαι καὶ τὴν αἰτίαν δι' ἣν ὁ Θεὸς οὐκ εἰς τὸν βασιλεύοντα [e] τὴν ὀργὴν ἀφῆκεν, ἀλλ' εἰς τὸν δαίμονα, καὶ διὰ τί μὴ πάντα ἀπώλεσε τὸ πῦρ τὸν ναὸν, ἀλλὰ τὴν στέγην ἀφανίσαν ἅμα καὶ τὸ εἴδωλον ἤλεγξεν. Οὐ γὰρ [f] ἁπλῶς οὐδὲ ἄνευ αἰτίας τινὸς ταῦτα ἐγένετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς ὑπὲρ τῶν πλανωμένων πάντα ἑδρᾶτο. Ὁ γὰρ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, μετὰ τῶν ἄλλων ᾔδει καὶ τοῦτο, ὅτι κατὰ μὲν τοῦ βασιλέως ἐνεχθέντος τοῦ κεραυνοῦ, οἱ μὲν παρόντες καὶ θεασάμενοι τὴν πληγὴν ἐφοβήθησαν ἂν πρὸς καιρὸν, δευτέρου δὲ καὶ τρίτου παρελθόντος ἔτους, ἥ τε μνήμη τοῦ γεγονότος ἀπώλλυτο, καὶ πολλοὶ οἱ διαπιστήσοντες ἦσαν τῷ θαύματι. Εἰ δὲ ὁ ναὸς δέξοιτο τὴν φλόγα, παντὸς κήρυκος σαφέστερον οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσιν ἀπαγγελεῖ τοῦ Θεοῦ τὴν ὀργὴν, ὡς καὶ τοῖς βουλομένοις ἀναισχυντεῖν καὶ συγκαλύπτειν τὸ γεγονὸς πᾶσαν ἀνῃρῆσθαι πρόφασιν. Ἕκαστος γὰρ ἐφιστάμενος τῷ τόπῳ, ὥσπερ ἄρτι συμβεβηκότος τοῦ ἐμπρησμοῦ, οὕτω διατίθεται τὴν ψυχὴν, καὶ φρίκη τις αὐτὸν εἴσεισι, καὶ πρὸς τὸν οὐρανὸν ἀπιδὼν εὐθέως δοξάζει τοῦ ταῦτα ἐργασαμένου τὴν ἰσχύν [g]. Ὥσπερ γὰρ ἂν εἴ τις λῃστάρχου τινὸς σπήλαιον καὶ κατάδυσιν διαῤῥήξας ἄνωθεν ἐξαγάγοι τὸν ἐνοικοῦντα δέσμιον, καὶ τὰ αὐτοῦ πάντα λαβὼν καταλίποι τὸν τόπον θηρίων καὶ κολοιῶν εἶναι καταφυγὴν, εἶτα ἕκαστος τῶν πρὸς τὴν κατάδυσιν ἐρχομένων ἐκείνην, ἅμα τὸν τόπον ὁρῶν, τὰς καταδρομὰς, καὶ τὰς κλοπὰς, καὶ τὴν ἰδέαν φαντάζεται· καὶ ὑπογράφει τοῦ πρότερον κατοικοῦντος αὐτὴν, οὕτω καὶ ἐνταῦθα γίνεται. Πόῤῥωθεν γάρ τις τοὺς κίονας ἰδὼν, εἶτα ἐλθὼν καὶ τὸν οὐδὸν ὑπερβὰς, ὑπογράφει ἑαυτῷ τὸ τοῦ δαίμονος ἀποτρόπαιον, τὴν ἀπάτην, τὰς ἐπιβουλὰς, καὶ καταπλαγεὶς τοῦ Θεοῦ τήν τε ὀργὴν καὶ τὴν ἰσχὺν ἄπεισι, καὶ τὸ πρότερον πλάνης οἰκοδόμημα καὶ βλασφημίας, νῦν δηξολογίας ὑπόθεσις γίνεται· οὕτως εὐμήχανός ἐστιν ἡμῶν ὁ Θεός. Καὶ τὰ παράδοξα ταῦτα οὐ νῦν πρῶτον, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν προτέρων θαυματουργεῖ γενεῶν. Καὶ πάντα μὲν καταλέγειν οὐ τοῦ παρόντος καιροῦ, ἐπιμνησθήσομαι δὲ ὧν τούτῳ παρόμοιον εἶναι δοκεῖ. Πολέμου γὰρ συγκροτηθέντος ἐν τῇ Παλαιστίνῃ ποτὲ τοῖς Ἰουδαίοις πρὸς ἀλλοφύλους τινὰς, νικήσαντες οἱ πολέμιοι, καὶ τοῦ Θεοῦ τὴν κιβωτὸν λαβόντες, ὡς δὴ λάφυρόν τι καὶ ἀκροθίνιον, ἀνέθηκαν αὐτήν τινι τῶν ἐπιχωρίων εἰδώλῳ· Δάγων δὲ ἦν ὄνομα αὐτῷ· καὶ τὸ πρῶτον εἰσενεχθείσης τῆς κιβωτοῦ, κατέπεσέ τε τὸ ξόανον καὶ ἔκειτο πρηνές· ὡς δὲ οὐ συνίεσαν τῆς τοῦ [573] Θεοῦ δυνάμεως τὴν ἰσχὺν ἀπὸ ταύτης τῆς πτώσεως, ἀλλ'

[a] Savil. et unus codex φ. ὧν ὁ Κῦρος ἀφῆκεν, οὐδὲν ἂν αὐτόν.
[b] Savil. in marg. unus cod. et Liban. ed. ἦλ., πτερὰ γὰρ Ἑρμοῦ.
[c] Alii μυρίος ὄμιλος. Infra quidam χαροποιοῦ. Infra alii τὰς στολὰς ἡμῶν, alii et Liban. ed. τὰς θυσίας ἡμῶν.
[d] Alii θαυμάζειν ἔπεσιν.
[e] Savil. et alii τὸν βασιλέα.
[f] Savil. et unus cod. ἔληξεν, οὐδὲ γάρ.
[g] Alii τὴν δύναμιν.

imbrium moderator aquam immisit in flammam, qui tamen Lydorum regi periclitanti pyram restinxit. Sed enim pulchre nobis Lydum in memoriam revocasti : nam et illum hic dæmon decepit vana spe inflans, et in manifestam perniciem conjiciens. Ac nisi Cyrus humanus fuisset, nihil ipsum [1] Jupiter juvisset. Quare frustra Jovi vitio vertis, quod Lydum filio prætulerit : neque enim sibi ipsi in qua urbe maxime colebatur, in Romuli scilicet urbe, fulmine tactus opem tulit.

Libanii verba.— Cæterum audiamus reliqua lamenti verba : sic enim luctum illum, qui eorum occupavit animos, probe sciemus. *Viri, trahitur mihi animus ad speciem dei, mihique cogitatio typum ejus ante oculos statuit, formæ lenitatem, cutis teneritudinem, et hoc in lapide, cingulum circa pectus auream tunicam colligens, ita ut alia quidem subsiderent, alia subsurgerent. Tota vero forma cujus iram vel ferventem non sedasset? Similis enim erat melos canenti : imo quispiam audivit, ut aiunt, in meridie citharam pulsantem. Aures beatas! Cantus vero fortasse erat laudatio terræ, cui de aureo cyatho mihi libare videtur, quod puellam occultarit dehiscens, ac deinde sese contrahens.* Post hæc pauca de incendio questus : *Clamabat*, inquit, *viator fulgure erumpente : turbabatur in luco Daphnes inquilina sacerdos dei : percussiones autem pectorum, et ejulatus acutus per locum arboribus densum percurrens, ad urbem usque vehemens atque horrificus pervadit; principis oculus tunc somnum capere incipiens, ad acerbum nuntium e lecto surrexit. Ille furore percitus alas a Mercurio petit, ipse ad mali radicem quærendam properans, non minus intus ardebat, quam templum. Trabes cadebant deorsum ignem ferentes, quæ proxime stabant absumentes, Apollinem vero statim, utpote qui parum distaret a lecto, hinc et alia ornamenta, Musarumque statuas ibi positas, lapillorum fulgura, columnarum pulchritudinem. Multitudo circumstans lugebat, opem ferre non valens, ut accidit iis qui e terra naufragium vident, quorum auxilium unum est, factum lugere. Certe magnum excitavere luctum ex fontibus exsilientes nymphæ, magnum Jupiter prope sedens, ut par erat labefactatis filii honoribus : ingentem item sexcentorum dæmonum in luco degentium cœtus : nec minorem luctum media ex urbe Calliope excitavit, Musarum chorago igne læsa.* Postea sub finem ait : *Esto mihi et nunc, Apollo, qualem te reddidit Chryses, dum Achivis imprecaretur, ira plenum et nocti similem, quia cum stolas* [2] *tibi redderemus, et quantum ablatum fuerat resitueremus, præreptum est quod colimus, ac si sponsus aliquis, dum coronæ nectuntur, abscessisset.*

21. Hæc lamentatio fuit, seu potius hæ modicæ sunt lamentationis partes. Mihi vero mirari subit, quomodo in iis, quæ pudore afficere debebant, se ornatum esse putet : nihilo melius, quam lascivum et obscœnum juvenem, in meridie eum cithara ludentem inducens, et cantici argumentum dicens amicam esse, auresque illas beatas prædicans, quæ turpem illam cantilenam audierint. Et quid quidem dicat aliquos ex iis, qui Daphnen et circumjacentia loca habitant, lacrymatos esse; urbisque principem ardentem fuisse, nihilque amplius, quam luctum inducat, nihil mirum : quod autem ipsos deos in eadem consilii inopia fuisse dicat, solumque apud se lacrymatos esse; ac neque Jovem, neque Calliopen, neque frequentem illam dæmonum turbam, neque ipsas nymphas aliquid contra incendium potuisse, sed omnes ejulatus et luctus excitasse tantum : id profecto ridiculum admodum est. Quod igitur magnam acceperint plagam satis ex jam dictis demonstratum est : etenim in medio næniæ ipsos lethali vulnere perfossos confitetur. Non igitur id patienter tulisset Imperator, nisi illum major metus et formido occupasset. Restat demum ut ostendamus qua de causa Deus iram suam in Imperatorem non immiserit, sed in dæmonem, et cur ignis non totum templum absumpserit, sed combusto tecto etiam idolum prostraverit. Neque enim temere et sine causa hæc facta sunt, sed ex Dei erga errantes clementia omnia gesta fuere. Qui enim omnia novit antequam fiant, et hoc cum aliis noverat : scilicet si fulmen in Imperatorem immissum fuisset, qui præsentes fuissent ac vidissent, ad tempus exterriti essent, secundo autem vel tertio peracto anno facti memoria periisset, multique futuri erant, qui miraculo non crederent. Sin vero templum flammam reciperet, omni præcone clarius, non iis solum qui tunc erant, sed etiam posteris omnibus iram suam denuntiaturus erat Deus : ita ut si qui rem gestam vellent impudenter occultare, iis omnis occasio præcideretur. Quisquis enim locum petit, sic animo afficitur, ac si incendium nuper accidisset, atque horror quidam ipsum invadit, et ad cælum respiciens statim celebrat virtutem ejus, qui isthæc operatus est. Ut enim si quis prædonum principis antrum et latibulum perfringens, vinctum illum eduxerit, direptisque ejus facultatibus, locum reliquerit receptaculum ferarum et monedularum; deinde vero, quisquis in hujusmodi latibulum venerit, statim atque locum videt, incursus et furta locum prius incolentis sibi animo depingit : ita et hic usu venit. Quisquis enim columnas procul conspicit, accedensque postea limen transgreditur, dæmonis abominationem animo sibi depingit, fallaciam item et insidias : atque iram virtutemque Dei miratus abscedit. Sic quod prius erroris et blasphemiæ habitaculum fuerat, nunc laudis decantandæ argumentum est : tanta Deus noster machinandi arte valet. Et mirabilia hujusmodi non nunc primum, sed jam olim a prioribus generationibus operatur. Omnia porro recensere non est præsentis temporis; rem tamen commemorabo huic omnino similem. Bello olim in Palæstina suborto inter Judæos et quosdam alienigenas, victoria potiti hostes captam Dei arcam (1. *Reg* 5. 2), quasi manubias et spolia, cuidam idolo consecrarunt, cui nomen Dagon erat. Ubi autem primum inducta fuit arca, statua decidit et prostrata jacebat. Ut autem ex hoc casu Dei virtutem non intellexerunt, sed erectam rursus illam

[1] Sav. et unus Codex, *nisi Cyrus præ humanitate sua illum dimisisset, nihil ipsum*, etc.

[2] Alii, *victimas*, pro, *stolas*.

in basi sua collocarunt, postridie sub auroræ tempus accedentes, non solum delapsam, sed penitus fractam repererunt. Nam avulsæ manus ab humeris, ad limen templi cum pedibus exsilierant, reliqua pars statuæ divulsa alibi reperta est. Sodomorum item tellus, ut parva magnis conferamus, ideo cum habitatoribus igne assumpta periit (*Gen.* 19), infructuosaque mansit, ut non modo illius ævi homines, sed post futuri omnes a locis ipsis ad meliorem frugem reducerentur. Si enim homines tantum ultio attigisset, factum postea non creditum fuisset. Ideo locus plagam accipit, qui potest tempore non deleri, singulasque generationes commonefacit, lege nempe statutum esse, ut qui talia agant, talia patiantur; etiamsi non statim pœnas luant, ut in hoc templo contigit. Ecce namque vigesimus annus ex illo tempore agitur (*a*), nec tamen ædificii ab igne relicti pars ulla periit, sed quæ partes ignem effugerunt, eæ firmiter stant usque adeo validæ, ut et centum et bis plures, bisque rursum longe plures annos durare possint. Ecquid mirum si ex columnis nulla ab altera avulsa ad solum deciderit? Columnarum enim earum quæ ad posteriorem templi partem erant, una tantum fracta, ne ea quidem corruit, sed a sua basi mota et ad murum reclinata mansit, ejusque pars ab imo usque ad fracturam oblique muro nititur; a fractura vero usque ad capitellum supina stat, ab inferiori parte suffulta. Quamquam autem et venti vehementer ingruerint, terræ motus acciderint, et terra concussa fuerit, flammæ reliquiæ non amotæ sunt; sed steterunt propemodum clamantes, se ad posterorum emendationem servatas esse.

22. Et quidem quod templum non funditus dirutum fuerit, hanc causam dicere possis : quod autem fulmen Imperatorem non attigerit, alteram causam si quæras reperies, ex eodem ipso benignitatis et clementiæ Christi fonte manantem. Ideo enim ignem ex Imperatoris capite avertit, in ipsumque tectum jaculatus est, ut alienis calamitatibus edoctus repositam sibi pœnam effugeret, mutatus et ab errore liberatus. Neque hoc solum, neque primum propriæ virtutis signum ei dedit Christus, sed et alia multa his non minora. Nam et patruus ejus et quæstor ærarius, sic ambo vita functi sunt; ad hæc fames una cum ipso urbem invadens, aquarum quoque penuria numquam ante visa, quam ab eo sacrificia fontibus facta fuissent, aliaque multa, sive in exercitu sive in urbibus accidentia, potuissent vel lapideum animum flectere, non multitudine tantum, neque quod omnia simul facinora statim sequerentur, ut quondam Ægyptiorum regis tempore; sed etiam quod per se talia ederentur miracula, ut aliud alio non egeret ad videntium conversionem, sed singula ex se ad id peragendum satis essent. Nam ut cætera omittam, quem vel ex admodum stupidis non deterruisset quod circa veteris Jerosolymitani templi fundamenta exhibitum est signum? Quidnam illud erat? Cum videret tyrannus in tota sua ditione diffusam Christi fidem, jamque Persarum fines occupantem, aliorumque remotiorum barbarorum, rursumque ultra eos progressam, ac totum, ut ita dicam, orbem occupantem : cruciabatur animo et angebatur, Ecclesiisque bellum parabat. Ignorabat autem infelix se contra stimulum calcitrare. Ac primo quidem Jerosolymitanum templum, quod funditus Christi virtus diruerat, restaurare conabatur, gentilisque homo res Judæorum procurabat, virtutis Christi periculum inde facere volens; et accitis Judæis quibusdam, iisque sacrificare jussis (nam majores eorum dicebat hoc cultus genere usos esse), cum Judæi eo confugerent, ut non fas esse sibi dicerent, templo diruto extra veterem metropolin id facere, jubet pecunias ex imperatorio ærario accipere, necnon alia omnia ad structuram necessaria, abireque instauratum templum, ac veterem sacrificiorum morem repetitum. Tum stulti illi, ab utero errantes et ad canos usque puerili egentes institutione, discesserunt, ut Imperatore favente rem peragerent : ac statim atque humum egerere cœpissent, ignis e fundamentis exsiliens eos statim consumpsit. His Imperatori nuntiatis non ultra rem promovere ausus est, metu scilicet cohibente; neque tamen ab errore dæmonum, quibus plane subditus erat, liberari voluit; interim tamen paulum quievit.

Modus persequutionis sub Juliano. — Brevi postea tempore vanam itidem operam suscepit, non quidem ausus ultra templum construere, sed nobiscum velitationibus pugnare volens : aperto enim marte nos adoriri adhuc differebat : hac una et prima de causa, quod persuasus esset se id frustra tentaturum esse; secunda vero, ne nobis occasionem præberet ut corona martyrii redimiremur. Hoc quippe intolerandum ipsi, et omni calamitate gravius erat, si quis in medium productus pro veritate usque ad mortem in cruciatibus perseveraret : ita sese ex animo inimicum nostrum declarabat. Noverat enim, noverat plane, si id auderet, omnes pro Christo animas suas tradituros esse; malignus autem et callidus cum esset, eos qui ob peccatum quoddam Ecclesiæ principibus pœnas dedissent, aut a præfectura quapiam amoti essent, liberos omnes ubique dimittebat, hoc modo nequissimis potestatem tribuens, Ecclesiæ leges everteus mutuumque inter eos conflictum movens : nam expugnatu faciles demum futuros sperabat, cum sese intestino bello consumpsissent. Quemdam etiam tum perversæ doctrinæ, tum improbæ vitæ causa, ecclesiastico principatu pulsum, nomine Stephanum, jubet rursum doctrinæ thronum occupare, atque Dominicum nomen, quoad ejus fieri potuit, exstinguere curabat, Galilæos pro Christianis nos tum in edictis suis vocans, tum principes ut idem facerent adhortans. Inter tot signa autem, ut dixi, quæ per famem et siccitatem edebantur, in eadem adhuc impudentia ac duritie perseverabat. Expeditionemque Persicam suscepturus, tanto cum fastu descendens ac si totam barbarorum gentem vastaturus esset, sexcentas nobis minas intentabat, jactita-

(*a*) Annus vigesimus a Juliano imperatore.

ὀρθώσαντες αὐτὸ πάλιν ἐπὶ τῆς οἰκείας ἔστησαν ἕδρας, τῇ ὑστεραίᾳ ὑπὸ τὴν ἕω παραγενόμενοι, θεωροῦσιν οὐκέτι μόνον πεπτωκὸς, ἀλλὰ καὶ διαχεκλασμένον πάντοθεν. Αἵ τε γὰρ χεῖρες ἀποσπασθεῖσαι τῶν ὤμων εἰς τὸν οὐδὸν ἐξηκοντίσθησαν τοῦ ναοῦ μετὰ τῶν ποδῶν. τό τε λοιπὸν τοῦ ξοάνου μέρος εἰς ἕτερον διέσπαρτο τόπον διασπασθέν. Καὶ τῶν Σοδόμων δὲ, ὡς ἄν τις μεγάλῳ παραβάλοι μικρὸν, διὰ τοῦτο μετὰ τῶν οἰκητόρων καὶ ἡ γῆ καταφλεχθεῖσα ἀπώλετο, καὶ γέγονεν ἄκαρπος, ἵνα μὴ μόνον οἱ τότε, ἀλλὰ καὶ οἱ μετ' ἐκείνους ἅπαντες ἀπὸ [a] τῶν τόπων σωφρονίζωνται. Εἰ γὰρ ἔστη μέχρι τῶν ἀνδρῶν ἡ κόλασις, κἂν ἠπιστήθη μετὰ ταῦτα τὸ γεγονός· διὰ τοῦτο ὁ τόπος δέχεται τὴν πληγὴν, ὁ τῷ χρόνῳ παρεκταθῆναι δυνάμενος, καὶ ἑκάστην τῶν ἐπιγινομένων ὑπομιμνήσκει γενεῶν, ὅτι τοὺς τὰ τοιαῦτα ὁρῶντας τοιαῦτα πάσχειν νενομοθέτηται, κἂν μὴ παραυτὰ τὴν τιμωρίαν τίσωσιν, ὅπερ καὶ ἐπὶ τοῦ ναοῦ γέγονε τούτου. Ἰδοὺ γὰρ εἰκοστὸν ἔτος ἐστὶν ἐξ ἐκείνου λοιπὸν, καὶ τῆς ὑπὸ τοῦ πυρὸς καταλειφθείσης οὐδὲν παραπόλωλεν οἰκοδομῆς, ἀλλ' ἕστηκε παγίως καὶ βεβαίως τὰ διαφυγόντα μέρη τὸ πῦρ, καὶ οὕτως ἐστὶν ἰσχυρὰ, ὡς καὶ πρὸς ἑκατὸν ἔτη καὶ πρὸς ἕτερα ὁμοίως τοσαῦτα, καὶ τούτων πάλιν πολλῷ πλείονα ἀρκέσαι χρόνον. Καὶ τί θαυμαστὸν, εἰ τῶν κιόνων [b] οὐδεὶς ἀποσχισθεὶς θατέρου κατηνέχθη πρὸς τοὔδαφος; Τῶν γὰρ κιόνων τῶν περὶ τὸν ὀπισθόδομον εἷς τότε μόνον διακλασθεὶς, οὐδὲ οὗτος κατέπεσεν· ἀλλὰ διαλυθεὶς ἀπὸ τῆς οἰκείας ἕδρας, καὶ πρὸς τὸν τοῖχον ἀναπεσὼν [c], οὕτως ἔμεινε. Καὶ αὐτοῦ τὸ μὲν ἀπὸ τῆς κρηπῖδος ἐπὶ τὴν τομὴν πλάγιον πρὸς τὸν τοῖχον ἐρήρεισται, τὸ δὲ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν κεφαλίδα ἕστηκεν ὕπτιον ὑπὸ τοῦ κατωτέρου βασταζόμενον μέρους. Καίτοι καὶ ἀνέμων σφοδρῶς τῷ τόπῳ προσπεσόντων πολλάκις, καὶ σεισμῶν γενομένων καὶ τῆς γῆς τιναχθείσης, οὐδ' ἐτινάχθη τὰ λοίψανα τῆς φλογὸς, ἀλλ' ἕστηκε βεβαίως μονονουχὶ βοῶντα, ὅτι διὰ τὸν τῶν ἐσομένων τετήρηνται σωφρονισμόν.

κϛ'. Καὶ τοῦ μὲν μὴ πάντα ἁλῶναι τῷ πυρὶ τὸν νεὼν, ταύτην ἂν εἴποι τις εἶναι πρόφασιν, τοῦ δὲ μὴ ἐλθεῖν ἐπὶ τὸν βασιλέα τὸν σκηπτὸν, καὶ ἑτέραν εὕροι τις ἂν αἰτίαν ζητῶν ἀπὸ τῆς αὐτῆς ὁρμωμένην πηγῆς, τῆς χρηστότητος λέγω καὶ φιλανθρωπίας τοῦ Χριστοῦ. Διὰ γὰρ τοῦτο τῆς μὲν τοῦ βασιλέως κεφαλῆς ἀνέσχε τὸ πῦρ, ἔῤῥιψε δὲ αὐτὸ κατὰ τῆς ὀροφῆς, ἵνα ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευθεὶς, ἐκφύγῃ τὴν ἀποκειμένην αὐτῷ κόλασιν, μεταβαλὼν καὶ τῆς πλάνης ἀπαλλαγείς. Οὐδὲ γὰρ τοῦτο μόνον, οὐδὲ πρῶτον αὐτῷ τῆς οἰκείας δυνάμεως σημεῖον ἔδωκεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἕτερα πρὸς τούτοις πολλὰ τούτου οὐχ ἧττονα. Ὅ τε γὰρ θεῖος αὐτοῦ, ὅ τε ταμίας, οὕτως ἄμφω καταλύσαντες τὸν βίον, καὶ λιμὸς εἰς τὴν πόλιν εὐθέως ἐμπεσὼν μετ' αὐτοῦ, καὶ ἡ τῶν ὑδάτων σπάνις οὐδέποτε συμβᾶσα πρότερον, ἀλλ' ἢ μετὰ τὰς ἐπὶ τῶν πηγῶν γενομένας θυσίας ὑπ' αὐτοῦ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα, τά τε ἐν τῷ στρατοπέδῳ, τά τε ἐν ταῖς πόλεσι συμβαίνοντα, καὶ λιθίνην ἱκανὰ [574] κάμψαι ψυχήν· οὐ τῷ πλήθει μόνον, οὐδὲ τῷ πάντα ὁμοῦ γίνεσθαι καὶ ἐφεξῆς, καὶ κατὰ πόδας τῶν τολμημάτων, ὡς ἐπὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων ποτὲ, ἀλλὰ τῷ καὶ καθ' ἑαυτὰ τοιαῦτα εἶναι τὰ δεικνύμενα τέρατα, ὡς μὴ δεῖσθαι ἕτερον ἑτέρου πρὸς τὴν τῶν ὁρώντων ἐπιστροφὴν, ἀλλ' ἀρκεῖν ἕκαστον αὐτῶν καὶ καθ' ἑαυτὸ τοῦτο ἐργάσασθαι. Ἵνα γὰρ τὰ ἄλλα παραλίπω, τίνα οὐκ ἂν ἐξέπληξε τῶν μὴ σφόδρα ἀναισθήτων τὸ περὶ τὰ θεμέλια τοῦ παλαιοῦ τῶν Ἱεροσολύμων ναοῦ σημεῖον ἐπιδειχθέν; Τί δὲ τοῦτο ἦν; Ὁρῶν ὁ τύραννος εἰς τὴν ἀρχὴν ἅπασαν τὴν ὑπ' αὐτῷ κειμένην τοῦ Χριστοῦ τὴν πιστὴν ἐκκεχυμένην, ἤδη δὲ καὶ τῆς Περσῶν ἁψαμένην, καὶ βαρβάρων ἑτέρων μετ' ἐκείνους, καὶ πάλιν ἐνδοτέρω τούτων προελθοῦσαν, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν ὑφ' ἡλίῳ κατέχουσαν, ἐδάκνετο μὲν καὶ ἤλγει, καὶ πρὸς τὸν τῶν Ἐκκλησιῶν παρεσκευάζετο πόλεμον· ἠγνόει δὲ πρὸς κέντρα λακτίζων ὁ δείλαιος. Καὶ πρῶτον μὲν τὸν ἐν Ἱεροσολύμοις ναὸν, ὃν εἰς ἔδαφος ἡ τοῦ Χριστοῦ κατήνεγκε δύναμις, ἀνορθοῦν ἐπειρᾶτο, καὶ τὰ τῶν Ἰουδαίων ὁ Ἕλλην ἐθεράπευεν, ἀπόπειραν διὰ τούτου τῆς τοῦ Χριστοῦ δυνάμεως βουλόμενος λαβεῖν· καὶ καλέσας Ἰουδαίων τινὰς, καὶ θύειν κελεύσας (καὶ γὰρ τοὺς προγόνους τοὺς ἐκείνων τοῦτον τῆς θρησκείας θρησκεύειν τὸν τρόπον ἔλεγεν), ἐπειδὴ εἰς ταύτην ἐκεῖνοι κατέφυγον ἀναχώρησιν [d], ὡς οὐ θέμις αὐτοῖς τοῦ ναοῦ πεπτωκότος ἔξω τῆς παλαιᾶς μητροπόλεως τοῦτο ποιεῖν, κελεύει χρήματα ἀπὸ τῶν ταμείων λαβόντας τῶν βασιλικῶν, καὶ τὰ ἄλλα ἅπαντα, ἃ πρὸς τὴν οἰκοδομὴν παρέχειν ἐχρῆν, ἀπιέναι καὶ ἀνορθοῦν τὸν ναὸν, καὶ ἐπὶ τὴν παλαιὰν ἐπανιέναι συνήθειαν τῶν θυσιῶν. Οἱ δὲ ἀνόητοι, πλανώμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως ἀπῆσαν ὡς συμπράξοντες τῷ βασιλεῖ. Καὶ ὡς αὐτόν τε ὁμοῦ τὸν χοῦν ἤρξαντο κενοῦν, καὶ πῦρ τῶν θεμελίων ἐκπηδῆσαν ἀθρόον ἅπαντας αὐτοὺς κατανάλωσεν. Ὡς δὲ ἀπηγγέλθη ταῦτα τῷ βασιλεῖ, οὔτε περαιτέρω τὴν τόλμαν προάγειν ἐπεχείρει λοιπόν· κατεῖχετο γὰρ τῷ δέει· οὔτε τῆς πλάνης τῶν δαιμόνων ἤθελεν ἀπαλλάττεσθαι, καθάπαξ τυραννηθεὶς ὑπ' αὐτῶν, ἀλλὰ τέως μὲν ἡσυχίαν ἦγε.

Χρόνου δὲ παρελθόντος μικροῦ, τῆς αὐτῆς εἶχετο ματαιοπονίας, τὸν μὲν νεὼν οὐκ ἔτι τολμῶν οἰκοδομεῖν, ἑτέρωθεν δὲ ἀκροβολιζόμενος πρὸς ἡμᾶς· εἰς πόλεμον γὰρ καθεῖναι φανερῶς [e] ἀνεβάλλετο τέως, ἐνὸς μὲν καὶ μάλιστα πρώτου τοῦ πεπεῖσθαι σαφῶς ἀδυνάτοις ἐπιχειρεῖν· δευτέρου δὲ τοῦ μηδεμίαν ἡμῖν ἀφορμὴν παρασχεῖν μαρτυρίου στέφανον ἀναδήσασθαι. Καὶ γὰρ ἀφόρητον ἦν αὐτῷ καὶ πάσης συμφορᾶς χεῖρον, τὸ παραχθέντα τινὰ εἰς μέσον μέχρι τελευτῆς ἐγκαρτερῆσαι ταῖς ὑπὲρ τῆς ἀληθείας βασάνοις· οὕτως ἐκ ψυχῆς τὴν πρὸς ἡμᾶς ἀπέχθειαν ἐπεδείκνυτο [f]. Ἤδει γὰρ, ἤδει σαφῶς ὅτι τοῦτο τολμήσαντος αὐτοῦ, πάντες ἂν ὑπὲρ τοῦ Χριστοῦ τὰς ἑαυτῶν προΐδωκαν ψυχάς· κακοῦργος δὲ ὢν καὶ δεινὸς, τοὺς ὑπὸ τῶν ἀρχόντων τῆς Ἐκκλησίας κεκολασμένους [575] δι' ἁμαρτίας τινὰς καὶ τῆς ἀρχῆς ἐκβεβλημένους πάντας πάντοθεν ἠφίει, τούτῳ τῷ τρόπῳ τοῖς τε πονηροτάτοις ἐξουσίαν διδοὺς, καὶ τοὺς τῆς Ἐκκλησίας ἀνατρέπων θεσμοὺς, καὶ πρὸς ἀλλήλους συγκρούων ἅπαντας· εὐχειρώτους γὰρ λοιπὸν ἔσεσθαι πρότερον προσεδόκησεν [g] ὑπὸ τοῦ πρὸς ἀλλήλους καταναλωθέντας πολέμου. Καί τινα καὶ τῆς τοῦ δόγματος ἕνεκεν διαστροφῆς, καὶ τῆς τοῦ βίου μοχθηρίας, τῆς ἀρχῆς τῆς ἐκκλησιαστικῆς ἐκβεβλημένον (Στέφανος ἦνομα ἦν αὐτῷ) κελεύει πάλιν τὸν διδασκαλικὸν θρόνον ἀναλαβεῖν· καὶ τὸ Κυριακὸν δὲ ὄνομα τέως σβεσθῆναι, τό γε εἰς αὐτὸν ἦχον, ἐσπούδαζε, Γαλιλαίους ἀντὶ Χριστιανῶν αὐτός τε ἐν τοῖς διατάγμασι καλῶν, καὶ τοὺς ἄρχοντας τοῦτο προτρέπων ποιεῖν. Μεταξὺ δὲ τῶν σημείων τούτων ὧν εἶπον γενομένων τῶν κατὰ τὸν λιμὸν καὶ τὸν αὐχμὸν, ἔμενεν ἐπὶ τῆς αὐτῆς ἀναιδείας ἔτι καὶ σκληρότητος. Καὶ μέλλων ἐπιστρατεύειν τῷ Πέρσῃ, καὶ μετὰ τοσούτου τύφου κατιὼν ὡς ἅπαν τὸ τῶν βαρβάρων ἁναρπασόμενος ἔθνος, ἠπείλει μυρίας ἡμῖν ἀπειλὰς,

[a] Sic Savil. et quidam mss. Morel. ὑπό.
[b] Savil. et omnes mss. τοίχων, Morel. κιόνων. Ibid. unus ἀποσπασθείς.
[c] Morel. ἐκπεσών.
[d] Savil. et quidam mss. κατέφυγον τὴν ἀπολογίαν. Morel. κατέφυγον ἀναχώρησιν. Unus codex κατέφυγον τὴν ὑποχώρησιν.
[e] Savil. et quidam mss. φανερῶς, Morel. φανερόν.
[f] Alii ἐπεδείξατο.
[g] Προσεδόκησεν bene omittitur in Savil. et in duobus mss.

λέγων μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον πάντας ἄρδην ἀπολεῖν. Πόλεμον γὰρ αὐτῷ τοῦτον εἶναι ἐδόκει τοῦ Περσικοῦ χαλεπώτερον, καὶ δεῖν πρότερον κατορθώσαντα ἐκεῖνον τὸν ἐλάττω, τότε ἐπὶ τὸν μείζονα τοῦτον ἐλθεῖν. Καὶ ταῦτα ἡμῖν οἱ τῆς γνώμης αὐτῷ κοινωνοῦντες ἀπήγγελλον. Ζέων δὲ τῷ καθ' ἡμῶν θυμῷ, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς μείζονα μανίαν αἰρόμενος, οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἵστατο γνώμης, ἀλλὰ τὴν προτέραν βουλὴν ἀποθέμενος, πάλιν ἠπείλει τὸν διωγμὸν ἡμῖν. Βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς ἀναχρούσασθαι, καὶ καταστεῖλαι φλεγμαίνοντα, ἐπήγαγε πάλιν τουτὶ τὸ σημεῖον, ἐν τῇ Δάφνῃ τὸ πῦρ ἐπὶ τὸν νεὼν ἀφείς.

κγ'. Ὁ δὲ οὐδὲ οὕτω καθυφῆκε τοῦ θυμοῦ, ἀλλὰ τῇ τῆς ἡμετέρας λεηλασίας ἐπιθυμίᾳ διαῤῥηγνύμενος, οὐδὲ τὸν καιρὸν ὃν ἠπείλησεν ἔμενεν, ἀλλὰ τὸν Εὐφράτην διαβαίνειν μέλλων ἀπόπειραν ἐποιεῖτο τῶν στρατιωτῶν, καί τινας εὐαριθμήτους κολακείᾳ διαφθείρας, τοὺς ἀν[τ]ιστάντας οὐ παρέλυσε τῆς στρατείας, δεδοικὼς μὴ διαστήσας αὐτοὺς ἀσθενέστερον ἐργάσηται τῷ Πέρσῃ τὸν στρατόν.

Τίς ἡμῖν λοιπὸν τὰ ἐντεῦθεν διηγήσεται, καὶ τῶν κατὰ τὴν ἔρημον, καὶ τῶν κατὰ τὴν θάλατταν, καὶ τῶν κατὰ τὴν Αἴγυπτον, ὅτε ὁ ἀναίσθητος ἐκεῖνος ἐκολάζετο Φαραὼ, καὶ πάντες κατεπονττίζοντο, ὄντα πολλῷ φοβερώτερα; Καθάπερ γὰρ τότε, ἐπεὶ μηδενὶ τῶν τοιούτων εἶξαι συμφορῶν, καὶ γενέσθαι βελτίων ἠθέλησεν ὁ Αἰγύπτιος, τέλος αὐτὸν σὺν αὐτῷ τῷ στρατοπέδῳ κατέδυσεν· οὕτω καὶ νῦν, ἐπειδὴ πρὸς πάντα ἀναιδῶς ἔστη τοῦ Θεοῦ τὰ τεράστια [a], καὶ οὐδὲν ἀπ' αὐτῶν κερδᾶναι ἠθέλησεν, ἀλλ' ἔμενεν ἀδιόρθωτος, τοῖς ἐσχάτοις αὐτὸν λοιπὸν περιέβαλε κακοῖς, ἵν' ἐπειδὴ τοῖς ἑτέρων αὐτὸς σωφρονισθῆναι οὐκ ἠνέσχετο, τοῖς αὐτοῦ παθήμασι γένωνται βελτίους ἕτεροι. Ὁ γὰρ τοσαύτας μυριάδας στρατιωτῶν καταγαγὼν, ὅσας οὐδεὶς τῶν βασιλευσάντων ποτὲ, καὶ πᾶσαν τὴν Περσῶν ἐξ ἐπιδρομῆς καὶ ἀπονητὶ προσοχήσας ἐλεῖν, [576] οὕτως ἀθλίως ἔπραξε καὶ ἐλεεινῶς, ὡς γυναικῶν μᾶλλον καὶ παιδίων μικρῶν ἢ ἀνδρῶν στρατόπεδον ἔχων μεθ' ἑαυτοῦ. Πρῶτον μὲν γὰρ εἰς τοσαύτην αὐτοὺς ἀνάγκην ὑπὸ τῆς οἰκείας ἀβουλίας κατέστησεν, ὥστε ἱππείων ἀπογεύσασθαι κρεῶν, καὶ τοὺς μὲν τῷ λιμῷ, τοὺς δὲ τῷ δίψει διαφθαρέντας ἀποθανεῖν. Καθάπερ γὰρ τοῖς Πέρσαις στρατηγῶν, καὶ οὐκ ἐκείνους ἐλεῖν, ἀλλὰ τοὺς οἰκείους αὐτοῖς προδοῦναι σπουδάζων, οὕτως αὐτοὺς εἰς χωρία συνέκλεισεν ἄπορα, καὶ μόνον οὐχὶ δήσας παρέδωκεν. Ἀλλὰ πάσας μὲν τὰς ἐκεῖ γενομένας συμφορὰς, οὔτε τῶν ἰδόντων τις καὶ πεῖραν εἰληφότων δυνήσεται διελθεῖν· οὕτω πᾶσαν ἀπέκρυψεν [b] ὑπερβολήν· ὡς δὲ ἐν κεφαλαίῳ εἰπεῖν, πεσόντος αὐτοῦ αἰσχρῶς καὶ ἐλεεινῶς οἱ μὲν γὰρ ὑπό τινος τῶν σκευοφόρων τοῖς παροῦσι δυσανασχετοῦντος βληθέντα ἀποθανεῖν αὐτόν φασιν· οἱ δὲ, οὐδὲ εἰδέναι τὸν σφαγέα τὸν ἐκείνου λέγουσιν, ἀλλ' ὅτι μόνον ἐπλήγη καὶ παρεκάλεσεν εἰς τὴν Κιλίκων ταφῆναι γῆν, ἔνθα καὶ κεῖται νῦν. Πεσόντος δὴ οὖν οὕτως αἰσχρῶς, ὁρῶντες ἐν ἐσχάτοις αὐτοὺς ὄντας οἱ στρατιῶται, προσέπεσον τοῖς ἐχθροῖς, καὶ δόντες ὅρκους ἀπεστήσεσθαι τοῦ πάντων ἀσφαλεστάτου φρουρίου [c], καὶ ὃ τῆς καθ' ἡμᾶς οἰκουμένης ὥσπερ τεῖχος ἦν ἀῤῥαγὲς, φιλανθρώπων τε τυχόντες τῶν βαρβάρων, οὕτω διέφυγον καὶ ἐπανῆλθον ἐκ πολλῶν ὀλίγοι, καὶ αὐτοὶ πεπονηκότες τὰ σώματα, αἰσχυνόμενοι μὲν ἐφ' οἷς συνέθεντο, ἀναγκαζόμενοι δὲ διὰ τοὺς ὅρκους ἀποστῆναι τῶν πατρικῶν κτημάτων αὐτοῖς. Καὶ ἦν ἰδεῖν πάσης αἰχμαλωσίας ἐλεεινότερον θέαμα· οἱ γὰρ τὴν πόλιν οἰκοῦντες ἐκείνην, παρ' ὧν χάριτας προσεδόκησαν λήψεσθαι, ὅτι δίκην προβόλου πάντας τοὺς ἔνδον ἐν λιμένι κατέστησαν, ἀντὶ πάντων πρὸς πάντας αὐτοὶ προβεβλημένοι τοὺς κινδύνους ἀεὶ, παρὰ τούτων τὰ τῶν πολεμίων ἔπασχον, εἰς ἀλλοτρίαν μετανιστάμενοι γῆν, καὶ οἰκίας ἀφέντες καὶ ἀγροὺς, καὶ πάντων τῶν κτημάτων ἀποσπώμενοι [d] τῶν προγονικῶν, καὶ ταῦτα ὑπὸ τῶν οἰκείων ὑπομείναντες. Τοιαῦτα τοῦ γενναίου βασιλέως ἀπολελαύκαμεν. Ταῦτα δὲ οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε λῦσαι τὴν ἀπορίαν τῶν ζητούντων, τί δήποτε μὴ τὸν βασιλέα ἐκόλασεν ἐξ ἀρχῆς [e] ὁ Θεός; Ἐβουλήθη μὲν γὰρ αὐτὸν λυττῶντα πολλάκις ἀναστεῖλαι τῆς εἰς τὸ πρόσω φορᾶς, καὶ τοῖς ἑτέρων διορθῶσαι κακοῖς· ἐπειδὴ δὲ ἀντέτεινε, παρέδωκεν αὐτὸν τοῖς ἐσχάτοις κακοῖς, τὴν μὲν ἀληθῆ τῶν αὐτοῦ τολμημάτων ἀντίδοσιν κατὰ τὴν μεγάλην ταμιευόμενος ἡμέραν, καὶ διὰ τῆς παρούσης δὲ κολάσεως τοὺς ὑπτιωτέρους διανιστὰς, καὶ σωφρονεστέρους ποιῶν. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ μακροθυμία τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ πικροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην· καὶ καθάπερ τοῖς μετανοοῦσιν ὠφέλιμος, οὕτω καὶ τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις. Εἰ δὲ λέγοι τις· Τί οὖν οὐ προῄδει τὸν τύραννον ἀδιόρθωτον ἐσόμενον ὁ Θεός; ἐροῦμεν, ὅτι προῄδει μὲν, ἀλλ' οὐδέποτε παύεται διὰ τὴν πρόγνωσιν τῆς ἡμετέρας κακίας τὰ αὐτοῦ ποιῶν· ἀλλὰ κἂν ἡμεῖς μὴ δεχώμεθα τὴν νουθεσίαν, αὐτὸς τὴν φιλανθρωπίαν ἐπιδείκνυται τὴν ἑαυτοῦ. Εἰ δὲ εἰς μείζονα [577] ἑαυτοὺς ὠθοῦμεν κακὰ, οὐκέτι τοῦτο παρ' αὐτὸν [f], οὐ διὰ τοῦτο μακροθυμήσαντα, ἵνα ἀπολώμεθα, ἀλλ' ἵνα σωθῶμεν, ἀλλὰ παρ' ἡμᾶς τοὺς ἐξυβρίσαντας εἰς τὴν ἄφατον ἀνεξικακίαν αὐτοῦ. Καὶ οὕτω δὲ τῆς φιλανθρωπίας τὸ ἄπειρον δείκνυται. Ὅταν γὰρ μὴ θελήσωμεν αὐτοὶ τῆς πολλῆς αὐτοῦ μακροθυμίας ἀπόνασθαι, τότε εἰς τὸ ἑτέρων [g] αὐτὴν τρέπει κέρδος, πανταχοῦ τό τε φιλάνθρωπον ὁμοῦ καὶ τὸ εὐμήχανον ἐπιδεικνύς· ὅπερ καὶ τότε γέγονε. Καὶ ὁ μὲν τύραννος οὕτω τὸν βίον κατέλυσε, τῆς δὲ μανίας αὐτοῦ, καὶ τῆς δυνάμεως τοῦ μακαρίου Βαβύλα, ἕστηκεν ὑπομνήματα ὅ τε νεὼς καὶ τὸ μαρτύριον, ὁ μὲν ἔρημος ὤν, τὸ δὲ τὴν αὐτὴν ἔχων ἐνέργειαν ἥνπερ καὶ πρότερον. Ἡ δὲ λάρναξ οὐκέτι πάλιν ἀνάγεται, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος, ἵνα τρανοτέρα τοῖς ἐπιγινομένοις γένηται τῶν τοῦ ἁγίου κατορθωμάτων ἡ γνῶσις. Ἕκαστος γὰρ τῶν ἐξ ἀλλοτρίας ἡκόντων ἐφιστάμενος τῷ τόπῳ, καὶ τὸν μάρτυρα ζητῶν, εἶτα οὐχ ὁρῶν ἐκεῖ, εὐθέως ἐπὶ τὸ ζητῆσαι τὴν αἰτίαν ἔρχεται, καὶ οὕτω πᾶσαν τὴν ἱστορίαν ἀκούσας ἄπεισι, πλέον κερδάνας ἢ πρότερον· οὕτω καὶ παραγενόμενος τῇ Δάφνῃ, καὶ πάλιν αὐτὴν ἐγκαταλιπὼν τὰ μέγιστα ὀνίνησι.

Τοιαύτη ἡ τῶν μαρτύρων ἰσχὺς, καὶ ζώντων, καὶ τελευτώντων, καὶ τόποις ἐφισταμένων, καὶ πάλιν αὐτοὺς καταλιμπανόντων. Καὶ γὰρ ἐξ ἀρχῆς μέχρι τέλους συνῆπται τὰ κατορθώματα συνεχῆ. Ὅρα γὰρ, ἥμυνε τοῖς τοῦ Θεοῦ νόμοις ὑβριζομένοις, ἔλαβεν ὑπὲρ τοῦ τετελευτηκότος δίκην, ἣν ἔδει· ἔδειξεν ὅσον ἱερωσύνης καὶ βασιλείας τὸ μέσον, κατέλυσε πάντα τὸν τοῦ κόσμου

[a] Sic Savil. et mss. Morel. vero τὰ τέρατα.
[b] Legendum prorsus videtur ἀπέκρυψαν.
[c] Savil. et duo mss. ἀσφαλεστάτου φρουρίου, Morel ἀσφαλεστάτου χωρίου.
[d] Alii ἀποσγόμενοι.
[e] In Morel. ἐξ ἀρχῆς deest.
[f] Alii παρὰ τόν.
[g] Savil. et unus εἰς τὸ ὑπὲρ ἑτέρων

batque, se post reditum nos omnes funditus deleturum esse. Hoc quippe bellum Persico sibi gravius videbatur, unde prius confecto minore, tunc majus hoc sibi suscipiendum esse putabat. Hæc porro nobis renuntiarunt ii, qui ipsi a consiliis erant. Contra nos igitur furore ardens, et quotidie ad majorem elatus insaniam, numquam in eadem sententia persistebat; sed priore consilio posito rursus nobis persequutionem minabatur. Cum vero Deus illum coercere, ardentemque comprimere vellet, hoc denuo signum induxit, igni in templum Daphnes immisso.

23. Ille vero ne sic quidem furorem sedavit, imo potius cum rei nostræ devastandæ cupidine disrumperetur, ne quidem tempus, quod comminando sibi præstituerat, exspectavit; sed Euphratem trajecturus, de militibus experimentum sumebat: ac quibusdam numero paucis adulatione corruptis, repugnantes sibi nequaquam remisit, veritus ne si cæteros segregasset, debiliorem contra Persas exercitum redderet.

Julianus in Persico bello perit. — Quis nobis quæ hinc consequuta sunt recenseat, longe terribiliora iis quæ in deserto, quæ in mari, quæ in Ægypto, quo tempore induratus ille Pharao plectebatur, omnesque alii submergebantur? Quemadmodum enim tunc, postquam nullis hujusmodi calamitatibus cedere, neque resipiscere voluit Ægyptius, tandem illum Deus cum reliquo exercitu perdidit: ita et nunc, postquam ad omnia Dei prodigia impudenter ille constitit, nihilque hinc lucri percepit, sed sine emendatione mansit, extremis illum Deus malis involvit, ut, quandoquidem ille aliorum calamitatibus ad meliorem frugem reduci noluerat, ejus exitio cæteri emendarentur. Qui enim tot militum myriadas eduxerat, quot nullus antea Imperatorum, totamque Persidem incursu quodam et sine sudore se capturum sperabat, ita misere et infeliciter rem gessit, ac si mulierum vel parvulorum potius, quam virorum exercitum secum habuisset. Primum namque illos consilii inopia in tantam necessitatem adegit, ut equinis carnibus vescerentur, et alii fame, alii siti absumpti, perirent. Quasi enim in Persarum gratiam exercitum agere, ac non illos capere, sed suos prodere vellet, sic in angusta loca conclusit, ac tantum non vinctos hosti tradidit. Omnes porro quæ illic contigere calamitates, ne ex iis quidem, qui illam viderunt et experti sunt, possit quispiam recensere, ita omnem modum superarunt. Sed ut summatim dicam, illo turpiter ac misere mortuo: alii enim dicunt illum a calone quodam, de rerum statu indignante, percussum cecidisse; alii interfectorem non novisse, sed tantummodo percussum dicunt rogasse ut in Cilicia sepeliretur, ubi nunc jacet: cum itaque sic ille turpiter cecidisset, milites se in extremis constitutos esse cernentes, hostibus supplices accedunt, datisque juramentis, se omnium munitissimo præsidio cessuros, quod partium nostrarum ceu murus erat inexpugnabilis, humanosque nacti barbaros, sic evaserunt, ex multisque pauci remigrarunt, sed affectis corporibus, de inito fœdere pudefacti, per jusjurandum vero coacti paternis bonis cedere. Videreque erat quavis captivitate miserabilius spectaculum: nam urbis illius cives, a quibus gratiam exspectabant, quod instar propugnaculi positi eos omnes, qui intra hos limites essent, quasi in portu constituissent, pro omnibus semper ad omnia pericula objecti, ab iisdem hostilia passi sunt, et domibus cedentes et agris, et a paternis possessionibus avulsi, qua calamitate a suis affecti sunt. Hunc nos fructum ab egregio Imperatore percepimus. Hæc porro non temere dicta sunt, sed ut responderemus iis, qui quærerent, cur non ab initio de Imperatore Deus pœnas sumpserit. Illum enim rabie ductum sæpe voluit ab ulteriore impetu coercere, alienorumque malorum exemplo emendare: quia vero ille repugnavit, in extrema eum mala conjecit: veram quidem peccatorum ultionem in magnum illum diem reservans, præsenti vero pœna supiniores excitans et ad meliorem frugem reducens. Tanta enim est Dei tolerantia, ut qui ea non recte utuntur, eos graviore tandem pœna afficiat: ac quemadmodum pœnitentibus utilis, ita pervicacibus et obstinatis majoris supplicii causa evadit. Quod si quis dicat: Quid igitur? annon præviderat Deus fore, ut tyrannus numquam emendaretur? huic respondebimus, prævidisse quidem, sed numquam propter malitiæ nostræ prævisionem cessaturum esse quæ ad se spectant facere. Verum etsi nos admonitionem non admittamus, ille nihilominus benignitatem suam demonstrat; sin etiam in majora impingamus mala, nihil hoc ad eum spectat, qui non ideo nos peccantes diu tulit ut periremus, sed ut salutem consequeremur; verum nostra culpa evenit, qui ineffabilem ejus tolerantiam despeximus. Atque ita immensa ejus benignitas declaratur. Cum enim nolumus magna ejus frui patientia, tunc eam ille in aliorum lucrum convertit, ubique simul benignitatem et solertiam suam prodens. Quod etiam tunc factum est. Et tyrannus quidem sic vitam clausit; ac tum insaniæ ejus, tum Babylæ virtutis monumenta exstant: templum, item et martyrium, illud quidem desertum, hoc eamdem quam prius virtutem retinens. Capsa autem non ultra refertur, Deo ita providente, ut adventantibus clarior Babylæ gestorum notitia evadat. Quisquis enim peregrinus locum adiens et martyrem quærens, cum illum abesse videt, statim causam scisciatur, et sic totam edoctus historiam recedit, majus, quam prius, lucrum reportans; sic et Daphnen adventans, et inde recedens, maximam utilitatem percipit.

Martyrum tam vivorum, quam mortuorum virtus. — Ea est martyrum virtus, viventium, mortuorum, præsentium locis, absentium. Etenim ab initio ad finem ejus facinora continua quasi serie copulata fuere. Si perpendas enim, violatas Dei leges ultus est, pro occiso debitas pœnas sumpsit, quanta sit sacerdotium inter et imperium differentia ostendit, mundi fastum omnem dissolvit, mundi pompam calcavit, Imperatores docuit, ne ultra mensuram sibi a Deo præscriptam potestatem extenderent, sacer

dotes docuit, ut in hoc principatu præesse oporteat. Et hæc quidem hisque plura dum in carne esset : ubi autem hinc emigravit, dæmonis robur enervavit, gentilium fallaciam confutavit, vaticinii nugacitatem detexit, ejus larvam contrivit, histrionicam ejus omnem detexit artem, eum qui in ea præesse videretur obmutescere cogens, ac magna vehementia opprimens. Stant hodieque templi muri, dæmonis ignominiam omnibus prædicantes, risum item imbecillitatemque; martyris vero coronas, victoriam, virtutem. Tanta est sanctorum fortitudo, tam invicta et formidabilis, et Imperatoribus et dæmonibus, imo ipsi quoque dæmonum principi [1].

[1] In fine Opusculi Savil. et unus Codex, post *dæmonum principi*, habebant: *Regnum enim et virtus solius Jesu Christi Domini nostri; ipsum solum decet gloria, cum æterno Patre et coæterno Spiritu in infinita sæcula sæculorum. Amen.* Quæ a quodam græculo librario haud dubie adjecta sunt.

IN HOMILIAM IN SS. MARTYRES JUVENTINUM ET MAXIMINUM.

Ut initio hujus concionis dicitur, habita hæc fuit paucis post Homiliam in S. Babylam diebus : *Nuper*, inquit, πρώην, non autem, *heri*, ut verterat Interpres, *Nuper beatus Babylas cum tribus pueris nos hic congregabat : hodie vero par sanctorum militum in acie exercitum Christi constituit.* Et tamen hoc loco fulti ii, qui Martyrologiis operam dederunt, in 25 Januarii horum martyrum diem natalem conferunt, licet non initio tantum, sed etiam paulo postea Chrysostomus de Homilia in S. Babylam loquens, eam non *heri*, sed *nuper*, πρώην, dictam enuntiet. Inde forsan mos obtinuit ut die festum S. Babylæ insequente, SS. Juventini et Maximini memoriam enuntient : non ex Græcorum Menæis id mutuati: siquidem, ut notat optime Bollandus, nulla in Menæis, Menologiis, Anthologio, aliisve fastis sacris Græcorum, eorum exstat memoria. Sed a recentioribus, ait ille, *postridie S. Babylæ et trium puerorum locantur*; qui scilicet ea in re veterem illam Homiliæ Chrysostomi in SS. Martyres interpretationem sequuntur : *Heri beatus Babylas cum tribus pueris.* Videant igitur ii qui SS. fastis dant operam, num alia sit statuenda colendæ SS. Juventini et Maximini memoriæ dies. Hos martyres commemorat Theodoretus l. 3 Hist. Eccl. c. 14.

EJUSDEM IN SS. MARTYRES JUVENTINUM ET MAXIMINUM, QUI SUB JULIANO APOSTATA MARTYRIUM SUNT PASSI, SERMO PANEGYRICUS.

1. Nuper beatus Babylas cum tribus pueris nos hic congregabat : hodie vero par sanctorum militum in acie exercitum Christi constituit ; nuper quadriga martyrum, hodie biga. Impar eorum est ætas, sed una fides ; varia certamina, sed eadem fortitudo : illi tempore superiores, isti recentiores. Ejusmodi est thesaurus Ecclesiæ, novas et veteres habet margaritas : sed una omnium est pulchritudo. Eorum flos neque marcescit, neque defluit tempore ; nescit vetustatis rubiginem splendoris istius natura. Temporis diuturnitate opes, quæ ad corpora spectant, facile intereunt : vestimenta enim absumuntur, domus destruuntur, et aurum rubigine consumitur ; et in summa, omnium sensibilium facultatum natura tempore tandem aboletur et intercidit. At non sic se res habet in spiritualibus thesauris, de martyribus, inquam, qui semper in eodem manent vigore, semper in eodem juventutis flore sunt, semper suæ gloriæ fulgorem emittunt et radios. Quod scientes vos non aliter priscos, aliter recentiores colitis sanctos, sed eadem alacritate, eodem amore, eodem affectu colitis omnes et commendatis. Non enim exploratis temporis, sed exquiritis animi fortitudinem, pietatem, fidem invictam, zelum incitatum ac fervidum, et eas virtutes, quas præ se ferunt sancti, ad quorum honorem hodie convenimus. Illi enim tanto amore Dei flagrabant, ut etiam extra persequutionis tempus martyrii corona redimiti fuerint, absque pugna tropæum erexerint, absque prælio victoria potiti sint, absque certamine bravium rapuerint. Et quomodo hoc, ego dicam : sed ferte me rem paulo altius repetere.

(a) In hanc homiliam vidimus Codd. unicum, Regium signatum 2343 : nam perrari sunt hujus homiliæ Codices.

τῦφον, καὶ κατεπάτησε τοῦ βίου τὴν φαντασίαν, ἐπαίδευσε τοὺς βασιλεῖς μὴ πέρα τοῦ δοθέντος αὐτοῖς παρὰ τοῦ Θεοῦ μέτρου τὴν ἐξουσίαν προάγειν· ἔδειξε τοῖς ἱερωμένοις πῶς ταύτης προΐστασθαι τῆς ἀρχῆς δεῖ. Καὶ ταῦτα μὲν καὶ τούτων πλείονα ἡνίκα ἦν ἐν σαρκί· ἐπειδὴ δὲ μετέστη καὶ ἀπεδήμησε, κατέλυσε τοῦ δαίμονος τὴν ἰσχύν, διήλεγξε τὴν τῶν Ἑλλήνων ἀπάτην, ἀπεκάλυψε τῆς μαντείας τὸν λῆρον, συνέτριψε τὸ προσ-

[a] Morel. πᾶσιν. In fine Opusculi Savil. et unus codex sic claudunt, ἀρχηγῷ. Τοῦ γὰρ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μόνου ἡ βασιλεία καὶ ἡ ἰσχὺς, καὶ αὐτῷ πρέπει ἡ δόξα, σὺν τῷ ἀνάρχῳ

ωπεῖον αὐτῆς, καὶ [a] πᾶσαν αὐτῆς τὴν ὑπόκρισιν γυμνώσας ἐπέδειξε, τὸν ἐν αὐτῇ δοκοῦντα κρατεῖν ἐπιστομίσας καὶ καταβαλὼν μετὰ πολλῆς τῆς σφοδρότητος. Καὶ νῦν ἑστᾶσιν οἱ τοῖχοι τοῦ νεὼ, πᾶσι κηρύττοντες τοῦ δαίμονος τὴν αἰσχύνην, τὸν γέλωτα, τὴν ἀσθένειαν· τοῦ μάρτυρος τοὺς στεφάνους, τὴν νίκην, τὴν δύναμιν. Τοσαύτη ἡ τῶν ἁγίων ἰσχύς· οὕτως ἄμαχος καὶ φοβερὰ, καὶ βασιλεῦσι, καὶ δαίμοσι, καὶ αὐτῷ τῷ τῶν δαιμόνων ἀρχηγῷ.

Πατρὶ, καὶ τῷ συνανάρχῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν.

ADMONITIO.

Non uno solum, ut diximus, loco monstratur, hanc concionem post homiliam illam in Babylam habitam fuisse; sed et aliud paulo post exordium hujusce rei indicium profert Chrysostomus: *Erat Imperator quidam*, ait, *etiam nostro ævo, omnes qui se præcesserant impietate vincens, de quo et nuper pluribus a me dictum est.* Et vere plurima in homilia præcedenti in S. Babylam de Juliano Apostata dicuntur. Cave putes autem hic de libro illo prolixo in sanctum Babylam sermonem haberi : ille quippe non concio, non homilia est, neque unquam in cœtu populi recitatus fuit, ut in Monito præcedenti diximus; sed de homilia eum præcedente agitur. Cujus annum assignare non potuimus, uti nec homiliarum in Lazarum, neque hujusce in SS. Juventinum et Maximinum. Namque ut certum videtur eas eodem anno atque tempore habitas fuisse : ita nullo, probabili quidem, indicio, quis ille annus esset, deprehendere licuit. Cum his confer, sodes, ea quæ in Monito præcedenti diximus.

Interpretatio Latina est incerti cujusdam docti viri, quam plurimis in locis emendavimus.

Τοῦ αὐτοῦ ὁμιλία ἐγκωμιαστικὴ εἰς τοὺς ἁγίους μάρτυρας Ἰουβεντῖνον καὶ Μαξιμῖνον τοὺς μαρτυρήσαντας ἐπὶ Ἰουλιανοῦ τοῦ Ἀποστάτου.

α'. Ὁ μακάριος Βαβύλας πρώην ἡμᾶς ἐνταῦθα μετὰ παίδων τριῶν συνήγαγε· σήμερον στρατιωτῶν ξυνωρὶς ἁγίων τὸ τοῦ Χριστοῦ στρατόπεδον ἐπὶ τῆς παρατάξεως ἔστησε· τότε ἅρμα μαρτύρων, νῦν ξυνωρὶς μαρτύρων. Διάφορος ἡ ἡλικία, ἀλλὰ μία ἡ πίστις· ποικίλα τὰ παλαίσματα, ἀλλ' ἡ αὐτὴ ἀνδρεία· ἐκεῖνοι παλαιοὶ κατὰ τὸν χρόνον· οὗτοι νέοι καὶ πρόσφατοι. Τοιοῦτος τῆς Ἐκκλησίας ὁ θησαυρὸς, νέους καὶ παλαιοὺς ἔχων μαργαρίτας· ἀλλ' ἓν ἁπάντων τὸ κάλλος. Οὐκ ἀμαυροῦται τὸ ἄνθος αὐτῶν, οὐ καταῤῥεῖ τῷ χρόνῳ· οὐ δέχεται παλαιότητος ἰὸν τῆς λαμπρότητος ταύτης ἡ φύσις· ἡ μὲν γὰρ σωματικὴ περιουσία εἴκει καὶ παραχωρεῖ τῷ μήκει τοῦ χρόνου· καὶ γὰρ ἱμάτια [579] δαπανᾶται, καὶ οἰκίαι καταλύονται, καὶ χρυσίον ἰοῦται, καὶ πᾶσα τῆς αἰσθητῆς ταύτης περιουσίας ἡ φύσις διαπίπτει τῷ χρόνῳ καὶ ἀφανίζεται. Ἐπὶ δὲ τῶν πνευματικῶν θησαυρῶν οὐχ οὕτως· ἀλλ' ἀεὶ καὶ διαπαντὸς ἐν ἴσῃ μένουσιν ἀκμῇ καὶ νεότητι λάμποντες καὶ ἀποστίλβοντες τὴν τῆς οἰκείας λαμπρότητος δόξαν οἱ μάρτυρες. Ὃ δὴ καὶ ὑμεῖς εἰδότες, οὐχ ἑτέρως μὲν τοὺς παλαιοὺς, ἑτέρως δὲ τοὺς νέους τιμᾶτε· ἀλλὰ μετὰ τῆς αὐτῆς προθυμίας, μετὰ τοῦ αὐτοῦ φίλτρου, μετὰ τῆς αὐτῆς διαθέσεως, ἅπαντας τιμᾶτε καὶ ἀποδέχεσθε. Οὐ γὰρ χρόνον ἐξετάζετε, ἀλλ' ἀνδρείαν ἐπιζητεῖτε, καὶ ψυχῆς εὐλάβειαν, καὶ πίστιν ἀκλινῆ, καὶ ζῆλον ἐπτερωμένον [a] καὶ θερμὸν, καὶ τοιοῦτον, οἷον οἱ σήμερον ἡμᾶς συναγαγόντες ἐπεδείξαντο. Οὕτω γὰρ ἔζεον τῷ κατὰ Θεὸν πόθῳ, ὡς δυνηθῆναι χωρὶς διωγμοῦ μαρτυρίου στέφανον ἀναδήσασθαι, χωρὶς μάχης στῆσαι τρόπαιον, χωρὶς πολέμου νίκην ἄρασθαι, χωρὶς συμβολῆς [b] τὸ βραβεῖον ἁρπάσαι· τὸ δὲ πῶς, ἐγὼ λέγω· ἀλλὰ ἀνάσχεσθε μικρὸν ἄνωθεν διηγουμένῳ μοι.

[a] Savil. ζῆλον πεπυρωμένον.
[b] Sic Savil. Legebatur ἐμβολῆς. Edit.

Ἐγένετό τις βασιλεὺς ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ἀσεβείᾳ νικήσας τοὺς ἔμπροσθεν ἅπαντας, περὶ οὗ καὶ πρώην διελέχθην ὑμῖν· οὗτος ὁ βασιλεὺς ὁρῶν λαμπρὰ τὰ ἡμέτερα ἀπὸ τούτου γινόμενα, τοῦ τῶν μαρτύρων θανάτου λέγω, καὶ οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ παῖδας ἁπαλοὺς, καὶ παρθένους ἀπειρογάμους, καὶ πᾶσαν ἡλικίαν ἁπλῶς καὶ φύσιν ἑκατέραν πηδῶσαν ἐπὶ τὰς ὑπὲρ τῆς εὐσεβείας σφαγὰς, ἐδάκνετο καὶ ὠδυνᾶτο, καὶ φανερῶς σαλπίσαι τὸν πόλεμον οὐκ ἐβούλετο. Πάντες γὰρ, φησὶν, ὡς ἐπὶ κηρίον μέλιτται ἥξουσιν ἐπὶ τὸ μαρτύριον πετόμενοι· καὶ ταῦτα οὐκ ἐξ ἑτέρου, ἀλλὰ παρὰ τῶν προγόνων ἐμάνθανε τῶν ἑαυτοῦ. Καὶ γὰρ καὶ τύραννοι τὴν Ἐκκλησίαν ἐπολέμησαν, καὶ δῆμοι διηνεκῶς ἐπανέστησαν [a], ὅτι ἔτι βραχὺς ἦν ὁ τῆς εὐσεβείας σπινθήρ· ἀλλ' ὅμως οὐκ ἔσβεσαν, οὐ κατέλυσαν, ἀλλ' αὐτοὶ μὲν κατελύοντο· ὁ δὲ σπινθὴρ ἐκεῖνος αὐξόμενος πρὸς ὕψος ἦρετο, καὶ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν, σφαττομένων, καιομένων, χρημνιζομένων, καταποντιζομένων, θηρίοις παραδιδομένων τῶν πιστῶν ἁπάντων. Καὶ γὰρ τοὺς ἀνθρακας ὡς πηλὸν κατεπάτησαν, καὶ τὰ πελάγη καὶ τὰ κύματα καθάπερ λειμῶνας ἑώρων, καὶ ἐπὶ τὸ ξίφος ὡς ἐπὶ διάδημα καὶ στέφανον ἔτρεχον, καὶ πᾶν εἶδος τιμωρίας ἤλεγξαν οὐ τῷ γενναίως φέρειν μόνον, ἀλλὰ καὶ τῷ μεθ' ἡδονῆς καὶ προθυμίας πολλῆς. Καθάπερ γὰρ τὰ φυτὰ ἀρδευόμενα αὔξεσθαι πέφυκεν· οὕτω καὶ ἡ πίστις ἡ ἡμετέρα πολεμουμένη μᾶλλον ἀνθεῖ, καὶ ἐνοχλουμένη πλεονάζει, καὶ οὐχ οὕτω τοὺς κήπους εὐθαλεῖς ἡ τῶν ὑδάτων ἀρδεία ποιεῖν εἴωθεν, ὡς τὰς Ἐκκλησίας τῶν μαρτύρων τὸ αἷμα ποτίζειν πέφυκε. Ταῦτ' οὖν ἅπαντα καὶ πλείονα τούτων εἰδὼς ἐκεῖνος ἐδεδοίκει φανερῶς τὸν πρὸς ἡμᾶς κινῆσαι πόλεμον· μὴ τρόπαια, φησὶν, ἀλλεπάλληλα στῆσαι, καὶ νίκας ἐργάσασθαι συνεχεῖς, καὶ στεφάνους ἀναδήσασθαι παρασκευάσωμεν. Καὶ τί ποιεῖ; Σκοπεῖτε τὴν κακουργίαν· Ἰατροὺς, καὶ στρατιώτας, καὶ σοφιστὰς, καὶ ῥήτορας ἅπαντας ἀφίστασθαι τῶν [580] ἐπιτηδευμάτων, ἢ τὴν πίστιν ἐξόμνυσθαι ἐκέλευσεν· οὕτω πρὸς ἡμᾶς τὸν πόλεμον ἀκροβολιζόμενος, ἵνα ἂν μὲν εἴξωσι, καταγέλαστος ἡ ἧττα γένηται, ὅτι χρημάτων τὴν εὐσέβειαν οὐ προετίμησαν· ἂν δὲ στῶσι γενναίως καὶ περιγένωνται, μὴ πάνυ λαμπρὰ ἡ νίκη, μηδὲ περιφανὲς τὸ τρόπαιον γένηται· οὐδὲν γὰρ μέγα τέχνης καὶ ἐπιτηδεύματος ὑπὲρ εὐσεβείας καταφρονῆσαι. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται μόνον· ἀλλὰ καὶ εἴ τις ἦν ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἡνίκα βασιλεῖς ἦσαν εὐσεβεῖς, ἢ βωμοὺς καταλύσας, ἢ ναοὺς κατασκάψας, ἢ ἀναθήματα λαβὼν, ἢ ἄλλ' ὁτιοῦν τοιοῦτον ἐργασάμενος, εἰς δικαστήριον εἵλκετο, καὶ ἐστράζετο, οὐχ ὁ πεποιηκώς τι τοιοῦτον μόνον, ἀλλὰ καὶ ὁ κατηγορηθεὶς ἁπλῶς. Καὶ ἑτέρας δὲ μυρίας καὶ πολυτρόπους προφάσεις ἔπλαττεν, ὥστε κατακόψαι τοὺς ἐν εὐσεβείᾳ ζῶντας ἅπαντας. Καὶ ταῦτα ἐποίει πάντα, τὸν τοῦ μαρτυρίου στέφανον ἀμαυρῶσαι βουλόμενος· ἵνα ὁ μὲν φόνος αὐτῷ προχωρῇ, καὶ σφαγαὶ γίνωνται, μὴ φαίνηται δὲ λαμπρὰ τὰ τῶν μαρτύρων βραβεῖα. Ἀλλ' οὐδὲν αὐτῷ πλεῖον ἐγίγνετο. Οὐ γὰρ ἀπὸ τῆς ἐκείνου ψήφου, οὐδὲ ἀπὸ τῆς κακουργίας πάντως οἱ ταῦτα παθόντες, ἀλλ' ἀπὸ τῆς ἀδεκάστου κρίσεως, τῆς ἄνωθεν λέγω, τὸν στέφανον δέχεσθαι μέλλουσι.

β'. Τοιγαροῦν τῶν πραγμάτων ἐν τούτοις ὄντων, καὶ ὑβρίζοντος ἐκείνου τὸν πόλεμον ἐξενεγκεῖν, καὶ δεδοικότος τὴν ἧτταν, συνέβη γενέσθαι συμπόσιον στρατιωτικὸν, οὗ μετέσχον οἱ σήμερον ἡμᾶς συναγαγόντες μάρτυρες· καὶ οἷα εἰκὸς ἐν συμποσίῳ, προτεινομένων λόγων πολλῶν, καὶ ἑτέρων ἕτερά τινα διαλεγομένων, οὗτοι τὰ παρόντα ἐθρήνουν κακὰ, καὶ τὸν ἔμπροσθεν ἐμακάριζον χρόνον, καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς τοὺς παρόντας ἔλεγον· Ζῆν δὲ λοιπὸν ὅλως ἄξιον; ἀναπνεῖν δὲ, ἢ τὸν ἥλιον τοῦτον ὁρᾷν, τῶν ἱερῶν καταπατουμένων νόμων, τῆς εὐσεβείας ὑβριζομένης, τοῦ κοινοῦ τῆς κτίσεως ἀτιμαζομένου Δεσπότου; Πάντα κνίσσης γέμει καὶ καπνοῦ, πάντα θυσιῶν ἀκαθάρτων, οὐδὲ ἀέρα καθαρὸν ἀναπνεῦσαι δυνάμεθα. Σὺ δέ μοι μὴ ἁπλῶς παραδράμῃς τὰ εἰρημένα· ἀλλ' ἐννόησον τὸν καιρὸν, καθ' ὃν ταῦτα ἐλέγετο· καὶ σκόπει τὴν εὐλάβειαν τῶν λεγόντων. Εἰ γὰρ ἐν συμποσίῳ στρατιωτικῷ ἔνθα ἄκρατος οἶνος καὶ μέθη καὶ ἄμιλλα ἀσωτίας ἐσχάτης, καὶ παρανίας ἀγὼν καὶ παραπληξίας, οὕτως ἔστενον, οὕτως ἐθρήνουν, τίνες ἦσαν ἐπὶ τῆς οἰκίας ὄντες, καὶ ἀλλήλοις συγγινόμενοι μόνοις; τίνες ἦσαν ἐν ταῖς εὐχαῖς οἱ παρ' αὐτὸν τὸν καιρὸν τῆς τρυφῆς οὕτω συνεσταλμένοι, καὶ ἀποστολικὰ σπλάγχνα ἐπιδεικνύμενοι; Ἄλλοι ἔπιπτον, καὶ οὗτοι ἐθρήνουν· ἕτερος ἡσέβει, καὶ οὗτοι ἐπυροῦντο· οὐδὲ ἠσθάνοντο τῆς οἰκείας ὑγιείας, διὰ τὴν τῶν ἀδελφῶν ἀῤῥωστίαν· ἀλλ' ὥσπερ κοινοὶ προστάται τῆς οἰκουμένης δοθέντες, οὕτως ἤλγουν καὶ ἐδάκρυον ἐπὶ τοῖς γινομένοις κακοῖς. Ταῦτα εἰπόντες οὐκ ἔλαθον· ἀλλ' εἷς τις τῶν τῆς τραπέζης κοινωνούντων ἐκείνης, εἶρων καὶ κόλαξ, θεραπεῦσαι τὸν βασιλέα βουλόμενος, πάντα τὰ εἰρημένα τούτῳ κατεῖπεν· ὁ δὲ ὅπερ ἐζήτει πάλαι εὑρὼν, καὶ προφάσεως ἐπιλαβόμενος δυναμένης αὐτοὺς ἀποστερῆσαι τῶν τοῦ μαρτυρίου μισθῶν, κελεύει δημευθῆναι τὴν οὐσίαν αὐτῶν ἅπασαν, τυραννίδα ἐγκαλῶν ὑπὲρ [581] τῶν ῥημάτων τούτων, καὶ γυμνοὺς εἰς τὸ δεσμωτήριον εἰσαχθῆναι προσέταξεν. Οἱ δὲ ἔχαιρον καὶ ἠγάλλοντο. Τί γὰρ ἡμῖν περιουσίας, φασὶ, καὶ στολῆς πολυτελοῦς; κἂν γὰρ αὐτὸ τὸ ἔσχατον ἱμάτιον τὴν σάρκα ἀποδύσασθαι δέῃ διὰ τὸν Χριστὸν, οὐδὲ ταύτης ἀνθεξόμεθα, ἀλλὰ καὶ αὐτὴν παραχωρήσομεν. Καὶ σήμαντρα λοιπὸν ἦν ἐν ταῖς οἰκίαις, καὶ πάντα ἀνηρπάζετο τὰ ἐκείνων. Καὶ καθάπερ ἄνθρωποι μέλλοντες ἀποδημεῖν εἰς πατρίδα μακρὰν ἀφεστηκυῖαν, τὴν οἰκίαν ἐξαργυρίσαντες πολλάκις προπέμπουσιν· οὕτω δὴ καὶ ἐπ' ἐκείνων συνέβαινεν. Ἐπειδὴ πρὸς τὸν οὐρανὸν ἔμελλον ἀποδημεῖν, προεπέμπετο αὐτῶν ἡ οὐσία, αὐτῶν τῶν ἐχθρῶν πρὸς τὴν παραπομπὴν διακονουμένων. Οὐδὲ γὰρ μόνον τὰ κατὰ λόγον ἐλεημοσύνης διδόμενα χρήματα πρὸς οὐρανὸν μετατίθενται· ἀλλὰ καὶ ἅπερ ἂν ἁρπάζωσιν οἱ τὴν πίστιν πολεμοῦντες καὶ διώκοντες τοὺς ἐν εὐσεβείᾳ ζῶντας, καὶ ταῦτα ἐκεῖ θησαυρίζεται. Ὅτι γὰρ τοῦτο οὐκ ἔλαττον ἐκείνου, ἄκουσον τί φησιν ὁ Παῦλος· *Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, προσδοκῶντες ἔχειν κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν.* Ἦσαν τοίνυν οἱ μάρτυρες ἐν τῷ δεσμωτηρίῳ, καὶ πᾶσα ἡ πόλις ἐκεῖ συνέῤῥει· καίτοι γε φόβων καὶ ἀπειλῶν καὶ κινδύνων ἐπικρεμαμένων μεγάλων, εἴ τις προσέλθοι, καὶ διαλεχθείη καὶ κοινωνήσειεν αὐτοῖς λόγων. Ἀλλ' ὁ τοῦ Θεοῦ φόβος πάντα ἐκεῖνα παρώσατο, καὶ δι' ἐκείνους πολλοὶ τότε ἐγίγνοντο μάρτυρες ὑπὲρ τῆς πρὸς αὐτοὺς συνουσίας τῆς παρούσης καταφρονοῦντες ζωῆς, καὶ συντριγόντων πολλῶν ψαλμῳδίαι συνεχεῖς

[a] Savil. in margine δῆμοι θηριωδῶς ἔκαν. Mox Savil. et Morel. οὐ κατέδυσαν.

Persequutionis ratio sub Juliano Apostata. — Erat Imperator quidam, etiam nostro ævo, omnes qui se præcesserant impietate vincens, de quo et nuper pluribus a me dictum est : qui cum videret res nostras martyrum morte clariores fieri, et ea causa non solum viros, sed et teneros pueros virginesque innuptas, et in summa ex omni sexu et ætate quosdam pro religione ad mortem prosilire, cruciabatur et dolebat; cæterum movere bellum manifeste nolebat. Omnes enim, dicebat, ad martyrium, quasi ad alvearium apes volabunt. Hæc autem non ab alio, quam a majoribus suis didicerat. Etenim tyranni Ecclesiam infestarunt, et populi quoque perpetuo insurrexerunt [1] cum adhuc parva religionis scintilla esset; eam tamen non exstinxerunt, neque destruxerunt, sed ipsi potius destructi sunt. Augebatur quotidie scintilla hæc, ferebaturque in sublime, et omnem undique orbem invadebat, cum occiderentur, adurerentur, suspenderentur, præcipitarentur, bestiis objicerentur omnes fideles. Etenim carbones sicut lutum calcabant, et mare fluctusque sicut pratum intuebantur, ad gladium sicut ad diadema et coronam currebant, omniaque tormentorum genera ita superabant, ut ea non solum generose et fortiter ferrent, sed et alacriter et cum voluptate. Enimvero sicut plantæ rigatæ magis crescunt, ita et fides nostra oppugnata magis floret, et vexata incrementa majora sumit; neque horti aquis irrigati ita germinant, et fecundi sunt, ut Ecclesiæ, si martyrum irrigentur sanguine. Hæc omnia atque plura cum ille sciret, meticulosior erat, quam ut manifeste cum nostris confligeret. Ne efficiamus, inquit, ut frequentia erigant tropæa, continuas reportent victorias, et coronas obtineant. Sed quid facit? Vide, oro, malignitatem. Medicos, milites, sophistas et oratores omnes vel a professionibus suis discedere vel fidem suam abjurare jubet, excitavitque in hunc modum contra nostros bellum tela eminus mittens, ut si a fide desisterent, ridicule vincerentur, utpote qui fidem opibus non præferrent; sin generose perseverarent et vincerent, neque sic egregia foret victoria; neque insigne tropæum : nihil enim magnum, artem vel professionem pro pietate contemnere. Neque is sævitiæ ejus finis erat : nam ad hæc, si quis superioribus annis, cum adhuc pii Imperatores rerum potirentur, vel altaria demolitus fuisset, vel templa suffodisset, vel donaria diripuisset, vel aliud tale quiddam egisset, rapiebatur ad tribunal, et occidebatur, non is solum qui tale quid egisset, sed qui delatus dumtaxat fuisset. Fingebat quoque et alias varias causas, ita ut pie viventium nemo non lugeret. Agebat autem hæc, ut obscuraretur martyrii corona, et nihilominus cædes et strages fierent, neque splendida præmia martyrum apparerent : nihil tamen arte hac proficiebat. Nam qui ita affligebantur, non ad illius calculum et malignitatem spectabant, sed ad incorruptum Judicem, a quo et cælestem coronam accepturos sese confidebant.

[1] Savil. in marg., *quasi feræ insurrexerunt.*

2. *Juventinus et Maximinus in carcerem trusi; et qua de causa.* — Interea cum hæc ita se haberent, et bellum quidem ille parturiret adversus nostros, cessaret autem, veritus ne vinceretur : accidit ut milites quoddam convivium haberent, in quo et martyres, quos hodie colimus, erant. Cæterum, ut conviviorum mos est, cum varii sermones hinc inde dicerentur, aliique alia tractarent, hi mala sui temporis deplorabant, longe feliciora fuisse superiora asserentes, dicebantque et inter se et ad sodales : Quem juvaret ultra vivere, vel spirare, vel solem intueri, sacris legibus ita conculcatis, pietate ita violata, creaturarum omnium Domino ita contempto? Omnia nidore plena sunt et fumo, omnia sacrificiis immundis referta : ne purum quidem aerem spirare possumus. Dicta hæc ne perfunctorie transeas, sed considera, quando ea loquuti sunt, et quanta pietate. Nam si in militari convivio, ubi regnant ebrietas et intemperantia, ubi certatur de prodigalitate, ubi agon est de temulentia et insania, sic ingemiscebant et lugebant : quales erant domi, cum soli inter se agerent? quales erant in precibus et jejuniis, qui deliciarum tempore tam temperantes, apostolica præ se ferebant pectora? Cadebant alii, hi vero lugebant; impie agebant alii, hi vero urebantur. Atque ipsi ob fratrum infirmitatem suam sanitatem non sentiebant; sic dolebant et lacrymabantur in malis, quæ tunc fiebant, quasi universo mundo tutores dati essent. Neque occultum fuit talia eos dixisse : nam ex sodalibus et convivis adulator et irrisor quidam, obsequium Imperatori facturus, omnia ut dicta erant detulit. Ille arrepta occasione jam diu quæsita, causatus est ex verbis illis affectatam tyrannidem, ut ita eos martyrii corona privaret, et jussit publicatis facultatibus eorum omnibus, nudos in carcerem conjici. Illi autem gaudebant, et exsultabant dicentes : Quid nobis divitiis pretiosaque veste opus? si et indusium intimum, nempe caro, propter Christum exuendum est, non obluctabimur, sed sponte concedemus. Tunc signa eorum domibus apponuntur, omniaque diripiuntur. Porro ut homines in patriam procul sitam migraturi, substantiam omnem in pecuniam commutatam sæpenumero præmittunt : ita et illis accidit. Quoniam enim in cælos erant transituri, inimicis ipsis negotium agentibus, et in hoc ministrantibus, opes suas ante se miserunt. Non enim illæ tantum opes, quas eleemosynæ nomine largimur, transferuntur in cælum, sed etiam quascumque nobis hostes fidei piorumque persequutores rapiunt, illic thesauri erunt. Est enim hoc non minus quam illud : de quo audi quid Paulus dicat : *Et rapinam*, inquit, *bonorum vestrorum cum gaudio tulistis, exspectantes vos habere meliorem substantiam, et manentem in cælis (Hebr.* 10. 34). Ut autem ingressi sunt in carcerem, confluxit ad eos omnis civitas, tametsi multis terroribus, minis et periculis interdictum erat, ne quis vel ad eos accederet, vel eis loqueretur, vel quovis modo communicaret. Atqui timor Dei illa omnia excussit : unde multi ob consuetudinem, quam cum illis habebant, facti sunt et ipsi

martyres : multi enim contempta præsenti vita frequenter eos visitando, psalmodias sacraque pervigilia celebrabant. Erant familiaritates illæ spiritualis eruditionis atque consolationis plenæ : et clausa ecclesia, carcer ecclesia factus est. Neque ii solum, qui eos visebant, sed et qui intus cum eis tenebantur, maximam sapientiam et virtutem a patientia et fide eorum discebant. Imperator ut hæc audivit, valde stomachatus est : cupiens tamen eos supplantare, et ab alacritate sua dejicere, fœdos quosdam homines et præstigiatores subornavit, qui, si quando privatum colloquium sese offerret, non ut ab Imperatore missi, sed quasi proprio consilio id agentes, adhortarentur ut a religione desistant et ad impietatem transeant. Dicebant enim : Sic non solum imminens periculum effugietis, sed majori dignitate honestati, majorem quoque principatum adepturi estis, Imperatoris ira feliciter placata. Nonne vidistis et alios vestri ordinis idipsum fecisse ? Quibus illi responderunt : Atqui nos hac potissimum ratione viriliter stabimus, ut pro illorum lapsu nosmetipsos in sacrificia offeramus. Benignus nobis Dominus est : solet etiam uno accepto sacrificio toti orbi conciliari. At sicut olim tres pueri dixerunt : *Non est in tempore hoc princeps et propheta, et dux, neque holocaustum, neque sacrificium, neque locus offerendi coram te, ut possimus invenire misericordiam, sed in animo contrito et spiritu humilitatis suscipiamur* (*Dan.* 3. 38. 39) : ita et martyres illi videntes altaria subversa, clausas ecclesias, sacerdotes pulsos, fideles omnes fugatos, studebant ut pro omnibus offerrentur Domino, relictisque militaribus turmis, angelicis sese choris adjungerent. Etiamsi nunc, aiebant, non moriamur, moriendum tamen et patiendum hoc est non multo posthac. Satius igitur fuerit mori pro Rege angelorum, quam pro rege tam impio; satius fuerit pro patria cælesti arma deponere, quam pro terrena et quam pedibus calcamus. Hic etsi quis moriatur, nihil accipiet ab Imperatore sua dignum fortitudine. Et quid posset homo defuncto gratiæ conferre ? Atqui ei sæpenumero ne sepultura quidem contingit, et non raro a canibus devoratur. Quod si pro Rege angelorum mortui fuerimus, certi sumus nos accepturos corpus multo gloriosius, majori gloria conspicui erimus, longe majora nobis erunt laborum præmia, et corona redimiemur. Proinde arripiamus arma spiritualia : non opus jaculis et arcubus, non aliis armis quæ sub sensus cadunt ; sufficit pro omnibus lingua. Sunt enim et sanctorum ora pharetræ, e quibus diabolico capiti continui et crebri ictus inferuntur.

5. *Juliani Apostatæ calliditas. Juventinus et Maximinus capite truncantur.* — Nuntiata sunt et hæc atque similia Imperatori, qui nec destitit, sed illecebris iterum atque iterum illos tentavit. Ita autem subdolus ille et callidus ac sapiens ad male agendum rem concinnavit, ut si cederent victi, sub omnium oculos producerentur, et efficeret, ut sacrificarent : sin perseverarent, tantamque in pugna fortitudinem exhiberent, non manifesta foret illorum victoria, sed quasi affectatæ tyrannidis rei truncarentur. At qui revelat profunda et abdita, non permisit, ut machinationes illæ occultæ manerent, et ignotæ insidiæ : sed quemadmodum illa mulier Ægyptia Josephum in cubiculo ac solitudine multa apprehendens (*Gen.* 39. 11), licet speraret factum suum clam fore omnibus hominibus, non fuit tamen occulta, vel oculo illi soporis nescio, vel posteritati ; sed quod absque arbitrio illa Josepho dixit, id nunc ibique terrarum canitur : ita et ea quæ per subornatos consiliarios ille loquebatur sperans occulta fore, nequaquam manserunt occulta. Didicerunt enim posteri omnes et insidias et triumphantium victorias. Denique cum, multo tempore exacto, alacritatem eorum non solum non frangeret diuturnitas, sed potius studium et ardorem excitaret, æmulatoresque multos faceret, jussit tandem media nocte in barathrum eos abduci. Ducebantur itaque in mediis tenebris luminaria, et illi decollabantur. Cæterum capita detruncata tunc diabolo magis terribilia erant, quam cum adhuc vocem darent : sicut et caput Joannis non tantum terrebat, cum loqueretur, quantum cum in disco mutum afferretur. Habet enim et sanctorum sanguis suam vocem, quæ non per aures auditur, sed occidentium conscientiam invadit. Post beatam illam cædem quidam, etiam cum salutis periculo, athletas illos optimos rapuerunt, etiam ipsi vivi martyres, ut illorum reliquias curarent decenter. Nam quamvis non occidebantur, optabant tamen mori ; illoque modo ad rapienda corpora profecti sunt. Dicunt qui tunc affuere, et quibus corpora illa recens occisa videre datum fuit, quod jacentibus simul illis ante sepulturam, talis quædam ex eorum oculis et vultu gratia resplenduerit, qualem in Stephano Judæis responsuro fuisse Lucas dicit (*Act.* 6. 15) ; neque ullus est, qui non pio quodam cum horrore illis adstiterit : adeo aspectus ille afficiebat omnes. Quin et omnes clamabant in laudem eorum, id quod a Davide dictum : *In vita sua non sunt separati, et in morte non sunt divisi* (2. *Reg.* 1. 23). Pariter enim confessi sunt, pariter carcerem inhabitarunt, pariter in barathrum abducti sunt, pariter capite mulctati sunt, et una capsula utriusque corpora tenet : et unum quoque tabernaculum in cælis eos excipiet, quando majori sunt illa cum gloria resumpturi. Illos non indignum fuerit et columnas, et scopulos, et turres, et luminaria, et tauros simul appellare. Nam Ecclesiam sicut columnæ sustinent, sicut turres muniunt ; et sicut scopuli omnes insidias repellunt, multam iis, qui intus sunt, afferentes tranquillitatem ; sicut luminaria tenebras impietatis discusserunt ; et sicut tauri anima et corpore promptitudineque eadem suave Christi jugum traxere. Idcirco sæpe eos invisamus, capsulam attingamus, magnaque fide reliquias eorum complectamur, ut inde benedictionem aliquam assequamur. Etenim sicut milites vulnera quæ in præliis sibi inflicta sunt regi monstrantes, fidenter loquuntur : ita et illi in manibus absecta capita gestantes, et in medium afferentes, quæcunque voluerint apud Regem cælorum impetrare possunt.

τελοῦντο, παννυχίδες ἱεραὶ, συνουσίαι διδασκαλίας γέμουσαι πνευματικῆς, καὶ τῆς ἐκκλησίας ἀποκλεισθείσης τὸ δεσμωτήριον ἐκκλησία λοιπὸν ἐγίνετο. Οὐ γὰρ δὴ μόνον οἱ ἔξωθεν εἰσιόντες, ἀλλὰ καὶ οἱ ἔνδον διατρίβοντες, μεγίστην διδασκαλίαν ἀρετῆς καὶ σωφροσύνης παρὰ τῆς ὑπομονῆς καὶ τῆς πίστεως τῶν ἁγίων τούτων ἐδέχοντο. Ταῦτα ἀκούων ὁ βασιλεὺς ὠδυνᾶτο πλέον, καὶ βουλόμενος αὐτοὺς ὑποσκελίσαι, καὶ τῆς προθυμίας ἐκλῦσαι ἐκείνης, καθῆκεν ἀνθρώπους μιαρούς τινας καὶ γόητας πρὸς τὴν ἐπιβουλήν· οἳ συγκαθήμενοι πολλάκις, εἴ ποτε αὐτῶν ἐπιλάβοιντο μόνων, ὡς οἴκοθεν συμβουλεύοντες, ἀλλ' οὐχ ὡς παρὰ τοῦ βασιλέως πεμφθέντες παρῄνουν ἀποστῆναι μὲν τῆς εὐσεβείας, αὐτομολῆσαι δὲ πρὸς τὴν ἀσέβειαν. Οὐ γὰρ δὴ μόνον τὸν ἐπικείμενον οὕτω διακρούσεσθε κίνδυνον· ἀλλὰ καὶ τιμῆς πλείονος καὶ κρείττονος ἐπιλήψεσθε τῆς ἀρχῆς, τοῦ βασιλέως τὴν ὀργὴν οὕτω καταλύσαντες. Οὐχ ὁρᾶτε καὶ ἑτέρους τῶν συντεταγμένων ὑμῖν τὸ αὐτὸ τοῦτο πεποιηκότας; Οἱ δὲ, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἡμεῖς, φασὶ, στησόμεθα γενναίως, ἵνα ὥσπερ θύματα ἑαυτοὺς ὑπὲρ τῶν πτωμάτων ἐκείνων προσαγάγωμεν. Φιλάνθρωπον ἔχομεν Δεσπότην· οἶδε καὶ μίαν θυσίαν δεξάμενος, πάσῃ καταλλαγῆναι τῇ οἰκουμένῃ. Καὶ καθάπερ οἱ τρεῖς παῖδες ἔλεγον· ὅτι *Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος, οὔτε ὁλοκαύτωσις, οὔτε θυσία, οὔτε τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν*· οὕτω δὴ καὶ οἱ μάρτυρες τὰ θυσιαστήρια κατασκαπτόμενα βλέποντες, τὰς ἐκκλησίας [582] ἀποκλειομένας, τοὺς ἱερεῖς ἐλαυνομένους, πάντας τοὺς πιστοὺς φυγαδευομένους, ἐσπούδαζον ἑαυτοὺς ἀντὶ πάντων τῷ Δεσπότῃ προσαγαγεῖν· καὶ καταλιπόντες τάγματα στρατιωτικὰ, ἔσπευδον ἑαυτοὺς ἀναμίξαι χοροῖς ἀγγελικοῖς. Κἂν γὰρ μὴ νῦν ἀποθάνωμεν, φησὶν, ἀποθανούμεθα πάντως γοῦν μικρὸν ὕστερον, καὶ τοῦτο αὐτὸ πεισόμεθα· βέλτιον ὑπὲρ τοῦ βασιλέως τῶν ἀγγέλων ἀποθανεῖν, ἢ ὑπὲρ ἀνθρώπου τοιαῦτα ἀσεβοῦντος· βέλτιον ὑπὲρ τῆς ἄνω πατρίδος θέσθαι τὰ ὅπλα, ἢ ὑπὲρ τῆς κάτω καὶ πατουμένης. Ἐνταῦθα κἂν ἀποθάνῃ τις, οὐδὲν παρὰ βασιλέως λήψεται τῆς προθυμίας ἐπάξιον. Τί γὰρ τῷ τελευτήσαντι χαριεῖται λοιπὸν ἄνθρωπος; Πολλάκις μὲν οὖν οὐδὲ ταφῆς ἀξιωθεὶς, τοῖς τῶν κυνῶν προκείσεται στόμασιν. Ἂν δὲ ὑπὲρ τοῦ βασιλέως ἀποθάνωμεν τῶν ἀγγέλων, μετὰ πλείονος τῆς δόξης τὰ σώματα ἀπολῃψόμεθα, μετὰ πολλῆς τῆς λαμπρότητος ἐπανήξομεν, καὶ πολλῷ μείζους τῶν πόνων τὰς ἀμοιβὰς καὶ τοὺς στεφάνους κομιούμεθα. Λάβωμεν τοίνυν ὅπλα πνευματικά· οὐ χρεία βελῶν καὶ τόξων, οὐ χρεία ἄλλου τινὸς αἰσθητοῦ ὅπλου· ἀρκεῖ πρὸς πάντα ἡμῖν ἡ γλῶττα, φησί. Καὶ γάρ ἐστι βελοθήκη τῶν ἁγίων τὰ στόματα, συνεχεῖς καὶ ἐπαλλήλους [a] φέροντα τῇ τοῦ διαβόλου κεφαλῇ τὰς πληγάς.

γ'. Ταῦτα καὶ τὰ τούτοις ἐοικότα [b] ἀπηγγέλλετο τῷ βασιλεῖ· ὁ δὲ οὐκ ἀφίστατο, ἀλλ' ἐπεχείρει πάλιν τὰ δελέατα δι' ἐκείνων τιθείς. Ταῦτα γοῦν κατεσκεύαζεν ὁ ὕπουλος καὶ πανοῦργος καὶ σοφὸς εἰς τὸ κακοποιῆσαι, ἵνα ἂν μὲν καταμαλακισθέντες ἐνδῶσιν, ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς αὐτοὺς ἐξαγάγοιεν [c], καὶ οὕτω λοιπὸν παρασκευάσῃ θῦσαι· ἂν δὲ ἐπιμείνωσι σφοδρὰν τὴν ἀνδρείαν ἐπιδεικνύμενοι, καὶ πρὸς τὴν πάλην γενναίως ἱστάμενοι, μὴ φανερὰ γένηται τὰ τῆς νίκης αὐτοῖς, ἀλλ' ὡς ἐπὶ προσχήματι τυραννίδος αὐτοὺς ἀπαγαγὼν ἀποτέμῃ. Ἀλλ' ὁ ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα, οὐκ ἀφῆκε λαθεῖν τὴν ἐνέδραν, οὐδὲ τὴν ἐπιβουλὴν ἀφανῆ γενέσθαι· ἀλλ' ὥσπερ ἡ Αἰγυπτία τότε γυνὴ τοῦ Ἰωσὴφ ἐπιλαβομένη ἐν θαλάμῳ καὶ ἐρημίᾳ πολλῇ προσεδόκησε λήσεσθαι πάντας ἀνθρώπους, οὐκ ἔλαθε δὲ τὸν ἀκοίμητον ὀφθαλμὸν, καὶ οὐ μόνον ἐκεῖνον, ἀλλ' οὐδὲ ἀνυρώπους τοὺς μετὰ ταῦτα, ἀλλ' ὅπερ ἐκείνη πρὸς τὸν Ἰωσὴφ εἶπεν, οὐδενὸς παρόντος, τοῦτο πανταχοῦ τῆς οἰκουμένης ᾄδεται· οὕτω δὴ καὶ οὗτος ἤλπισε μὲν λήσειν ἐν δεσμωτηρίῳ διαλεγόμενος διὰ τῶν ἐσχηματισμένων συμβούλων ἐκείνων, οὐκ ἔλαθε δέ· ἀλλ' ἅπαντες μετὰ ταῦτα ἔμαθον τὴν ἐνέδραν, τὴν ἐπιβουλὴν, τὴν νίκην, τὸ τρόπαιον. Ὡς γὰρ χρόνος ἐτρίβετο καὶ παρέρρει πολὺς, καὶ τὸ πλῆθος τῶν ἡμερῶν οὐκ ἐξέλυε τὴν προθυμίαν, ἀλλ' ἐπέτεινεν αὐτῶν μᾶλλον τὴν σπουδὴν, καὶ πλείονας κατεσκεύαζε ζηλωτὰς, κελεύει λοιπὸν μέσων νυκτῶν ἐπὶ τὸ βάραθρον αὐτοὺς ἀπαχθῆναι. Καὶ ἐν μέσῳ σκότει οἱ φωστῆρες ἐξήγοντο, καὶ ἀπετέμνοντο. Τότε καὶ φοβερώτεραι λοιπὸν ἦσαν αἱ κεφαλαὶ τῷ διαβόλῳ μᾶλλον ἢ ὅτε φωνὴν ἠφίεσαν· ἐπεὶ καὶ ἡ Ἰωάννου κεφαλὴ οὐχ οὕτω φοβερὰ ἦν φθεγγομένη, ὡς ἄφωνος ἐπὶ τοῦ πίνακος κειμένη. Ἔχει γὰρ καὶ φωνὴν τῶν ἁγίων τὸ αἷμα, οὐ δι' ὤτων ἀκουομένην, ἀλλὰ τοῦ συνειδότος τῶν ἀναιρούντων ἐπιλαμβανομένην. Μετὰ δὲ τὴν μακαρίαν ἐκείνην σφαγὴν, οἱ τὰ τοιαῦτα θηρεύοντες λείψανα, τὴν [583] ἑαυτῶν ὑποθέντες σωτηρίαν, ἀνείλοντο τοὺς ἀριστέας τούτους· καὶ ἦσαν κἀκεῖνοι μάρτυρες ζῶντες. Καὶ γὰρ εἰ καὶ μὴ ἀπετμήθησαν, ἀλλ' ἑλόμενοι πρότερον τοῦτο παθεῖν, οὕτως ἐπὶ τὴν ἄγραν τῶν σωμάτων ὥρμησαν. Λέγουσι τοίνυν οἱ τότε παραγενόμενοι καὶ ταῦτα τὰ σώματα νεοσφαγῆ καταξιωθέντες ἰδεῖν, ὅτι κειμένων αὐτῶν παρ' ἀλλήλων πρὸ τῆς ταφῆς, τοσαύτη τις ἐπήνθησεν αὐτῶν ταῖς ὄψεσι χάρις, οἵαν ἐπὶ Στεφάνου φησὶν ὁ Λουκᾶς γεγενῆσθαι μέλλοντος ἀπολογεῖσθαι τοῖς Ἰουδαίοις, καὶ οὐκ ἔστιν οὐδεὶς ὃς χωρὶς φρίκης παρέστη τότε αὐτοῖς. Οὕτω καὶ αὕτη ἡ ὄψις πάντας τοὺς ὁρῶντας ἐξέπληττε, καὶ πάντες ἐπεβόων ἐκεῖνο τὸ παρὰ τοῦ Δαυὶδ εἰρημένον· *Ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχωρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν.* Κοινῇ γὰρ καὶ ὡμολόγησαν καὶ τὸ δεσμωτήριον ᾠκησαν, καὶ εἰς τὸ βάραθρον ἀπηνέχθησαν, καὶ τὰς κεφαλὰς ἀπέθεντο, καὶ μία λάρναξ ἀμφοτέρων ἔχει τὰ σώματα· ὥσπερ οὖν καὶ μία σκηνὴ δέξεται αὐτὰ πάλιν ἐν τοῖς οὐρανοῖς, ὅταν αὐτὰ μετὰ πλείονος δόξης ἀνελέσθαι μέλλωσι. Τούτους ἄξιον καὶ στύλους, καὶ σκοπέλους, καὶ πύργους, καὶ φωστῆρας, καὶ ταύρους ὁμοῦ προσειπεῖν. Καὶ γὰρ ὡς στῦλοι τὴν Ἐκκλησίαν ἀνέχουσι, καὶ ὡς πύργοι τειχίζουσι, καὶ ὡς σκόπελοι πᾶσαν ἐπιβουλὴν ἀποκρουόμενοι, πολλὴν τοῖς ἔνδον ποιοῦσι γαλήνην· καὶ ὡς φωστῆρες τὸ σκότος ἀπήλασαν τῆς ἀσεβείας καὶ ὡς ταῦροι ψυχῇ καὶ σώματι, ἴσῃ τῇ προθυμίᾳ, τὸν χρηστὸν εἵλκυσαν τοῦ Χριστοῦ ζυγόν. Συνεχῶς τοίνυν αὐτοῖς ἐπιχωριάζωμεν, καὶ τῆς λάρνακος ἁπτώμεθα, καὶ μετὰ πίστεως τοῖς λειψάνοις αὐτῶν περιπλεκώμεθα, ἵνα εὐλογίαν τινὰ ἐπισπασώμεθα ἐκεῖθεν. Καθάπερ γὰρ οἱ στρατιῶται τραύματα ἐπιδείξαντες, ἅπερ ἐκ τῶν πολεμίων ἔλαβον, μετὰ παῤῥησίας τῷ βασιλεῖ διαλέγονται· οὕτω καὶ οὗτοι τὰς κεφαλὰς ἃς ἀπετμήθησαν ἐπὶ τῶν χειρῶν βαστάζοντες, καὶ εἰς μέσον παράγοντες, εὐκόλως ἅπαντα, ὅσα ἂν θέλωσι, παρὰ τῷ βασιλεῖ τῶν οὐρανῶν ἀνύειν δύνανται. Μετὰ πολλῆς τοίνυν τῆς πίστεως, μετὰ πολλῆς τῆς προθυμίας ἐκεῖ

[a] Savil. et Reg. συνεχεῖς καὶ ἐπλλήλους, Morel. συνεχῶς καὶ ἐπαλλήλους.
[b] Sic Savil. Montf. εἰκότα.
[c] Savil. ἐξαγάγῃ

βαδίζωμεν, ἵνα καὶ ἀπὸ τῆς ὄψεως τῶν ἁγίων τούτων μνημάτων, καὶ ἀπὸ τῆς ἐννοίας τῶν ἄθλων, καὶ παντα-χόθεν πολλοὺς καὶ μεγάλους λαβόντες θησαυρούς, καὶ τὸν παρόντα βίον διανηθῶμεν κατὰ τὸ τῷ Θεῷ δοκοῦν διανύσαι, καὶ μετὰ πολλῆς τῆς ἐμπορίας εἰς ἐκεῖνον καταπλεῦσαι τὸν λιμένα, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD HOMILIAS IN SANCTAM PELAGIAM

[584] Quæ prima ponitur homilia Græco-Latina in S. Pelagiam, Antiochiæ haud dubie habita est; qua in urbe passa est Pelagia. De qua sancta virgine et martyre multæ suboriuntur quæstiones, quas erudite prosequitur suo more Fronto Ducæus his verbis.

« Ex duabus homiliis, quas edidit primum Aloysius Lipomanus, t. 7 de Vitis Sanctorum Latine tantum, unam hic utraque lingua nunc damus ex duobus Mss. Henrici IV regis, in quorum altero adscriptus margini fuit dies Octobris 8 hoc pacto, μηνὶ Ὀκτωβρίῳ η' : et admonet illustrissimus Card. Baronius in Menologio Græcorum agi de alia Pelagia Antiochena, quæ antequam teneretur a persecutoribus, orans ne dispendium pateretur virginitatis, in pace quievit : sed hujus Pelagiæ festivitatem ab illis celebrari quarto Idus Junii, cum in Rom. Martyrologio collocetur 5 Idus ejusdem mensis, hoc est 9 Junii. Rursus convenire ait inter Ambrosium et Chrysostomum quod uterque civem Antiochenam fuisse velit Pelagiam, et ne jacturam faceret virginitatis, mortem voluntariam oppetiisse ; verum eos inter se discrepare, quod Ambrosius una cum matre et sorore fluvio mersam eam testetur ; Chrysostomus autem e sublimi tecto se præcipitem dedisse : atque hoc ipsum de Pelagia mersa scripsisse Ambrosium lib. 3 de Virginibus annotavit Lud. Vives in lib. 1, c. 26, Augustini de Civitate Dei : nobis tamen attentius ejus narrationem perpendentibus, nihil tale videtur Ambrosius referre ; sed absentibus potius matre ac sororibus, solam domi deprehensam, vacuam præsidio, sed Deo pleniorem Pelagiam salva virginitate ad sponsum Christum properasse ; nec aliter genus mortis exprimit : at persecutores ubi ereptam sibi viderunt prædam pudoris, matrem et sorores ejus cœpisse quærere ; verum illas, consertis manibus tamquam chorosducerent, in medium alveum fluminis progressas esse, ubi unda torrentior, ubi profundum abruptius, vestigia dirigentes. Neque vero adstipulatur eidem Ambrosio Augustinus eodem libro jam citato, cum ait sanctas feminas quasdam, ut insectatores suæ pudicitiæ devitarent, in necaturum se flumen projecisse, atque earum memoriam in Ecclesia Catholica veneratione celeberrima frequentari. Neque enim

Proinde magna fide et alacritate huc veniamus, quo et visis sanctorum monumentis, et consideratis eorum certaminibus, inde varios thesauros undequaque colligamus; et per præsentem vitam ita secundum voluntatem Dei transeamus, in portum illum cum multis meritis ingrediamur, et regnum cælorum consequamur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri simulque Spiritui sancto gloria, imperium, honor et adoratio in sæcula sæculorum. Amen.

ADMONITIO.

Pelagiam nominat, aut Sophroniam, sed exemplo utriusque desumpto ex Ambrosio Vives Augustini narrationem illustravit : qui tamen hoc eas fecisse divinitus jussas, non humanitus deceptas putat, sicut de Samsone aliud fas non est credere : neminem tamen spontaneam mortem sibi inferre debere, velut fugiendo molestias temporales, ne in perpetuas incidat. Atque in hac quidem homilia tantum hoc ait Chrysostomus, Pelagiam ingressam intro vestem mutasse, incorruptam pro corrupta, et infra dicit multos e sublimi tecto dejectos nihil mali passos. At in homil. 1, quæ est tomo 3 apud Surium, disertis verbis ita narrat : *Ad ipsius tecti fastigium cucurrit; et illinc seipsam præcipitem dedit.* Idemque de ea refertur in Actis Luciani a Joanne Nicomediensi conscriptis apud Surium tom. 1. Atque hoc pacto videri potest intellexisse Ambrosius Pelagiam sartam tectam conservasse virginitatem, cum e tecto se demisisset : et fieri potest ut sorores ejus non aliæ fuerint, quam Bernice et Prosdoce, quarum similem exitum exponit idem Chrysostomus infra. Nam et in Martyrologio Rom. 19 Octobris passi dicuntur Beronicus, Pelagia et alii martyres Antiochiæ, sed ibidem alterius Pelagiæ pœnitentis festum confertur in octavum diem Octobris, cui patria item fuit Antiochia, sed obiit Jerosolymis temporibus Theodosii junioris, ejusque meminit Nicephorus lib. 4, c. 40. »

De tempore martyrii S. Pelagiæ non constat : alii sub Diocletiano, sub Maximino alii passam volunt. Vide quæ hac de re dicantur a Bollandi continuatoribus ad diem 9 Junii, p. 159.

Incerti cujusdam interpretationem, utpote nec accuratam, nec ad Græcæ orationis fidem concinnatam, respuimus novamque paravimus.

Secundam eamque breviorem homiliam in S. Pelagiam ex Metaphraste, ut apud Surium latine legitur, desumptam, Græco deficiente, subjungimus. Ea Chrysostomi nomen præfert, nec injuria ut videtur. In nullo enim a Chrysostomi stylo concionandique ritu abhorret. Id vero solum quidpiam parere scrupuli possit, quod brevior sit, quam soleant esse conciones ejus. Verum aliæ occurrunt ejusdem brevitatis, quas non ideo debemus Chrysostomo abjudicare.

HOMILIA ENCOMIASTICA (a)

IN S. MARTYREM PELAGIAM ANTIOCHENAM.

1. *Pelagia cur tyranni judicium præverterit. Jesu usa consiliario se præcipitem dedit.* — Benedictus Deus : etiam mulieres, imo puellæ demum mortem irrident, virginesque admodum juvenes et innuptæ in ipsos inferni stimulos insiliunt, nihilque patiuntur detrimenti. Hæc porro bona omnia per Christum ex Virgine natum allata nobis sunt : nam post beatum partum illum, et admirabilem ortum, mortis nervi soluti, diaboli potentia fracta est, qui deinceps non a viris tantum, sed etiam a mulieribus contemnitur ; nec a mulieribus modo, sed et a puellis. Sicut enim pastor strenuus leonem pecoribus formidolosum, et totum ovile devastantem corripiens, avulsis dentibus, exsectis unguibus, detonsa juba, vel pastorum pueris deridendum propinat, imo etiam puellis tradit illudendum : ita et Christus mortem naturæ nostræ formidabilem, generique nostro terribilem corripuit, ejusque metum dissolvit, ita ut etiam virgines ipsam derideant. Quamobrem beata Pelagia tanta cum voluptate ad eam cucurrit, ut ne carnificum quidem manus exspectaret, neque in judicium ingrederetur, sed propria animi magnitudine illorum crudelitatem præverteret. Nam ad tormenta quidem, cruciatus, supplicia parata erat ; sed metuebat tamen ne virginitatis coronam perderet. Ut autem scias eam ab impiorum libidine timuisse, præoccupavit illa, seseque a turpi contumelia subduxit. Quod sane vir nullus unquam aggressus est : omnes enim ad judicium sequuti fuerant, ibique fortitudinem suam demonstraverunt. At mulieres, utpote natura sua injuriæ opportuniores, hunc sibi mortis modum excogitarunt. Nam si potuisset simul et virginitatem servare et martyrii coronam consequi, nequaquam ad tribunal ingredi recusasset ; quia vero ab alterutro excidere necesse prorsus erat, extremæ putabat amentiæ fore, si cum posset utramque victoriam consequi, dimidiam solum coronam reportaret. Ideo noluit in judicium accedere, neque lascivis oculis spectaculo esse, vel pati ut intemperantes homines aspectu suo fruerentur, sanctumque illud corpus afficerent contumelia ; sed ex thalamo et gynæceo in alium thalamum, sive in cœlum, venit. Magnum quippe est carnifices circumstantes videre, et latera fodientes ; sed nihilo minus illo hoc quoque est : illis enim cum jam sensus cruciatuum varietate consumptus sit, non ultra formidabilis mors videtur, sed potius urgentium malorum liberatio atque cessatio ; hæc vero nihildum hujusmodi passa, cum corpus integrum haberet, nihilque doloris pertulisset, generoso magnoque animo opus habuit, ut violenta morte ex hac vita se subduceret. Quare si miraris illorum patientiam, hujus mirare virtutem ; si stupes eorum tolerantiam, ejus stupe generosum animum, quo talem adire mortem ausa sit. Ne vero cursim rem prætereas ; sed cogita quo sensu fuerit virgo tenera, quæ thalamum tantum noverat, militibus confertim irrumpentibus, ante fores stantibus, ad judicium vocantibus, in forum pro talibus tantisque rebus trahentibus. Non pater intus, non mater aderat, non nutrix, non ancilla, non vicina, non amica, sed sola inter carnifices illos erat. Quod enim exire et respondere carnificibus illis militibus potuerit, quod hiscere, quod vocem emittere, quod respicere, quod consistere ac respirare, quo non stupore et admiratione dignum fuerit ? Non erant hæc humanæ naturæ, sed majorem Dei nutus partem inferebat. Neque tum illa stabat otiosa, sed quod in se erat totum efferebat, alacritatem, generosum animum, voluntatem, propositum, festinationem, ardorem ; eorum vero finis Dei ope et superna benevolentia sequutus est : ita ut illam et admirari et beatam prædicare debeamus ; beatam prædicare ob commilitium Dei, admirari, ob propriam animi alacritatem. Quis enim non jure obstupescat audiens illam temporis momento consilium iniisse, confirmasse et ad exitum deduxisse ? Nostis quippe omnes sæpe accidere, ut quæ diu meditati sumus, instante temporis occasione, modicoque mentem invadente metu, consilia omnia missa faciamus, angustia confestim deterriti. Illa vero tam horrendum, tam formidabile consilium uno temporis momento suscipere, decernere, opere perficere potuit : non præsentium terror, non celeritas temporis, non solitudo inter insidias, non quod sola intus esset, non aliud quidpiam hujusmodi beatam illam turbavit ; sed quasi præsentibus amicis et notis, sic cum libertate omnia fecit ; ac jure quidem merito. Non enim sola intus erat, sed Jesum habebat consiliarium : ipse aderat, ipse cor ejus tangebat, ipse animum confirmabat, ipse metum pellebat. Illud autem non sine causa faciebat, sed quia ipsa martyr se antea dignam ejus auxilii præbuerat.

2. Egressa itaque a militibus petiit, ut sibi liceret ingredi et vestem mutare : atque ingressa induit incorruptionem pro corruptione, immortalitatem pro morte, vitam interminatam pro temporanea. Ego vero præter ea, quæ dicta sunt, et hoc admiror, quomodo milites eam illi concesserint gratiam, quomodo mulier viros deceperit, quomodo nihil eorum, quæ eventura erant, suspicati sint, quomodo dolum non intellexerint. Neque enim est quod dicas, neminem unquam rem similem fecisse : multæ enim fortasse se præcipites dederunt, seseque in pelagus conjecerunt, vel pectus gladio trajecerunt, vel laqueo se præfocarunt : tempus quippe illud hujusmodi dramatibus plenum erat. At Deus cor eorum excæcavit, ut dolum

(a) Contulimus Codices Regios 2029 et 2343.

[585] ΟΜΙΛΙΑ ΕΓΚΩΜΙΑΣΤΙΚΗ

Εἰς τὴν ἁγίαν μάρτυρα Πελαγίαν [a] *τὴν ἐν Ἀντιοχείᾳ.*

α'. Εὐλογητὸς ὁ Θεός· καὶ γυναῖκες θανάτου λοιπὸν καταπαίζουσι, καὶ κόραι καταγελῶσι τελευτῆς, καὶ παρθένοι κομιδῇ νέαι καὶ ἀπειρόγαμοι εἰς αὐτὰ σκιρτῶσι [b] τοῦ ᾅδου τὰ κέντρα, καὶ οὐδὲν πάσχουσι δεινόν. Ταῦτα δὴ πάντα διὰ τὸν ἐκ παρθένου Χριστὸν γέγονεν ἡμῖν τὰ ἀγαθά· μετὰ γὰρ τὰς μακαρίας ὠδῖνας ἐκείνας, καὶ τὸν φρικωδέστατον τόκον ἐξελύθη τοῦ θανάτου τὰ νεῦρα, παρελύθη ἡ τοῦ διαβόλου δύναμις, καὶ λοιπὸν οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶν εὐκαταφρόνητος γέγονε, καὶ οὐ γυναιξὶ μόνον, ἀλλὰ καὶ κόραις. Καθάπερ γάρ τις ποιμὴν ἄριστος λέοντα ἐκφοβοῦντα τὰ θρέμματα καὶ τῇ ποίμνῃ πάσῃ λυμαινόμενον λαβὼν, καὶ τοὺς ὀδόντας ἐκκόψας, καὶ τοὺς ὄνυχας ἐκτεμὼν, καὶ τὴν κόμην ἀποχείρας, εὐκαταφρόνητον καὶ καταγέλαστον ποιεῖ, καὶ παιδίοις ποιμενικοῖς καὶ κόραις παραδίδωσι καταπαίζειν λοιπόν· οὕτω δὴ καὶ ὁ Χριστὸς τὸν θάνατον φοβερὸν ὄντα τῇ φύσει τῇ ἡμετέρᾳ καὶ φοβοῦντα τὸ γένος ἡμῶν ἅπαν λαβὼν, καὶ τὸν φόβον αὐτοῦ διαλύσας ἅπαντα παρέδωκεν, ὥστε καὶ παρθένους καταπαίζειν αὐτοῦ. Διὰ τοῦτο καὶ ἡ μακαρία Πελαγία μετὰ τοσαύτης ἐπ' αὐτὸν ἔδραμεν ἡδονῆς ὡς μηδὲ ἀναμεῖναι δημίων χεῖρας, μηδὲ εἰς δικαστήριον εἰσελθεῖν, ἀλλὰ τῇ τῆς οἰκείας προθυμίας ὑπερβολῇ φθάσαι τὴν ἐκείνων ὠμότητα. Παρεσκεύαστο μὲν γὰρ καὶ πρὸς βασάνους, καὶ κολαστήρια, καὶ ἅπαν τιμωριῶν εἶδος, ἀλλ' ἐδεδοίκει, μὴ τὸν τῆς παρθενίας ἀπολέσῃ στέφανον. Καὶ ἵνα μάθῃς ὅτι τὴν τῶν ἀσεβῶν ἀσέλγειαν ἐδεδοίκει, προλαμβάνει, καὶ τῆς ἀσχήμονος ὕβρεως ἑαυτὴν προεξαρπάζει· ὃ ἀνθρώπων οὐδεὶς οὐδέποτε τοιοῦτον οὐδὲν ἐπεχείρησεν, ἀλλ' ἠκολούθησαν ἅπαντες εἰς τὸ δικαστήριον, κἀκεῖ τὴν ἀνδρείαν ἐπεδείξαντο· γυναῖκες δὲ διὰ τὸ τῆς φύσεως εὐεπηρέαστον, τοῦτον ἐπενόησαν ἑαυταῖς τὸν τρόπον τῆς τελευτῆς. Εἰ μὲν γὰρ ἦν καὶ τὴν παρθενίαν διασώσασθαι, καὶ τῶν τοῦ μαρτυρίου στεφάνων ἐπιτυχεῖν, οὐκ ἂν παρῃτήσατο τὴν εἰς τὸ δικαστήριον εἴσοδον· ἐπεὶδὴ δὲ ἀνάγκη θατέρου πάντως ἦν ἐκπεσεῖν, ἐσχάτης ἐνόμιζεν [c] εἶναι ἀνοίας, παρὸν ἑκατέρας αὐτῇ τῆς νίκης ἐπιτυχεῖν, ἐξ ἡμισείας στεφανωθεῖσαν ἀπελθεῖν. Διὰ τοῦτο οὐκ ἠθέλησεν εἰς τὸ δικαστήριον ἀπελθεῖν, οὐδὲ γενέσθαι θέατρον ἀκολάστοις ὀφθαλμοῖς, οὐδὲ παρασχεῖν ἀσελγέσιν ὄμμασιν ἐντρυφῆσαι τῇ τῆς οἰκείας ὄψεως θεωρίᾳ, καὶ τὸ ἅγιον ἐκεῖνο καθυβρίσαι σῶμα· ἀλλ' ἀπὸ τοῦ θαλάμου καὶ τῆς γυναικωνίτιδος ἐφ' ἕτερον ἦλθε θάλαμον, τὸν οὐρανόν. Μέγα μὲν γὰρ καὶ τὸ δημίους ἰδεῖν περιεστῶτας, καὶ τὰς πλευρὰς διορύττοντας· οὐκ ἔλαττον δὲ οὐδὲ τοῦτο ἐκείνου. Τοῖς μὲν γὰρ τῆς αἰσθήσεως ἤδη προαναλωθείσης τῇ ποικιλίᾳ τῶν βασάνων, οὐδὲ φοβερὸς ἔτι φαίνεται ὁ θάνατος, ἀλλ' ἀπαλλαγή τις καὶ ἄνεσις τῶν ἐπικειμένων δεινῶν· ἡ δὲ μηδὲν μηδέπω παθοῦσα τοιοῦτον, ἀλλὰ ἀκέραιον ἔτι τὸ σῶμα ἔχουσα, καὶ [586] μηδεμιᾶς ὀδύνης αἰσθομένη μηδέπω, μεγάλου τινὸς καὶ γενναίου φρονήματος δεῖται, εἰ μέλλοι βιαίῳ θανάτῳ τῆς παρούσης ἑαυτὴν ἐξάγειν ζωῆς. Ὥστε ὅταν θαυμάζῃς ἐκείνους τῆς καρτερίας, θαύμασον ταύτην τῆς ἀνδρείας· ὅταν ἐκπλαγῇς ἐκείνους ὑπὲρ τῆς ὑπομονῆς, ἐκπλάγηθι καὶ ταύτην ὑπὲρ τοῦ γενναίου φρονήματος, ὅτι κατετόλμησε τελευτῆς τοιαύτης. Καὶ μὴ παραδράμῃς ἁπλῶς τὸ συμβάν, ἀλλ' ἐννόησον πῶς ἦν εἰκὸς κόρην διατεθῆναι ἁπαλὴν, τοῦ θαλάμου πλέον εἰδυῖαν οὐδὲν, στρατιωτῶν ἀθρόως ἐπιστάντων, πρὸ τῆς θύρας ἑστώτων, καλούντων εἰς δικαστήριον, εἰς ἀγορὰν ἑλκόντων ὑπὲρ τοιούτων καὶ τηλικούτων πραγμάτων. Οὐ πατὴρ ἔνδον, οὐ μήτηρ παρῆν, οὐ τροφὸς, οὐ θεραπαινὶς, οὐ γείτων, οὐ φίλη, ἀλλὰ μόνη μεταξὺ τῶν δημίων ἐκείνων ἀπείληπτο. Ὅτι γὰρ ἐξελθεῖν καὶ ἀποκρίνασθαι τοῖς δημίοις ἐκείνοις τοῖς στρατιώταις ἴσχυσεν, ὅτι διᾶραι στόμα, καὶ φωνὴν ἀφεῖναι, ὅτι γὰρ ἰδεῖν, ὅτι στῆναι καὶ ἀναπνεῦσαι, πῶς οὐκ ἄξιον ἐκπλήττεσθαι καὶ θαυμάζειν; Οὐκ ἦν ταῦτα ἀνθρωπίνης φύσεως· τὸ μὲν γὰρ πλέον εἰσήνεγκεν ἡ τοῦ Θεοῦ ῥοπή. Οὐ μὴν οὐδὲ αὕτη τότε ἀργοῦσα εἱστήκει, ἀλλὰ τὰ παρ' ἑαυτῆς πάντα ἐπεδείκνυτο, τὴν προθυμίαν, τὸ φρόνημα, τὸ γενναῖον, τὸ βουληθῆναι, τὸ προελέσθαι, τὸ σπεῦσαι, τὸ ἐπειχθῆναι· τὸ δὲ εἰς πέρας ἅπαντα ταῦτα ἐλθεῖν, τῆς τοῦ Θεοῦ βοηθείας ἐγίγνετο καὶ τῆς ἄνωθεν εὐνοίας· ὥστε καὶ θαυμάζειν αὐτὴν καὶ μακαρίζειν ἄξιον· μακαρίζειν μὲν ὑπὲρ τῆς τοῦ Θεοῦ συμμαχίας, θαυμάζειν δὲ ὑπὲρ τῆς οἰκείας προθυμίας. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη δικαίως ἀκούσας, ὅτι ἐν μιᾷ καιροῦ ῥοπῇ γνώμην τοσαύτην καὶ ἐβουλεύσατο καὶ ἐκύρωσε, καὶ εἰς ἔργον ἐξήγαγεν; Ἴστε γὰρ δήπου, πάντες, ὅτι τὰ πολλάκις ἡμῖν ἐν μακρῷ μελετηθέντα χρόνῳ, παρόντος τοῦ καιροῦ τοῦ τὴν πεῖραν ἀπαιτοῦντος ἡμᾶς, καὶ φόβου μικροῦ τὴν διάνοιαν καταλαβόντος ἅπαντα ἐξεχέαμεν τὰ βουλεύματα ὑπὸ τῆς ἀγωνίας ἀθρόον πτοηθέντες. Αὕτη δὲ βουλὴν οὕτω φρικτὴν καὶ φοβερὰν ἐν μιᾷ καιροῦ ῥοπῇ καὶ ὑποδέξασθαι, καὶ ψηφίσασθαι, καὶ τοῖς ἔργοις πληρῶσαι ἴσχυσε, καὶ οὔτε τὸ φοβερὸν τῶν παρόντων, οὐχ ἡ ὀξύτης τοῦ καιροῦ, οὐχ ἡ ἐρημία τῆς ἐπιβουλευομένης, οὐ τὸ μόνην ἔνδον ἀπειλῆφθαι, οὐκ ἄλλο οὐδὲν τοιοῦτον ἐθορύβησε τὴν μακαρίαν ἐκείνην· ἀλλ' ὥσπερ φίλων τινῶν παρόντων καὶ γνωρίμων, οὕτω μετὰ ἀδείας ἅπαντα ἔπραττε· καὶ μάλα εἰκότως. Οὐ γὰρ ἦν ἔνδον μόνη, ἀλλ' εἶχε σύμβουλον Ἰησοῦν· ἐκεῖνος αὐτῇ παρῆν, ἐκεῖνος τῆς καρδίας αὐτῆς ἥπτετο, ἐκεῖνος τὴν ψυχὴν παρεθάρρυνεν, ἐκεῖνος μόνος τὸν φόβον ἐξέβαλε. Ταῦτα δὲ οὐχ ἁπλῶς ἐποίει, ἀλλ' ἐπειδὴ πρότερον ἑαυτὴν ἀξίαν παρεσκεύασε τῆς ἐκείνου βοηθείας ἡ μάρτυς.

β'. Ἐξελθοῦσα τοίνυν χάριν ᾔτησε τοὺς στρατιώτας, ὥστε εἰσελθεῖν, καὶ μεταμφιάσασθαι· καὶ εἰσελθοῦσα μετημφιάσατο ἀφθαρσίαν ἀντὶ φθορᾶς, ἀθανασίαν ἀντὶ θανάτου, ζωὴν ἀτελεύτητον ἀντὶ προσκαίρου περιβαλλομένη ζωῆς. Ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο θαυμάζω, πῶς ἔδωκαν τὴν χάριν οἱ στρατιῶται, πῶς ἠπάτησε τοὺς ἄνδρας ἡ γυνὴ, πῶς οὐδὲν τῶν μελλόντων συμβήσεσθαι ὑπείδοντο ἐκεῖνοι, πῶς οὐ συνῆκαν τὸν δόλον. Οὐδὲ γάρ ἐστι τοῦτο εἰπεῖν, [587] ὅτι οὐδεὶς οὐδὲν τοιοῦτον εἰργάσατο· πολλαὶ γὰρ ἴσως καὶ εἰς χρημνὸν ἑαυτὰς ἀφῆκαν, καὶ εἰς πέλαγος ἔῤῥιψαν, καὶ ξίφος διὰ τοῦ στήθους ἤλασαν, καὶ βρόχον ἀνῆψαν, καὶ πολλῶν τοιούτων δραμάτων ὁ καιρὸς ἔγεμεν ἐκείνους·

[a] Hæc in titulo, τὴν ἐν Ἀντιοχείᾳ, habentur in uno Regio, et lecta sunt ab interprete.

[b] Savil. in textu habet πηδῶσι, in marg. σκιρτῶσι, ut Morel. et omnes mss. In uno infra μακαρίας deest.

[c] Alii ἐνόμισεν.

ἀλλ' ὁ Θεὸς τὴν καρδίαν αὐτῶν ἐτυφλωσεν, ὥστε μὴ συνιδεῖν τὸν δόλον. Διὰ τοῦτο ἐκ μέσου τῶν δικτύων ἀνέπτη [a]· καὶ καθάπερ ἔλαφος εἰς αὐτὰς τῶν θηρατῶν ἐμπεσοῦσα τὰς χεῖρας, εἶτα ἐκεῖθεν διαφυγοῦσα πρὸς κορυφὴν ὄρους δύσβατον καὶ ποσὶ θηρατῶν καὶ ἀφέσει βελῶν ἀνέφικτον, ἵσταται τοῦ δρόμου λοιπὸν, καθορῶσα μετὰ ἀδείας τοὺς ἐπιβουλεύσαντας αὐτῇ πρότερον· οὕτω δὴ καὶ αὕτη εἰς αὐτὰς τῶν θηρατῶν ἐμπεσοῦσα τὰς χεῖρας, καὶ καθάπερ δικτύοις τοῖς τοίχοις ἔνδον ἐναπειλημμένη, ἀνέδραμεν οὐκ εἰς ὄρους κορυφὴν, ἀλλ' εἰς αὐτὴν τοῦ οὐρανοῦ τὴν κορυφὴν, ἔνθα λοιπὸν οὐκ αὐτοὺς ἔτι προσελθεῖν δυνατὸν ἦν· εἶτα ἐκεῖθεν αὐτοὺς εἰσορῶσα κεναῖς ἀναχωροῦντας χερσὶν, ἔχαιρε πολλὴν τῶν ἀπίστων θεωμένη κατασκευαζομένην [b] αἰσχύνην. Ἐννόησον γὰρ ἡλίκον ἦν· τοῦ δικαστοῦ καθημένου, τῶν δημίων παρεστώτων, τῶν κολαστηρίων εὐτρεπισμένων, τοῦ πλήθους παντὸς συνειλεγμένου, τῶν στρατιωτῶν προσδοκωμένων, ὑπὸ τῆς ἡδονῆς μεθυόντων ἁπάντων, ἐλπιζόντων ἔχειν τὸ θήραμα, τοὺς ἐπὶ τούτῳ [c] ἀπελθόντας, ἐπανιέναι κάτω κύπτοντας, τὸ γεγενημένον δρᾶμα διηγουμένους. Πόσην μὲν αἰσχύνην, πόσην δὲ ὀδύνην καὶ ὄνειδος τῶν ἀπίστων κατασκεδασθῆναι εἰκὸς ἁπάντων ἦν; πῶς ἀναχωρεῖν κάτω κύπτοντας ἐγκαλυπτομένους, διὰ τῶν ἔργων μανθάνοντας, ὅτι οὐ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεὸν ὁ πόλεμος αὐτοῖς ἦν; Ὁ μὲν οὖν Ἰωσὴφ, ἡνίκα ὑπὸ τῆς αὐτοῦ δεσποίνης ἐπεβουλεύετο, τὸ ἱμάτιον τὸ κατασχεθὲν ὑπὸ τῶν μιαρῶν χειρῶν παρὰ τῇ βαρβάρῳ γυναικὶ τότε ἀφεὶς, ἐξῄει γυμνός· αὕτη δὲ οὐδὲ κατασχεθῆναι τὸ σῶμα ὑπὸ τῶν ἀκολάστων ἀφῆκε χειρῶν, ἀλλ' ἀναβᾶσα γυμνῇ τῇ ψυχῇ, καὶ τὴν ἁγίαν σάρκα ἀφεῖσα παρὰ τοῖς πολεμίοις, εἰς πολλὴν αὐτοὺς ἀμηχανίαν ἐνέβαλεν· οὐδὲ γὰρ εἶχον ὅ τι χρήσονται τῷ λειψάνῳ λοιπόν. Τοιαῦτα τοῦ Θεοῦ τὰ κατορθώματα, τοὺς μὲν ἑαυτοῦ δούλους ἐξ ἀπόρων πραγμάτων εἰς πολλὴν [d] ἄγειν εὐκολίαν, τοὺς δὲ ἐναντίους αὐτῷ καὶ πολεμίους κἂν ἐκ τῶν εὐμηχάνων εἶναι δοκούντων εἰς τὴν ἐσχάτην ἐμβάλλειν ἀμηχανίαν. Τί γὰρ τῆς ἀμηχανίας ἐκείνης ἦν χαλεπώτερον, εἰς ἣν ἡ κόρη τότε ἐνεπεπτώκει; τί δὲ τῆς εὐκολίας εὐπορώτερον, ἐν ᾗ τότε οἱ στρατιῶται ἦσαν; Μόνην εἶχον αὐτὴν ἔνδον ἀπειλημμένην, ὥσπερ ἐν δεσμωτηρίῳ τῇ οἰκίᾳ ἐγκεκλεισμένην [e], καὶ ὅμως ἀπῆλθον ἀποτυχόντες τῆς θήρας. Πάλιν ἡ κόρη ἔρημος οὖσα συμμάχων, καὶ βοηθῶν, καὶ οὐδεμίαν οὐδαμόθεν ὁρῶσα διέξοδον τῶν δεινῶν, καὶ τῶν στομάτων ἐγγὺς οὖσα τῶν θηρίων ἐκείνων, ἐξ αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς φάρυγγος αὐτῶν ἁναρπασθεῖσα διέφυγε τὰς ἐπιβουλὰς, καὶ περιεγένετο στρατιωτῶν, δικαστῶν, ἀρχόντων. Καὶ ἡνίκα μὲν ἔζη, προσεδόκων αὐτῆς περιέσεσθαι οὗτοι πάντες· ἐπειδὴ δὲ ἐτελεύτησε, τότε εἰς πλείονα ἀμηχανίαν ἐνέπεσον, ἵνα μάθωσιν ὅτι θάνατος μαρτύρων νίκη μαρτύρων. Καὶ ταὐτὸν συνέβαινεν, οἷον ἂν εἰ κύματός τινος ἐμβολὴν πρὸς αὐτῷ [588] τῷ στόματι τοῦ λιμένος ὁλκὰς μυριοφόρος καὶ μαργαριτῶν γέμουσα πολυτίμων, μέλλοντος αὐτὴν καταβαπτίζειν καὶ ποιεῖν ὑποβρύχιον, διαφυγοῦσα, ὑπ' αὐτῆς τῆς ῥύμης τῶν ὑδάτων συνωθισθεῖσα πρὸς τὸν λιμένα μετὰ πλείονος παραπεμφθείη τοῦ τάχους. Οὕτω δὴ καὶ ἡ μακαρία Πελαγία. Καὶ γὰρ ἡ τῶν στρατιωτῶν ἔφοδος καὶ ὁ φόβος τῶν προσδοκωμένων κολαστηρίων, καὶ ἡ ἀπειλὴ τοῦ δικαστοῦ παντὸς κύματος σφοδρότερον προσπεσόντα ἤπειξεν αὐτὴν μετὰ πλείονος τάχους πρὸς τὸν οὐρανὸν ἀναπτῆναι· καὶ τὸ μέλλον καταποντίζειν κῦμα τὴν ναῦν, τοῦτο παρέπεμψεν αὐτὴν πρὸς τὸν λιμένα τὸν εὔδιον· καὶ κατεφέρετο τὸ σῶμα λοιπὸν, πάσης ἀστραπῆς φωτεινότερον, πλῆττον τοῦ διαβόλου τὰς ὄψεις. Οὐχ οὕτω γὰρ ἡμῖν κεραυνὸς ἐκ τῶν οὐρανῶν ἀφιέμενός ἐστι φοβερὸς, ὡς τὸ σῶμα τῆς μάρτυρος· κεραυνοῦ παντὸς χαλεπώτερον ἐφόβει τῶν δαιμόνων τὰς φάλαγγας.

γ'. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἀθεεὶ ταῦτα ἐγίγνετο, μάλιστα μὲν καὶ ἐξ αὐτοῦ τοῦ παραστήματος τῆς προθυμίας δῆλον, καὶ τοῦ μὴ συνιδεῖν τοὺς στρατιώτας τὸν δόλον, καὶ τοῦ δοῦναι τὴν χάριν, καὶ τοῦ πρὸς τέλος τὸ ἔργον ἐλθεῖν· οὐκ ἔλαττον δὲ τῶν εἰρημένων, καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς τελευτῆς τοῦτο ἔστι συνιδεῖν. Πολλοὶ γοῦν ἐξ ὑψηλοῦ κατενεχθέντες στέγους, οὐδὲν ἔπαθον δεινόν· καὶ ἕτεροι δὲ πάλιν μέλη τινὰ τοῦ σώματος πηρωθέντες, πολὺν μετὰ τὸ πτῶμα ἐπέζησαν χρόνον· ἐπὶ δὲ τῆς μακαρίας ἐκείνης, οὐδὲν τούτων ἀφῆκεν ὁ Θεὸς συμβῆναι, ἀλλ' εὐθέως ἐκέλευσεν ἀφεῖναι τὸ σῶμα τὴν ψυχὴν, ὡς ἀρκούντως ἀγωνισαμένην δεξάμενος, καὶ τὸ πᾶν πληρώσασαν. Οὐ γὰρ τῆς φύσεως τοῦ πτώματος ὁ θάνατος ἦν, ἀλλὰ τῆς τοῦ Θεοῦ προσταγῆς. Ἔκειτο δὴ τὸ σῶμα λοιπὸν οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ ἐδάφους· ἀλλ' οὐκ ἦν ἄτιμον ἐπὶ ἐδάφους κείμενον, ἀλλ' [f] αὐτὸ τὸ ἔδαφος ἦν τίμιον, ἐπειδὴ σῶμα τοσαύτῃ δόξῃ ἡμφιεσμένον ἐδέξατο. Δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα τὸ κεῖσθαι ἐπὶ ἐδάφους τιμιώτερον ἦν ἐκεῖνο τὸ σῶμα· αἱ γὰρ διὰ τὸν Χριστὸν ὕβρεις πλεονασμὸν ἡμῖν παρέχουσι τιμῆς. Ἔκειτο τοίνυν ἐπ' ἐδάφους, ἐπὶ τοῦ στενωποῦ τὸ παρθενικὸν ἐκεῖνο καὶ παντὸς χρυσίου καθαρώτερον σῶμα· καὶ ἄγγελοι μὲν περιέστελλον, ἀρχάγγελοι δὲ πάντες ἐτίμων καὶ ὁ Χριστὸς παρῆν. Εἰ γὰρ δεσπόται τοὺς ἐπιεικεστέρους τῶν οἰκετῶν τελευτῶντας προπέμπουσι, καὶ οὐκ ἐπαισχύνονται, πολλῷ μᾶλλον ὁ Χριστὸς τὴν δι' αὐτὸν ἀφεῖσαν τὴν ψυχὴν καὶ τοσοῦτον ἀναδεξαμένην κίνδυνον οὐκ ἂν ἐπῃσχύνθη τιμῆσαι τῇ αὐτοῦ παρουσίᾳ. Ἔκειτο τοίνυν μέγα ἐντάφιον ἔχουσα τὸ μαρτύριον τῷ κόσμῳ τῆς ὁμολογίας καλλωπιζομένη, πάσης βασιλικῆς ἁλουργίδος, πάσης πορφύρας τιμίας τιμιωτέραν περιβεβλημένη στολήν· καὶ διπλῆν ταύτην, τὴν τῆς παρθενίας, καὶ τὴν τοῦ μαρτυρίου· μετὰ τούτων τῶν ἐνταφίων παραστήσεται τῷ βήματι τοῦ Χριστοῦ. Τοιαύτην τινὰ καὶ ἡμεῖς σπουδάζωμεν, καὶ ζῶντες, καὶ τελευτήσαντες περιβάλλεσθαι στολὴν, εἰδότες, ὅτι χρυσοῖς μὲν ἱματίοις τὸ σῶμά τις καλλωπίσας, οὐδὲν ὤνησεν, [589] ἀλλὰ καὶ πολλοὺς ἐπεσπάσατο κατηγόρους, ὡς οὐδὲ ἐν τελευτῇ κενοδοξίας ἀφιστάμενος· ἀρετὴν δὲ περιθέμενος, πολλοὺς ἕξει καὶ μετὰ τὴν τελευτὴν ἐπαινέτας. Καὶ γὰρ αὐτῶν τῶν βασιλικῶν αὐλῶν λαμπρότερος παρὰ πᾶσιν ὁ τάφος ἔσται ἐκεῖνος, ἔνθα ἂν ᾖ σῶμα κείμενον ἀρετῇ καὶ εὐσεβείᾳ συζῆσαν. Καὶ τούτου μάρτυρες ὑμεῖς οἱ τὰς μὲν θήκας τῶν πλουσίων, καίτοι χρυσᾶ ἐχούσας ἱμάτια καθάπερ σπήλαια παρατρέχοντες, πρὸς δὲ τὴν ἁγίαν ταύτην μετὰ πολλῆς δραμόντες [g] τῆς προθυμίας, ἐπειδὴ μαρτυρίῳ, καὶ ὁμολογίᾳ, καὶ παρθενίᾳ ἀντὶ ἱματίων χρυσῶν ἑαυτὴν ἀμφιάσασα, ἀπῆλθεν ἡ μάρτυς. Μιμησώμεθα τοίνυν αὐτὴν κατὰ δύναμιν τὴν ἡμετέραν· κατεφρόνησεν ἐκείνη ζωῆς, καταφρονήσωμεν ἡμεῖς τρυφῆς, καταγελάσωμεν πολυτελείας, ἀποστῶμεν μέθης, ἀδηφαγίαν φύγωμεν. Οὐχ ἁπλῶς ταῦτα λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ, μετὰ τὸ λυθῆναι τὸ πνευματικὸν τοῦτο θέατρον ἐπὶ μέθην καὶ καπηλείαν [h], καὶ τὰς ἐν πανδοχείοις τραπέζας, καὶ τὴν ἄλλην ἀσχημοσύνην τρέχοντας. Διὰ τοῦτο δέομαι καὶ παρακαλῶ διὰ παντὸς ἐν μνήμῃ καὶ διανοίᾳ τὴν ἁγίαν ταύτην ἔχειν, καὶ μὴ καταισχῦναι τὴν πανήγυριν, μηδὲ τὴν ἐκ τῆς ἑορτῆς ταύτης ἐγγινομένην ἡμῖν παῤῥησίαν ἀφελέσθαι. Καὶ γὰρ οὐχ ὡς ἔτυχε πρὸς Ἕλληνας διαλεγόμενοι καλλωπιζόμεθα τῷ πλήθει τῆς ἑορτῆς, καταισχύνοντες αὐτοὺς καὶ λέγοντες, ὅτι πόλιν ὁλόκληρον καὶ δῆμον

[a] Sic Savil. et unus cod. Morel. vero ἀνέστη. Illud legit interpres.
[b] Unus habet κατασκεδαζομένην.
[c] Alii ἐπὶ τοῦτο.
[d] Sic Savil. et mss. At Morel. ἄγει, et paulo post ἐμβάλλει.
[e] Alii συγκεκλεισμένην.
[f] Savil. et unus Reg. ατιμον ἐπειδὴ ἐπὶ ἐδάφους ἔκειτο, ἀλλ'.
[g] Alii ὁρμῶντες. Paulo post Savil. et unus ἀμφιάσασα, Morel. et alius ἐνταφιάσασα.
[h] Reg. unus καπηλεῖα.

non odorarentur. Quamobrem ex mediis illa retibus avolavit : ac quemadmodum cerva in ipsas venatorum manus delapsa, indeque postea aufugiens in verticem montis venatoribus et telis inaccessum se confert, cursumque tandem sistit, atque in tuto posita eos, qui sibi insidiabantur, respicit : sic et illa in manus insidiantium delapsa, et parietibus quasi retibus intus comprehensa, aufugit, non in montis verticem, sed in ipsum cæli cacumen ; unde illos intuens vacuis manibus revertentes, multum gaudebat, cum infideles pudore suffusos cerneret. Cogites namque velim quale fuit illud, sedente judice, adstantibus carnificibus, paratis tormentis, universa coacta multitudine, cum milites exspectarent, præ voluptate gestientibus omnibus, se prædam accepturos sperantibus, tunc rediisse eos, qui ad id missi fuerant, vultu in terram demisso, remque gestam narrasse. Quantum dedecus, quantum mœrorem ac probrum infideles illos tunc affecisse par est ? quam vultu demisso, quanto cum pudore rediisse putes illos, cum didicissent se non cum hominibus, sed cum Deo bellum gerere ? Joseph heræ suæ insidiis appetitus, vestimento, quod fœdis barbaræ mulieris manibus tenebatur, relicto, nudus exiit : hæc vero corpus lascivis detineri manibus non sivit, sed nuda cum anima ascendens, sacramque carnem apud hostes relinquens, in magnam illos consilii inopiam conjecit : neque enim sciebant quid de reliquiis illis facerent. Talia sunt Dei præclara gesta, ut servos suos ex angustia in tranquillitatem magnam deducat ; adversarios autem et hostes cum prospere habere videntur, in extremam consilii inopiam dejiciat. Quæ enim angustia major illa, in quam puella tunc inciderat ? quid facilitate illa majus, in qua tum milites versabantur ? Solam illam intus habebant comprehensam, domi ceu in carcere inclusam, et tamen abscesserunt amissa præda. Rursum puella sola auxilio prorsus et ope destituta, nullum undecumque ab ærumnis exitum videns, ferarum oribus proxima, ex ipsis, ut ita dicam, faucibus erepta, insidias effugit, milites, judices, principes superavit. Ac dum illa viveret, ipsam se superaturos sperabant omnes ; postquam autem mortua est, tunc in majorem consilii inopiam delapsi sunt : ut discerent MORTEM MARTYRUM esse victoriam martyrum. Perinde vero accidit, ac si navis innumeris mercibus margaritisque pretiosis onusta, in ipso portus aditu decumanum fluctum, mox illam submersurum, effugiens, ipso undarum impetu celerius in portum transmittatur. Sic et beatæ Pelagiæ contigit. Nam militum incursus, futurorum cruciatuum metus, minæ judicis, hæc nempe omnia fluctibus vehementius ingruentia id effecerunt, ut multo celerius in cælum avolaret ; fluctusque navem submersurus illam citius in tranquillum portum transmisit ; deinde corpus illud vel fulgure splendidius deferebatur, diaboli oculos feriens. Non enim fulgure cælo demissum ita nobis terribile est, ut corpus martyris fulgure ipso gravius dæmonum phalangas perterrefaciebat.

3. *Ex divino nutu Pelagia se præcipitem dat.* — Ut vero discas id non sine divino nutu factum fuisse, id maxime comperias, tum ex virginis alacritate, tum ex eo, quod milites dolum non olfecerint, quod petenti annuerint, et quod res ad exitum deducta sit : neque minus id ediscere liceat ex ipsa mortis ratione. Multi enim e sublimi tecto delapsi, nihil mali passi sunt ; alii item membris quibusdam corporis mutilati, longo post lapsum tempore vixerunt : beatæ autem virgini nihil hujusmodi contingere voluit Deus ; sed jussit animam statim ex corpore exire, et eam, ut quæ satis certasset omniaque implesset, excepit. Non enim ex casus natura, sed ex Dei jussu mors consequuta est. Jacebat deinde corpus non in lecto, sed in solo : at non ideo expers honoris erat quod in solo jaceret ; sed solum ipsum venerandum erat, quod tanta gloria præditum corpus excepisset. Ex hoc ipso igitur venerabilius corpus illud erat, quod in solo jaceret : contumeliæ namque propter Christum irrogatæ accensionem nobis præbent honoris. Jacebat igitur in solo, angusto loco, virgineum illud et auro pretiosius corpus : circumstabant angeli, venerabantur archangeli omnes : aderat ipse Christus. Nam si heri domesticos honestiores mortuos efferunt, nec erubescunt, multo magis Christus eam, quæ sui causa animam emiserat, tantumque periculi adierat, sua præsentia honorare non erubuerit. Jacebat igitur magnum funerale habens martyrium confessionis ornatu decorata, omni regia purpura, omni veste pretiosa pretiosiore stola induta, eaque duplici, nempe virginitatis et martyrii : cum his funeralibus adstabit tribunali Christi. Talem nos quoque vestem studeamus viventes ac mortui habere : quam eum, qui aureis vestimentis corpus exornet, nihil inde utilitatis percipere, imo potius in multorum reprehensionem incurrere, ut qui ne in morte quidem a vana gloria recedat ; sin virtute sit inditus, multos etiam post mortem laudatores habebit. Etenim ipsis etiam imperialibus aulis splendidius apud omnes erit sepulcrum illud, ubi corpus jacuerit, quod cum virtute ac pietate vixerit. Hujus rei testes vos estis, qui divitum sepulcra, etsi aureis ornata vestimentis, ceu speluncas prætermittentes, ad sanctam magno studio accurritis, quia cum sese martyrio, confessione et virginitate vestium aurearum loco induisset, martyr discessit. Eam itaque pro viribus imitemur : contempsit illa vitam, contemnamus et nos delicias, sumptuosos irrideamus apparatus, abstineamus ab ebrietate, crapulam fugiamus. Neque sine causa sic loquor : sed quia multos jam video, qui post solutum hoc spirituale theatrum ad ebrietatem, ad cauponas, ad diversoriorum mensas, ad aliaque turpia advolaturi sunt. Quamobrem rogo et hortor, ut semper hanc sanctam virginem in memoria et mente habeatis, neque concionem hanc dedecoretis, neque eam, quæ ex hac celebritate nobis accedit, fiduciam de medio tollatis. Etenim non temere cum gentilibus colloquentes hujus solemnitatis frequentia gloriamur, illosque rubore perfundimus dicentes, universam civitatem tantumque populum a puella mortua singulis annis pertrahi, nec post tot annos a tali consuetudine supersc-

dere : verum si seoserint ea, quæ in hac celebritate admittuntur, magna laudum parte carebimus. Nam si hæc, quæ nunc convenit, multitudo sic cum debito ordine accedat, id magno nobis erit ornamento ; sin cum segnitia ac negligentia, probrum nobis erit ac vituperium.

4. *Honor Martyribus debitus.* — Ut igitur caritatis vestræ frequentia gloriari possimus, cum eadem modestia domum recedamus, qua par est eos abire, qui cum hac martyre convenerunt. Nam si quis non hoc ritu discedat, non solum nihil profecerit, verum etiam periculum sibi maximum attraxerit. Scio quidem vos hoc morbo non laborare, sed id non ad defensionem vobis satis est : oportet enim etiam fratres vestros, qui indecore se gerunt, ad maximam modestiam et ad decentem statum reducere. Honorasti martyrem præsentia? Illam etiam propriorum membrorum emendatione honora. Si videris immoderatum risum, cursum indecentem, incessum illiberalem, habitum indecorum, accede, et tali affectos modo terribiliter et torve intuere. At te despiciunt, magisque irrident? Sume tecum duos tresve, aut plures fratres, ut ex numero majori in veneratione sitis. Quod si ne ita quidem eorum amentiam reprimas, eos ad sacerdotes deferas. At vix possunt illi in tantum impudentiæ devenire, ut increpati et moniti non cessent, nec erubescant, neque ab inordinata et ludicra chorea se retrahant. Si vel decem, si vel tres, vel duo, vel unum lucratus fueris, mercem multam reportaveris. Magna est viæ longitudo : viæ igitur longitudine ad ea quæ dicta sunt colligenda utamur ; odoramentis suavibus viam repleamus. Neque enim ita ornata via apparuerit, si odoramentis eam replens quispiam suavi fragrantia aerem perfuderit, ut honesta nunc apparebit, si omnes quotquot hodie per illam incedunt, martyris certamina inter se narrantes domum redeant, lingua sua singuli ceu thuribulo utentes. Annon videtis, Imperatore in urbem ingrediente, quanto cum ordine milites utrinque positi armati gradiantur, alter alterum cohortantes, ut quiete et cum reverentia incedant, quo spectatu digni videantur? Illos itaque imitemur : et nos quippe Imperatorem deducimus ; Imperatorem, inquam, non sensibilem, non terrenum, sed angelorum Dominum. Sic ergo et nos recto cum ordine ingrediamur, nos mutuo cohortantes, ut modo rituque decenti progrediamur, ut non multitudine tantum, sed etiam ornatu spectatores stupore afficiamus. Imo vero etsi nemo adesset alius, sed soli iter faceremus, ne sic quidem indecore se gerere oporteret, ob pervigilem illum oculum ubique præsentem et omnia videntem. Nunc vero considerate multos hæreticos esse nobis permixtos ; qui si nos viderint ita choreas agentes, ridentes, clamantes, ebrios, summe nos damnantes recedent. Quod si is, qui vel uni offendiculo fuerit, inevitabili pœna plectetur : qui in tot hominum offensionem incurrimus, quales dabimus pœnas? Sed absit, ut post tot sermones talemque adhortationem quispiam reperiatur supra dictis obnoxius culpis. Nam si antehac tales ausus venia digni non erant, post hujusmodi consilium et increpationem multo inevitabilior erit pœna tam iis, qui hæc perpetrant, quam iis, qui talia despiciunt. Ut igitur et eos a supplicio liberetis, ac vobis ipsis majorem comparetis mercedem, fratrum vestrorum curam suscipite, eos ad illa colligenda et enarranda inducite : ut hæc per totam viam meditantes, atque iis, qui domi remanserunt ac relicti sunt, hujus mensæ reliquias afferentes, splendidum et illic convivium habeatis. Ita enim et hujus festi sensum maximum capiemus, et sanctam martyrem ad majorem benevolentiam provocabimus, vero illam honore prosequentes : majori quippe ipsi voluptati erit, si spiritualibus fructibus hinc onusti recedamus, quam si huc cum tumultu veneritis. Utinam vero tum sanctæ hujus, tum eorum, qui similiter certaverunt, precibus, et horum et aliorum, quæ dicta sunt, memoriam retineatis, et operibus omnia exhibentes, in omnibus Deo semper placeatis, cui gloria et imperium in sæcula sæculorum. Amen.

τοσοῦτον κόρη μία τελευτήσασα πρὸς ἑαυτὴν ἐπισπᾶται καθ' ἕκαστον ἐνιαυτὸν, καὶ μετὰ τοσαῦτα ἔτη, καὶ χρόνος οὐδεὶς τὴν ἀκολουθίαν τῆς τιμῆς διέκοψε ταύτης· ἀλλ' ἐὰν αἴσθωνται τῶν ἐν τῇ πανηγύρει γινομένων, τὸ πλέον ἀφῃρήμεθα τῶν ἐγκωμίων. Τὸ γὰρ πλῆθος τοῦτο τὸ παραγενόμενον νῦν, ἂν μὲν μετ' εὐταξίας παραγίνηται, κόσμος ἡμῖν μέγιστος· ἂν δὲ μετὰ ῥᾳθυμίας, καὶ ὀλιγωρίας πολλῆς, ὄνειδος καὶ κατηγορία.

δ'. Ἵνα οὖν ἐναβρυνώμεθα τῷ πλήθει τῆς ὑμετέρας ἀγάπης, μετὰ τῆς αὐτῆς οἴκαδε εὐταξίας ἀναχωρῶμεν, μεθ' ὅσης εἰκὸς μάρτυρι τοιαύτῃ συγγινομένους ἁπιέναι. Εἰ γάρ τις μὴ οὕτως οἴκαδε ἀπέλθοι, οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ κίνδυνον καθ' ἑαυτοῦ μέγιστον ἐπεσπάσατο. Οἶδα ὅτι καθαροὶ τῶν νοσημάτων τούτων ὑμεῖς, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν ὑμῖν· ἀλλὰ δεῖ καὶ τοὺς ἀδελφοὺς ἀκοσμοῦντας εἰς εὐταξίαν μεγίστην ἄγειν καὶ καθιστᾷν ἐν τῷ πρέποντι σχήματι. Ἐτίμησας τὴν μάρτυρα τῇ παρουσίᾳ; τίμησον αὐτὴν καὶ τῇ διορθώσει τῶν οἰκείων μελῶν· ἂν ἴδῃς γέλωτα ἄτακτον, καὶ δρόμον ἀσχήμονα, καὶ βάδισιν ἀνελεύθερον, καὶ σχῆμα ἀπρεπὲς, πρόσελθε, καὶ βλέψον εἰς τοὺς ταῦτα ποιοῦντας ὀριμὺ καὶ φοβερόν. Ἀλλὰ καταφρονοῦσι καὶ καταγελῶσι μειζόνως; Λαβὲ μετὰ σοῦ δύο καὶ τρεῖς ἀδελφοὺς, ἢ καὶ πλείους, ὥστε καὶ ἀπὸ τοῦ πλήθους γενέσθαι αἰδεσιμωτέρους [a]· εἰ δὲ μηδὲ οὕτω καθίκοιο τῆς ἀνοίας ἐκείνων, τοῖς ἱερεῦσι τούτους ποίησον φανερούς· μᾶλλον δὲ ἀμήχανον εἰς τοσαύτην ἐλθεῖν ἀναισχυντίαν αὐτοὺς, ὥστε ἐπιτιμωμένους, παρακαλουμένους μὴ εἴξαι καὶ [590] ἐντραπῆναι καὶ καθυφῆναι τῆς ἀτάκτου καὶ παιδικῆς χορείας. Κἂν δέκα, κἂν τρεῖς, κἂν δύο, κἂν ἕνα κερδάνῃς μόνον, πολλὴν λαβὼν εἰσελεύσῃ τὴν ἐμποριαν. Πολὺ τῆς ὁδοῦ τὸ μῆκος· τῷ μήκει τοίνυν τούτῳ πρὸς συλλογὴν τῶν εἰρημένων ἀποχρησώμεθα· θυμιαμάτων ἐμπλήσωμεν τὴν λεωφόρον. Οὐδὲ γὰρ οὕτω σεμνὴ φανεῖται ἡ ὁδὸς, εἰ διὰ πάσης αὐτῆς θυμιατήριά τις τιθεὶς τῆς εὐῳδίας ἀναχρώσειε τὸν ἀέρα, ὡς σεμνὴ φανεῖται νῦν, εἰ πάντες οἱ τήμερον αὐτὴν ὁδεύοντες τοὺς ἄθλους τῆς μάρτυρος πρὸς ἑαυτοὺς διηγούμενοι, βαδίζοιεν οἴκαδε, θυμιατήριον τὴν ἑαυτοῦ γλῶτταν ἕκαστος ποιῶν. Οὐχ ὁρᾶτε βασιλέως εἰσιόντος εἰς πόλιν, μεθ' ὅσης εὐταξίας οἱ στρατιῶται στοιχηδὸν ἑκατέρωθεν καθωπλισμένοι βαδίζουσιν, ἀλλήλους παρακελευόμενοι ἠρέμα, καὶ μετὰ φόβου πολλοῦ χωρεῖν, ὥστε τοῖς θεωροῦσιν αὐτοὺς ἀξιοθέατοι φαίνεσθαι; Ἐκείνους γοῦν μιμησώμεθα· καὶ γὰρ καὶ ἡμεῖς βασιλέως προηγούμεθα, βασιλέως οὐκ αἰσθητοῦ, οὐκ ἐπιγείου, ἀλλὰ τοῦ τῶν ἀγγέλων Δεσπότου. Οὕτω τοίνυν εἰσέλθωμεν καὶ ἡμεῖς, μετ' εὐταξίας ἀλλήλους [b] παρακελευόμενοι ῥυθμῷ καὶ τάξει προβαίνειν, ἵνα μὴ τῷ πλήθει μόνον, ἀλλὰ καὶ τῷ κόσμῳ τοὺς θεωμένους ἐκπλήξωμεν. Μάλιστα μὲν γὰρ εἰ καὶ μηδεὶς ἄλλος παρῆν, ἀλλὰ μόνοι κατὰ τὴν ὁδὸν ἐβαδίζομεν, οὐδὲ οὕτως ἀσχημονεῖν ἐχρῆν, διὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὸν πανταχοῦ παρόντα καὶ πάντα βλέποντα· νῦν δὲ ἐννοήσατε ὅτι πολλοὶ τῶν αἱρετικῶν εἰσιν ἡμῖν ἀναμεμιγμένοι· κἂν ἴδωσιν ἡμᾶς [c] οὕτω χορεύοντας, γελῶντας, βοῶντας, μεθύοντας, τὰ ἔσχατα καταγνόντες ἡμῶν ἀπελεύσονται. Εἰ δὲ ἕνα τις σκανδαλίζων ἀπαραίτητον ὑπομένει κόλασιν, οἱ τοσούτους σκανδαλίζοντες. ποίαν δώσομεν δίκην; ἀλλὰ μὴ γένοιτο μετὰ τοὺς λόγους τούτους καὶ τὴν παραίνεσιν ταύτην εὑρεθῆναί τινα ὑπεύθυνον ὄντα τοῖς εἰρημένοις. Εἰ γὰρ καὶ πρὸ τούτου ταῦτα τολμώμενα ἀσύγγνωστα ἦν, μετὰ τὴν συμβουλὴν ταύτην καὶ τὴν ἐπίπληξιν πολλῷ πλέον ἀπαραίτητον ποιεῖ τὴν τιμωρίαν, καὶ τοῖς αὐτὰ ποιοῦσι, καὶ τοῖς περιορῶσι γιγνόμενα. Ἵνα οὖν κἀκείνους τῆς κολάσεως ἀπαλλάξητε, καὶ ὑμῖν [d] πλείονα προξενήσητε τὸν μισθὸν, ἀντιλάβεσθε τῆς τῶν ἀδελφῶν τῶν ἡμετέρων κηδεμονίας, εἰς τὴν συλλογὴν αὐτοὺς καὶ τὴν διήγησιν τῶν εἰρημένων ἐμβάλλετε, ἵνα διὰ τῆς ὁδοῦ πάσης μελετήσαντες ταῦτα, καὶ τοῖς οἴκοι μείνασι καὶ ἀπολειφθεῖσι λείψανα τῆς τραπέζης ταύτης ἀπενεγκόντες, λαμπρὰν κἀκεῖ ποιήσητε τὴν εὐωχίαν. Οὕτω γὰρ καὶ τῆς ἑορτῆς ταύτης μεγίστην αἴσθησιν ληψόμεθα, καὶ τὴν μάρτυρα τὴν ἁγίαν εἰς πλείονα ἐπισπασόμεθα εὔνοιαν, τιμὴν τὴν ἀληθῆ τιμῶντες αὐτήν. Τοῦ γὰρ ἐνταῦθα παραγενέσθαι καὶ θορυβῆσαι πολλῷ μείζω αὐτῇ τὴν ἡδονὴν οἴσει τὸ καρπωσαμένους καὶ ὠφεληθέντας πνευματικήν τινα ὠφέλειαν ἀπελθεῖν. Γένοιτο δὲ εὐχαῖς τῆς ἁγίας ταύτης, καὶ τῶν τὰ αὐτὰ ἠθληκότων αὐτῇ, καὶ τούτων, καὶ τῶν ἄλλων τῶν εἰρημένων ἀκριβῆ τὴν μνήμην ὑμᾶς κατασχεῖν, καὶ διὰ τῶν ἔργων ἅπαντα ἐπιδειξαμένους, ἐν πᾶσιν εὐαρεστοῦντας διατελεῖν τῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Alii αἰδεσιμωτέρους, alii αἰδεσίμους. Mox alii καθίκοιο, alii καθίκοιτο.

[b] Alii ἀλλήλους, alii ἀλλήλοις. [c] Alii ὑμᾶς.
[d] Alii ὑμῖν, alii ἡμῖν.

HOMILIA II IN S. PELAGIAM.

Majore quidem theatro sancta virgo Pelagia digna esset : magna enim hujus puellæ certamina exstiterunt, ob idque copiosiorem theatri frequentiam requirunt. At satis illi tamen est Christus, qui solus pro omni ornamento hujus virginis panegyrim ac celebritatem præsens exornat : quo enim loco Christus adest, illic omnium angelorum chorus præsto est. Et omnes quidem martyres sua corpora cruciatibus fortiora præstiterunt, ob idque magnum quoddam theatrum adversus diabolum sibi paraverunt, cum incorporeos spiritus corpore ipso superaverint, et carnem suam cum ferro contendentem fortiter exhibuerint. Cum vero etiam puellas ipsas video pro Christo crucifixo mori gestientes, tunc diaboli temeritatem magis rideo, qui cum permulta vaticinandi loca sibi excogitaverit, quasi res futuras in illis ipsis prænuntiaturus esset, non illud præviderit ac vaticinatus sit, quantum dedecus, quovis risu dignum, hodierno die passurus esset. Quid enim magis ridendum aliquis duceret, quam quod hodie passus est diabolus? qui licet virginem irretitam haberet, a præda tamen ipsa excidit, et puellam, quam apprehendit, tenere non potuit, quasi umbram, non virginem, apprehendisset. Nam cum illa simplicitatem columbæ cum serpentis prudentia conjunctam haberet, ut columba quidem simplex comprehensa est, sed ut prudens serpens diffugit : quamvis enim esset comprehensa, de victoria tamen non desperavit ; neque animo aut consilio capta fuit, licet corpore detenta esset : sed artem quamdam atque consilium excogitavit, quo eorum, a quibus comprehensa fuerat, temeritatem eluderet, et eos tamquam stupidos redderet. Sed quidnam hoc fuit? Se consilium mutasse puella simulavit : idque ut credibile videretur, quamvis in tantæ fluctuationis et naufragii periculo constituta esset, vultu tamen ipso hilaritatem præferebat. Figmento igitur illo militeis capti, et puellæ hilaritate decepti, humanius in illam se gerere cœperunt. Quæ cum ab ipsis petiisset, ut tandiu liceret abesse, quoad ornatum sponsæ convenientem sibi induceret, eundi potestatem milites ei concesserunt : quippe qui ea re non solum illi virgini gratum facturi essent, sed futurum etiam cogitabant, ut a judice ipso magis laudarentur, si puellam veste ornatam duxissent. Illa vero consilii sui compos facta statim se veste induit, quæ vere decora est. Cum enim animi fortitudine, et resurrectionis spe multa se induisset atque corroborasset, ad ipsius tecti fastigium cucurrit, et illinc seipsam præcipitem dedit. Itaque palæstræ genus illud exegit, quod ut magnum quidpiam aliquando diabolus Domino ipsi proponere ausus fuerat, cum dixit : *Si Filius Dei es, mitte te deorsum* (*Matth.* 4. 6). Hujus puellæ fidem et animi magnitudinem valde obstupesco. Quid enim tunc alia virgo secum ipsa non cogitasset? Dixisset quidem : Do meipsam ex hoc loco præcipitem, cum id facere eo ipso coacta sim, quod stuprum metuo. Laudabile est propositum, modo casum ipsum mors consequatur : quamvis enim in me mortuam hostes debacchati fuerint, id tamen ego non sentiam, neque insciente hoc facient. Ac si in terram collisæ corporis membra perfracta fuerint, anima vero in membris permanserit, corporis turpitudinem moleste ferens ac dolens, tunc nihilominus ad judicem ducta, ea patiar, quæ semper timui : tradent enim stupro corpus ipsum membris læsum, ac me violatam dimittent : sicque duplicem feram calamitatem, tum corporeis membris læsa, tum virginitate spoliata. Hæc satis quidem fuissent, ut aliam puellam perturbarent. At illa ita confisa est, quasi finis ipsius sponsorem aliquem haberet : ob idque prompto animo ad eum casum festinavit. Itaque puellæ et virginis fortitudine atque animo illo victus es, diabole. Quæ enim Domino ipsi olim proposuisti, ad ea puella quædam, ejus famula, te provocavit, et ad tecti fastigium accurrens, illinc seipsam jaculata est : cumque a judice vocata esset, tibi, qui hoc suggessisti, non obtemperavit, neque subdolam pugnam subiit : novit enim versutas cogitationes tuas : cum sæpe virgines ipsas ad judices, tamquam ad flagella excipienda, vocare soleas ; postea vero sine pugna iis, qui pugnare subierunt, acerbius detentas ejicis. At si vere ad pugnam vel ad stadia puellam provocas, congredere nunc cum illa e tecto se dejiciente, eamque illinc decidentem sustine : audeas contra illam stare, et palæstram experiri. Excita quamcumque velis astutiam. Habes terram pro pugnæ campo : urge nunc gladios ipsos, ut mortem inferas ; substerne interficiendis hominibus dura cædis instrumenta ; para decidenti puellæ confractionem. Omnes enim quantumvis abstrusas atque abditas artes tuas velut infirmissimas illa superavit : quodque majus est, neque illud a Deo exegit, quod scriptum est : *Angelis tuis manda de me, Domine, ne unquam offendam ad lapidem corpus meum* (*Luc.* 4. 10. 11) : sed id petiit, ut animi præciperet post casum ipsum e corpore discé-

dere. O puellam, genere quidem et sexu feminam, animo autem ipso marem! o virginem duobus nominibus extollendam, quod in virginum grege, et martyrum choro numerata sis! o puellam ita continentem, ut neque aspectu quidem ipso fruendi facultatem intemperato judici præbueris! Hujus igitur puellæ temperantiam et nos imitemur, et contra voluptates ipsas victoriæ tropæa erigamus; incontinentiæ atque intemperantiæ impetum frangamus, et animum ipsum ad pietatem servandam corroboremus; judices ipsos a tentationibus submoveamus, et cum opportunum est, non abjectos, sed audaces nos præstemus; denique membra nostra, quæ sunt super terram, mortificemus, ut Dominus ipse hoc humile corpus nostrum tale reddat, et in eam conditionem transferat, ut corporis sui formam cum eo communicet: cui sit gloria et imperium, in sæcula. Amen.

MONITUM

AD HOMILIAM IN S. IGNATIUM THEOPHORUM.

[592] Hanc homiliam Antiochiæ habuit Chrysostomus paucis post Concionem in S. Pelagiam diebus. De anno ne conjectura quidem quidvis statuere possumus, cum nulla hinc temporis nota erui possit. Festum S. Ignatii celebratur apud nos 1 Februarii, apud Græcos autem vigesima die Decembris. Quia vero ea ipsa dies 20 Decembris notatur etiam in Mss. antiquissimis, verisimile prorsus videtur ea ipsa die habitam fuisse hanc homiliam: non autem 17 Decembris, qua die translatio ejus celebratur in Ecclesia Romana, ut recte notat Fronto Ducæus, qui tres ejus translationes commemorat, primam qua Roma Antiochiam, ut putabatur, a discipulis qui ejus acta scripserunt, Reliquiæ ejus translatæ sunt: nam Chrysostomo in hac homilia atque Hieronymo testibus, ossa ejus Antiochiæ quiescebant, et quidem extra portam Daphniticam in Cœmeterio, ait Hieronymus de Scriptoribus Ecclesiasticis. Secunda translatio imperante Theodosio II facta est, cum ejus jussu ex Cœmeterio in templum Fortunæ ejus ossa translata sunt, et templum olim dæmonibus dicatum, Martyri consecratum est, inquit Evagrius. Tertiam translationem Antiochia Romam memorat Martyrologium Romanum, cum in ecclesia S. Clementis recondita sunt.

Interpretationem Francisci Zini passim emendatam e regione Græci textus edimus.

IN S. MARTYREM IGNATIUM

DEIFERUM, MAGNÆ ANTIOCHIÆ ARCHIEPISCOPUM ROMAM ABDUCTUM, IBIQUE MARTYRIO AFFECTUM, ATQUE INDE RURSUS ANTIOCHIAM TRANSLATUM, LAUDATIO [1] (*a*).

1. Qui sumptuosis ac splendidis conviviis delectantur, ea crebro et frequenter celebrant, tum ut divitias ostentent suas, tum ut benevolentiam in amicos præ se ferant. Talis est etiam Spiritus gratia, quæ nobis et proprias opes ostendit atque exhibet, et magnam erga amicos Dei caritatem declarat, cum frequentes nobis martyrum mensas apponit. Nuper puella plane adolescens et virgo, beata martyr Pelagia, magna cum lætitia convivium nobis exhibuit : hodie celebritatem illius beatus hic ac generosus martyr Ignatius vicissim excepit. Diversæ quidem personæ, sed una mensa ; variæ pugnæ, sed corona eadem ; disparia certamina, sed idem bravium. In certaminibus enim externis, quia labores sunt corporum, merito viri tantum admittuntur ; hic autem quoniam totum certamen ad animum spectat, utrique sexui stadium aperitur, utrique generi considunt spectatores. Nec viri tantum accingunt se, ne ad naturæ infirmitatem feminæ confugientes probabilem habere videantur excusationem : nec solæ feminæ se fortiter gerunt, ne virorum genus rubore perfundant ; sed et hinc et inde multi publicantur victores, et coronas assequuntur, ut ex operibus intelligas, in Christo Jesu neque masculum neque feminam esse (*Galat.* 3. 28), nec sexum, nec corporis imbecillitatem, neque ætatem, nec aliud quidquam ejusmodi pietatis cursum conficientibus impedimentum afferre posse, modo generosa alacritas, et promptus animus, et Dei timor ardens atque inflammatus in cordibus nostris radices egerit. Idcirco et virgines, et puellæ, et viri, et juvenes, et senes, et servi, et liberi, et omnis ordo, atque ætas omnis, et sexus uterque ad hæc certamina accinguntur ; nec ulli omnino sua frustrantur spe, qui strenuum animi propositum ad has pugnas attulerint. Tempus igitur jam ad præclara hujusce viri facinora declaranda nos vocat, sed deterretur animus ac perturbatur, dum in tanta, quæ nos undique circumfluit, laudum copia hæsitat quid primum, quid secundum, quid tertium dicere aggrediatur. Atque idem nobis evenit, ut si quis in pratum ingressus, et multas rosas, violas multas, ac lilia, et alios vernos flores varios ac diversos intuitus, ambigat quem primo loco, quem secundo perspexerit, dum singuli flores oculos ad se rapiunt. Eodem modo nos item afficimur, dum hoc spirituale pratum Ignatii virtutum ingressi, et non vernos flores, sed ipsos Spiritus fructus varios ac diversos in ejus anima contemplantes commovemur, ac dubitamus unde potissimum exordiamur, dum singula quæ conspeximus, ab aliis nos avocant, et ad proprium decoris splendorem oculos animi et mentis aciem invitant. Vos enim ipsi considerate : Ecclesiam nostram hic rexit tam generose, et tanta cum diligentia, quantam Christus requirit. Quam enim ille maximam normam et regulam episcopis statuit, eam hic factis ipsis expressit. Nam cum Christum audivisset dicentem : *Bonus pastor animam suam ponit pro ovibus* (*Joan.* 10. 11), omni fortitudine eam pro ovibus profudit.

Ignatius cum Apostolis versatus. Laudes Episcopatus. Qui indignum ordinat, peccatorum ejus fit particeps. — Cum apostolis strenue versatus est, et fluenta hausit spiritualia. Qualem igitur eum esse par fuit, qui cum illis educatus est, et ubique vixit, et omnium, quæ ab illis vel dicta vel non dicta sunt, particeps fuit, et tanto principatu dignus ab ipsis est judicatus? Rursum adfuit tempus, quod fortitudinem exigebat et animum omnia præsentia despicientem, quique amore divino ferveret, et invisibilia visibilibus anteferret : et tam facile carnem deposuit, quam quivis alius vestem exuisset. Quid igitur primum persequemur ? apostolorum doctrinam, quam in omnibus exhibuit, an præsentis vitæ contemptum ? an virtutis præstantiam, qua Ecclesiam administravit ? Quem laudabimus ? martyrem ? episcopum ? an apostolum ? Triplicem enim coronam gratia Spiritus contexuit, qua sanctum illius caput redimivit, imo vero multiplicem. Si quis enim diligenter coronas singulas consideret, inveniet et alias nobis germinantes.

2. Ac principio, si vobis placet, ab episcopatus laudibus incipiamus. Videturne vobis hæc simplex corona ? Age igitur consideremus, et duas, et tres, atque adeo plures inde nobis partas conspicietis. Neque enim ego virum hunc tantummodo, quod tanto honoris gradu dignus sit habitus, admiror, sed quod a sanctis illis dignitatem obtinuerit, quodque beatorum apostolorum manus sacrum illud caput attigerint. Nec modicum id ad ejus laudem confert : non solum quod majorem e cælo gratiam sit assequutus, aut quod in ipsum illi majorem vim Spiritus induxerint, sed quod omnes, quæ in hominibus sunt, in eo virtutes esse testati sint. Hoc autem quid sibi velit, expono. Paulus ad Titum scribens : cum autem Paulum dico, non hunc solum intelligo, sed et Petrum, et Jacobum, et Joannem, atque omnem ipsorum chorum. Quemadmodum enim in lyra cum diversæ sint chordæ, unus tamen concentus est : sic etiam in apostolorum choro, quamvis sint diversæ personæ, una tamen doctrina est, quia et unus artifex erat Spiritus sanctus, qui ipsorum animos movebat, idque Paulus ostendens, *Sive igitur*, inquit, *illi, sive ego, sic prædicamus* (1. *Cor.* 15. 11). Hic ergo scribens ad Titum, et docens qualis episcopus esse debeat,

[1] Collata cum duobus Codicibus Regiis 1832 et 2543.

(*a*) Titulum sic habent Savil. et unus Codex Regius ; in Morel. vero postrema verba non habentur.

ΕΓΚΩΜΙΟΝ

Εἰς τὸν ἅγιον ἱερομάρτυρα Ἰγνάτιον τὸν θεοφόρον ἀρχιεπίσκοπον γενόμενον Ἀντιοχείας τῆς μεγάλης εἰς Ῥώμην ἀπενεχθέντα, καὶ αὐτόθι μαρτυρήσαντα, κακεῖθεν αὖθις εἰς Ἀντιόχειαν κομισθέντα.

α'. Οἱ πολυτελεῖς καὶ φιλότιμοι τῶν ἑστιατόρων πυκνὰς καὶ ἐπαλλήλους ποιοῦνται τὰς ἑστιάσεις, ὁμοῦ μὲν τὴν οἰκείαν περιουσίαν ἐπιδεικνύμενοι, ὁμοῦ δὲ τὴν περὶ τοὺς ἐπιτηδείους φιλοφροσύνην ἐμφαίνοντες. Οὕτω καὶ ἡ τοῦ Πνεύματος χάρις τῆς οἰκείας δυνάμεως τὴν ἀπόδειξιν ἡμῖν παρεχομένη, καὶ πολλὴν τὴν φιλοφροσύνην περὶ τοὺς τοῦ Θεοῦ φίλους ἐπιδεικνυμένη, συνεχεῖς ἡμῖν καὶ ἐπαλλήλους τὰς τῶν μαρτύρων παρατίθεται τραπέζας. Πρώην γοῦν ἡμᾶς κόρη κομιδῇ νέα καὶ ἀπειρόγαμος, ἡ μακαρία μάρτυς Πελαγία, μετὰ πολλῆς τῆς εὐφροσύνης εἱστίασε· σήμερον πάλιν τὴν ἐκείνης ἑορτὴν ὁ μακάριος οὗτος καὶ γενναῖος μάρτυς Ἰγνάτιος διεδέξατο. Διάφορα τὰ πρόσωπα, ἀλλὰ μία ἡ τράπεζα· ἐνηλλαγμένα τὰ παλαίσματα, ἀλλ' εἷς ὁ στέφανος· ποικίλα τὰ ἀγωνίσματα, ἀλλὰ τὸ αὐτὸ βραβεῖον. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων, ἐπειδὴ σωμάτων εἰσὶν οἱ πόνοι, εἰκότως ἄνδρες ἐγκρίνονται μόνοι· ἐνταῦθα δὲ, ἐπειδὴ τῆς ψυχῆς ὁ ἀγὼν ἅπας ἐστὶν, ἑκατέρᾳ τῇ φύσει τὸ στάδιον ἀνέῳγεν, ἑκατέρῳ τῷ γένει τὸ θέατρον κάθηται. Καὶ οὔτε ἄνδρες ἀπεδύσαντο μόνον, ἵνα μὴ πρὸς τὴν τῆς φύσεως ἀσθένειαν αἱ γυναῖκες καταφεύγουσαι δόξωσιν ἔχειν εὐπρόσωπον ἀπολογίαν· οὔτε γυναῖκες ἠνδρίσαντο μόναι, ἵνα μὴ τὸ τῶν ἀνδρῶν καταισχύνηται γένος· ἀλλὰ καὶ ἐντεῦθεν κἀκεῖθεν πολλοὶ οἱ ἀνακηρυττόμενοι καὶ στεφανούμενοι, ἵνα μάθῃς [593] διὰ τῶν ἔργων αὐτῶν ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ, ὅτι οὔτε φύσις, οὔτε σώματος ἀσθένεια, οὔτε ἡλικία, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων ἐμποδίσαι δύναιτ' ἂν τοῖς τὸν τῆς εὐσεβείας τρέχουσι δρόμον, ἐὰν προθυμία γενναία, καὶ φρόνημα διεγηγερμένον, καὶ φόβος Θεοῦ θερμὸς καὶ διάπυρος ἐρριζωμένος ἡμῶν ἐν ταῖς ψυχαῖς ᾖ. Διὰ τοῦτο καὶ κόραι, καὶ γυναῖκες, καὶ ἄνδρες, καὶ νέοι, καὶ γέροντες, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ πᾶσα ἀξία, καὶ ἡλικία ἅπασα, καὶ φύσις ἑκατέρα πρὸς τοὺς ἀγῶνας ἀπεδύσαντο τούτους, καὶ οὐδαμόθεν οὐδὲν παρεβλάβησαν, ἐπεὶ προαίρεσιν γενναίαν εἰσήνεγκαν εἰς τὰ παλαίσματα ταῦτα. Ὁ μὲν οὖν καιρὸς ἡμᾶς ἤδη πρὸς τὴν διήγησιν τῶν τοῦ μακαρίου τούτου κατορθωμάτων καλεῖ· ὁ λογισμὸς δὲ ταράττεται καὶ θορυβεῖται, οὐκ ἔχων τί πρῶτον, τί δεύτερον εἰπεῖν, τί τρίτον· τοσοῦτον περιῤῥεῖ πάντοθεν ἡμᾶς ἐγκωμίων πλῆθος. Καὶ ταὐτὸν πάσχομεν, οἷον ἂν εἴ τις εἰς λειμῶνα εἰσελθὼν, καὶ πολλὴν μὲν τὴν ῥοδωνιὰν ἰδὼν, πολὺ δὲ τὸ ἴον, καὶ τὸ κρίνον τοσοῦτον, καὶ ἕτερα δὲ ἠρινὰ ἄνθη ποικίλα τε καὶ διάφορα, ἀπορήσειε, τί πρῶτον ἴδῃ, τί δεύτερον, ἑκάστου τῶν ὁρωμένων πρὸς ἑαυτὸ καλοῦντος τὰς ὄψεις. Καὶ γὰρ καὶ ἡμεῖς εἰς τὸν πνευματικὸν τοῦτον λειμῶνα τῶν Ἰγνατίου κατορθωμάτων εἰσελθόντες, καὶ οὐχὶ ἄνθη ἠρινὰ, ἀλλ' αὐτὸν τοῦ Πνεύματος τὸν καρπὸν ποικίλον τε καὶ διάφορον ἐν τῇ τούτου ψυχῇ θεώμενοι θορυβούμεθα, καὶ διαπορούμεν, οὐκ ἔχοντες ποῦ πρῶτον τὸν λογισμὸν ἀπερείσωμεν, ἑκάστου τῶν ὁρωμένων ἀπὸ τῶν πλησίον ἀνθέλκοντος, καὶ πρὸς τὴν τῆς οἰκείας εὐπρεπείας θεωρίαν ἐπιστρωμένου τὴν τῆς ψυχῆς ὄψιν. Σκοπεῖτε γάρ· προέστη τῆς παρ' ἡμῖν Ἐκκλησίας γενναίως, καὶ μετὰ τοσαύτης ἀκριβείας, μεθ' ὅσης ὁ Χριστὸς βούλεται· ὃν γὰρ μέγιστον ὅρον καὶ κανόνα τῆς ἐπισκοπῆς ἔφησεν εἶναι ἐκεῖνος, τοῦτον οὗτος διὰ τῶν ἔργων ἐπεδείξατο. Καὶ γὰρ τοῦ Χριστοῦ λέγοντος ἀκούσας, ὅτι *Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων*, μετὰ πάσης ἀνδρείας αὐτὴν ἐπέδωκεν ὑπὲρ τῶν προβάτων.

Συνεγένετο τοῖς ἀποστόλοις γνησίως, καὶ τῶν πνευματικῶν ναμάτων ἀπήλαυσεν. Ὁποῖον οὖν εἶναι εἰκὸς τὸν συντραφέντα[a] ἐκείνοις, καὶ πανταχοῦ συγγενόμενον, καὶ ῥητῶν καὶ ἀπορρήτων αὐτοῖς κοινωνήσαντα, καὶ τοσαύτης εἶναι δόξαντα αὐτοῖς ἀρχῆς ἄξιον; Ἐπέστη πάλιν καιρὸς ἀνδρείαν ἐπιζητῶν καὶ ψυχὴν τῶν παρόντων ὑπερορῶσαν ἁπάντων, καὶ τῷ θείῳ ζέουσαν ἔρωτι, καὶ τὰ μὴ βλεπόμενα τῶν ὁρωμένων προτιμῶσαν· καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀπέθετο, μεθ' ὅσης ἄν τις ἱμάτιον ἀποδύσαιτο. Τί οὖν πρότερον εἴπωμεν; τῶν ἀποστόλων τὴν διδασκαλίαν, ἣν ἐπεδείξατο διὰ πάντων, ἢ τῆς παρούσης ζωῆς τὴν ὑπεροψίαν, ἢ τὴν ἀκρίβειαν τῆς ἀρετῆς, μεθ' ἧς τὴν προστασίαν τῆς Ἐκκλησίας ᾠκονόμησε; Τίνα πρότερον ἀνυμνήσομεν; τὸν μάρτυρα, ἢ τὸν ἐπίσκοπον, ἢ τὸν ἀπόστολον; Τριπλοῦν γὰρ στέφανον ἡ τοῦ Πνεύματος πλέξασα χάρις, οὕτω τὴν ἁγίαν ἐκείνην ἀνέδησε κεφαλήν· μᾶλλον δὲ πολλαπλοῦν. Τῶν γὰρ στεφάνων ἕκαστον, εἴ τις αὐτοὺς μετὰ ἀκριβείας ἀναπτύξειεν, εὑρήσει καὶ ἑτέρους ἡμῖν βλαστάνοντας στεφάνους.

[594] β'. Καὶ εἰ βούλεσθε, πρότερον ἐπὶ τὸν τῆς ἐπισκοπῆς ἔπαινον ἔλθωμεν· οὐ δοκεῖ εἷς οὗτος εἶναι στέφανος μόνος; Φέρε οὖν αὐτὸν ἀναπτύξωμεν τῷ λόγῳ, καὶ ὄψεσθε καὶ δύο, καὶ τρεῖς, καὶ πλείους ἐξ αὐτοῦ τικτομένους ἡμῖν. Οὐ γὰρ μόνον ὅτι τοσαύτης ἀρχῆς ἄξιος εἶναι ἔδοξε, θαυμάζω τὸν ἄνδρα ἐγὼ, ἀλλ' ὅτι καὶ παρὰ τῶν ἁγίων ἐκείνων τὴν ἀρχὴν ταύτην ἐνεχειρίσθη, καὶ αἱ τῶν μακαρίων ἀποστόλων χεῖρες τῆς ἱερᾶς ἥψαντο κεφαλῆς. Οὐδὲ γὰρ μικρὸν τοῦτο εἰς ἐγκωμίου λόγον· οὐκ ἐπειδὴ πλείω τὴν ἄνωθεν ἐπεσπάσατο χάριν, οὐδ' ὅτι δαψιλεστέραν ἐπ' αὐτὸν ἐποίησαν ἐλθεῖν τὴν τοῦ Πνεύματος ἐνέργειαν μόνον· ἀλλ' ὅτι καὶ πᾶσαν αὐτῷ τὴν ἐν ἀνθρώποις ἐμαρτύρησαν ἀρετήν· τὸ δὲ πῶς ἐγὼ λέγω. Τίτῳ γράφων ὁ Παῦλος ποτέ· ὅταν δὲ Παῦλον εἴπω, οὐ τοῦτον μόνον λέγω, ἀλλὰ καὶ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, καὶ πάντα αὐτῶν τὸν χορόν. Καθάπερ γὰρ ἐν λύρᾳ μιᾷ διάφορόι μὲν αἱ νευραὶ, μία δὲ ἡ συμφωνία· οὕτω καὶ ἐν τῷ χορῷ τῶν ἀποστόλων διάφορα μὲν τὰ πρόσωπα, μία δὲ ἡ διδασκαλία, ἐπειδὴ καὶ εἷς ὁ τεχνίτης ἦν, τὸ Πνεῦμα τὸ ἅγιον τὸ κινοῦν τὰς ἐκείνων ψυχάς. Καὶ τοῦτο ἐμφαίνων ὁ Παῦλος ἔλεγεν· *Εἴτε οὖν ἐκεῖνοι, εἴτε ἐγὼ, οὕτω κηρύσσομεν*. Γράφων τοίνυν οὗτος τῷ Τίτῳ, καὶ δεικνὺς ὁποῖόν τινα τὸν ἐπίσκοπον εἶναι χρὴ,

[a] Sic Sav. et unus Reg., atque ita legisse videtur interpres. Mor. ἐντραφέντα.

φησί· *Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ ἑτέρους παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.* Καὶ Τιμοθέῳ πάλιν περὶ τῆς ὑποθέσεως ταύτης ἐπιστέλλων, οὕτω πώς φησιν· *Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ· δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, μὴ πλήκτην, μὴ πάροινον, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον.* Εἶδες πόσην ἀκρίβειαν ἀρετῆς ἀπαιτεῖ τὸν ἐπίσκοπον; Καθάπερ γάρ τις ζωγράφος ἄριστος ποικίλα κεράσας χρώματα, ἣν ἂν μέλλῃ βασιλικῆς μορφῆς πρωτότυπον κατασκευάζειν εἰκόνα, μετὰ πάσης ἐργάζεται τῆς ἀκριβείας, ὥστε τοὺς μιμουμένους αὐτὴν ἅπαντας καὶ γράφοντας ἐξ αὐτῆς διηκριβωμένην ἔχειν εἰκόνα· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος καθάπερ τινὰ εἰκόνα βασιλικὴν γράφων, καὶ τὸ ἀρχέτυπον αὐτῆς κατασκευάζων, τὰ ποικίλα τῆς ἀρετῆς κεράσας χρώματα, ἀπηρτισμένους ἡμῖν τοὺς χαρακτῆρας ὑπέγραψε τῆς ἐπισκοπῆς, ἵν' ἕκαστος τῶν εἰς τὴν ἀρχὴν ταύτην ἀναβαινόντων, εἰς ἐκείνην ὁρῶν, μετὰ τοσαύτης ἀκριβείας τὰ καθ' ἑαυτὸν ἅπαντα οἰκονομῇ. Θαῤῥῶν τοίνυν εἴποιμι ἄν, ὅτι πᾶσαν αὐτὴν μετὰ ἀκριβείας ὁ μακάριος Ἰγνάτιος ἀπεμάξατο ἐν τῇ ἑαυτοῦ ψυχῇ, καὶ ἀνεπίληπτος ἦν καὶ ἀνέγκλητος, καὶ οὔτε αὐθάδης, οὔτε ὀργίλος, οὔτε πάροινος, οὔτε πλήκτης, ἀλλ' ἄμαχος, ἀφιλάργυρος, δίκαιος, ὅσιος, ἐγκρατής, ἀντεχόμενος τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, νηφάλιος, σώφρων, κόσμιος, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλος ἀπῄτησε. Καὶ τίς τούτων ἀπόδειξις; [595] φησίν· Αὐτοὶ οἱ ταῦτα εἰρηκότες αὐτὸν ἐχειροτόνησαν, καὶ οὐκ ἂν οἱ μετὰ τοσαύτης ἀκριβείας παραινοῦντες ἑτέροις τὴν δοκιμασίαν ποιεῖσθαι τῶν μελλόντων ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς ἀναβαίνειν ταύτης, αὐτοὶ παρέργως τοῦτο ἐποίησαν ἄν· ἀλλ' εἰ μὴ πᾶσαν εἶδον τὴν ἀρετὴν ταύτην ἐν τῇ ψυχῇ τοῦ μάρτυρος τούτου πεφυτευμένην, οὐκ ἂν αὐτῷ ταύτην ἐνεχείρισαν τὴν ἀρχήν. Καὶ γὰρ ἤδεισαν ἀκριβῶς ὅσος κίνδυνος κεῖται τοῖς ἁπλῶς καὶ ὡς ἔτυχε τὰς τοιαύτας ποιουμένοις χειροτονίας. Καὶ τοῦτο αὐτὸ πάλιν ἐμφαίνων ὁ Παῦλος τῷ αὐτῷ Τιμοθέῳ γράφων ἔλεγε· *Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.* Τί λέγεις; ἄλλος ἥμαρτε, κἀγὼ κοινωνῶ τῶν ἐγκλημάτων καὶ τῆς τιμωρίας; Ναὶ, φησίν, ὁ τῇ πονηρίᾳ τὴν ἐξουσίαν παρασχών. Καὶ καθάπερ τις μαινομένῳ καὶ παραπαίοντι ξίφος ἐγχειρίσας ἠκονημένον, ὃν ἂν ἐργάσηται φόνον ὁ μεμηνὼς, ἐκεῖνος ὑφίσταται τὴν αἰτίαν ὁ τὸ ξίφος δεδωκώς, οὕτω καὶ ἀνθρώπῳ τις πονηρίᾳ συζῶντι τὴν ἀπὸ τῆς ἀρχῆς ταύτης ἐξουσίαν παρασχὼν, τὸ πῦρ ἅπαν τῶν ἁμαρτημάτων ἐκείνου καὶ τῶν τολμημάτων ἐπὶ τὴν οἰκείαν ἕλκει κεφαλήν· ὁ γὰρ τὴν ῥίζαν παρασχὼν, πανταχοῦ οὗτος τῶν ἐξ αὐτῆς φυομένων ἐστὶν αἴτιος. Εἶδες πῶς διπλοῦς ἡμῖν ὁ στέφανος ἐφάνη τῆς ἐπισκοπῆς τέως, καὶ λαμπροτέραν ἐποίησε τὴν ἀρχὴν τὸ τῶν χειροτονησάντων αὐτὸν ἀξίωμα, πᾶσαν ἀπόδειξιν ἀρετῆς αὐτῷ μαρτυρῆσαν;

γ'. Βούλεσθε καὶ ἕτερον ὑμῖν ἐγκαλύψω στέφανον ἀπ' αὐτοῦ τούτου βλαστάνοντα; Ἀναλογισώμεθα τὸν καιρὸν καθ' ὃν τὴν ἀρχὴν ἐνεχειρίσθη ταύτην. Οὐ γάρ ἐστιν ἴσον Ἐκκλησίαν οἰκονομῆσαι νῦν, καὶ τότε, ὥσπερ οὐκ ἔστιν ἴσον τετριμμένην ὁδὸν, καὶ κατεσκευασμένην καλῶς, μετὰ πολλοὺς ὁδοιπόρους ὁδεύειν, καὶ νῦν πρώτως τέμνεσθαι μέλλουσαν, καὶ φάραγγας καὶ λίθους ἔχουσαν, καὶ θηρίων γέμουσαν, καὶ μηδέπω μηδένα δεξαμένην ὁδοιπόρον. Νῦν μὲν γὰρ τῇ τοῦ Θεοῦ χάριτι κίνδυνος οὐδεὶς τοῖς ἐπισκόποις, ἀλλ' εἰρήνη πανταχόθεν βαθεῖα, καὶ γαλήνης ἀπολαύομεν ἅπαντες, τοῦ λόγου τῆς εὐσεβείας ἐκτεταμένου πρὸς τὰ πέρατα τῆς οἰκουμένης, καὶ τῶν βασιλευόντων ἡμῖν τὴν πίστιν συντηρούντων μετὰ ἀκριβείας. Τότε δὲ οὐδὲν τούτων ἦν, ἀλλ' ὅπουπερ ἄν τις εἶδε, κρημνοὶ, καὶ βάραθρα, καὶ πόλεμοι, καὶ μάχαι, καὶ κίνδυνοι, καὶ ἄρχοντες, καὶ βασιλεῖς, καὶ δῆμοι, καὶ πόλεις, καὶ ἔθνη, καὶ οἰκεῖοι, καὶ ἀλλότριοι τοῖς πιστεύουσιν ἐπεβούλευον. Καὶ οὐ τοῦτο μόνον ἦν τὸ δεινὸν, ἀλλ' ὅτι καὶ αὐτῶν τῶν πιστευσάντων πολλοὶ, ἅτε νῦν πρώτως δογμάτων γευσάμενοι ξένων, πολλῆς ἐδέοντο τῆς συγκαταβάσεως, καὶ ἀσθενέστερον ἔτι διέκειντο, καὶ πολλάκις ὑπεσκελίζοντο· καὶ τοῦτο ἦν ὃ τῶν ἔξωθεν πολεμίων οὐκ ἔλαττον ἐλύπει τοὺς διδασκάλους, μᾶλλον δὲ καὶ πολλῷ πλέον· αἱ μὲν γὰρ ἔξωθεν μάχαι, καὶ ἐπιβουλαὶ, καὶ ἡδονὴν παρεῖχον αὐτοῖς πολλὴν διὰ τὴν ἐλπίδα τῶν ἀποκειμένων μισθῶν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες ὅτι ἐμαστιγώθησαν, καὶ Παῦλος βοᾷ λέγων· *Χαίρω ἐν τοῖς παθήμασί μου*, καὶ καυχᾶται ἐν ταῖς θλίψεσι πανταχοῦ· τὰ δὲ τῶν οἰκείων τραύματα καὶ τὰ τῶν ἀδελφῶν πτώματα [596] οὐδὲ ἀναπνεῖν αὐτοὺς ἠφίει, ἀλλ' ὥσπερ τις κύφων βαρύτατος τὸν αὐχένα τῆς ψυχῆς αὐτῶν ἐπίεζε καὶ κατέσπα διηνεκῶς. Ἄκουσον γοῦν, ὁ Παῦλος ὁ οὕτω χαίρων ἐν τοῖς παθήμασι πῶς ὑπὲρ τούτων πικρῶς ὀδυνᾶται[a]. *Τίς γὰρ, φησὶν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* Καὶ πάλιν· *Φοβοῦμαι μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε·* καὶ μετ' ὀλίγα [b]· *Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεὸς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ, καὶ ἀσελγείᾳ, καὶ πορνείᾳ [c] ᾗ ἔπραξαν.* Καὶ διὰ παντὸς ὁρᾷς ἐν δάκρυσιν αὐτὸν ὄντα καὶ θρήνοις διὰ τοὺς οἰκείους, καὶ δεδοικότα, καὶ τρέμοντα ὑπὲρ τῶν πεπιστευκότων ἀεί. Ὥσπερ οὖν κυβερνήτην θαυμάζομεν οὐχ ὅταν ἡσυχαζούσης τῆς θαλάττης καὶ ἐξ οὐρίων τῆς νηὸς φερομένης δυνηθῇ τοὺς ἐμπλέοντας διασῶσαι, ἀλλ' ὅταν μαινομένου τοῦ πελάγους, διανισταμένων τῶν κυμάτων, αὐτῶν τῶν ἔνδον ἐπιβατῶν στασιαζόντων, πολλοῦ χειμῶνος ἔσωθεν ἔξωθεν [d] τοὺς ἐμπλέοντας πολιορκοῦντος, δυνηθῇ κατευθῦναι τὸ σκάφος μετὰ ἀσφαλείας ἁπάσης· οὕτω καὶ τοὺς τότε τὴν Ἐκκλησίαν ἐγχειρισθέντας ἐκπλήττεσθαι χρὴ καὶ θαυμάζειν πολλῷ πλέον τῶν νῦν οἰκονομούντων αὐτὴν, ὅτε πολὺς ὁ πόλεμος ἔξωθεν ἔσωθεν, ὅτε ἀπαλώτερον ἔτι τὸ φυτὸν τῆς πίστεως ἦν, καὶ πολλῆς δεόμενον ἐπιμελείας, ὅτε καθάπερ ἀρτίτοκον βρέφος τὸ τῆς Ἐκκλησίας πλῆθος πολλῆς ἔχρῃζε τῆς προνοίας, καὶ σοφωτάτης τινὸς τῆς μελλούσης αὐτὸ τιθηνεῖσθαι ψυχῆς. Καὶ ἵνα σαφέστερον μάθητε, ὅσων ἦσαν ἄξιοι στεφάνων οἱ τότε τὴν

[a] Savil. addit καὶ τήκεται.
[b] Καὶ μετ' ὀλίγα. Hæc verba, ab interprete lecta, e Savilio accesserunt. Edit.
[c] Unus Reg. πορνείᾳ, ut legit interpres. Alii πονηρίᾳ.
[d] Unus Reg. χειμῶνος ἔξωθεν ἔσωθεν.

Oportet enim, inquit, *episcopum sine crimine esse, sicut Dei dispensatorem; non superbum, non iracundum, non vinolentum, non percussorem, non turpis lucri cupidum: sed hospitalem, benignum, prudentem, sobrium, justum, sanctum, continentem, amplectentem eum, qui secundum doctrinam est, fidelem sermonem, ut potens sit et alios exhortari in doctrina sana, et eos, qui contradicunt, arguere* (*Tit.* 1. 7-9). Et ad Timotheum eadem de re scribens: *Si quis*, inquit, *episcopatum desiderat, bonum opus desiderat: oportet igitur episcopum irreprehensibilem esse, unius uxoris virum, sobrium, prudentem, ornatum, hospitalem, doctorem, non vinolentum, non percussorem; sed modestum, non litigiosum, non cupidum* (*1 Tim.* 3. 1-3). Vides quantam virtutis excellentiam in episcopo requirat? Quemadmodum enim pictor egregius colores varios commiscet, ut exemplar imaginis regiæ, quam expressurus est, ita diligenter conficiat, ut qui eam depicturi sunt, omnes habeant quod imitentur: sic sane et beatus Paulus tamquam regiam quamdam effigiem pingens, et exemplar ipsius conficiens, varios virtutis miscet colores, nobisque formam episcopalem ad imitandum proposuit, ut qui ad hanc dignitatem provehuntur, ad illam respicientes eadem accuratione actiones suas omnes moderentur. Ausim igitur affirmare totam hanc formam in animo suo beatum Ignatium expressisse: nam et irreprehensibilis fuit, et sine crimine, non autem superbus, neque iracundus, nec vinolentus, nec percussor, nec litigiosus, nec cupidus, sed justus, sanctus, continens, amplectens eum, qui secundum doctrinam est, fidelem sermonem, sobrius, prudens, ornatus, et cætera, quæ Paulus exegit. Et quinam sunt horum testes? Iidem ipsi qui hæc dixerunt, qui hunc etiam elegerunt. Neque enim qui tam diligenter cæteros monuerunt, ut probarent eos, qui in hujus dignitatis thronum essent ascensuri, obiter ipsi aut negligenter id peregissent; sed nisi cunctas in martyris animo virtutes conspexissent, non hanc in illum dignitatem contulissent. Norant enim plane quam periculose agerent qui in iis ordinationibus sese gererent negligenter. Quod quidem rursus ostendens Paulus, ad eumdem Timotheum scribens: *Manus*, inquit, *cito nemini imposueris, neque communicaveris peccatis alienis* (1. *Tim.* 5. 22). Quid ais? alius peccavit, et ego criminum et supplicii particeps ero? Quidni, inquit, cum improbo dederis occasionem? Sicut enim qui furioso atque amenti acutum gladium præbet, quo ille furens cædem faciat, is cædis sustinet culpam: sic etiam qui improbe viventi dignitatis hujus exhibet facultatem, totum peccatorum illius et facinorum ignem trahit super caput suum; nam qui radicis est causa, is omnium ex radice provenientium auctor est. Videa' quomodo duplex corona episcopatus appareat, et quod dignitas eorum, qui manus illi imposuerunt, ejus principatum splendidiorem faciat, et omnium ei virtutum testimonium exhibeat?

3. Vultis ut aliam vobis ex hoc ipso pullulantem coronam aperiam? Tempus cogitemus, quo dignitatem hanc est assequutus. Neque enim eadem est nunc, quæ tunc erat, Ecclesiam gubernandi conditio: ut non æqualis est labor viam tritam et plane paratam post multos ingredi viatores, atque eam quæ nunc primo secanda est, quæque prærupta, et saxosa, ferisque plena, nec ullum adhuc viatorem admisit. Hoc quidem tempore per gratiam Dei nullum episcopis periculum imminet, sed pax undique profunda, et tranquillitate cuncti perfruimur, cum pietatis verbum orbis terrarum terminos occuparit, et qui imperium obtinent, fidem studiose colant atque observent. Tunc autem nihil erat ejusmodi, sed quocumque quis oculos verteret, ubique præcipitia, barathra, et bella, et pugnæ, et pericula: principes, reges, populi, civitates et gentes, domestici et alieni, credentibus insidias tendebant. Neque vero id solum erat grave, sed etiam quod credentium plerique, utpote tunc primum nova dogmata degustantes, magna egebant indulgentia, et erant imbecilliores, et sæpe supplantabantur: quod quidem non minus affligebat doctores, quam externa bella, quin etiam multo magis: externæ enim pugnæ atque insidiæ propter repositæ mercedis spem voluptatem multam afferebant. Idcirco et apostoli gaudentes a conspectu concilii discedebant, quod verbera pertulissent (*Act.* 5. 41); Paulus etiam clamat, *Gaudeo*, inquiens, *in passionibus meis* (*Col.* 1. 24), et ubique in tribulationibus gloriatur. Domesticorum autem vulnera, et fratrum lapsus, nec respirare quidem illos permittebant, sed semper veluti grave quoddam jugum cervices animorum ipsorum assidue premebant et affligebant. Audi igitur quomodo Paulus, ita gaudens in passionibus, de illis acerbe doleat: *Quis*, inquit, *infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* (2. *Cor.* 11. 29)? Et rursum, *Timeo ne veniens, non quales volo, inveniam vos: et ego inveniar a vobis, qualem non vultis* (2. *Cor.* 12. 20.) Et paulo post: *Ne cum venero ad vos humiliet me Deus, et lugeam multos ex iis, qui ante peccaverunt, et non egerunt pœnitentiam super immunditia, et fornicatione* [1], *et impudicitia, quam gesserunt* (*Ib. v.* 21). Semper denique cernis ipsum in lacrymis et lamentationibus propter domesticos versari, et propter eos, qui crediderant, contremiscere. Quemadmodum igitur gubernatorem admiramur, non cum tranquillo mari et secundis ventis vectores in portum incolumes ducit; sed cum insaniente pelago, fluctibusque sævientibus, qui in navi sunt, inter se dissentiunt, magna tempestate intus et foris navigantes exagitante, navim tamen potest dirigere et conservare: sic eos qui tunc Ecclesiam regebant, multo magis, quam illos, qui eam in præsentia gubernant, suspicere debemus et admirari, quando multa bella intus et foris, quando fidei planta imbecillior adhuc diligentiæ magis indigebat, quando veluti modo genitus infans Ecclesiæ populus magnam providentiam atque sapientiam animæ, qua lactaretur, postulabat. Verum ut planius intelligatis, quot

[1] Unus Reg., *fornicatione*, ut legit interpres. Alii *nequitia*.

essent coronis digni, qui tunc Ecclesiam regendam suscipiebant, et quot labores in principio atque discrimina illic essent subeunda, Christi vobis testimonium afferam, qui ea, quæ a nobis dicta sunt, approbat, et sententiam meam confirmat. Cum enim multos ad se convenientes aspiceret, velletque apostolis demonstrare, quod magis quam illi laborassent prophetæ : *Alii*, inquit, *laboraverunt, et vos in labores eorum introistis* (*Joan.* 4. 38). Atqui multo plus apostoli, quam prophetæ laborarunt ; attamen quia pietatis verbum priores illi seminarunt, et ignaros hominum animos ad veritatem adduxerunt, ipsis laboris plus attribuitur.

Quantus initio prædicationis labor fuerit. — Neque enim æqualis est labor, non est profecto, post multos alios doctores aliquem erudire, et primum ipsum semina jacere. Quod enim meditatione et consuetudine paratum est, facile percipitur : quod autem nunc primum auditur, discentium animos perturbat, multaque docentibus affert negotia. Hoc quidem Athenis auditores perturbabat, ideoque ab apostolo declinabant, accusantes eum, ac dicentes, *Nova quædam infers auribus nostris* (*Act.* 17. 20). Nam si etiam hoc tempore labores ærumnasque multas gubernatoribus præbet Ecclesiæ præfectura : cogita tunc duplicem, triplicem multiplicemque fuisse laborem, cum pericula, et pugnæ, et insidiæ, et terrores perennes instabant. Verbis explicari non potest difficultas, quam sancti illi viri tunc sustinebant ; sed is solus eam noverit, qui reipsa illam experietur.

4. Quartam præterea coronam adjungam, quæ se nobis offert ex hoc episcopatu. Quænam est ista? Quod ipse nimirum patriam nostram gubernavit. Si enim centum homines, vel etiam quinquaginta regere difficile est, quantæ virtutis ac sapientiæ debet existimari tam celebrem urbem administrare, et eum populum regere, qui ducenta contineat hominum millia (*a*)? Etenim sicut in exercitibus legiones prætoriæ, quæque numerosiores sunt, peritioribus ducibus committuntur : sic etiam in civitatibus, majores populosioresque probatioribus viris assignantur. Quamquam et præcipua Deo hujusce civitatis cura fuit, id quod et re ipsa declaravit : siquidem quem toti orbi terrarum præfecit, Petrum, cui claves cælorum dedit, cujus arbitrio et potestati cuncta permisit, hunc longo tempore hic jussit commorari ; ita nempe ipsi civitas nostra orbi terrarum par fere videbatur. Sed quia Petri mentionem feci, quintam ex ipso contextam coronam animadverti : quoniam illi in episcopatus dignitate successit. Nam ut si quis e fundamentis magnum lapidem eruat, alterum omnino parem in ejus loco conatur constituere, nisi velit totum ædificium concutere ac debilius reddere : ita cum Petrus Antiochia esset discessurus, alterum Petro parem præceptorem gratia Spiritus substituit, ne structa jam ædificatio successoris imbecillitate debilior fieret.

Quinque Ignatii coronæ. — Quinque coronas igitur enumeravimus : ex præfecturæ amplitudine, ex ordinantium dignitate, ex difficultate temporum, ex civitatis magnitudine, ex virtute illius, qui ei tradidit præfecturam. His omnibus contextis coronis sextam et septimam, et his etiam plures licebat adjungere : verum ne totum tempus in episcopatus consideratione collocantes ab iis, quæ ad eum uti martyrem spectant, enarrandis excludamur, age deinceps ad illius certamina contendamus. Grave olim adversus Ecclesias excitatum est bellum, et tamquam sævissima tyrannide orbem occupante, e medio foro homines corripiebantur, nulli obnoxii culpæ, sed quod ab erroribus recedentes ad veram pietatis religionem accurrebant, quod a dæmonum superstitione discesserant, quod verum Deum agnoscebant, quod Filium ejus unigenitum adorabant : atque ita omnes Christi fidem amplexi, cum essent coronis, admiratione atque honore digni, gravissimis atque innumerabilibus cruciatibus afficiebantur, multo vero magis Ecclesiarum antistites. Versutus enim diabolus, et ad struendas aptus insidias, sperabat, si pastores sustulisset, ovilia se facile direpturum. Sed qui comprehendit astutos in eorum astutia, ostendens Ecclesias suas non ab hominibus gubernari, sed eos, qui in ipsum credunt, semper a se regi, id fieri permittebat, ut cum cerneret, rectoribus sublatis, non tamen religionem imminui, nec veritatis prædicationem exstingui, sed potius augeri, ex rebus ipsis et ipse, et qui ei inserviebant, omnes intelligerent, Christianorum disciplinam non ab hominibus pendere, sed in cælis radices agere, Deumque esse, qui ubique Ecclesias tueretur, et qui cum Deo bellum gererent, numquam posse discedere superiores. Neque vero id solum diabolus, sed aliud non minus grave machinabatur. Non enim in urbibus, quibus præerant, trucidari episcopos sinebat ; sed operam dabat, ut in externas civitates abstracti e medio tollerentur. Id autem agebat, simul ut necessariis rebus spoliarentur, simul ut itineris labore confecti redderentur imbecilliores : quod in hoc etiam beato viro fecit. Ex nostra enim civitate Romam abducendum curavit, longiora ipsi cursus spatia proponens, ut et itineris et temporis longitudine viri constantiam labefactaret, ignarus quod, sodalem habens Jesum et tanti itineris comitem, multo validior fiebat, et virtutis, quæ secum esset, majus argumentum præbebat, et Ecclesias magis confirmabat. Civitates enim quæ in ea via erant, undique concurrentes, pugilem excitabant, et cum magno commeatu dimittebant, precibus et supplicationibus cum ipso certantes. Et ipsæ consolationem non vulgarem ex ipso percipiebant, cernentes martyrem tanta cum alacritate ad mortem currere, quanta par erat eum, qui ad regna cælorum proficisceretur. Ac re quidem ipsa ex prompto illius animo discebant, eam non esse mortem, ad quam properabat ; sed peregrinationem quamdam, et transitum atque ascensum in cælum. Hæc autem tum dictis, tum factis in omni civitate docens, discessit. Et sicut Judæi cum Paulum vinctum Romam mittendum curarunt, opinati sunt se illum ad mortem mittere, attamen Judæis illic habitantibus

(*a*) Antiochiæ ducenta erant hominum millia.

Ἐκκλησιαν ἐμπιστευθέντες, καὶ ὅσος πόνος καὶ κίνδυνος ἐν προοιμίοις καὶ ἀρχῇ πρᾶγμα ἀναδέξασθαι, καὶ πρώτως ἐλθεῖν ἐπ' αὐτῷ, τοῦ Χριστοῦ παράγω μαρτυρίαν ὑμῖν ψηφιζομένου ταῦτα καὶ τὴν ὑφ' ἡμῶν εἰρημένην κυροῦντος γνώμην. Ἰδὼν γὰρ πολλοὺς πρὸς αὐτὸν ἐρχομένους, καὶ βουλόμενος δεῖξαι τοῖς ἀποστόλοις, ὅτι πλέον αὐτῶν ἔκαμον οἱ προφῆται, φησίν· *Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.* Καίτοι πολλῷ πλείονα τῶν προφητῶν ἔκαμνον οἱ ἀπόστολοι· ἀλλ' ἐπειδὴ προτεροι ἐκεῖνοι τὸν λόγον τῆς εὐσεβείας κατέβαλον, καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων ἀδιδάκτους οὔσας πρὸς τὴν ἀλήθειαν ἐπεσπάσαντο, ἐκείνοις τὸ πλέον τοῦ πόνου ψηφίζεται.

Οὐ γάρ ἐστιν ἴσον, οὐκ ἔστι, μετὰ πολλοὺς ἑτέρους διδασκάλους ἐλθόντα διδάσκειν, καὶ πρῶτον αὐτὸν καταβάλλειν τὰ σπέρματα. Τὸ μὲν γὰρ ἤδη μελετηθὲν, καὶ ἐν συνηθείᾳ γενόμενον πολλῶν, εὐπαράδεκτον ἂν ῥᾳδίως γένοιτο· τὸ δὲ νῦν πρῶτον ἀκουόμενον θορυβεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν, καὶ πολλὰ τοῖς διδάσκουσι παρέχει πράγματα. Τοῦτο γοῦν καὶ ἐν Ἀθήναις ἐθορύβει τοὺς ἀκούοντας, καὶ διὰ τοῦτο ἀπεστρέφοντο τὸν Παῦλον, ἐγκαλοῦντες, ὅτι *Ξενίζοντά τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν.* Εἰ γὰρ νῦν κάματον καὶ πόνον πολὺν Ἐκκλησίας προστασία παρέχει τοῖς κυβερνῶσιν αὐτὴν, ἐννόησον πῶς διπλοῦς, καὶ τριπλοῦς, καὶ πολλαπλασίων ἦν τότε ὁ πόνος, ὅτε κίνδυνοι, καὶ μάχαι, καὶ ἐπιβουλαὶ, καὶ φόβος διηνεκής. Οὐκ ἔστιν, οὐκ ἔστι, παραστῆσαι τῷ λόγῳ τὴν δυσκολίαν, ἣν ὑπέμενον οἱ ἅγιοι τότε ἐκεῖνοι· ἀλλ' οὗτος αὐτὴν εἴσεται [597]μόνος ὁ διὰ τῆς πείρας αὐτῆς ἐλθών.

δ'. Εἶπω καὶ τέταρτον στέφανον ἐκ τῆς ἐπισκοπῆς ἡμῖν ἀνίσχοντα ταύτης. Τίς οὖν ἐστιν οὗτος; Τὸ τὴν πατρίδα αὐτὸν ἐπιτραπῆναι τὴν ἡμετέραν. Ἐπίπονον μὲν γὰρ καὶ ἑκατὸν ἀνδρῶν καὶ πεντήκοντα προστῆναι μόνον· τὸ δὲ πόλιν ἐγχειρισθῆναι τοσαύτην, καὶ δῆμον εἰς εἴκοσιν ἐκτεινόμενον μυριάδας, πόσης ἀρετῆς οἴει καὶ σοφίας ἀπόδειξιν εἶναι; Καὶ γὰρ ὥσπερ ἐπὶ τῶν στρατοπέδων τὰς βασιλικωτέρας φάλαγγας καὶ πληθυούσας μᾶλλον οἱ σοφώτεροι τῶν στρατηγῶν ἐγχειρίζονται· οὕτω δὴ καὶ ἐπὶ τῶν πόλεων, τὰς μείζους καὶ πολυανθρώπους οἱ δοκιμώτερο. τῶν ἀρχόντων ἐμπιστεύονται. Καὶ ἄλλως δὲ πολὺς ἦν τῆς πόλεως ταύτης τῷ Θεῷ λόγος, ὡς καὶ διὰ τῶν ἔργων αὐτῶν ἐδήλωσε· τὸν γοῦν τῆς οἰκουμένης ἐπιστάτην ἁπάσης Πέτρον, ᾧ τὰς κλεῖς ἐνεχείρισε τῶν οὐρανῶν, ᾧ πάντα ἄγειν καὶ φέρειν ἐπέτρεψε, πολὺν ἐνταῦθα χρόνον ἐνδιατρίψαι ἐκέλευσεν· οὕτως αὐτῷ τῆς οἰκουμένης ἁπάσης ἡ πόλις ἀντίῤῥοπος ἡ ἡμετέρα. Ἐπειδὴ δὲ ἐμνήσθην Πέτρου, καὶ πέμπτον ἐξ αὐτοῦ στέφανον εἶδον πλεκόμενον· οὗτος δέ ἐστι τὸ μετ' ἐκεῖνον τοῦτον διαδέξασθαι τὴν ἀρχήν. Ὥσπερ γὰρ ἄν τις λίθον ἐξαίρων μέγαν ἐκ θεμελίων, ἕτερον ἀντίῤῥοπον ἐκείνου σπουδάζει πάντως ἀντεισαγαγεῖν, εἰ μὴ μέλλοι πᾶσαν σαλεύειν τὴν οἰκοδομὴν, καὶ σαθροτέραν ποιεῖν· οὕτω δὴ καὶ Πέτρου μέλλοντος ἐντεῦθεν ἀποδημεῖν, ἕτερον ἀντίῤῥοπον Πέτρου διδάσκαλον ἡ τοῦ Πνεύματος ἀντεισήγαγε χάρις, ὥστε μὴ τὴν ἤδη γενομένην οἰκοδομὴν τῇ τοῦ διαδεξομένου εὐτελείᾳ σαθροτέραν γενέσθαι. Πέντε μὲν οὖν στεφάνους ἀπηριθμησάμεθα, ἀπὸ τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπὸ τῆς ἀξίας τῶν χεχειροτονηκότων, ἀπὸ τῆς τοῦ καιροῦ δυσκολίας, ἀπὸ τοῦ μέτρου τῆς πόλεως, ἀπὸ τῆς ἀρετῆς τοῦ παραδόντος αὐτῷ τὴν ἐπισκοπήν. Τούτους ἅπαντας πλέξαντας ἐνῆν καὶ ἕκτον εἰπεῖν, καὶ ἕβδομον, καὶ πλείους τούτων· ἀλλ' ἵνα μὴ τὸν ἅπαντα χρόνον εἰς τὸν περὶ τῆς ἐπισκοπῆς ἀναλώσαντες λόγον, ἐκπέσωμεν τῶν περὶ τοῦ μάρτυρος διηγημάτων, φέρε λοιπὸν ἐπὶ τὸν ἆθλον ἐκεῖνον ἴωμεν. Πόλεμος ἀνερριπίσθη ποτὲ χαλεπὸς κατὰ τῶν Ἐκκλησιῶν, καὶ καθάπερ τυραννίδος χαλεπωτάτης τὴν γῆν καταλαβούσης, ἐκ μέσης ἀνηρπάζοντο τῆς ἀγορᾶς ἅπαντες, ἄτοπον μὲν οὐδὲν ἐγκαλούμενοι, ὅτι δὲ τῆς πλάνης ἀπαλλαγέντες, πρὸς τὴν εὐσέβειαν ἔδραμον, ὅτι τῆς τῶν δαιμόνων θρησκείας ἀπέστησαν, ὅτι τὸν ἀληθινὸν Θεὸν ἐπέγνωσαν, καὶ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ προσεκύνησαν, καὶ ὑπὲρ ὧν στεφανοῦσθαι αὐτοὺς ἐχρῆν, καὶ θαυμάζεσθαι καὶ τιμᾶσθαι, ὑπὲρ τούτων ἐκολάζοντο καὶ μυρίοις περιηντλοῦντο δεινοῖς πάντες οἱ τὴν πίστιν παραδεξάμενοι, πολλῷ δὲ πλέον οἱ τῶν Ἐκκλησιῶν προεστῶτες. Ὁ γὰρ διάβολος, κακουργὸς ὢν καὶ δεινὸς τὰς τοιαύτας ῥάπτειν ἐπιβουλὰς, προσεδόκησεν ὅτι, τοὺς ποιμένας ἐὰν ἀφέλῃ, τὰ ποίμνια ῥᾳδίως διασπάσαι δυνήσεται. Ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, βουλόμενος αὐτῷ δεῖξαι, ὅτι οὐκ ἄνθρωποι τὰς αὐτοῦ κυβερνῶσιν Ἐκκλησίας, ἀλλ' αὐτός ἐστιν ὁ παντα-χοῦ ποιμαίνων τοὺς πιστεύοντας εἰς αὐτὸν, συνεχώρησε τοῦτο γενέσθαι, ἵν' ὅταν ἀφαιρεθέντων ἐκείνων ἴδῃ τὰ τῆς εὐσεβείας οὐκ ἐλαττούμενα, οὐδὲ σβεννύμενον τὸν τοῦ κηρύγματος λόγον, ἀλλ' αὐξόμενον μᾶλλον, μάθῃ διὰ τῶν ἔργων αὐτῶν καὶ [598] αὐτὸς. καὶ οἱ ταῦτα αὐτῷ διακονούμενοι πάντες, ὅτι οὐκ ἀνθρώπινα τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν ἐκ τῶν οὐρανῶν ἔχει τὴν ῥίζαν ἡμῖν ἡ τῆς διδασκαλίας ὑπόθεσις, καὶ Θεός ἐστιν ὁ πανταχοῦ τὰς Ἐκκλησίας ἄγων, καὶ ὅτι τὸν Θεὸν πολεμοῦντα οὐκ ἔνι περιγενέσθαι ποτέ. Οὐ τοῦτο δὲ ἐκακούργησεν ὁ διάβολος μόνον, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Οὐ γὰρ ἐν ταῖς πόλεσιν, ὧν προειστήκεισαν, ἤφιει σφάττεσθαι τοὺς ἐπισκόπους, ἀλλ' εἰς τὴν ἀλλοτρίαν ἄγων ἀνῄρει· ἐποίει δὲ τοῦτο ὁμοῦ μὲν ἐρήμους τῶν ἐπιτηδείων λαβεῖν σπεύδων, ὁμοῦ δὲ ἀσθενεστέρους ἐργάσεσθαι τῷ μόχθῳ τῆς ὁδοιπορίας ἐλπίζων· ὃ δὴ καὶ ἐπὶ τοῦ μακαρίου τούτου πεποίηκεν. Ἀπὸ γὰρ τῆς ἡμετέρας πόλεως εἰς τὴν Ῥώμην αὐτὸν ἐκάλεσεν, μακροτέρους αὐτῷ τιθεὶς τοὺς διαύλους τοῦ δρόμου, καὶ τῷ μήκει τῆς ὁδοῦ καὶ τῷ πλήθει τῶν ἡμερῶν τὸ φρόνημα καταβάλλειν αὐτοῦ προσδοκῶν, οὐκ εἰδὼς ὅτι συνέμπορον ἔχων Ἰησοῦν καὶ συναπόδημον τῆς τοσαύτης ὁδοιπορίας, ἰσχυρότερος μᾶλλον ἐγίνετο, καὶ τῆς μετ' αὐτοῦ δυνάμεως οὔσης πλείονα παρεῖχε τὴν ἀπόδειξιν, καὶ τὰς Ἐκκλησίας συνεκρότει μειζόνως. Αἱ γὰρ κατὰ τὴν ὁδὸν πόλεις συντρέχουσαι πάντοθεν ἥλειφον τὸν ἀθλητὴν, καὶ μετὰ πολλῶν ἐξέπεμπον τῶν ἐφοδίων, εὐχαῖς καὶ πρεσβείαις αὐτῷ συναγωνιζόμεναι. Καὶ αὐταὶ δὲ οὐ τὴν τυχοῦσαν παράκλησιν ἐλάμβανον μετὰ προθυμίας τοσαύτης ἐπὶ θάνατον τρέχοντα ὁρῶσαι τὸν μάρτυρα, μεθ' ὅσης εἰκὸς ἦν τὸν ἐπὶ βασίλεια καλούμενον τὰ ἐν οὐρανῷ. Καὶ διὰ τῶν ἔργων ἐμάνθανον αὐτῶν, διὰ τῆς τοῦ γενναίου προθυμίας ἐκείνου καὶ φαιδρότητος, ὅτι οὐ θάνατος ἦν ἐφ' ὃν ἔτρεχεν, ἀλλ' ἀποδημία τις καὶ μετάστασις, καὶ πρὸς τὸν οὐρανὸν ἀνάβασις. Καὶ ταῦτα διδάσκων κατὰ πᾶσαν πόλιν ἀπῄει [a] διὰ τῶν λόγων, διὰ τῶν πραγμάτων αὐτῶν. Καὶ ὅπερ ἐπὶ τῶν Ἰουδαίων συνέβη, ὅτε τὸν Παῦλον δήσαντες καὶ εἰς τὴν Ῥώμην ἀποστείλαντες ἐνόμιζον μὲν ἐπὶ θάνατον πέμπειν, ἔπεμπον δὲ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις διδάσκαλον,

[a] Unus ms. Regius ἐπῄει.

τοῦτο δή [a] καὶ ἐπὶ Ἰγνατίου γέγονε μετὰ περιουσίας τινός. Οὐδὲ γὰρ τοῖς τὴν Ῥώμην οἰκοῦσι μόνοις, ἀλλὰ καὶ ταῖς ἐν τῷ μέσῳ κειμέναις πόλεσιν ἁπάσαις διδάσκαλος ἀπῆρε θαυμάσιος, πείθων καταφρονεῖν τῆς παρούσης ζωῆς, καὶ μηδὲν ἡγεῖσθαι τὰ βλεπόμενα, καὶ τῶν μελλόντων ἐρᾷν, καὶ πρὸς τὸν οὐρανὸν βλέπειν, καὶ πρὸς μηδὲν τῶν ἐν τῷ παρόντι βίῳ δεινῶν ἐπιστρέφεσθαι. Ταῦτα γὰρ καὶ τὰ τούτων πλείονα διὰ τῶν ἔργων αὐτοὺς παιδεύων ὤδευε, καθάπερ ἥλιός τις ἐξ ἀνατολῆς ἀνίσχων καὶ πρὸς τὴν δύσιν τρέχων· μᾶλλον δὲ καὶ τούτου φαιδρότερος· οὗτος μὲν γὰρ ἄνωθεν ἔτρεχεν, αἰσθητὸν ἄγων φῶς, Ἰγνάτιος δὲ κάτωθεν ἀντέλαμπε, νοητὸν φῶς διδασκαλίας ταῖς ψυχαῖς ἐνιείς· κἀκεῖνος μὲν εἰς τὰ τῆς δύσεως ἀπιὼν μέρη κρύπτεται, καὶ νύκτα εὐθέως ἐπάγει· οὗτος δὲ εἰς τὰ τῆς δύσεως ἀπελθὼν μέρη φαιδρότερον ἐκεῖθεν ἀνέτειλε, καὶ τοὺς κατὰ τὴν ὁδὸν ἅπαντας εὐεργετήσας τὰ μέγιστα· ἐπειδὴ δὲ τῆς πόλεως ἐπέβη, κἀκείνην φιλοσοφεῖν ἐπαίδευσε. Διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησεν ἐκεῖ τὸν βίον αὐτὸν καταλῦσαι, ὥστε τὴν τούτου [599] τελευτὴν διδασκάλιον γενέσθαι εὐσεβείας τοῖς τὴν Ῥώμην οἰκοῦσιν ἅπασιν. Ὑμεῖς μὲν γὰρ τῇ τοῦ Θεοῦ χάριτι οὐδεμιᾶς ἐδέεσθε λοιπὸν ἀποδείξεως, ἐρριζωμένοι κατὰ τὴν πίστιν· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἅτε πολλῆς τότε ἀσεβείας οὔσης ἐκεῖ, πλείονος ἔχρηζον βοηθείας. Διὰ τοῦτο καὶ Πέτρος καὶ Παῦλος καὶ μετ' ἐκείνους οὗτος ἐκεῖ πάντες ἐτύθησαν· τοῦτο μὲν ἵνα μολυνθεῖσαν τὴν πόλιν τοῖς τῶν εἰδώλων αἵμασι, τοῖς οἰκείοις αἵμασιν ἐκκαθάρωσι, τοῦτο δὲ ἵνα τῆς ἀναστάσεως τοῦ σταυρωθέντος Χριστοῦ διὰ τῶν ἔργων παράσχωνται τὴν ἀπόδειξιν, πείσαντες τοὺς τὴν Ῥώμην οἰκοῦντας ὡς οὐκ ἂν μετὰ τοσαύτης ἡδονῆς τῆς παρούσης κατεφρόνησαν ζωῆς, εἰ μὴ σφόδρα ἦσαν πεπεικότες ἑαυτοὺς, ὅτι πρὸς τὸν ἐσταυρωμένον ἔμελλον ἀναβαίνειν Ἰησοῦν, καὶ ἐν τοῖς οὐρανοῖς αὐτὸν ὄψεσθαι. Μεγίστη γὰρ ὄντως ἀναστάσεως ἀπόδειξις τὸ τὸν σφαγέντα Χριστὸν τοσαύτην μετὰ θάνατον ἐπιδείξασθαι δύναμιν, ὡς τοὺς ζῶντας ἀνθρώπους πεῖσαι καὶ πατρίδος, καὶ οἰκίας, καὶ φίλων, καὶ συγγενῶν, καὶ αὐτῆς ὑπεριδεῖν τῆς ζωῆς ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας, καὶ μάστιγας, καὶ κινδύνους, καὶ θάνατον ἀντὶ τῶν παρόντων ἡδέων ἑλέσθαι. Ταῦτα γὰρ οὐχὶ νεκροῦ τινος, οὐδὲ ἐπὶ τῷ τάφῳ μείναντος, ἀλλ' ἀναστάντος καὶ ζῶντος ἦν τὰ κατορθώματα. Ἐπεὶ πῶς ἂν ἔχοι λόγον, ἵνα μὲν ἕξῃ, τοὺς συνόντας αὐτῷ πάντας ἀποστόλους ἀπὸ τοῦ φόβου γενομένους ἀσθενεστέρους προδοῦναι τὸν διδάσκαλον, καὶ φεύγοντας ἀπελθεῖν, ἐπειδὴ δὲ ἐτελεύτησεν, μὴ μόνον Πέτρον καὶ Παῦλον, ἀλλὰ καὶ Ἰγνάτιον τὸν οὐδὲ ἑωρακότα αὐτὸν, οὐδὲ ἀπολελαυκότα αὐτοῦ τῆς συνουσίας τοσαύτην ὑπὲρ αὐτοῦ προθυμίαν ἐπιδείξασθαι, ὡς καὶ αὐτὴν δι' αὐτὸν ἐπιδοῦναι τὴν ψυχήν;

ε'. Ἵν' οὖν ταῦτα ἔργῳ μάθωσιν οἱ τὴν Ῥώμην οἰκοῦντες ἅπαντες, συνεχώρησεν ὁ Θεὸς ἐκεῖ τελειωθῆναι τὸν ἅγιον. Καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία, ἐξ αὐτοῦ τοῦ τρόπου τῆς τελευτῆς τοῦτο πιστώσομαι [b]. Οὐ γὰρ ἔξω τειχῶν ἐν βαράθρῳ, οὐδὲ ἐν δικαστηρίῳ, οὐδὲ ἐν γωνίᾳ τινὶ τὴν καταδικάζουσαν ἐδέξατο ψῆφον, ἀλλ' ἐν μέσῳ τῷ θεάτρῳ, τῆς πόλεως ἄνω καθεζομένης ἁπάσης, τὸν τοῦ μαρτυρίου τρόπον ὑπέμεινε, θηρίων ἐπ' αὐτὸν ἀφεθέντων, ἵν' ὑπὸ ταῖς ἁπάντων ὄψεσι τὸ τρόπαιον στήσας κατὰ τοῦ διαβόλου, τοὺς θεατὰς ἅπαντας ζηλωτὰς ποιήσῃ τῶν ἀγωνισμάτων τῶν ἑαυτοῦ, οὐκ ἀποθνήσκων μόνον οὕτω γενναίως, ἀλλὰ καὶ μεθ' ἡδονῆς ἀποθνήσκων. Οὐ γὰρ ὡς ζωῆς ἀπορρήγνυσθαι μέλλων, ἀλλ' ὡς ἐπὶ ζωὴν καλούμενος βελτίω καὶ πνευματικωτέραν, οὕτως ἀσμένως ἑώρα τὰ θηρία. Πόθεν τοῦτο δῆλον; Ἀπὸ τῶν ῥημάτων ὧν ἀποθνήσκειν μέλλων ἐφθέγξατο. Ἀκούσας γὰρ ὅτι οὕτος αὐτὸν τῆς τιμωρίας ὁ τρόπος μένει, *Ἐγὼ τῶν θηρίων ἐκείνων ὀναίμην*, ἔλεγεν. Τοιοῦτοι γὰρ οἱ ἐρῶντες· ὅπερ ἂν πάσχωσιν ὑπὲρ τῶν ἐρωμένων, μεθ' ἡδονῆς δέχονται, καὶ τότε δοκοῦσιν ἐμφορεῖσθαι τῆς ἐπιθυμίας, ὅταν πολλῷ χαλεπώτερα ᾖ τὰ γινόμενα· ὅπερ οὖν καὶ ἐπὶ τούτου συνέβαινεν. Οὐ γὰρ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ τῇ προθυμίᾳ ζηλῶσαι τοὺς [600] ἀποστόλους ἔσπευδε· καὶ ἀκούων ὅτι μαστιχθέντες ἐκεῖνοι μετὰ χαρᾶς ἀνεχώρουν, ἐβουλήθη καὶ αὐτὸς μὴ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ τῇ χαρᾷ μιμήσασθαι τοὺς διδασκάλους· διὰ τοῦτο, *Τῶν θηρίων*, ἔλεγεν, *ὀναίμην*. Καὶ πολλῷ τούτων ἡμερώτερα τὰ τόματα ἐνόμιζεν εἶναι τῆς τοῦ τυράννου γλώττης, καὶ μάλα εἰκότως· ἐκείνη μὲν γὰρ πρὸς τὴν γέενναν ἑκάλει, τὰ δὲ τούτων στόματα πρὸς βασιλείαν παρέπεμπεν. Ἐπειδὴ τοίνυν κατέλυσεν ἐκεῖ τὴν ζωὴν, μᾶλλον δὲ ἐπειδὴ πρὸς τὸν οὐρανὸν ἀνέβη, ἐπανήξει στεφανίτης λοιπόν. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ γέγονεν οἰκονομίας, τὸ πάλιν αὐτὸν πρὸς ἡμᾶς ἐπαναγαγεῖν, καὶ ταῖς πόλεσι διανεῖμαι τὸν μάρτυρα. Ἐκείνη μὲν γὰρ αὐτοῦ στάζον τὸ αἷμα ἐδέξατο, ὑμεῖς δὲ τῷ λειψάνῳ τετίμησθε· ἀπηλαύσατε τῆς ἐπισκοπῆς ὑμεῖς, ἀπήλαυσαν ἐκεῖνοι τοῦ μαρτυρίου· εἶδον ἀγωνιζόμενον καὶ νικῶντα καὶ στεφανούμενον ἐκεῖνοι, ἔχετε διηνεκῶς αὐτὸν ὑμεῖς· ὀλίγον ὑμῶν αὐτὸν χρόνον ἀπέστησεν ὁ Θεὸς, καὶ μετὰ πλείονος ὑμῖν δόξης αὐτὸν ἐχαρίσατο. Καὶ καθάπερ οἱ δανειζόμενοι χρήματα μετὰ τόκων ἀποδιδόασιν ἅπερ ἂν λάβωσιν· οὕτω καὶ ὁ Θεὸς τὸν τίμιον τοῦτον θησαυρὸν παρ' ὑμῶν ὀλίγον χρησάμενος χρόνον, καὶ τῇ πόλει δείξας ἐκείνῃ, μετὰ πλείονος ὑμῖν αὐτὸν ἀποδέδωκε τῆς λαμπρότητος. Ἐξεπέμψατε γὰρ ἐπίσκοπον, καὶ ἐδέξασθε μάρτυρα· ἐξεπέμψατε μετ' εὐχῶν, καὶ ἐδέξασθε μετὰ στεφάνων· καὶ οὐχ ὑμεῖς δὲ μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ ἐν μέσῳ πόλεις. Πῶς γὰρ αὐτὰς οἴεσθε διακεῖσθαι ὁρώσας ἐπαναγόμενον τὸ λείψανον; πόσην καρποῦσθαι ἡδονήν; πόσον ἀγάλλεσθαι; πόσαις εὐφημίαις πάντοθεν βάλλειν τὸν στεφανίτην; Καθάπερ γὰρ ἀθλητὴν γενναῖον τοὺς ἀνταγωνιστὰς καταπαλαίσαντα ἅπαντας, καὶ μετὰ λαμπρᾶς ἐξελθόντα δόξης ἀπὸ τοῦ σκάμματος, εὐθέως δεχόμενοι οἱ θεαταὶ, οὐδ' ἐπιβῆναι τῆς γῆς ἀφίασι, φοράδην ἀπάγοντες οἴκαδε, καὶ μυρίοις βάλλοντες ἐγκωμίοις· οὕτω δὴ καὶ τὸν ἅγιον τότε ἐκεῖνον ἀπὸ τῆς Ῥώμης αἱ πόλεις ἐξῆς διαδεχόμεναι, καὶ ἐπ' ὤμων φέρουσαι μέχρι τῆς πόλεως ταύτης παρέπεμπον ἐγκωμιάζουσαι τὸν στεφανίτην, ἀνυμνοῦσαι τὸν ἀγωνοθέτην, καταγελῶσαι τοῦ διαβόλου, ὅτι εἰς τὸ ἐναντίον αὐτῷ περιετράπη τὸ σόφισμα, καὶ ὅπερ ἐνόμισε κατὰ τοῦ μάρτυρος ποιεῖν, τοῦτο ὑπὲρ αὐτοῦ γέγονε. Καὶ τότε μὲν τὰς πόλεις ἁπάσας ἐκείνας ὤνησε καὶ ἀνώρθωσεν· ἐξ ἐκείνου δὲ καὶ μέχρι τῆς παρούσης τὴν ὑμετέραν

[a] Savil. τοῦτο δέ.

[b] Unus Reg. τοῦτο δεῖξαι πειράσομαι, et sic Savil. in margine, atque ita legisse videtur Zinus et interpres vulgatæ Latinæ. Morel. vero et Savil. in textu τοῦτο πιστώσομαι. Mox pro ἐν δικαστηρίῳ interpres, qui vertit, *in carcere*, legisse videtur ἐν δεσμωτηρίῳ.

miserunt præceptorem : sic etiam abundius in Ignatio factum est. Neque enim solis Romæ habitantibus, verum etiam omnibus in toto illo itineris spatio civitatibus interjectis admirabilis magister exstitit, præsentem vitam contemnendam docens, et ea quæ cernuntur pro nihilo ducenda, futura autem diligenda, et oculos in cælum tollendos, nihilque quod in hac vita possit accidere, quantumvis grave, formidandum esse. Hæc enim et his plura factis comprobans iter faciebat, tamquam sol quidam ab oriente ad occasum currens, imo vero sole ipso splendidior multo. Sol enim e superioribus partibus currebat, sensibilem oculis lucem impertiens; Ignatius autem deorsum splendebat, intelligibile doctrinæ lumen animis infundens : et ille quidem in occidentis partes descendens absconditur, ac noctem confestim obducit; hic autem ad occasus partes accedens, splendidius in illis eluxit, et de omnibus in tota illa via est optime meritus : cumque Romam pervenisset, eam ipsam urbem docuit philosophari. Idcirco enim Deus permisit illic eum vitæ finem implere, ut mors ejus omnibus Romam incolentibus pietatis magistra esset. Vos enim per gratiam Dei nulla amplius egebatis institutione, cum essetis in fide radicati et fundati : at illi qui Romæ tunc habitabant, cum illic magna vigeret impietas, majore auxilio indigebant. Ideo Petrus, et Paulus, et Ignatius post illos ibi fuerunt immolati, tum ut civitatem illam idolorum cruoribus pollutam proprio sanguine purgarent, tum ut operibus ipsis resurrectionis Jesu Christi crucifixi testimonium afferrent, demonstrantes iis, qui Romæ degebant, se præsentem vitam tanta cum voluptate numquam fuisse despecturos, nisi sibi omnino persuasissent, quod ad crucifixum Jesum essent ascensuri, ipsumque in cælis visuri. Hoc enim resurrectionis argumentum est maximum, quod Christus immolatus tantam post mortem potentiam ostenderet, ut viventibus hominibus persuaderet, pro sui nominis confessione patriam, et domos, et amicos, et propinquos, et vitam ipsam aspernandam et contemnendam, ac loco præsentium voluptatum et verbera, et pericula, et mortem esse subeunda. Hæc enim non defuncti, neque in sepulcro degentis, sed ejus qui surrexisset ac viveret, præclara sunt opera. Quomodo enim esset verisimile, ut cum ipse viveret, omnes apostoli, qui cum illo versati fuerant, timore conterriti adeo fuerint imbecilli, ut præceptorem prodiderint, et aufugerint : posteaquam autem defunctus esset, non solum Petrus, et Paulus, sed etiam Ignatius, qui eum non viderat, nec ulla cum ipso familiaritate conjunctus fuerat, tantam pro illo animi alacritatem ostenderet, ut pro eo vitam ipsam profundere non recusaret?

5. *Ignatius feris objectus.* — Ut igitur illi, qui Romam incolebant, hæc esse vera re ipsa cognoscerent, permisit Deus sanctum virum illic morte affici. Quod autem hæc sit causa, ex genere ipsius mortis conabor ostendere. Neque enim ut extra muros in barathro, aut in carcere, aut in angulo aliquo occideretur, damnatus est; sed in medio theatro, universa civitate sursum considente et spectante, bestiis in ipsum immissis et concitatis, martyrium pertulit : ut sub omnium oculis adversus diabolum tropæum erigeret, cunctosque spectatores suorum certaminum imitatores efficeret, cum non modo fortiter, sed etiam cum lætitia mortem oppeteret, ferasque cum voluptate spectaret, non quasi raperetur e vita, sed tamquam ad vitam meliorem ac præstantiorem vocaretur. Unde hoc fit perspicuum? Ex verbis, quæ moriturus loquebatur. Cum enim id genus supplicii sibi esse subeundum intellexisset, *Ego*, inquit, *feris illis fruar* (*a*). Sic enim agunt, qui amant; cum pro iis qui amantur, aliquid patiuntur, gaudentes id faciunt, tuncque sibi videntur optatis perfrui, cum ea, quæ perferunt, sunt quam gravissima : quod quidem in hoc item contigit. Siquidem non morte solum, verum etiam alacritate studebat apostolos imitari; et audiens quod illi flagellati cum gaudio ibant e conspectu concilii (*Act.* 5. 41), voluit etiam ipse non morte solum, sed etiam lætitia magistris esse similis : idcirco, *Feris*, inquit, *fruar*. Ac multo quidem mitiora censebat ora ferarum, quam tyranni linguam : nec immerito; siquidem hæc ad gehennam vocabat, illa autem ad regnum mittebant. Cum igitur illic vitam posuisset, imo vero in cælum profectus esset, reversus est deinceps coronatus. Etenim id quoque fuit Dei benignitatis, qui curavit ut is rursus ad nos rediret, et civitatibus martyrem impartivit. Roma enim stillantem ipsius sanguinem excepit, vos autem reliquias ejus suscepistis : vos illius episcopatu gavisi estis, illi martyrio sunt lætati : certantem illi et vincentem ac coronatum conspexerunt, vos perpetuo illum possidetis : exiguum ad tempus eum vobis ademit Deus, sed majore cum gloria restituit. Et quemadmodum pecuniam mutuantes cum fœnore ea reddunt, quæ acceperunt : sic etiam Deus pretiosum hunc thesaurum paulisper suscipiens, ut ostenderet Romæ, majore cum gloria illum vobis retulit. Emisistis enim episcopum, et martyrem recepistis : emisistis cum precibus, et cum coronis suscepistis : nec vero vos soli, sed cunctæ quæ interjectæ sunt civitates. Quomodo enim eas affectas existimatis, cum reportatas reliquias cernerent? quem voluptatis fructum percipere, quanta lætitia gestire? quam faustis undique acclamationibus coronatum celebrare? Quemadmodum enim pugilem generosum, qui omnes devicerit adversarios, spectatores e cavea cum plausu consurgentes sublimem statim excipiunt, nec terram attingere patiuntur, sed sublatum innumerabilibus laudibus ornantes, domum reportant : sic utique et sanctum illum omnes ex ordine civitates ab urbe relatum suscipientes humerisque gestantes, Antiochiam usque sunt comitatæ, martyrem coronatum celebrantes, laudantes agonothetam, diabolum deridentes, quod e contrario illi versutia successisset, et quæ in martyrem struxerat, in se recidissent. Et tunc quidem cunctis illis civitatibus profuit documentoque fuit, et civitatem hanc

(*a*) Hæc verba in S. Ignatii Martyrio leguntur

usque in præsentem diem locupletavit; et ut thesaurus quidam perpetuus, qui quotidie exhauritur, nec deficit, cuncti licet ex eo ditescant, sic etiam beatus hic Ignatius cunctos ad se accedentes benedictionibus, fiducia, et strenua alacritate, magnaque fortitudine plenos remittit domum.

Sanctorum monumenta spiritualis gratiæ plena.—Itaque non hodie tantum, sed quotidie ad ipsum confluamus, spirituales ex eo fructus decerpentes. Quisquis enim cum fide ad illum accedit, magnis afficitur beneficiis : sanctorum enim non modo corpora, sed ipsi loculi et monumenta spirituali gratia conferta sunt. Nam si in Elisæo id contigit, ut defunctus sepulcrum ejus attingens mortis vincula dissolverit (4. *Reg.* 13. 21), et ad vitam rursum redierit; multo magis hoc tempore, quo gratia uberior, Spiritus major est vis; ut si cum fide aliquis arcam attingat, magnam inde virtutem hauriat. Ideo reliquias sanctorum nobis concessit Deus, volens nos ad eumdem zelum per illos adducere, et nobis quasi portum præbere et firmum solatium malorum quæ nos assidue corripiunt. Quamobrem vos omnes cohortor, fratres, si quis vestrum ægritudine animi, vel corporis morbo, vel quavis alia calamitate aut peccatorum mole premitur, ut cum fide huc accedat; et ab illis omnibus liberatus, magna cum lætitia revertetur, et aspectu solo conscientiam tranquilliorem reportabit. Quin etiam expedit, ut non solum ii, qui ærumnis affecti sunt, huc sese conferant, sed illi etiam, qui et animi quiete, et gloria, et potentia, et magna apud Deum fiducia perfruuntur, hanc utilitatem non negligant. Qui enim huc accedit et sanctum videt, bona hæc efficiet stabiliora, et memoria recte factorum ejus animum suum reddet moderatiorem, nec conscientiam suam bonis operibus efferri atque intumescere patietur. Non parvi autem momenti est, eos, quibus prosperæ atque secundæ res fluunt, eas ferre moderate, et superbiæ tumore non extolli. Utilis igitur cunctis hic thesaurus est, et refugium opportunum, tam iis qui lapsi sunt, ut a tentationibus liberentur, quam iis qui prospere ac feliciter degunt, ut diu fruantur bonis; illis qui morbis laborant, ut bonam valetudinem consequantur; illis qui commoda gaudent valetudine, ne in morbum aliquem incurrant. Quæ quidem omnia considerantes, omni gaudio atque voluptati sacrum hunc locum anteponamus, ut lætitiæ et lucri consortes, illic sanctorum contubernales et socii esse valeamus, precibus ipsorum sanctorum, et gratia ac benignitate Domini nostri Jesu Christi, cum quo Patri gloria, sanctoque Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

πλουτίζει πόλιν· καὶ καθάπερ θησαυρὸς διηνεκὴς, καθ' ἑκάστην ἀντλούμενος τὴν ἡμέραν, καὶ οὐκ ἐπιλείπων, ἅπαντας τοὺς μετέχοντας εὐπορωτέρους ποιεῖ· οὕτω δὴ καὶ ὁ μακάριος οὗτος Ἰγνάτιος τοὺς πρὸς αὐτὸν ἐρχομένους εὐλογιῶν, παῤῥησίας, γενναίου φρονήματος, καὶ πολλῆς ἀνδρείας πληρῶν οἴκαδε ἀποπέμπει.

Μὴ τοίνυν σήμερον μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πρὸς αὐτὸν βαδίζωμεν, πνευματικοὺς ἐξ αὐτοῦ δρεπόμενοι καρπούς. Ἔστι γὰρ, ἔστι τὸν μετὰ πίστεως ἐνταῦθα παραγινόμενον μεγάλα καρπώσασθαι ἀγαθά· οὐδὲ γὰρ τὰ σώματα μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ θῆκαι τῶν ἁγίων πνευματικῆς εἰσι πεπληρωμέναι χάριτος. Εἰ γὰρ ἐπὶ Ἐλισσαίου τοῦτο συνέβαινε, καὶ θήκης νεκρὸς ἁψάμενος τοῦ θανάτου τὰ δεσμὰ διέῤῥηξε, καὶ πρὸς ζωὴν ἐπανῆλθε πάλιν, πολλῷ μᾶλλον [601] νῦν, ὅτε δαψιλεστέρα ἡ χάρις, ὅτε πλείων ἡ τοῦ Πνεύματος ἐνέργεια, ἔστι καὶ θήκης μετὰ πίστεως ἁψάμενον πολλὴν ἐκεῖθεν ἐπισπάσασθαι δύναμιν. Διὰ τοῦτο καὶ τὰ λείψανα τῶν ἁγίων εἴασεν ἡμῖν ὁ Θεὸς, βουλόμενος ἡμᾶς πρὸς τὸν αὐτὸν ἐκείνοις χειραγωγῆσαι ζῆλον, καὶ λιμένα τινὰ παρασχεῖν καὶ παραμύθιον ἀσφαλὲς [a] τῶν ἀεὶ καταλαμβανόντων ἡμᾶς κακῶν. Διὸ παρακαλῶ πάντας ὑμᾶς, εἴτε ἐν ἀθυμίᾳ τίς ἐστιν, εἴτε ἐν νόσοις, εἴτε ἐν ἐπηρείαις, εἴτε ἐν ἄλλῃ τινὶ βιωτικῇ περιστάσει, εἴτε ἐν ἁμαρτιῶν βάθει, μετὰ πίστεως ἐνταῦθα παραγινέσθω, καὶ πάντα ἐκεῖνα ἀποθήσεται, καὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς, κουφότερον τὸ συνειδὸς ἐργασάμενος ἀπὸ τῆς θεωρίας μόνης· μᾶλλον δὲ οὐ τοὺς ἐν δεινοῖς ὄντας μόνον ἀναγκαῖον ἐνταῦθα παραγίνεσθαι, ἀλλὰ κἂν ἐν εὐθυμίᾳ τις ᾖ, κἂν ἐν δόξῃ, κἂν ἐν δυναστείᾳ, κἂν ἐν παῤῥησίᾳ πολλῇ τῇ πρὸς τὸν Θεὸν, μηδὲ οὗτος καταφρονείτω τῆς ὠφελείας. Ἐλθὼν γὰρ ἐνταῦθα καὶ τὸν ἅγιον ἰδὼν τοῦτον, ἀκίνητα ἕξει τὰ καλὰ, τῇ μνήμῃ τῶν τούτου κατορθωμάτων μετριάζειν τὴν αὐτοῦ ψυχὴν ἀναπείσας, καὶ οὐκ ἀφιεὶς τὸ συνειδὸς ὑπὸ τῶν κατορθωμάτων πρὸς ὄγκον ἐπαρθῆναί τινα. Οὐ μικρὸν δὲ τοῖς ἐν εὐπραγίαις τὸ μὴ φυσᾶσθαι ἐπὶ ταῖς εὐημερίαις, ἀλλ' εἰδέναι μετρίως φέρειν τὰς εὐπραγίας. Ὥστε ἅπασι χρήσιμος ὁ θησαυρὸς, ἐπιτήδειον τὸ καταγώγιον, τοῖς μὲν ἐπταικόσιν, ἵνα ἀπαλλαγῶσι τῶν πειρασμῶν, τοῖς δὲ εὐημεροῦσιν, ἵνα βέβαια αὐτοῖς μείνῃ τὰ καλά· τοῖς μὲν ἐν ἀῤῥωστίᾳ, ἵνα πρὸς ὑγίειαν ἐπανέλθωσι, τοῖς δὲ ὑγιαίνουσιν, ἵνα μὴ πρὸς ἀῤῥωστίαν καταπέσωσιν. Ἅπερ ἅπαντα λογιζόμενοι, πάσης τέρψεως, πάσης ἡδονῆς τὴν ἐνταῦθα προτιμῶμεν διατριβὴν, ἵν' ὁμοῦ καὶ εὐφραινόμενοι καὶ κερδαίνοντες, καὶ ἐκεῖ σύσκηνοι τοῖς ἁγίοις τούτοις καὶ ὁμοδίαιτοι γενέσθαι δυνηθῶμεν εὐχαῖς αὐτῶν τῶν ἁγίων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Morel. et Savil. παραμύθιον ἀσφαλές. Savil. in marg. pro ἀσφαλές habet διαρκές, unus Reg. παραυθίαν ἀσφαλῆ.

AD HOMILIAM IN SANCTUM EUSTATHIUM,

Hujus in S. Eustathium abs se habitæ concionis meminit Chrysostomus sermone 1 de verbis Jeremiæ num. 1, his verbis : *Propterea nuper cum de Petro et Paulo disseruissemus, et de exorta inter ipsos Antiochiæ controversia, pugnamque illam, quæ inter eos esse videbatur, pace quavis utiliorem vobis ostendissemus, cumque ad præruptam et asperam vos illam viam deduxissemus : quoniam defatigatos vidimus, ad aliud argumentum vos traduximus, dum beati Eustathii præconia sermone complexi sumus, et post illum generosi martyris Romani laudes percurrimus cum illustrius nobis factum est theatrum, amplior applausus, ac major strepitus acclamantium.* Præcessit igitur hanc in Eustathium homiliam celebris illa de controversia inter Paulum et Petrum : eamdem [602] vero in Eustathium secuta est homilia in S. Romanum martyrem, quam Chrysostomo suadente huic subjungimus. Hæ porro omnes conciones Antiochiæ habitæ sunt : quo autem anno ignoratur.

De Eustathio Antiocheno præsule, qui pro catholica fide multa perpessus et in exsilium pulsus est, pauca dicenda sunt. Hic ardens studio veræ doctrinæ promovendæ, infestusque Arianis, quos interelusos societate et communione sua edixerat, in odium invidiamque Eusebii Nicomediensis episcopi sociorumque Arianorum incurrit. Ad hæc multa contra Arianos opera in lucem emisit, quorum mentio apud Hieronymum et Theodoretum. Cum Eusebio item Cæsariensi iniit controversiam, eumque ut Nicænæ fidei infensum scriptis suis exagitavit. Ille contra Eustathium reum egit Sabellianæ opinionis, quod Sabellianismi crimen solemne Arianis erat iis offerre, qui Arianam hæresin infesti oppugnarent. Neque in Eusebium tantum Eustathius, sed etiam in Patrophilum Scythopolitanum, et Paulinum Tyrium acerrime invehebatur. His accensi veritatis hostes viro insidias parant et crimina comminiscuntur. Non convenit inter scriptores quo calumniæ genere sint usi Eustathii adversarii. Ait Athanasius, apud Imperatorem Constantinum Magnum accusatum Eustathium irrogatæ matri ipsius contumeliæ, nulla interposita mora in exsilium actum fuisse cum magna comitantium presbyterorum et diaconorum frequentia. Socrates autem et Sozomenus narrant, odio flagrantes Eusebianos Eustathium in Synodo Antiochiæ celebrata abdicasse, cum Sabellianismi, tum alius criminis non memorandi causa. Verum quod illud fuerit crimen, aperit Theodoretus, Eusebium scilicet Nicomediensem, quasi aliud agentem, cum sociis non paucis Antiochiam venisse, et ab Eustathio comiter exceptum fuisse. Ibi, inquit ille, conducta muliercula, quæ corporis pulchritudine quæstum faciebat, auctores ipsi sunt, ut rei secum habitæ sanctum præsulem accuset. In cœtum intromissa mulier, infantem uberibus admotum ostendens, illum se ex Eustathii coitu peperisse affirmat. Eustathius vero, non ignarus conflatæ in se conspirationis, mulierem si quem haberet hujusmodi facinoris testem in medium proferre jubet; cumque neminem illa proferre posset, ipsi jusjurandum Eusebiani detulere. Juravit illa infantem Eustathii esse; statimque judices iniquissimi virum damnant ut mœchum, reclamantibus licet cæteris episcopis qui eo loci convenerant, veri tenacibus et frugi hominibus, qui Eustathio auctores erant ut ne iniquæ sententiæ acquiesceret. Hanc item criminationem commemorat Hieronymus Apolog. 2 adversus Rufinum. « Istæ, inquit, machinæ Hæreticorum, id est, magistrorum tuorum sunt, ut convicti de perfidia, ad maledicta se conferant. Sic Eustathius episcopus filios, dum nescit, invenit. »

ΕΓΚΩΜΙΟΝ

[a] *Εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Εὐστάθιον ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης.*

α'. Σοφός τις ἀνὴρ καὶ φιλοσοφεῖν εἰδὼς, τῶν ἀνθρωπίνων πραγμάτων τὴν φύσιν μετὰ ἀκριβείας καταμαθὼν, καὶ ἐπιγνοὺς αὐτῶν τὴν σαθρότητα, καὶ ὡς οὐδὲν ἔχει πιστὸν, οὐδὲ [b] βέβαιον, παραινεῖ κοινῇ πᾶσιν ἀνθρώποις πρὸ τελευτῆς μὴ μακαρίζειν μηδένα. Οὐκοῦν ἐπειδὴ τετελεύτηκεν ὁ μακάριος Εὐστάθιος, μετὰ ἀδείας αὐτὸν ἁπάσης ἐγκωμιάσαι λοιπὸν δυνάμεθα· εἰ γὰρ πρὸ τελευτῆς οὐ δεῖ μακαρίζειν οὐδένα, μετὰ τὴν τελευτὴν ἀνεύθυνος ἐπὶ τῶν ἀξίων ὁ μακαρισμὸς γένοιτ' ἄν. Καὶ γὰρ παρῆλθε τὸν εὔριπον τῶν βιωτικῶν πραγμάτων, ἀπηλλάγη τῆς ταραχῆς τῶν κυμάτων, πρὸς τὸν εὔδιον καὶ ἀτάραχον κατέπλευσε λιμένα, οὐχ ὑπόκειται τῇ τοῦ μέλλοντος ἀδηλίᾳ [c], οὐδέ ἐστιν ὑπεύθυνος καταπτώσει, ἀλλὰ καθάπερ ἐπὶ πέτρας τινὸς καὶ ὑψηλοῦ σκοπέλου νῦν ἑστὼς καταγελᾷ τῶν κυμάτων ἁπάντων. Οὐκοῦν ἀσφαλὴς ὁ μακαρισμὸς, ἀνεπίληπτον τὸ ἐγκώμιον· οὐ γὰρ δέδοικε μεταβολὴν, οὐχ ὑποπτεύει μετάπτωσιν. Ἡμεῖς μὲν γὰρ οἱ ἔτι ζῶντες, καθάπερ οἱ ἐν μέσῳ πελάγει σαλεύοντες, πολλαῖς ὑποκείμεθα ταῖς μεταβολαῖς· καὶ καθάπερ ἐκεῖνοι νῦν μὲν εἰς ὕψος αἴρονται τῶν κυμάτων κορυφουμένων, νῦν δὲ πρὸς αὐτὸν καταφέρονται τὸν βυθόν· ἀλλ' οὔτε τὸ ὕψος ἀσφαλὲς, οὔτε ἡ ταπείνωσις μόνιμος· ὑδάτων γὰρ

[a] Savil. titulo addit καὶ εἰς τὴν σπουδὴν τῶν εἰσελθόντων.
[b] Unus Reg. et Savil. in marg. ἔχει στερρόν, οὐδέ.
[c] Unus ms. τῇ τοῦ μέλλοντος δειλίᾳ.

EPISCOPUM ANTIOCHENUM, ADMONITIO.

Hæc Theodoretus et Hieronymus : at per mihi mirum videtur hanc tam atrocem in amicum et æqualem suum episcopum oblatam calumniam ab Athanasio taceri. Ex Athanasii certe silentio nonnihil fortasse nascatur contra hanc historiam suspicionis, quando potissimum cernimus plerosque istius ævi scriptores libenter afferre muliercularum historias, quarum nonnullæ pari suspicione laborant; qualis est illa mulierculæ in Synodo Tyria Athanasium illati stupri accusantis, quam si non aperte falsam, admodum saltem suspectam ostendimus in Animadversionibus ad vitam et scripta Athanasii. Auget hic scrupulum Chrysostomus, qui in hac de Eustathio homilia ne γρῦ quidem habet, quo talem oblatam calumniam vel aperte denuntiet vel subindicet. Quid quod Socrates postquam Eustathium Sabellianismi causa abdicatum narravit, adjicit, ὡς μὲν οὖν τινές φασιν, δι' ἄλλας οὐκ ἀγαθὰς αἰτίας, φανερῶς δὲ οὐκ εἰρήκασι. Id est, *Ut vero quidam narrant, aliis de causis minus honestis abdicatus est, quas tamen aperte non proferunt.* Quibus verbis innuit rem apud omnes non constare, nec suspicione vacuam esse, ut nos item putamus.

Abdicato autem Eustathio, Eusebiani auctores Imperatori sunt ut in exsilium pellatur antistes. De exsilii loco non una est sententia : Theodoretus in quamdam Illyrici urbem relegatum narrat : Hieronymus vero Trajanopolin in Thracia, cui adstipulatur Chrysostomus infra num. 2, ubi ait ejus corpus in Thracia sepultum esse, haud dubie in exsilii loco. Neque prætereundum est, in Eustathii abdicatione totam pene seditione conflagrasse Antiochenam civitatem; armatis enim utrimque partibus, adscitisque militibus, omnia erant ad pugnam et horrendam cladem parata, ventumque fuisset ad gladios, nisi supervenientes Imperatoris litteræ plebem compescuissent. Eusebiani Eustathio Eulalium subrogant; qui cum exiguo tempore superstes fuisset, ejus loco deligitur Eusebius Pamphili, quo abnuente, Euphronio, item Ariano, episcopale munus defertur. Eo autem post annum et aliquot menses defuncto, deligitur Flacillus, item Arianus, et uno avulso non deficit alter. Quæ causa fuit ut multi cum populares, tum clerici, quibus religio Catholica cordi erat, a cœtibus Arianorum abhorrentes, seorsum collectas agerent. Hi ex ardenti erga Eustathium studio amoreque Eustathium deinceps audierunt. Hujusmodi vero Antiochenorum discordia ad integrum ferme sæculum extracta fuit : quodque gravius accidit, [603] etiam Catholici postea discissi sunt, ita ut tres in partes Christiani divisi essent, Paulinianorum nempe, Meletianorum et Arianorum. Sed hac de re pluribus in Monito ad Homiliam de Anathemate.

Cæterum, si Theodoreto fides sit, meretrix, quæ Eustathium accusavit, cum in gravissimum et diuturnum morbum incidisset, calumniam detexit, ac scenam totam aperuit : nec duobus tribusve, sed quamplurimis sacerdotibus indicavit ea, quæ dolo fuerant concinnata, falsa se mercede conductam Eustathium in crimen vocasse, neque se tamen falso juratam : nam Eustathius quidem ærarius faber infantis pater erat. Eustathii autem abdicatio incidit in annum circiter 329, imperante Constantino Magno. Ejus memoria colitur 17 Novembris.

Interpretatio Latina est Frontonis Ducæi.

LAUDATIO

SANCTI PATRIS NOSTRI EUSTATHII ANTIOCHIÆ MAGNÆ ARCHIEPISCOPI (*a*).

1. *Ante mortem nemo laudandus, sed post mortem.* — Sapiens vir quidam et philosophandi peritus, qui rerum humanarum naturam accurate didicerat, et earum fragilitatem noverat, nihilque certum aut stabile in iis esse, omnes generatim homines admonet, ut ante mortem neminem laudent (*Eccli.* 11. 30). Quando igitur mortuus est beatus Eustathius, omni cum fiducia deinceps eum laudibus efferre possumus: si enim ante mortem nemo laudandus est, haud dubium, quin post mortem eorum, qui digni sunt, laudatio culpa vacet. Etenim hujus vitæ negotiorum euripum prætervectus est, tumultu fluctuum liberatus est, ad tranquillum et quietum portum appulit, incertitudini futurorum non subjacet, nec obnoxius est ruinæ : sed tamquam in rupe quapiam sublimique nunc stans scopulo, fluctus omnes contemnit. Caret igitur omni periculo prædicatio, neque reprehendi potest laudatio : non enim jam mutationem reformidat, neque lapsum pertimescit. Nam nos quidem, qui adhuc vivimus, ut qui medio in mari fluctuant, multis sumus obnoxii mutationibus; et ut illi nunc quidem fluctibus intumescentibus in altum tolluntur, nunc in profundum ipsum deprimuntur; sed neque tuta celsitudo, neque stabilis est dejectio, siquidem

(*a*) Collata cum Mss. Regiis 2343 et 2447. et cum Colbertino uno 670.

horum utrumque ab aquis fluentibus minimeque consistentibus pendet : sic nimirum et in rebus humanis nihil firmum et constans est, sed frequentes sunt mutationes, ac levi momento fiunt. Hic quidem ob res secundas in altum subvehitur, ille vero propter res adversas profunde admodum deprimitur : verum nec infletur ille, nec animum iste despondeat : quippe celerrimam singuli mutationem sortientur : at non ille, qui in cælum commigravit, et ad eum, quem desiderabat, Jesum profectus est, qui ad locum pervenit turbarum expertem : unde dolor et ægritudo ac gemitus abest. Non illic mutationis est imago, non vicissitudinis obumbratio, sed omnia fixa et immobilia, omnia firma et stabilita, omnia incorrupta et immortalia, omnia interitus expertia et æterna : idcirco, inquit, *Ante mortem ne quemquam laudes* (*Eccli.* 11. 10). Quamobrem? Futurum quippe incertum est, et imbecillis natura ; voluntas seguis, et pronum ad nos obsidendos peccatum ; multi sunt laquei : *Scito enim*, inquit, *quoniam in medio laqueorum pertransis* (*Eccli.* 9. 20) : continuæ sunt tentationes, multa turba negotiorum, tum dæmonum perenne bellum, et assidui perturbationum insultus. Propterea *Ante mortem*, inquit, *ne quemquam laudes* : ergo post mortem tutum est laudare dignum ; vel potius non simpliciter post mortem, sed post mortem ejusmodi, quando cum corona e vita quispiam excesserit, quando cum confessione et fide non ficta. Si enim quovis modo mortuos laudare quis potest, quanto magis eos qui sic fuerint mortui?

Salomoni credendum divitiis detrahenti. — Quis autem eos laudavit, dicet aliquis, qui quovis modo sunt mortui? Salomon ille, Salomon sapientissimus : non enim leviter hominem prætereas, sed quis esset perpende, et quo pacto vixerit, quanta cum securitate ac voluptate mollem et ærumnarum expertem vitam traduxerit. Nam genus omne deliciarum percurrit, et multiplices recreationis animi modos excogitavit, varias atque diversas oblectationum species adinvenit, quas et enarrans dicebat : *Ædificavi mihi domos, plantavi vineas, feci mihi hortos et pomaria, feci mihi piscinas aquarum : mercatus sum mihi servos et ancillas, et vernaculi nati sunt mihi : possessio armentorum, boum et gregum fuit mihi : congregavi argentum et aurum sicut arenam : feci mihi cantores et cantatrices, pincernas et vini ministras* (*Eccle.* 2. 4-8). Quid igitur idem iste post tantam affluentiam pecuniarum, possessionum, deliciarum, voluptatum refert? *Laudavi*, inquit, *eos, qui mortui sunt, super viventes, et bonus super hos, quicumque nondum natus est.* Vere fide dignus hic est deliciarum accusator, qui talem de illis fert sententiam. Nam si quispiam ex iis qui vitam in paupertate ac mendicitate traduxissent, hanc sententiam adversus delicias tulisset, visus esset non ex rei veritate, sed quod expertus non esset, ita criminari ; cum vero is, qui omnes percurrit, et singulas earum vias pervestigavit, eas contemnit, tum omni suspicione libera est criminatio. Existimatis fortasse a proposito deflexisse sermonem : imo vero si attendamus, cum eo maxime cohærere deprehendemus quæ dicta sunt. Nam in martyrum commemorationibus conveniens est et connexum de philosophia sermonem instituere. Non ut vitam præsentem damnemus, hæc dicimus, absit ; sed quod delicias insectemur : non enim vivere malum est, sed temere et inconsiderate vivere.

2. *Eustathius a patria relegatus in Thracia sepultus. Sanctorum reliquiæ fontes spirituales.* — Itaque si quis in recte factis ac bonorum spe futurorum vitam traduxerit, poterit cum Paulo dicere, *Vivere in carne multo melius : hoc enim mihi fructus operis est* (*Philipp.* 1. 22) : quod utique beato Eustathio contigit, qui et in vita et in morte, ut par erat, se gessit. Non enim in sua regione, sed in aliena propter Christum mortem obiit ; quod facinus ejus hostium fuit. Siquidem eum illi a patria relegarunt, ut ipsum probro afficerent, at ille celebrior et illustrior hac in exsilium commigratione reddebatur ; quod et rerum exitus demonstravit. Adeo namque celebris evasit, ut cum in Thracia sepultum sit ejus corpus, in dies singulos memoria ejus apud nos efflorescat ; et cum in illo barbarico oppidulo sit ejus tumulus, noster in eum amor, qui tanto ab eo disjungimur intervallo, post tam diuturnum tempus singulis diebus augeatur. Imo si verum dicendum sit, apud nos etiam est sepulcrum ejus, et non in Thracia tantum. Monumenta enim sanctorum non loculi solum sunt, capsulæ, columnæ, ac literæ, sed res præclaræ gestæ, ac fidei zelus, et sana apud Deum conscientia. Siquidem omni columna splendidior hæc Ecclesia martyri est erecta, quæ literas habet non mutas ; sed quæ rebus ipsis buccina clarius memoriam ejus prædicant ac celebritatem, et unusquisque vestrum, qui adestis, sancti illius est sepulcrum, sepulcrum animatum atque spiritale. Nam si cujusque vestrum, qui adestis, conscientiam explicuero, sanctum istum intus in mente vestra reperiam diversantem. Videtis, ut nihil profecerint adversarii, ut gloriam non exstinxerint, sed extulerint potius, sed illustriorem reddiderint, tot pro uno sepulcris erectis, sepulcris animatis, sepulcris vocem mittentibus, sepulcris ad eumdem zelum comparatis? Idcirco sanctorum corpora et fontes, et radices, et unguenta nuncupo spiritalia. Quid ita? Quoniam unumquodque istorum, quæ dixi, virtutem suam apud se non retinet tantum, sed etiam longe lateque diffundit. Exempli causa, fontes multis quidem scaturiunt laticibus : at eos intra sinus suos non retinent, sed longa flumina parientes cum mari junguntur, et tamquam manus cujusdam extensione longitudine illorum marinas aquas prehendunt. Rursus arborum radix deorsum in terræ visceribus est abscondita, sed non omnem virtutem suam deorsum continet, ac vitium præsertim arbustivarum est hæc natura. Ubi enim per excelsos calamos ramos suos extenderint, per arundines illas serpentia sarmenta longum quoddam tectum frondium densitate conficiunt. Ejusmodi est et unguentorum natura : siquidem illa sæpenumero sunt in conclavi recondita, sed erumpens

ἐστι ῥεόντων καὶ οὐχ ἱσταμένων ταῦτα ἀμφότερα· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων οὐδὲν βέβαιον καὶ ἑστὼς, ἀλλὰ πυκναὶ αἱ μεταβολαὶ καὶ ὀξύῤῥοποι. Ὁ μὲν ὑπὸ τῆς εὐημερίας πρὸς τὸ ὕψος ἐπήρθη, ὁ δὲ ὑπὸ δυσπραγίας εἰς πολὺ κατηνέχθη βάθος· ἀλλὰ μήτε ἐκεῖνος φυσάσθω, μήτε οὗτος ταπεινούσθω· ταχίστην γὰρ ἕκαστος δέξεται τὴν μεταβολήν· ἀλλ' οὐκ ἐκεῖνος ὁ πρὸς τὸν οὐρανὸν μεταστὰς, ὁ πρὸς τὸν ποθούμενον ἀπελθὼν Ἰησοῦν, ὁ πρὸς χωρίον ἐλθὼν καθαρὸν θορύβων, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Οὐκ ἔστιν ἐκεῖ μεταβολῆς εἰκών, οὐκ ἔστι τροπῆς ἀποσκίασμα, πάντα δὲ πεπηγότα καὶ ἀκίνητα, πάντα βέβαια καὶ ἱδρυμένα, πάντα ἄφθαρτα καὶ ἀθάνατα, πάντα ἀκήρατα καὶ εἰς ἀεὶ [604] διαμένοντα. Διὰ τοῦτό φησι, *Πρὸ τελευτῆς μὴ μακάριζε μηδένα.* Διὰ τί; Ἄδηλον γὰρ τὸ μέλλον, καὶ ἡ φύσις ἀσθενής· ἡ προαίρεσις ῥᾴθυμος, ἡ ἁμαρτία εὐπερίστατος, πολλαὶ αἱ παγίδες· *Ἐπίγνωθι γάρ*, φησὶν, *ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις·* ἐπάλληλοι οἱ πειρασμοὶ, πολὺς ὁ τῶν πραγμάτων ὄγλος, καὶ διηνεκὴς τῶν δαιμόνων ὁ πόλεμος, καὶ συνεχεῖς αἱ τῶν παθῶν ἐπαναστάσεις· διὰ ταῦτα, *Πρὸ τελευτῆς μὴ μακάριζε μηδένα*, φησίν. Οὐκοῦν μετὰ τελευτὴν μακαρίζειν ἀσφαλὲς τὸν ἄξιον· μᾶλλον δὲ οὐχ ἁπλῶς μετὰ τελευτὴν, ἀλλὰ τελευτὴν τοιαύτην, ὅταν μετὰ στεφάνου τὸν βίον ᾖ καταλύσας τις, ὅταν μετὰ ὁμολογίας καὶ πίστεως ἀνυποκρίτου. Εἰ γὰρ τοὺς ἁπλῶς τελευτήσαντας [a] ἐμακάρισέ τις, πόσῳ μᾶλλον τοὺς οὕτω τελευτήσαντας;

Καὶ τίς ἐμακάρισε, φησὶ, τοὺς ἁπλῶς τελευτήσαντας; Ὁ Σολομὼν, Σολομὼν ἐκεῖνος ὁ πάνσοφος· μὴ γὰρ ἁπλῶς παραδράμῃς τὸν ἄνθρωπον, ἀλλ' ἐννόησον τίς ἦν, καὶ πῶς βεβιωκὼς, καὶ μετὰ πόσης ἀδείας καὶ ἀνέσεως τὸν ὑγρὸν καὶ ἀταλαίπωρον βίον ἔζη [b]. Ἅπαν γὰρ εἶδος ἐπῆλθε τρυφῆς, καὶ ψυχαγωγίας παντοδαπὰς ἐπενόησε τρόπους, καὶ ποικίλας καὶ πολυτρόπους τέρψεων εὗρεν ἰδέας, καὶ ταύτας διηγούμενος ἔλεγεν· *Ὠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι· κτῆσις βουκολίων καὶ ποιμνίων ἐγένετό μοι· συνήγαγον ἀργύριον καὶ χρυσίον ἴσα ψάμμῳ· ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, οἰνοχόους καὶ οἰνοχοούσας.* Τί οὖν ὁ αὐτὸς οὗτος μετὰ τοσαύτην περιουσίαν τῶν χρημάτων, τῶν κτημάτων, τῆς τρυφῆς, τῆς ἀνέσεως; *Ἐμακάρισα*, φησὶ, *τοὺς ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας, καὶ ἀγαθὸς ὑπὲρ τούτους ὅστις οὔπω ἐγένετο.* Ὄντως ἀξιόπιστος οὗτος κατήγορος τρυφῆς, ὁ τοιαῦτα περὶ αὐτῆς ψηφιζόμενος. Εἰ μὲν γάρ τις τῶν ἐν πενίᾳ καὶ πτωχείᾳ βεβιωκότων ταύτην ἐξέφερε τὴν ψῆφον κατὰ τῆς τρυφῆς, ἔδοξεν ἂν οὐκ ἀληθείᾳ, ἀλλ' ἀπειρίᾳ ταῦτα κατηγορεῖν· ὅταν δὲ ὁ πᾶσαν αὐτὴν ἐπελθὼν καὶ διερευνητάμενος αὐτῆς ἑκάστην ὁδὸν, οὗτος αὐτὴν ἀτιμάζῃ, ἀνύποπτος ἡ κατηγορία λοιπόν. Τάχα νομίζετε τῆς παρούσης ὑποθέσεως ἡμῖν ἐκπεπτωκέναι τὸν λόγον· ἀλλ' εἴπερ προσέχωμεν, εὑρήσομεν [c], ὅτι ταύτης μάλιστα ἔχεται τὰ εἰρημένα. Ἐν γὰρ μαρτύρων μνείαις ἀναγκαῖον καὶ ἀκόλουθον, καὶ τοὺς περὶ φιλοσοφίας κινεῖν λόγους. Καὶ ταῦτα λέγομεν οὐ τῆς παρούσης κατηγοροῦντες ζωῆς, μὴ γένοιτο, ἀλλὰ τὴν τρυφὴν διαβάλλοντες· οὐ γὰρ τὸ ζῆν κακὸν, ἀλλὰ τὸ εἰκῇ καὶ ἁπλῶς ζῆν.

β'. Ὡς ἐάν τις ἐπὶ κατορθώμασι καὶ τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι τὸν παρόντα ζήσῃ βίον, δυνήσεται κατὰ Παῦλον λέγειν, ὅτι *Τὸ ζῆν ἐν σαρκὶ πολλῷ κρεῖσσον·* τοῦτο γὰρ καρπὸς ἔργου· καθάπερ οὖν καὶ ἐπὶ τοῦ μακαρίου γέγονεν Εὐσταθίου, ὃς καὶ τῇ ζωῇ καὶ τῇ τελευτῇ πρὸς τὸ δέον ἐχρήσατο. Οὐ γὰρ ἐπὶ τῆς οἰκείας γῆς, ἀλλ' ἐπὶ τῆς ἀλλοτρίας ταύτην ὑπέμεινε διὰ τὸν Χριστόν· τοῦτο τῶν ἐχθρῶν τὸ [605] κατόρθωμα. Ἐκεῖνοι μὲν γὰρ τῆς πατρίδος αὐτὸν ἐξήλασαν ὡς ἀτιμάζοντες· ὁ δὲ λαμπρότερος ἐγίνετο μᾶλλον καὶ περιφανέστερος τῇ πρὸς τὴν ὑπερορίαν μεταστάσει, ὡς καὶ τῶν πραγμάτων τὸ τέλος ἀπέδειξε. Τοσαύτη γὰρ ἡ περιφάνεια γέγονεν, ὡς τοῦ σώματος αὐτοῦ ταφέντος ἐν Θρᾴκῃ, τὴν μνήμην αὐτοῦ καθ' ἑκάστην ἡμέραν παρ' ἡμῖν ἀνθεῖν, καὶ τὸν μὲν τάφον εἶναι ἐν ἐκείνῳ τῷ βαρβαρικῷ χωρίῳ, τὸν δὲ πόθον παρ' ἡμῖν, τοῖς ἐκ τοσούτου ἀπειργομένοις διαστήματος, μετὰ χρόνον τοσοῦτον καθ' ἑκάστην αὔξεσθαι τὴν ἡμέραν· μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ ὁ τάφος αὐτοῦ παρ' ἡμῖν, οὐκ ἐν Θρᾴκῃ μόνον. Μνήματα γὰρ ἁγίων οὐ σοροὶ, καὶ λάρνακες, καὶ στῆλαι, καὶ γράμματα, ἀλλ' ἔργων κατορθώματα, καὶ πίστεως ζῆλος, καὶ συνειδὸς πρὸς Θεὸν ὑγιές. Καὶ γὰρ πάσης στήλης λαμπροτέρα ἀνέστηκεν αὕτη ἡ Ἐκκλησία τῷ μάρτυρι, γράμματα ἔχουσα οὐκ ἄφωνα, ἀλλὰ διὰ τῶν πραγμάτων αὐτῶν λαμπρότερον σάλπιγγος βοῶντα τὴν ἐκείνου μνήμην καὶ τὴν λαμπρότητα, καὶ ἕκαστος ὑμῶν [d] τῶν παρόντων τοῦ ἁγίου τάφος ἐστὶν ἐκείνου, τάφος ἔμψυχος καὶ πνευματικός. Ἂν γὰρ ἀναπτύξω τὸ συνειδὸς ἑκάστου τῶν παρόντων ὑμῶν, εὑρίσκω τὸν ἅγιον τοῦτον ἔνδον τῆς διανοίας ὑμῶν ἐνδιαιτώμενον. Ὁρᾶτε πῶς οὐδὲν πλέον ἐγένετο τοῖς ἐχθροῖς; πῶς οὐκ ἔσβεσαν τὴν δόξαν, ἀλλ' ἐπῆραν ταύτην μᾶλλον καὶ λαμπροτέραν εἰργάσαντο, τοσούτους ποιήσαντες τάφους ἀνθ' ἑνὸς, τάφους ἐμψύχους, τάφους φωνὴν ἀφιέντας, τάφους πρὸς τὸν αὐτὸν ζῆλον παρασκευαζομένους; Διὰ τοῦτο τὰ τῶν ἁγίων σώματα καὶ πηγὰς, καὶ ῥίζας, καὶ μύρα καλῶ πνευματικά. Τίνος οὖν ἕνεκεν; Ὅτι ἕκαστον τούτων τῶν εἰρημένων τὴν οἰκείαν ἀρετὴν οὐ παρ' ἑαυτῷ κατέχει μόνον, ἀλλὰ καὶ μέχρι πολλοῦ διαπέμπεται μήκους. Οἷόν τι λέγω· αἱ πηγαὶ ἀναβλύζουσι μὲν πολλὰ νάματα, οὐ μὴν εἴσω τῶν οἰκείων κόλπων ταῦτα κατέχουσιν, ἀλλὰ μακροὺς τίκτουσαι ποταμοὺς συγγίνονται τῷ πελάγει, καὶ καθάπερ χειρός τινος ἐκτάσει, τῷ μήκει τούτων ἐπιλαμβάνονται τῶν θαλαττίων ὑδάτων. Πάλιν ἡ ῥίζα τῶν φυτῶν κέκρυπται ἐν τοῖς κόλποις τῆς γῆς, ἀλλ' οὐ κάτω κατέχει τὴν ἀρετὴν αὐτῆς ἅπασαν, καὶ μάλιστα τῶν ἀμπέλων τῶν ἀναδενδράδων αὕτη ἡ φύσις. Ὅταν γὰρ ἐφ' ὑψηλῶν τῶν καλάμων τοὺς αὐτῶν ἐκτείνωσι κλάδους, τὰ κλήματα διὰ τῶν δονάκων ἐκείνων ἕρποντα μέχρι πολλοῦ πρόεισι διαστήματος, μακράν τινα ὀροφὴν τῇ τῶν φύλλων ποιοῦντα πυκνότητι. Τοιαύτη καὶ τῶν μύρων ἡ φύσις· αὐτὰ μὲν γὰρ κεῖται ἐν οἰκίσκῳ πολλάκις, διὰ δὲ τῶν θυρίδων ὑπερεκπίπτουσα αὐτῶν ἡ εὐωδία εἰς ἄμφοδα καὶ στενωποὺς καὶ ἀγορὰς, καὶ τοὺς ἔξω βαδίζοντας διδάσκει τὴν

[a] Tres mss. ἁπλῶς τετελευτηκότας.
[b] Savil. ἀδείᾳ; τὸν ἄνετον τοῦτον καὶ ὑγρὸν ἔζησε βίον.
[c] Hæc, ἀλλ' εἴπερ προσέχωμεν, εὑρήσομεν, desunt in Savil. et in mss.
[d] Alii ἡμῶν.
[e] Mor. ἀλλὰ καὶ εἰς ἕτερα πολλὰ μέχρι πολλοῦ. Cæteri ut in textu.

ἔνδον κειμένην τῶν ἀρωμάτων ἀρετήν. Εἰ δὲ πηγὴ, καὶ ῥίζα, καὶ φυτῶν καὶ ἀρωμάτων φύσις τοσαύτην ἔχουσι τὴν ἰσχὺν, πολλῷ μᾶλλον τῶν ἁγίων τὰ σώματα· καὶ ὅτι οὐ ψευδῆ τὰ λεγόμενα, μάρτυρες ὑμεῖς. Τὸ μὲν γὰρ σῶμα τοῦ μάρτυρος κεῖται ἐν Θρᾴκῃ, ὑμεῖς δὲ οὐκ ἐν Θρᾴκῃ διατρίβοντες, ἀλλὰ πολὺ τῆς χώρας ἐκείνης ἀφεστηκότες ἀντιλαμβάνεσθε τῆς εὐωδίας ἐκ τοσούτου διαστήματος, καὶ διὰ τοῦτο συνεληλύθατε, καὶ οὐ διεκώλυσε τῆς ὁδοῦ [606] τὸ μῆκος, οὐκ ἔσβεσε τοῦ χρόνου τὸ πλῆθος. Τοιαύτη γὰρ τῶν πνευματικῶν κατορθωμάτων ἡ φύσις· οὐδενὶ σωματικῷ διακόπτεται κωλύματι [a], ἀλλ' ἀνθεῖ καὶ αὔξεται καθ' ἑκάστην ἡμέραν, καὶ οὔτε χρόνου μαραίνει τὸ πλῆθος αὐτὴν, οὐχ ὁδοῦ διατειχίζει μῆκος.

Μὴ θαυμάσητε δὲ εἰ τοῦ λόγου καὶ τῶν ἐγκωμίων ἀρχόμενος μάρτυρα τὸν ἅγιον ἐκάλεσα· καὶ γὰρ οἰκείῳ τέλει τὴν ζωὴν κατέλυσε· πῶς οὖν ἐστι μάρτυς; Εἶπον πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, ὅτι μάρτυρα οὐχὶ ὁ θάνατος ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις. Οὐ γὰρ ἀπὸ τῆς ἐκβάσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς γνώμης πλέκεται πολλάκις ὁ τοῦ μαρτυρίου στέφανος. Καὶ τοῦτον οὐκ ἐγὼ, ἀλλὰ Παῦλος δίδωσι τοῦ μαρτυρίου τὸν ὅρον οὑτωσὶ λέγων, *Καθ' ἡμέραν ἀποθνήσκω*. Πῶς ἀποθνήσκεις καθ' ἡμέραν; πῶς δυνατὸν ἑνὶ σώματι θνητῷ μυρίους δέξασθαι θανάτους; Τῇ προθέσει, φησὶ, καὶ τῷ παρεσκευάσθαι πρὸς τελευτήν. Οὕτω καὶ ὁ Θεὸς ἀποφαίνεται· καὶ γὰρ ὁ Ἀβραὰμ οὐχ ᾔμαξε τὴν μάχαιραν, οὐκ ἐφοίνιξε τὸν βωμὸν, οὐκ ἔθυσε τὸν Ἰσαὰκ, ἀλλ' ὅμως ἀπήρτισε τὴν θυσίαν. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ τὴν θυσίαν δεξάμενος· *Οὐκ ἐφείσω* γὰρ, φησὶ, *τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ*. Καὶ μὴν ζῶντα ἔλαβε, καὶ ὑγιῆ κατήγαγε· πῶς οὖν οὐκ ἐφείσατο; Ὅτι οὐκ ἀπὸ τοῦ τέλους τῶν πραγμάτων, ἀλλ' ἀπὸ τῆς προθέσεως τῶν προελομένων, τὰς τοιαύτας κρίνω θυσίας ἐγὼ, φησίν. Οὐκ ἔσφαξεν ἡ χεὶρ, ἀλλ' ἔσφαξεν ἡ προαίρεσις· οὐκ ἐβάπτισε τὸ ξίφος εἰς τὸν λαιμὸν τοῦ παιδὸς, οὐ διέτεμε τὴν δέρην [b], ἀλλ' ἔστι θυσία καὶ χωρὶς αἵματος. Ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον· διὰ τοῦτο δὲ κἀκείνη ἡ θυσία χωρὶς αἵματος ἐγένετο, ἐπειδὴ ταύτης ἔμελλεν ἔσεσθαι τύπος. Ὁρᾷς ἐν τῇ Παλαιᾷ προδιαγραφομένην τὴν εἰκόνα; Μὴ ἀπιστήσῃς τῇ ἀληθείᾳ.

γ'. Οὗτος τοίνυν ὁ μάρτυς (μάρτυρα γὰρ ἡμῖν αὐτὸν ὁ λόγος ἀπέδειξε) πρὸς μυρίους παρεσκευάσατο θανάτους, καὶ πάντας αὐτοὺς ὑπέμεινε τῇ γνώμῃ καὶ τῇ προθυμίᾳ· τῶν δὲ ἐπενεχθέντων κινδύνων πολλοὺς καὶ δι' αὐτῆς τῆς πείρας ἠνέσχετο. Καὶ γὰρ καὶ τῆς πατρίδος αὐτὸν ἐξήλασαν, καὶ πρὸς τὴν ὑπερορίαν μετέστησαν, καὶ πολλὰ ἕτερα κατὰ τοῦ μακαρίου ἐκίνησαν τότε ἐκείνου, δίκαιον μὲν οὐδὲν ἔχοντες ἐγκαλεῖν, ὅτι δὲ ἀκούσας τοῦ Παύλου λέγοντος, *Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα*, ἔφυγε τὸ ἀσέβημα, καὶ τὴν παρανομίαν ἔδεισεν· ἀλλὰ τοῦτο μὲν στεφάνων, οὐ κατηγορίας ἄξιον. Σὺ δέ μοι σκόπει τοῦ διαβόλου τὴν πονηρίαν. Ἐπειδὴ γὰρ προσφάτως ἦν ὁ Ἑλληνικὸς πόλεμος καταλυθεὶς, καὶ ἄρτι τῶν χαλεπῶν καὶ ἐπαλλήλων διωγμῶν ἀνεπεπνεύκεισαν αἱ Ἐκκλησίαι πᾶσαι, καὶ οὐκ ἦν πολὺς ὁ χρόνος, ἐξ οὗ λαοὶ μὲν ἀπεκλείσθησαν ἅπαντες, βωμοὶ δὲ ἐσβέσθησαν, πᾶσα δὲ τῶν δαιμόνων ἡ μανία καταλέλυτο, καὶ ταῦτα ἐλύπει τὸν πονηρὸν δαίμονα, καὶ οὐκ ἠδύνατο πράως φέρειν τὴν τῆς Ἐκκλησίας εἰρήνην, τί οὖν ποιεῖ; Ἕτερον ἐπεισάγει [607] πόλεμον χαλεπόν. Ὁ μὲν γὰρ ἐξωτικὸς, οὗτος δὲ ἐμφύλιος ἦν· οἱ δὲ τοιοῦτοι δυσφύλακτοι μᾶλλόν εἰσι, καὶ ῥᾳδίως χειροῦνται τοὺς ἐμπίπτοντας.

Κατὰ τὸν καιρὸν τοίνυν ἐκεῖνον ὁ μακάριος οὗτος ἐστρατήγει τῆς παρ' ἡμῖν Ἐκκλησίας, καὶ αἴρεται μὲν ἡ νόσος, ὥσπερ τις λοιμὸς χαλεπὸς ἀπὸ τῶν Αἰγύπτου χωρίων, εἶτα διὰ τῶν μεταξὺ πόλεων βαδίζων εἰς τὴν πόλιν ἔσπευδεν ἐμβαλεῖν τὴν ἡμετέραν. Ἀλλ' ἐκεῖνος ἐγρηγορὼς καὶ νήφων, καὶ πάντα τὰ μέλλοντα προορῶν πόῤῥωθεν, προσιόντα τὸν πόλεμον ἀπεκρούετο· καὶ καθάπερ σοφός τις ἰατρὸς, πρὶν ἢ τὴν νόσον ἐμβαλεῖν εἰς τὴν πόλιν, ἐνταῦθα καθήμενος, τὰ φάρμακα κατεσκεύαζε, καὶ τὴν ἱερὰν ταύτην ναῦν μετὰ πολλῆς ἐκυβέρνα τῆς ἀσφαλείας, πανταχοῦ περιτρέχων, ναύτας, ἐπιβάτας, τοὺς πλέοντας ἅπαντας συγκροτῶν, νήφειν, ἐγρηγορέναι παρασκευάζων, ὡς πειρατῶν ἐπιτιθεμένων καὶ τῆς πίστεως τὸν θησαυρὸν ἀποσυλῆσαι ἐπιχειρούντων. Οὐκ ἐνταῦθα δὲ μόνον ἐκέχρητο τῇ προνοίᾳ ταύτῃ, ἀλλὰ καὶ πανταχοῦ διεπέμπετο τοὺς διδάξοντας, παρακαλέσοντας, διαλεξομένους, προαποτειχίσοντας τοῖς πολεμίοις τὴν ἔφοδον. Καὶ γὰρ ἦν πεπαιδευμένος καλῶς παρὰ τῆς τοῦ Πνεύματος χάριτος, ὅτι τὸν Ἐκκλησίας προεστῶτα οὐκ ἐκείνης μόνης κήδεσθαι δεῖ τῆς παρὰ τοῦ Πνεύματος ἐγχειρισθείσης αὐτῷ, ἀλλὰ καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην κειμένης· καὶ ταῦτα ἀπὸ τῶν ἱερῶν ἐμάνθανεν εὐχῶν. Εἰ γὰρ τὰς εὐχὰς ποιεῖσθαι δεῖ, φησὶν, ὑπὲρ τῆς καθολικῆς Ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, πολλῷ μᾶλλον καὶ τὴν πρόνοιαν ὑπὲρ ἁπάσης αὐτῆς ἐπιδείκνυσθαι δεῖ, καὶ ὁμοίως ἁπασῶν κήδεσθαι, καὶ μεριμνᾷν πάσας. Καὶ ὅπερ ἐπὶ τοῦ Στεφάνου γέγονε, τοῦτο καὶ ἐπ' ἐκείνου συνέβαινεν. Ὥσπερ γὰρ οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τοῦ Στεφάνου, οἱ Ἰουδαῖοι ἐλίθαζον τὸν ἅγιον ἐκεῖνον· οὕτω καὶ οὗτοι οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τούτου, καὶ ὁρῶντες ἠσφαλισμένα τὰ ὀχυρώματα, ἐκβάλλουσι τῆς πόλεως λοιπὸν τὸν κήρυκα. Ἀλλ' ἡ φωνὴ οὐκ ἐσίγα, ἀλλ' ἐξεβάλλετο μὲν ὁ ἄνθρωπος, ὁ δὲ λόγος τῆς διδασκαλίας οὐκ ἐξεβάλλετο. Καὶ γὰρ Παῦλος ἐδέδετο, καὶ ὁ λόγος τοῦ Θεοῦ οὐκ ἐδέδετο· καὶ οὗτος ἐν ἀλλοτρίᾳ, καὶ ἡ διδασκαλία αὐτοῦ παρ' ἡμῖν. Ἐκβάλλοντες τοίνυν ἐπεισῄεσαν συμφραξάμενοι, καθάπερ χείμαῤῥος σφοδρός· ἀλλ' οὔτε τὰ φυτὰ παρέσυραν, οὔτε τὰ σπέρματα κατέχωσαν, οὔτε τὴν γεωργίαν ἐλυμήναντο· οὕτω καλῶς καὶ μετ' ἐπιστήμης ὑπὸ τῆς ἐκείνου γεωργηθέντα σοφίας ἐῤῥίζωτο. Ἀλλὰ γὰρ ἄξιον εἰπεῖν, τίνος ἕνεκεν συνεχώρησεν αὐτὸν ὁ Θεὸς ἀπελαθῆναι ἐντεῦθεν. Προσφάτως ἦν ἀναπνεύσασα ἡ Ἐκκλησία· εἶχε παραμυθίαν οὐ τὴν τυχοῦσαν τὴν ἐπιστασίαν τὴν ἐκείνου· πανταχόθεν αὐτὴν ἐτείχιζεν, καὶ τῶν πολεμίων τὰς προσβολὰς ἀπεκρούετο.

Τίνος οὖν ἕνεκεν ἐξεβάλλετο, καὶ συνεχώρει τοῖς ἀπάγουσιν αὐτὸν ὁ Θεός; τίνος ἕνεκεν; Καὶ μή τοι νομίσητε ταύτης τῆς ἀπορίας λύσιν εἶναι τὸ λεγόμενον μόνης· ἀλλὰ κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρε-

[a] Κωλύματι deest in mss.
[b] Sic mss. Morel vero male δέῤῥιν.

eorum odor in vicos, angiportus, et fora, eis etiam qui foris ambulant, intus repositam aromatum virtutem indicat. Quod si fons, et radix, et arborum atque unguentorum natura tantam vim habent, multo magis sanctorum corpora. Enimvero falsa non esse quæ dicimus, vos mihi testes estis. Nam martyris quidem situm est corpus in Thracia, vos autem qui in Thracia non versamini, sed ab illa regione multum dissiti estis, suavem odorem tantis spatiis interjectis percipitis, ideoque convenistis, nec eum viæ longinquitas impedivit, nec diuturnitas temporis exstinxit. Talis enim spiritualium recte factorum est natura : nullo corporeo interrumpitur obstaculo, sed floret et crescit in dies, eamque nec longinquitas temporis labefactat, nec intervallum itineris intercludit.

Martyrem non sola mors facit. —Neque vero mirum vobis videatur, quod ipso in limine orationis ac laudationis sanctum martyrem appellarim, siquidem sua morte sublatus e vivis est : qui potest igitur martyr esse? Sæpenumero dixi vobis, martyrem facere non mortem tantum, sed animi quoque propositum : non enim eventu solo, sed etiam voluntate martyrii corona comparatur. Et hanc non ego, sed Paulus affert martyrii definitionem, cum ita dicit, *Quotidie morior* (I. *Cor.* 15. 31.) Quomodo quotidie moreris? qui fieri potest, ut uno corpore sexcentas mortes excipias? Proposito nimirum animi, inquit, quodque ad mortem sim paratus. Ita Deus etiam declaravit : etenim Abraham non gladium cruentavit, non altare rubefecit, non Isaac jugulavit : sed tamen sacrificium perfecit. Quis hoc ait? Ille ipse qui sacrificium suscepit : *Non pepercisti* enim, inquit, *filio tuo dilecto propter me* (*Gen.* 22. 12). Atqui vivum eum recepit, et incolumem reduxit : quomodo igitur non pepercit? Quod non ex factorum exitu, sed ex animi sententia, inquit, de ejusmodi sacrificiis soleam judicare. Non mactavit manus, at voluntas mactavit : non gladium pueri jugulo immersit, non cervicem incidit; sed est sacrificium etiam sine sanguine. Sciunt illi, qui mysteriis initiati sunt, quid dicamus : propterea et illud sacrificium sine sanguine perfectum est, quoniam hujus figura esse debuit. Vides in Veteri Testamento imaginem multo ante adumbratam? Noli veritati fidem denegare.

3. Hic itaque martyr (martyrem enim nobis eum ratio demonstravit) ad sexcentas mortes paratus erat, et omnes illas voluntate animique alacritate toleravit : intenta vero pericula permulta reipsa quoque sustinuit. Nam et e patria eum ejecerunt, atque in exsilium relegarunt, aliaque multa tum temporis in beatum illum machinati sunt; tametsi quod illi jure crimini verterent, nihil haberent, sed quod, Paulum dicentem cum audiisset, *Coluerunt et servierunt creaturæ potius quam creatori* (*Rom.* 1. 25), impietatem ac scelus evitaret : at enim hoc quidem corona, non reprehensione dignum erat. Tu vero diaboli malitiam, quæso, perpende. Nam quia non ita pridem paganorum bellum fuerat exstinctum, et a gravibus continuisque persequutionibus paulo ante omnes Ecclesiæ respirarant, neque multum effluxerat temporis, ex quo templa omnia clausa, altaria exstincta fuerant, et dæmonum rabies omnis deleta, hæcque improbum dæmonem male habebant, neque pacem Ecclesiæ æquo animo ferre poterat : quid ergo facit? Aliud infert bellum infestum. Nam illud quidem externum fuit, hoc vero intestinum : talia porro multo difficilius præcaventur, et facile eos opprimunt. in quos incurrunt.

Eustathius Antiochenæ tum Ecclesiæ fuit episcopus. — Illo itaque tempore Ecclesiam, quæ apud nos est, regebat beatus iste, ac morbus exortus est quasi pestis quædam infesta ab Ægypti regionibus, qui per urbes interjectas grassatus in nostram urbem impetum facere properabat. At ille vigilans et attentus, omniaque prævidens quæ imminebant, ingruens bellum arcebat : et tamquam sapiens aliquis medicus, priusquam morbus urbem, in qua residebat, invasisset, medicamenta comparabat, ac sacram hanc navem multa cum securitate gubernabat, quoquoversus circumcursans, nautas, vectores, navigantes omnes concitans, et curans ut vigilarent et attenderent, quasi jam invaderent eam piratæ, ac fidei thesaurum contenderent deprædari. Neque vero hic tantum hanc curam adhibuit, sed in omnes partes mittebat qui docerent, qui cohortarentur, qui disputarent, qui hostibus aditum omnem intercluderent. Probe siquidem a Spiritus gratia fuerat edoctus, Ecclesiæ præsulem non de illa tantum sollicitum esse debere, quæ a Spiritu sancto illi commissa est, sed etiam de quavis in orbe terrarum constituta : atque hoc ille sacris e precibus colligebat. Si enim pro universa Ecclesia, inquit, fundendæ sunt preces, quæ a finibus ad fines usque pertinet orbis terrarum, multo magis et ejus universæ gerere curam oportet, et de omnibus pariter esse sollicitum, omnibus providere. Quod ergo in Stephano accidit, id in eo etiam evenit. Ut enim Judæi cum Stephani sapientiæ non possent resistere, sanctum illum lapidabant : sic et isti cum hujus sapientiæ resistere non possent, ac munita cernerent propugnacula, tum e civitate præconem expellunt. At enim vox minime tacebat, sed licet homo expelleretur, non expellebatur sermo doctrinæ. Nam et Paulus alligatus erat, sed verbum Dei non erat alligatum (2. *Tim.* 2. 9) : et hic peregre erat, et doctrina ejus apud nos erat. Erumpentes ergo constipati tamquam violentus quidam torrens impetum fecerunt; sed neque plantas vulserunt, neque fruges obruerunt, neque segetes vastarunt : tam egregie, tam perite ab ejus sapientia excultæ radicibus fixis hærebant. Verumenimvero dicendum nobis est, qua de causa permiserit illum Deus hinc expelli. Respirare cœperat non ita pridem Ecclesia, neque mediocrem ipsi consolationem illius regimen afferebat : undique illam muniebat, et hostium impetus propulsabat.

Cur in exsilium mitti Eustathium permiserit Deus. — Cur igitur est ejectus, et hoc illis permisit, qui hinc eum ablegarunt, Deus? quam tandem ob causam? Nolite autem arbitrari, quod nunc tractamus, solius

quæstionis hujus esse solutionem; sed sive cum paganis, sive cum hæreticis a vobis de rebus ejusmodi sermo fiat, ad omnem solvendam quæstionem sufficiet quod dicemus. Deus quidem veram suam et apostolicam fidem in multis oppugnari permittit; hæreses autem atque paganismum secura tranquillitate perfrui sinit. Quid ita? Ut illorum quidem infirmitatem discas, quæ cum minime divexentur, sponte destruuntur; fidei vero virtutem agnoscas, quæ dum oppugnatur, eorum opera qui se illi opponunt augetur. Quod autem non mea sit hæc conjectura, sed divinum ac de cælo delapsum responsum, audiamus quid Paulus hac de re dicat: nam et humanum quid aliquando passus hic etiam est: licet enim Paulus esset, attamen naturæ nostræ particeps erat. Quid vero illud est, quod est passus? Exagitabatur, oppugnabatur, virgis cædebatur, sexcentis insidiarum generibus appetebatur, intus, foris, ab iis qui domestici esse videbantur, ab alienis. Sed quid opus est commemorare, quantas afflictiones sit perpessus? Fatigatus igitur, nec amplius ferens tot hostium incursiones, qui semper ejus doctrinam interrumpebant, ejusque verbo adversabantur, supplex Domino provolutus eum obtestatur, et ait, *Datus est mihi stimulus carni angelus Satanæ, ut me colaphizet. Propter hoc ter Dominum rogavi, et dixit mihi, Sufficit tibi gratia mea : nam virtus mea in infirmitate perficitur* (2. Cor. 12. 7-9). Scio equidem quosdam corporis infirmitatem esse arbitrari, sed non est illud, prorsus non est; verum angelum Satanæ homines, qui adversabantur, appellat: illud enim, Satan, vox est Hebraica; porro Satan dicitur adversarius. Instrumenta ergo diaboli, et eos homines, qui ei famulantur, angelos ejus appellat. Cur igitur, dicet aliquis, additum est, carni? Quia caro flagellabatur, anima vero elevabatur spe futurorum erecta. Non enim animam attingebat, nec interiores cogitationes supplantabat, sed intra carnem consistebant tormenta bellumque, nec intus poterant penetrare. Quoniam igitur hæc concidebatur, hæc flagellabatur, hæc vinciebatur (animam quippe ligare nemo potest), idcirco dicit, *Datus est mihi stimulus carni angelus Satanæ, ut me colaphizet* (*Ibid.*), tentationes, afflictiones, persequutiones innuens. Deinde quid? *Propter hoc ter*, inquit, *Dominum rogavi*: hoc est, sæpenumero precatus sum, inquit, ut a tentationibus paululum respirarem. Vos vero causæ meministis, ob quam Deum dixi verberari servos suos permittere, vexari, infinita mala perpeti, ut virtutem suam ostendat. Ecce enim et hic cum precatus esset, ut a se innumera mala recederent et adversarii, non obtinuit quod petebat; et causam addit, ob quam non obtinuerit. Quænam igitur est causa? nihil enim prohibet rursus eam memorare. *Sufficit*, inquit, *tibi gratia mea; virtus enim mea in infirmitate perficitur*.

4. Vides idcirco Deum permittere angelos Satanæ servos suos premere, et sexcenta illis negotia exhibere, ut ipsius virtus appareat? Vere namque sive cum paganis, sive cum miseris Judæis disseramus, ad divinam virtutem ostendendam hoc sufficit, quod infinitis exagitata bellis fides superaverit, quod universo terrarum orbe repugnante, cunctisque duodecim illos homines magna contentione repellentibus, apostoli, inquam, illi brevi tempore virgis cæsi, vexati, innumera mala perpessi eos, a quibus hæc inferebantur, potuerint prospero successu devincere. Propterea beatum etiam Eustathium in exsilium abduci permisit Deus, ut veritatis nobis virtutem et hæreticorum imbecillitatem amplius demonstraret. Itaque peregre profecturus urbem quidem dimittebat, at caritatem in vos non dimittebat: neque quod ab Ecclesia expellebatur, a præsulis etiam munere, vel a cura vestri, quam gerebat, alienum seipsum putabat, sed tum amplius curabat et sollicitus erat. Ideo vocatos omnes admonebat, ut ne succumberent, neve lupis cederent, aut illis gregem proderent; sed intus manerent, ut os illis obstruerent, eos convincerent, ac simpliciores fratres confirmarent. Et vere recte illum imperasse tandem exitus comprobavit: nisi enim tum in Ecclesia remansissetis, corrupta pars major civitatis fuisset, oves in deserto devorantibus lupis; verum illius sermo, ne suam nequitiam impudenter exercerent, impedivit. Neque vero solum exitus id ostendit, sed et Pauli verba: nam et ab illo hic edoctus sic admonebat. Quid igitur ait Paulus? Cum olim Romam esset abducendus ultima sua profectione, postquam non amplius discipulos visurus erat, *Non enim amplius videbo vos* (*Act.* 20. 25), inquit: hoc autem dicebat, non ut illis dolorem inureret, sed quod confirmare illos vellet: inde igitur profecturus hoc pacto illos confirmabat dicens, *Scio quoniam intrabunt post discessionem meam lupi graves, et ex vobis ipsis exsurgent viri loquentes perversa* (*Ibid. v.* 29. 30). Triplex bellum, ferarum natura, belli sævitia, quodque non alieni sint, sed domestici, qui bellum inferunt, ideoque gravius. Nam si extrinsecus vulneret me quispiam, aut bellum inferat, facile illum potero superare; sin autem intrinsecus ab ipso corpore ulcus oriatur, sanatu difficile fit malum: quod nimirum tunc etiam evenit. Propterea monebat dicens, *Attendite vobis, et universo gregi* (*Ibid. v.* 28): non dixit, Derelictis ovibus foras aufugite. His instructus cum fuisset beatus Eustathius, discipulos suos admonebat: quæ nimirum sapiens hic quoque ac generosus magister cum audisset, opere sermonem implevit. Invadentibus igitur illis oves non deseruit, tametsi in thronum præfecturæ suæ non ascenderat; sed hoc illa generosa et philosophia præstans anima non curabat: nam præsulum honores cæteris relinquebat; labores autem præsulum ipse exantlabat, et intus cum lupis versabatur: nihil enim eum ferarum dentes lædebant, ita solidiori fide præditus erat, quam ut eorum morsibus esset obnoxius. Cum igitur intus versaretur, et pugna, qua cum eo congrediebantur, omnes illos distineret, multam ovibus tranquillitatem comparabat. Neque vero tantum id agebat, ut eorum ora obturaret, et blasphemias refelleret; sed ipsas etiam oves circumiens perpende-

τικοὺς ἄλλους ὑμῖν ὑπὲρ τῶν τοιούτων γίνηται λόγος, ἱκανὸν τὸ ῥηθησόμενον ἅπασαν λῦσαι τὴν ἀπορίαν. Ὁ Θεὸς τὴν μὲν πίστιν αὐτοῦ τὴν ἀληθῆ καὶ ἀποστολικὴν ἐν πολλοῖς συγχωρεῖ πολεμεῖσθαι, τὰς δὲ αἱρέσεις [608] καὶ τὸν ἑλληνισμὸν ἀφίησιν ἀδείας ἀπολαύειν. Τί δήποτε; Ἵνα ἐκείνων μὲν τὴν ἀσθένειαν μάθῃς οὐκ ἐνοχλουμένων, καὶ αὐτομάτως καταλυομένων· τῆς δὲ πίστεως τὴν ἰσχὺν γνωρίσῃς πολεμουμένης, καὶ διὰ τῶν κωλυόντων αὐξανομένης. Καὶ ὅτι οὐκ ἐμός ἐστιν οὗτος στοχασμὸς, ἀλλὰ θεῖος χρησμὸς ἄνωθεν ἐνεχθεὶς, ἀκούσωμεν Παύλου τί περὶ τούτων φησί· καὶ γὰρ ἔπαθέ τί ποτε ἀνθρώπινον καὶ οὗτος· εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλὰ τῆς ἡμετέρας μετέσχε φώσεως. Τί δέ ἐστιν, ὅπερ ἔπαθεν; Ἠλαύνετο, ἐπολεμεῖτο, ἐμαστίζετο, μυρίοις ἐπεβουλεύετο τρόποις, ἔξωθεν, ἔσωθεν, ὑπὸ τῶν δοκούντων οἰκείων εἶναι, ὑπὸ τῶν ἀλλοτρίων. Καὶ τί δεῖ λέγειν, ὅσας ὑπέμεινε θλίψεις; Κάμνων τοίνυν, καὶ μηκέτι φέρων τὰς προσβολὰς τῶν πολεμίων ἀεὶ διακοπτόντων αὐτοῦ τὴν διδασκαλίαν, καὶ ἐναντιουμένων αὐτοῦ τῷ λόγῳ, προσπίπτει τῷ Δεσπότῃ, καὶ παρακαλεῖ αὐτὸν, καὶ λέγει· *Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.* Καὶ οἶδα μὲν ὅτι τινὲς ἀσθένειαν εἶναι νομίζουσι σωματικήν· οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν· ἀλλ' ἄγγελον Σατᾶν τοὺς ἀντικειμένους ἀνθρώπους καλεῖ· τὸ γὰρ Σατᾶν τοῦτο Ἑβραϊκὴ λέξις ἐστί· Σατᾶν δὲ ὁ ἀντικείμενος λέγεται. Τὰ οὖν σκεύη τοῦ διαβόλου, καὶ τοὺς ἐκείνῳ διακονουμένους ἀνθρώπους ἀγγέλους αὐτοῦ καλεῖ. Διὰ τί οὖν, φησὶ, πρόσκειται τῇ σαρκί; Ὅτι ἡ σὰρξ ἐμαστίζετο, ἡ δὲ ψυχὴ ἐκουφίζετο τῇ ἐλπίδι τῶν μελλόντων ἐπαιρομένη· οὐδὲ γὰρ ἥπτετο τῆς ψυχῆς, οὐδὲ ὑπεσκέλιζε τοὺς ἔνδον λογισμοὺς, ἀλλὰ μέχρι τῆς σαρκὸς εἱστήκει τὰ μηχανήματα καὶ ὁ πόλεμος, εἴσω διαβῆναι μὴ δυνάμενος. Ἐπεὶ οὖν αὕτη ἐτέμνετο, αὕτη ἐμαστίζετο, αὕτη ἐδεσμεῖτο (ψυχὴν γὰρ δῆσαι ἀδύνατον ἦν), διὰ τοῦτο λέγει, *Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ*, τοὺς πειρασμοὺς, τὰς θλίψεις, τοὺς διωγμοὺς αἰνιττόμενος. Εἶτα τί; *Ὑπὲρ τούτου τρὶς*, φησὶ, *τὸν Κύριον παρεκάλεσα*· τοῦτ' ἔστι, Πολλάκις ἐδεήθην, φησὶν, ὥστε ἀναπνεῦσαι μικρὸν ἐκ τῶν πειρασμῶν. Ὑμεῖς δὲ μέμνησθε τῆς αἰτίας ἧς εἶπον, ὅτι διὰ τοῦτο συγχωρεῖ ὁ Θεὸς τοὺς ἑαυτοῦ δούλους μαστίζεσθαι, ἐλαύνεσθαι, μυρία πάσχειν δεινὰ, ἵνα τὴν ἑαυτοῦ δείξῃ δύναμιν. Ἰδοὺ γὰρ καὶ ἐνταῦθα δεηθεὶς, ὥστε ἀποστῆναι αὐτοῦ τὰ μυρία δεινὰ καὶ τοὺς ἀντικειμένους, οὐκ ἐπέτυχε τῆς αἰτήσεως· καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν οὐκ ἐπέτυχε τῆς αἰτήσεως. Τίς οὖν ἐστιν ἡ αἰτία; οὐδὲν γὰρ κωλύει πάλιν αὐτῆς ἐπιμνησθῆναι· *Ἀρκεῖ σοι*, φησὶν, *ἡ χάρις μου· ἡ γὰρ δύναμις μου ἐν ἀσθενείᾳ τελειοῦται.*

δ'. Ὁρᾷς ὅτι διὰ τοῦτο συγχωρεῖ ὁ Θεὸς τοὺς ἀγγέλους τοῦ Σατανᾶ τοῖς αὐτοῦ δούλοις ἐπικεῖσθαι, καὶ μυρία παρέχειν πράγματα, ἵνα ἡ δύναμις αὐτοῦ διαφαίνηται; Οὕτως γὰρ κἂν πρὸς Ἕλληνας, κἂν πρὸς τοὺς ἀθλίους Ἰουδαίους διαλεγώμεθα, ἀρκεῖ τοῦτο ἡμῖν εἰς ἀπόδειξιν τῆς θείας δυνάμεως, τὸ διὰ μυρίων [609] πολέμων τὴν πίστιν εἰσενεχθεῖσαν κρατῆσαι, καὶ τῆς οἰκουμένης ἁπάσης ἀντιπραττούσης, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀπωθουμένων ἁπάντων τοὺς δώδεκα ἀνθρώπους ἐκείνους, τοὺς ἀποστόλους λέγω, δυνηθῆναι ἐν βραχεῖ καιρῷ μαστιζομένους, ἐλαυνομένους, μυρία πάσχοντας δεινὰ, τῶν ταῦτα ποιούντων κρατῆσαι μεθ' ὑπερβολῆς ἁπάσης. Διὰ ταῦτα καὶ τὸν μακάριον Εὐστάθιον ἀφῆκε πρὸς τὴν ὑπεροχίαν ὁ Θεὸς ἀπενεχθῆναι, ἵνα μειζόνως ἡμῖν δείξῃ καὶ τὴν δύναμιν τῆς ἀληθείας, καὶ τῶν αἱρετικῶν τὴν ἀσθένειαν. Μέλλων τοίνυν πρὸς τὴν ἀποδημίαν ἀπιέναι, τὴν μὲν πόλιν ἠφίει, τὴν δὲ ἀγάπην ὑμῶν οὐκ ἠφίει· οὐδὲ ἐπειδὴ τῆς Ἐκκλησίας ἐξεβάλλετο, καὶ τῆς προστασίας καὶ τῆς ὑπὲρ ὑμῶν κηδεμονίας ἀλλότριον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἀλλὰ μειζόνως τότε ἐκήδετο, καὶ ἐφρόντιζε· καὶ καλέσας ἅπαντας παρεκάλεσε μὴ παραχωρῆσαι, μηδὲ ἐνδοῦναι τοῖς λύκοις, μηδὲ προδοῦναι τὴν ποίμνην αὐτοῖς, ἀλλὰ μένειν ἔνδον ἐπιστομίζοντας μὲν αὐτοὺς καὶ διελέγχοντας, τοὺς ἀκεραιοτέρους δὲ τῶν ἀδελφῶν ἀσφαλιζομένους. Καὶ ὅτι καλῶς ἐκέλευσε, τὸ τέλος ἔδειξεν· εἰ γὰρ μὴ ἐμείνατε ἐν τῇ Ἐκκλησίᾳ τότε, τὸ πλέον τῆς πόλεως ἦν διεφθαρμένον, ἐπ' ἐρημίας τῶν λύκων τὰ πρόβατα ἐσθιόντων· ἀλλ' ἐκείνου τὸ ῥῆμα ἐκώλυσε μετὰ ἀδείας αὐτοὺς τὴν οἰκείαν ἐπιδείξασθαι πονηρίαν. Οὐ τὸ τέλος δὲ ἔδειξε μόνον, ἀλλὰ καὶ τὰ Παύλου ῥήματα· καὶ γὰρ οὗτος παρ' ἐκείνου παιδευθεὶς ταῦτα παρῄνει. Τί οὖν ὁ Παῦλός φησι; Μέλλων ἀπάγεσθαί ποτε εἰς τὴν Ῥώμην τὴν ἐσχάτην ἀποδημίαν, μεθ' ἣν οὐκ ἔτι ἔμελλεν ὄψεσθαι τοὺς μαθητάς· *Οὐκ ἔτι γὰρ ὑμᾶς ὄψομαι*, φησί· τοῦτο δὲ ἔλεγεν, οὐχὶ λυπῆσαι, ἀλλ' ἀσφαλίσασθαι βουλόμενος· μέλλων τοίνυν ἀποδημεῖν ἐκεῖθεν, οὕτω πως αὐτοὺς ἠσφαλίζετο λέγων· *Οἶδα ὅτι μετὰ τὴν ἄφιξίν μου εἰσελεύσονται πρὸς ὑμᾶς λύκοι βαρεῖς, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα.* Τριπλοῦς ὁ πόλεμος, ἡ φύσις τῶν θηρίων, ἡ χαλεπότης τοῦ πολέμου, τὸ μὴ ἀλλοτρίους, ἀλλὰ καὶ οἰκείους εἶναι τοὺς πολεμοῦντας· διὰ τοῦτο χαλεπώτερος· εἰκότως. Ἂν μὲν γὰρ ἔξωθέν μέ τις βάλλῃ καὶ πολεμῇ, ῥᾳδίως αὐτοῦ περιγενέσθαι δυνήσομαι· ἂν δὲ ἔνδοθεν ἀπὸ τοῦ σώματος φύῃ τὸ ἕλκος, δυσίατον γίνεται τὸ κακόν· ὃ δὴ καὶ τότε ἐγένετο. Διὸ καὶ παρῄνει λέγων, *Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ*· οὐκ εἶπε, Καταλιπόντες τὰ πρόβατα φεύγετε ἔξω. Ταῦτα καὶ ὁ μακάριος Εὐστάθιος πεπαιδευμένος παρῄνει τοῖς ἑαυτοῦ μαθηταῖς· ἅπερ οὖν καὶ ὁ σοφὸς οὗτος καὶ γενναῖος διδάσκαλος ἀκούσας, ἔργῳ τὸν λόγον ἐπλήρωσεν. Εἰσιόντων γοῦν ἐκείνων, οὐκ ἀφῆκε τὰ πρόβατα, καίτοι γε οὐκ ἦν ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς ἀνελθών· ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν γενναίαν ἐκείνην καὶ φιλόσοφον ψυχήν. Τὰς μὲν γὰρ τιμὰς τῶν ἀρχόντων ἑτέροις ἠφίει, τοὺς δὲ πόνους τῶν ἀρχόντων αὐτὸς ὑπέμενεν, ἔνδον μεταξὺ τῶν λύκων στρεφόμενος· οὐδὲν γὰρ αὐτὸν οἱ τῶν θηρίων ὀδόντες ἔβλαπτον, οὕτως ἰσχυροτέραν πίστιν εἶχε τῶν ἐκείνων δηγμάτων. Ἔνδον τοίνυν στρεφόμενος, καὶ τῇ γινομένῃ πρὸς αὐτὸν μάχῃ πάντας αὐτοὺς ἀσχολῶν, πολλὴν ἄδειαν τοῖς προβάτοις παρεσκεύαζεν. Οὐ τοῦτο δὲ μόνον ἐποίει ἐμφράττων αὐτῶν τὰ στόματα,

ἀνακρουόμενος τὰς [610] βλασφημίας, ἀλλὰ καὶ αὐτὰ τὰ θρέμματα περιὼν κατεμάνθανε, μή που βέλος ἐδέξατό τις, μή που τρῦμα χαλεπὸν ἔλαβε, καὶ εὐθέως τὸ φάρμακον ἐπετίθει. Καὶ ταῦτα ποιῶν ἐζύμωσεν ἅπαντας εἰς τὴν ἀληθῆ πίστιν, καὶ οὐ πρότερον ἀπέστη, ἕως ὁ Θεὸς τὸν μακάριον Μελέτιον παρεσκεύασεν ἐλθόντα τὸ φύραμα ἅπαν λαβεῖν· οὗτος ἔσπειρεν, ἐκεῖνος ἐλθὼν ἐθέρισεν. Οὕτω καὶ ἐπὶ Μωϋσέως καὶ Ἀαρὼν ἐγένετο. Καὶ γὰρ κἀκεῖνοι ζύμης δίκην ἐν μέσοις τοῖς Αἰγυπτίοις στρεφόμενοι πολλοὺς τῆς οἰκείας εὐσεβείας ἐποίησαν ζηλωτάς. Καὶ μαρτυρεῖ τοῦτο Μωϋσῆς λέγων, ὅτι πολὺς ἐπίμικτος λαὸς συνανέβη μετὰ τῶν Ἰσραηλιτῶν. Τοῦτον δὴ τὸν Μωϋσέα μιμούμενος οὗτος, καὶ πρὸ τῆς ἀρχῆς τὰ τῆς ἀρχῆς ἔπραττε· καὶ γὰρ ἐκεῖνος οὐδέπω τοῦ λαοῦ τὴν προστασίαν ἐγχειρισθείς, ἐῤῥωμένως μάλα καὶ γενναίως τοὺς ἀδικοῦντας ἐκόλαζε, τοῖς ἀδικουμένοις ἤμυνε, καὶ βασιλικὴν τράπεζαν ἀφεὶς, καὶ τιμὰς, καὶ προεδρίας, πρὸς τὸν πηλὸν καὶ τὴν πλινθείαν ἔδραμε, πάσης τρυφῆς, καὶ ἀνέσεως, καὶ τιμῆς προτιμοτέραν εἶναι νομίζων τὴν τῶν οἰκείων κηδεμονίαν· πρὸς ὃν καὶ αὐτὸς βλέπων τότε πάντας ἄρχοντας τῇ περὶ τὸν λαὸν παρῄνει κηδεμονίᾳ, καὶ ἀνέσεως προετίθει πόνους καὶ τὸ πάντοθεν ἐλαύνεσθαι διηνεκεῖς καθ' ἑκάστην ἡμέραν ἀναδεχόμενος ἀπεχθείας· ἀλλὰ πάντα ἦν αὐτῷ κοῦφα· ἡ γὰρ τῶν γινομένων ὑπόθεσις ἱκανὴν αὐτῷ παρεῖχε τῶν συμβαινόντων παραμυθίαν. Διὰ δὴ ταῦτα πάντα εὐχαριστήσαντες τῷ Θεῷ, ζηλώσωμεν τῶν ἁγίων τούτων τὰς ἀρετὰς, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς κοινωνήσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD HOMILIAS IN S. ROMANUM MARTYREM

Ut diximus in Monito præcedenti, Homiliam in S. Eustathium mox secuta est hæc in S. Romanum martyrem, tumque *illustrius*, inquit Chrysostomus, *factum est theatrum, amplior applausus, majorque strepitus acclamantium*. Has ille consequenter paucisque interpositis diebus homilias habuit: et tamen in Martyrologiis S. Eustathii festum ad diem 16 Julii annuntiatur, S. vero Romani ad decimam octavam Novembris: qua de re commonstratur alios horum sanctorum, vel saltem ad alterutrius eorum cultum dies Antiochiæ fuisse constitutos. In hunc Romanum Martyrem erudite disserit Fronto Ducæus, qui quærit uter Romanus hic memoretur, illene cujus meminit Eusebius Hist. Eccl. lib. VIII, c. 12, παροικίας sive Djœcesis Cæsariensis diaconus, qui Antiochiæ passus est, an is de quo Prudentius multa commemorat. Reque diligentius excussa putat probabiliter dici posse unum eumdemque Romanum esse quem Eusebius, Chrysostomus Prudentiusque commemorant. Vide notas ejus ad calcem hujus tomi, ubi de utraque homilia.

Verum ut certum est homiliam primam esse γνήσιον Chrysostomi fetum, non perinde existimamus de

ΕΓΚΩΜΙΟΝ

Εἰς τὸν ἅγιον μάρτυρα Ῥωμανὸν α'.

α'. Πάλιν μαρτύρων μνήμη, καὶ πάλιν ἑορτὴ, καὶ πανήγυρις πνευματική. Ἔχαμον ἐκεῖνοι, καὶ χαίρομεν ἡμεῖς· ἐπάλαισαν ἐκεῖνοι, καὶ ἡμεῖς ἀγαλλόμεθα· ἐκείνων ὁ στέφανος, καὶ κοινὸν τὸ κλέος, μᾶλλον δὲ τῆς Ἐκκλησίας [a] ἁπάσης ἡ δόξα. Καὶ πῶς ἂν τοῦτο γένοιτο; φησίν. Ὅτι μέρη καὶ μέλη ἡμῶν εἰσιν οἱ μάρτυρες. Εἴτε δὲ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. Ἡ κεφαλὴ στεφανοῦται, καὶ τὸ λοιπὸν σῶμα ἀγάλλεται· εἷς Ὀλυμπιονίκης γίνεται, καὶ ὁλόκληρος δῆμος εὐφραίνεται, καὶ μετὰ πολλῆς αὐτὸν δέχεται τῆς εὐφημίας. Εἰ δὲ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων οἱ μηδὲν εἰς τοὺς ἰδρῶτας ἐκείνους εἰσενεγκόντες τοσαύτην καρποῦνται τὴν ἡδονὴν, πολλῷ μᾶλλον ἐπὶ τῶν τῆς εὐσεβείας ἀθλητῶν τοῦτο γένοιτ' ἄν. Πόδες ἐσμὲν ἡμεῖς, οἱ μάρτυρες κεφαλή· ἀλλ' οὐ δύναται εἰπεῖν ἡ κεφαλὴ τοῖς ποσὶ, Χρείαν ὑμῶν οὐκ ἔχω.

[a] Sic Savil. et unus ms. Reg. In Morel. τὸ κλέος καὶ τῆς Ἐκκλησίας.

bat, num quis telo percussus fuisset, num grave vulnus accepisset, statimque medicamentum adhibebat. Hoc dum faceret, ad veram fidem omnes animavit, nec prius destitit, quam Dei munere atque concessu beatus Meletius advenit, qui totam massam accepit; nic seminavit, ille messuit. Tale quid etiam Moyses et Aaron præstiterunt. Nam et illi fermenti in morem, dum in medio Ægyptiorum versarentur, multos domesticæ pietatis æmulatores reddebant. Testatur hoc Moyses, dum multum vulgus promiscuum cum Israelitis ait ascendisse (*Exod.* 12. 38). Hunc Moysem imitans iste, etiam ante magistratum, quæ magistratus erant gerebat : siquidem ille priusquam in populum delatum illi esset imperium, fortiter admodum atque generose inferentes injuriam puniebat, injuriam patientes ulciscebatur, et regia mensa, honoribus dignitatibusque contemptis ad lutum et lateritium opus currebat, ac delieiis omnibus, voluptatibus et honoribus præferendam propinquorum curam existimabat : ad quem oculos iste convertens magistratus omnes sua in populum sollicitudine commonefaciebat, et labores perferre, undique divexari, quam tranquillitate frui malebat, ac perpetuas in dies inimicitias incurrebat. Verumtamen levia erant illi omnia : siquidem ex iis rebus, quæ accidebant, idoneam consolationis occasionem arripiebat. Quæ cum ita sint, Deo gratias agentes sanctorum istorum virtutes imitemur, ut earumdem cum ipsis coronarum participes esse valeamus, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri unaque sancto Spiritui gloria, honor et imperium in sæcula sæculorum. Amen.

ADMONITIO.

secunda dicendum. Licet enim hæc verba sub finem homiliæ : *Voluissem equidem in hujus martyris argumento exsultantem orationem ad finem usque deducere : at justi spatii tempus advenit, et ut* [611] *sileamus hortatur. Nam et vobis ad utilitatem hæc dicta sufficiunt, et necessaria sunt Patris documenta, ut dicta illa perficiantur.* Licet, inquam, hæc verba Flavianum episcopum mox concionaturum indicent, ut in aliis Chrysostomi homiliis non infrequenter animadvertimus, magnumque hinc γνησιότητος indicium sumi posse videatur, attamen styli genus tam absimile videtur aliis Chrysostomi orationibus, vix ut credi possit hanc esse S. doctoris homiliam. Omnia hic tropis exclamationibusque redundant, et nescio quam peregrinitatem olent, si cum præcedentibus et sequentibus concionibus comparentur. Quare crediderim potius esse cujusdam presbyteri Antiocheni, qui sub Flaviano alternas cum Chrysostomo concionandi partes ageret.

Interpretatio Latina primæ homiliæ est incerti cujusdam, secundæ vero Frontonis Ducæi; ambas aliquot in locis emendavimus.

LAUDATIO I

SANCTI MARTYRIS ROMANI (*a*).

1. *Nos sumus Martyrum membra, imo Christi.* — Rursus martyrum memoria, et rursus dies festus et celebritas spiritualis. Laborarunt illi, et nos lætamur : decertarunt illi, et nos exsultamus : illorum est corona et communis gloria, imo potius totius Ecclesiæ gloria. Et quomodo, dicet quispiam, posset hoc fieri? Quia partes et membra nostra sunt martyres : *Sive autem patitur unum membrum, compatiuntur omnia membra : sive glorificatur unum membrum, congaudent omnia membra* (1. *Cor.* 12. 26). Caput coronatur, et reliquum corpus exsultat : unus est victor in ludis Olympicis, et totus gaudet populus, magnisque eum laudibus excipit. Si autem in Olympicis certaminibus, qui nihil ad illos sudores contulerunt, tanta fruuntur voluptate : multo magis hoc fiet in athletis pietatis. Nos pedes sumus, martyres autem caput. Sed non potest caput dicere pedibus, Vestri non egeo (*ib.*

(*a*) Collata cum Codd. Regg. 1959 et 2543.

v. 21). Gloriosa sunt membra, sed gloriæ excellentia non aliena illa facit a conjunctione, quæ est cum reliquis partibus [1] : tunc enim fiunt maxime gloriosa, quando eam, quæ nobiscum est, conjunctionem non abruperint : nam oculus quoque, licet reliquo toto corpore sit splendidior, suam tunc gloriam conservat, quando a reliquo corpore non abscinditur. Et quid de martyribus dico? Si enim Dominus ipsorum nostrum caput fieri non erubuit, multo magis ipsi esse nostra membra non erubescunt : habent enim radicatam caritatem : solet autem caritas ea, quæ sunt disjuncta, conjungere et colligare, neque de dignitate admodum accurate inquirit. Sicut ergo ipsi peccantibus nobis dolore simul afficiuntur, ita nos etiam cum eis in recte factis eorum lætamur. Sic etiam jussit Paulus gaudere cum gaudentibus, et flere cum flentibus (*Rom.* 12. 15). Sed flere quidem cum flentibus facile est, gaudere autem cum gaudentibus non facile admodum : facilius enim cum iis, qui in calamitatibus sunt, dolemus, quam cum iis, quibus sunt res secundæ, gaudemus. Nam illic quidem ipsa calamitatis natura potest vel lapidem flectere ad commiserationem : hic autem in rebus prosperis invidia et livor eum, qui non valde philosophatur, non sinit effici socium voluptatis. Nam quemadmodum caritas ea, quæ divisa sunt, conjungit et colligat : sic etiam invidia ea, quæ unita sunt, dividit. Quamobrem, oro vos, studeamus gaudere cum iis, qui recte rem gerunt, ut animam a livore atque invidia expurgemus : nihil enim æque morbum hunc gravem curatuque difficilem expellit, atque cum iis, qui vivunt in virtute, gaudere. Audi itaque quam summus in his utrisque sit Paulus : *Quis*, inquit, *infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* (2. *Cor.* 11. 29)? Non dixit, Et ego molestia non afficior : sed, *Ego non uror*, dixit, urendi verbo summum nobis dolorem volens ostendere. Et rursus ad alios scribens dicit, *Sine nobis regnavistis : et utinam regnavissetis, ut nos quoque simul vobiscum regnaremus* (1. *Cor.* 4. 8). Et rursus, *Nunc vivimus, si vos statis in Domino* (1. *Thess.* 3. 8). Vide quantopere studebat, ut res fratrum recte se haberent, qui nec se vivere quidem existimabat, si illi salvi non essent.

Caritas sine martyrio prodest; martyrium sine caritate non prodest. Romano lingua amputatur : quare? — Homo qui ad tertium cælum raptus fuerat, atque in paradisum delatus, et qui mysteriorum ineffabilium particeps fuerat, tantamque apud Deum fiduciam fuerat assequutus, illorum bonorum sensum non valde accipiebat, nisi etiam fratres secum salvos esse vidisset. Sciebat enim, plane sciebat, caritate nihil esse majus, nihil ipsi par esse; nec ipsum quidem martyrium, quod caput omnium est bonorum. Quo vero id tandem modo, sic disce. Nam caritas quidem etiam absque martyrio Christi discipulos facit : martyrium autem sine caritate facere id non potest. Undenam hoc sciri potest? Ab ipsis Christi verbis : dicebat enim discipulis : *In hoc cognoscent omnes quod discipuli mei estis, si vos invicem diligatis* (*Joan.* 13. 35). Ecce caritas sine martyrio discipulos facit. Quod autem martyrium sine caritate non solum discipulos non faciat, sed nec prosit quidem patienti, audi Paulum dicentem : *Si tradidero corpus meum, ut comburar, caritatem autem non habuero, nihil mihi prodest* (1. *Cor.* 13. 3).

2. Propterea sanctum hunc maxime diligo, qui nos hodie congregavit, beatum inquam Romanum, quoniam cum martyrio magnam quoque in Christum caritatem ostendit : quamobrem ei quoque sancta lingua fuit amputata. Etenim hoc quoque examinare par est, quanam de causa non ad alia utique tormenta, supplicia et cruciatus diabolus eum deduxerit, sed linguam ei absciderit. Non enim hoc temere fecit, sed maxima cum malitia : nam callida et malefica est hæc bestia, nihilque non facit et movet adversus nostram salutem. Age ergo examinemus, cur ad linguæ ejus amputationem processit : verum paulo altius repetitam orationem instituamus : sic enim sciemus et Dei benignitatem, et martyris tolerantiam, et diaboli malignitatem : et cum Dei quidem didicerimus benignitatem, Domino gratias agemus; martyris autem cognita patientia conservum imitabimur; intellecta vero diaboli malitia omnino aversabimur inimicum. Propterea enim Deus ejus machinationum notitiam dedit nobis, ut eum magis odio habentes, facilius superemus. Quod enim cognosci possint cogitationes ejus, audi quid dicat Paulus de eo, qui fornicatus fuerat : ad Corinthios enim scribens sic ait : *Confirmate in ipsum caritatem, ut non circumveniamur a Satana : non enim cogitationes ejus ignoramus* (2. *Cor.* 2. 8. *et* 11). Quænam est ergo causa, propter quam ei linguam amputavit? Concedite ut rem paulo altius repetam. Grave bellum fuit aliquando adversus Ecclesias excitatum, non barbaris adversus civitates incursiones facientibus, nec ullis alienigenis, sed iis, qui nostro huic terrarum orbi præesse videbantur, immanius, quam tyranni quilibet, tractantibus eos, qui ipsorum imperio parebant. Non enim solum libertas, et patria, et pecuniæ, et præsens vita tunc in periculum veniebat; sed regnum cælorum, et bona quæ justis sunt reposita, vitaque immortalis et Christi confessio. Ac novus quoque captivitatis modus excogitatus est : non enim ex ea, quæ hic est, civitate expellebant, sed superna Jerusalem, quæ est libera, privare conabantur, et unumquemque in altaribus animam sacrificare cogebant, ac suum Dominum abjurare, seque dæmonum tyrannidi subjicere, et perniciosos salutisque nostræ hostes dæmones colere, quod mille mortibus et quavis gehenna gravius et intolerabilius generosis animis et Christi amantibus erat. Tunc nimirum, cum multi submergerentur, et fluctus in altum tollerentur, ac plurimi naufragium facerent, beatus hic Romanus in medium eorum procedens, non statim consideravit, quo se modo periculis traderet; sed eos prius, qui metu perculsi ceciderant, qui salutem suam prodiderant, collegit, animavit, ut prælium instaurarent effecit, eos quidem, qui lapsi erant, erigens eos autem,

[1] Unus Reg. Ms., *membris*.

Ἔνδοξα τὰ μέλη, ἀλλ' ἡ ὑπεροχὴ τῆς δόξης οὐ ποιεῖ τῆς πρὸ τὰ λοιπὰ μέρη [a] συναφείας ἀλλοτρίωσιν· ταύτῃ γὰρ μάλιστα ἔνδοξα γίνεται, ὅταν τὴν πρὸς ἡμᾶς συνάφειαν μὴ διακρούσηται· ἐπεὶ καὶ ὀφθαλμὸς, τοῦ λοιποῦ παντὸς σώματος λαμπρότερος ὤν, τότε τὴν οἰκείαν διατηρεῖ δόξαν, ὅταν μὴ τοῦ λοιποῦ σώματος ἀποσχίζηται. Καὶ τί λέγω περὶ μαρτύρων; Εἰ γὰρ ὁ Δεσπότης αὐτῶν οὐκ ἐπῃσχύνθη γενέσθαι ἡμῶν κεφαλὴ, πολλῷ μᾶλλον αὐτοὶ μέλη ἡμῶν εἶναι οὐκ ἐπαισχύνονται· ἀγάπην γὰρ ἔχουσιν ἐρριζωμένην, ἡ δὲ ἀγάπη τὰ διεστηκότα συνάπτειν καὶ συνδεῖν εἴωθε, καὶ περὶ τῆς ἀξίας οὐκ ἀκριβολογεῖται. Ὥσπερ οὖν αὐτοὶ συναλγοῦσιν ἡμῶν τοῖς ἁμαρτήμασιν, οὕτως ἡμεῖς συγχαίρομεν αὐτῶν τοῖς κατορθώμασιν. Οὕτω καὶ Παῦλος ἐκέλευσε ποιεῖν λέγων, Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. Ἀλλὰ τὸ μὲν κλαίειν μετὰ κλαιόντων εὔκολον, τὸ δὲ χαίρειν μετὰ χαιρόντων οὐ σφόδρα ῥᾴδιον· ῥᾷον γὰρ τοῖς ἐν συμφοραῖς οὖσι συναλγοῦμεν, ἢ τοῖς εὐδοκιμοῦσι συνηδόμεθα. Ἐκεῖ μὲν γὰρ αὐτὴ τῆς [b] συμφορᾶς ἡ φύσις καὶ τὸν λίθον ἱκανὴ πρὸς συμπάθειαν ἐπικάμψαι· ἐνταῦθα δὲ ἐπὶ τῆς εὐπραγίας ὁ φθόνος καὶ ἡ βασκανία τὸν μὴ σφόδρα [612] φιλοσοφοῦντα οὐκ ἀφίησι γενέσθαι κοινωνὸν τῆς ἡδονῆς. Ὥσπερ γὰρ ἡ ἀγάπη τὰ διῃρημένα συνάγει καὶ συνδεῖ, οὕτως ἡ βασκανία τὰ ἡνωμένα διαιρεῖ. Διὸ παρακαλῶ, μελετήσωμεν συγχαίρειν τοῖς εὐδοκιμοῦσιν, ἵνα καὶ φθόνου καὶ βασκανίας τὴν ψυχὴν ἐκκαθάρωμεν· οὐδὲν γὰρ οὕτως ἀπελαύνει τὸ νόσημα τοῦτο τὸ χαλεπὸν καὶ δυσίατον, ὡς τὸ συνήδεσθαι τοῖς ἐν ἀρετῇ βιοῦσιν. Ἄκουσον γοῦν πῶς ὁ Παῦλος ἐν ἑκατέροις τούτοις ἐστὶν ἄκρος· *Τίς*, φησὶν, *ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* Οὐκ εἶπε, καὶ οὐκ ἐγὼ λυποῦμαι, ἀλλ', *οὐκ ἐγὼ πυροῦμαι*, τῇ προσηγορίᾳ, τῆς πυρώσεως τὴν ἐπίτασιν τῆς ὀδύνης ἡμῖν παραστῆσαι βουλόμενος. Καὶ πάλιν ἑτέροις γράφων, *Χωρὶς ἡμῶν ἐβασιλεύσατε*, φησὶν· *καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν*· καὶ πάλιν· *Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.* Ὅρα πῶς περισπούδαστος ἦν αὐτῷ τῶν ἀδελφῶν ἡ εὐδοκίμησις, ὃς οὔτε ζῆν ἐνόμιζεν, ἐκείνων μὴ σωζομένων.

Ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, καὶ εἰς παράδεισον ἀπενεχθεὶς, καὶ μυστηρίων κοινωνήσας ἀπορρήτων, καὶ τοσαύτης πρὸς τὸν Θεὸν ἀπολαύσας παῤῥησίας, οὐ σφόδρα αἴσθησιν ἐκείνων ἐλάμβανε τῶν ἀγαθῶν, εἰ μὴ καὶ τοὺς ἀδελφοὺς εἶδε σὺν αὐτῷ διασωζομένους. Οἶδε γὰρ, οἶδε σαφῶς, ὅτι ἀγάπης οὐδὲν οὔτε μεῖζον οὔτε ἴσον ἐστὶν, οὐδὲ αὐτὸ τὸ μαρτύριον, ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν· καὶ πῶς, ἄκουσον. Ἀγάπη μὲν γὰρ καὶ χωρὶς μαρτυρίου ποιεῖ μαθητὰς τοῦ Χριστοῦ, μαρτύριον δὲ χωρὶς ἀγάπης οὐκ ἂν ἰσχύσειε τοῦτο ἐργάσασθαι. Πόθεν τοῦτο δῆλον, Ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ῥημάτων· πρὸς γὰρ τοὺς μαθητὰς ἔλεγεν· *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.* Ἰδοὺ ἀγάπη χωρὶς μαρτυρίου μαθητὰς ποιεῖ.

Ὅτι δὲ μαρτύριον χωρὶς ἀγάπης οὐ μόνον μαθητὰς οὐ ποιεῖ, ἀλλ' οὐδὲ ὠφελεῖ τι τὸν ὑπομένοντα, ἄκουσον Παύλου λέγοντος· *Ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.*

β'. Διὰ τοῦτο μάλιστα τὸν ἅγιον τοῦτον φιλῶ τὸν σήμερον ἡμᾶς συναγαγόντα, τὸν μακάριον Ῥωμανὸν, ὅτι μετὰ τοῦ μαρτυρίου πολλὴν τὴν ἀγάπην ἐπεδείξατο, διὸ καὶ τὴν γλῶτταν ἐξεκόπτετο τὴν ἁγίαν. Καὶ γὰρ καὶ τοῦτο ἄξιον ἐξετάσαι, τί δήποτε οὐκ ἐπὶ βασάνους καὶ κολάσεις καὶ τιμωρίας ἤγαγεν αὐτὸν ὁ διάβολος, ἀλλὰ τὴν γλῶτταν ἀπέτεμεν· οὐ γὰρ εἰκῇ τοῦτο ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς τῆς πονηρίας· καὶ γὰρ κακουργόν ἐστι τὸ θηρίον, καὶ πάντα κατὰ τῆς ἡμετέρας σωτηρίας πραγματεύεται καὶ κινεῖ. Φέρε οὖν ἐξετάσωμεν, τί δήποτε ἐπὶ τὴν ἐκκοπὴν τῆς γλώττης ἐχώρησε, μικρὸν γοῦν ἀνωτέρω τὸν λόγον ἀγαγόντες· οὕτω γὰρ εἰσόμεθα καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν τοῦ μάρτυρος ὑπομονὴν, καὶ τὴν τοῦ διαβόλου κακουργίαν· καὶ τὴν μὲν τοῦ Θεοῦ φιλανθρωπίαν μαθόντες εὐχαριστήσομεν τῷ Δεσπότῃ, τὴν δὲ τοῦ μάρτυρος ὑπομονὴν γνόντες μιμησόμεθα τὸν σύνδουλον, τὴν δὲ τοῦ διαβόλου κακουργίαν καταμαθόντες, ἀποστραφησόμεθα τὸν ἐχθρόν. Διὰ γὰρ τοῦτο ἡμῖν ἔδωκεν ὁ Θεὸς εἰδέναι αὐτοῦ τὰς μηχανὰς, ἵνα μειζόνως αὐτὸν μισήσαντες [613] εὐκολώτερον αὐτοῦ περιγενώμεθα. Ὅτι γὰρ δυνατὸν εἰδέναι αὐτοῦ τὰ νοήματα, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ τοῦ πεπορνευκότος· Κορινθίοις γὰρ ἐπιστέλλων οὕτω πώς φησι· *Κυρώσατε εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.* Τίς οὖν ἡ αἰτία, δι' ἣν τὴν γλῶτταν ἐξέκοψε; Μικρὸν ἄνωθεν ἀνάσχεσθέ μου διηγουμένου. Πόλεμος ἀνερρίπισθη ποτὲ κατὰ τῶν Ἐκκλησιῶν χαλεπὸς, οὐχὶ βαρβάρων ἐπιδραμόντων τὰς πόλεις, οὐδὲ ἀλλογενῶν τινων, ἀλλ' αὐτῶν τῶν δοκούντων προεστάναι τῆς καθ' ἡμᾶς οἰκουμένης, καὶ βαρβάρων, καὶ πολεμίων, καὶ τυράννων ἁπάντων ἀπηνέστερον καὶ ὠμότερον κεχρημένων τοῖς ὑπηκόοις. Οὐ γὰρ ὑπὲρ ἐλευθερίας, καὶ πατρίδος, καὶ χρημάτων, καὶ τῆς παρούσης ζωῆς ὁ κίνδυνος ἦν τότε, ἀλλ' ὑπὲρ βασιλείας οὐρανῶν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν, ὑπὲρ ἀθανάτου ζωῆς, ὑπὲρ ὁμολογίας τῆς εἰς τὸν Χριστόν. Καὶ καινός τις αἰχμαλωσίας ἐπενοεῖτο τρόπος· οὐ γὰρ τῆς ἐνταῦθα πόλεως ἐξέβαλλον, ἀλλὰ τῆς ἄνω Ἱερουσαλὴμ τῆς ἐλευθέρας ἐπεχείρουν ἀποστερεῖν, καὶ τὴν ψυχὴν ἕκαστον καταθύειν ἠνάγκαζον ἐπὶ τῶν βωμῶν, καὶ τὸν οἰκεῖον Δεσπότην ἐξόμνυσθαι, καὶ τῇ τῶν δαιμόνων ὑποκύπτειν τυραννίδι, καὶ τοὺς λυμεῶνας καὶ ἐχθροὺς τῆς σωτηρίας τῆς ἡμετέρας θεραπεύειν δαίμονας· ὁ μυρίων θανάτων καὶ πάσης γεέννης χαλεπώτερον ἦν καὶ ἀφορητότερον ταῖς φιλοχρίστοις ψυχαῖς. Τότε δὴ πολλῶν ὑποβρυχίων γινομένων, καὶ τοῦ χειμῶνος αἰρομένου, καὶ πολλῶν ναυαγούντων, ὁ μακάριος οὗτος Ῥωμανὸς παρελθὼν εἰς μέσους οὐκ ἐσκόπησεν εὐθέως, ὅπως ἑαυτὸν ἐπιδῷ τοῖς κινδύνοις, ἀλλὰ πρότερον τοὺς πεφοβημένους, τοὺς ἀναπεπτωκότας, τοὺς τὴν οἰκείαν προδόντας σωτηρίαν συνῆγε, παρεθάῤῥυνεν, ἀναμαχέσασθαι παρεσκεύαζε, τοὺς μὲν καταπεσόντας ἀνορθῶν, τοὺς δὲ ἑστῶτας ἀσφαλιζόμενος εὐχαῖς, καὶ παραινέσεσι, καὶ συμβουλαῖς, περὶ τῶν μελλόντων,

[a] Unus Reg. ms. τὰ λοιπὰ μέλη. Alox Savil. et unus mss. Reg. ταύτῃ γὰρ μάλιστα, Morel. et alius Reg. ταῦτα γάρ. Morel. paulo post ante τοῦ λοιποῦ habet εἰ καί, quod deest in cæteris.

[b] Unus Reg. οὖσι συναλγεῖν, ἢ τοῖς εὐδοκιμοῦσι συνήδεσθαι, τί δήποτε; ὅτι ἐκεῖ μὲν αὐτὴ τῆς.

περὶ τῶν παρόντων πραγμάτων πολλὰ φιλοσοφῶν, δεικνὺς τὸ πρόσκαιρον τούτων, τὸ διηνεκὲς ἐκείνων, ἀντιτιθεὶς [a] τοῖς πόνοις τὰ ἔπαθλα, ταῖς βασάνοις τοὺς στεφάνους, ταῖς ἀλγηδόσι τὰ βραβεῖα [b], διδάσκων τίς μὲν ἡ παροῦσα ζωή, τίς δὲ ἡ μέλλουσα, καὶ πόσον ἑκατέρας τὸ μέσον, καὶ ὅτι πάντως ἀποθανεῖν ἀνάγκη· κἂν γὰρ μὴ τούτῳ τῷ τρόπῳ καταλύσωμεν τὴν ζωὴν, τῷ νόμῳ τῆς φύσεως πάντως ἀναγκαζόμενοι μικρὸν γοῦν ὕστερον τῶν σωμάτων ἀποστησόμεθα πούτων. Ταῦτα δὴ καὶ τὰ τούτοις ἐοικότα [c] παραινῶν ἀνώρθωσε τὰς παρειμένας χεῖρας, ἐστήριξε τὰ παραλελυμένα γόνατα, τοὺς φυγάδας ἐπανήγαγε, τὴν δειλίαν ἐξέβαλε, τὴν ἀγωνίαν ἀπήλασε, θάρσος ἐνέθηκεν, ἀντὶ δειλῶν προθύμους ἐποίησεν, ἀντὶ δορκάδων καὶ ἐλάφων λέοντας ἀπειργάσατο πολλῆς πνέοντας τῆς ἰσχύος, συνεκρότησε τοῦ Χριστοῦ τὸ στρατόπεδον, τὴν αἰσχύνην τὴν παρ' ἡμῖν εἰς τὰς τῶν πολεμίων μετήνεγκε [d] κεφαλάς. Ἰδὼν τοίνυν ὁ διάβολος ἀθρόαν μεταβολὴν γεγενημένην, καὶ τοὺς χθὲς καὶ πρῴην δεδοικότας αὐτὸν καὶ τρέμοντας, νῦν καταγελῶντας [614] αὐτοῦ καὶ κατατολμῶντας, ἐπαποδυομένους τοῖς κινδύνοις, ἐπιπηδῶντας τοῖς κολαστηρίοις, καὶ γνοὺς τὸν αἴτιον, πάντας ἀφεὶς, κατ' ἐκείνου λοιπὸν ἔπνευσεν ὅλος, πᾶσαν τὴν δύναμιν αὐτοῦ καὶ τὴν μανίαν κατὰ τῆς μακαρίας ταύτης κινῶν κεφαλῆς. Καὶ τί ποιεῖ; Σκοπεῖτε τὴν κακουργίαν. Οὐκ ἤγαγεν αὐτὸν ἐπὶ βασάνους, οὐκ ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν· ἐδίδαξε γὰρ αὐτὸν ὁ παρελθὼν χρόνος, ὅτι πάντα ταῦτα εἰκῇ καὶ μάτην ἐγίνετο. Οὐ γὰρ μόνον οὐκ ἐνέκοψε τῶν πεπιστευκότων τὴν προθυμίαν, ἀλλὰ καὶ ἐπέτεινε πλέον, καὶ μείζω καὶ θερμοτέραν αὐτὴν ἐποίησεν. Ἄνθρακας ὑπεστόρεσα, φησὶν, οἱ δὲ ὡς ἐπὶ ῥόδα [e] ἔτρεχον· πῦρ ἀνῆψα, οἱ δὲ ὡς εἰς πηγὰς ὑδάτων ψυχρῶν ἑαυτοὺς ἔῤῥιψαν· κατέξανα τὰς πλευρὰς, καὶ βαθείας ἀνέτεμων αὔλακας, καὶ κατήγαγον ῥύακας αἱμάτων, οἱ δὲ ὡς χρυσίῳ πάντοθεν περιῤῥεόμενοι, οὕτως ἐκαλλωπίζοντο· τοῖς χρημνοῖς ἔῤῥιψα, καὶ εἰς πέλαγος κατεπόντισα, οἱ δὲ οὐχ ὡς εἰς βυθὸν καταβαίνοντες, ἀλλ' ὡς εἰς αὐτὸν ἀναβαίνοντες τὸν οὐρανὸν, οὕτω διέκειντο σκιρτῶντες, καὶ ἀγαλλόμενοι, καὶ ὥσπερ ἐν ἱερᾷ πομπῇ χορεύοντες, καὶ ἐν λειμῶνι παίζοντες χλοερῷ, οὕτω τὰς τιμωρίας ἕκαστος ἥρπαζον, οὐχ ὡς τιμωρίας, ἀλλ' ὡς ἄνθη λαμβάνοντες ἐαρινὰ, καὶ στεφανούμενοι, καὶ τῇ τῆς οἰκείας προθυμίας ὑπερβολῇ τὰς ἐμὰς προέφθανον τιμωρίας. Τί τοίνυν ἂν εἴη πρακτέον, φησίν; Ἀποτέμω τούτου τὴν κεφαλήν; Ἀλλ' ὅπερ εὔχεται, τοῦτο γίνεται, καὶ μείζονα λαμβάνουσιν οἱ μαθηταὶ τὴν διὰ τῶν ἔργων παραίνεσιν· καὶ γὰρ παρῆνεσεν, ὅτι μαρτύρων θάνατος οὐκ ἔστι θάνατος, ἀλλὰ ζωὴ πέρας οὐκ ἔχουσα, καὶ μάλιστά γε ὑπὲρ ταύτης πάντα ὑπομένειν χρὴ, καὶ ὅτι δεῖ καταφρονεῖν τελευτῆς. Ἂν τοίνυν ἀποτέμω τὴν κεφαλὴν, καὶ γενναίως ἐνέγκῃ τὸ συμβὰν, διὰ τῶν ἔργων αὐτοὺς παιδεύσει σαφέστερον, ὅτι οὕτω θανάτου δεῖ καταφρονεῖν, καὶ μᾶλλον αὐτῶν ἀνορθώσει τὰ φρονήματα, καὶ πλείονα αὐτοῖς ἐμπνεύσει [f] τελευτήσας τὴν προθυμίαν. Διὰ τοῦτο τὴν γλῶτταν ἀπέτεμεν, ἵνα ἀποστερηθέντες τῆς φωνῆς, ἧς ἀπήλαυον οἱ τοῦ μάρτυρος μαθηταὶ, καὶ τῆς συμβουλῆς ἐκπεσόντες, καὶ τῆς παραινέσεως ἐρημωθέντες, δειλότεροι γένωνται, καὶ πρὸς τὴν προτέραν ἀγωνίαν ἐπανέλθωσιν, οὐκ ἔχοντες τὸν ἐπαλείφοντα, οὐδὲ τὸν διεγείροντα καὶ καθοπλίζοντα.

γ'. Καὶ σκόπει μοι τὴν κακουργίαν. Ἡρῴδης μὲν ἀπέτεμε τὴν κεφαλὴν Ἰωάννου· οὗτος δὲ οὐχὶ τὴν κεφαλὴν, ἀλλὰ τὴν γλῶτταν μόνην. Τί δήποτε; Διὰ πολλὴν κακουργίαν καὶ σκαιότητα. Ἂν ἀποτέμω τὴν κεφαλὴν, φησὶ, καὶ ἀποθάνῃ, ἀπελεύσεται οὐχ ὁρῶν τὴν ἀπώλειαν τῶν ἑαυτοῦ ἀδελφῶν· ἐγὼ δὲ αὐτὸν βούλομαι στῆσαι μάρτυρα τῶν πτωμάτων καὶ τῆς συμφορᾶς τῶν οἰκείων στρατιωτῶν, ἵν', ὑπὸ τῆς ὀδύνης ἄγχηται καταπίπτοντας μὲν ὁρῶν, χεῖρα δὲ ὀρέγειν μὴ δυνάμενος, καὶ τὸ συμβουλεῦσαι ταῦτα ἅπερ καὶ πρότερον οὐκ ἔχων, τῆς φωνῆς μετὰ τῆς γλώττης ἐκκοπείσης.

Ἀλλ' ὁ [g] δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, τὸ σόφισμα τοῦτο εἰς τὴν ἐκείνου περιέτρεψε κεφαλὴν, καὶ οὐ μόνον συμβουλῆς οὐκ ἀπεστέρησεν, ἀλλὰ καὶ πλείονος αὐτοὺς ἐποίησεν ἀπολαῦσαι παραινέσεως, καὶ πνευματικωτέρας [615] μετασχεῖν διδασκαλίας. Ἐπειδὴ γὰρ τοῦτο ἐκράτησε, καλεῖται λοιπὸν ἐπὶ τὴν τομὴν ὁ ἰατρὸς, καὶ δήμιος ἀντὶ ἰατροῦ γίνεται, οὐχὶ τὸ νενοσηκὸς διορθούμενος μέλος, ἀλλὰ τὸ ὑγιαῖνον διαφθείρων· καὶ τὴν γλῶτταν ἐξελὼν, οὐκ ἴσχυσεν αὐτῇ συνεξελεῖν καὶ τὴν φωνήν· ἀλλ' ἡ μὲν τῆς σαρκὸς ἐξεκόπτετο γλῶττα, ἡ δὲ τῆς χάριτος ἐφίπτατο τῷ στόματι τοῦ μακαρίου· καὶ ἡ μὲν φύσις τὸ οἰκεῖον ἤφιει μέλος, τοῦ σιδήρου τοῦτο καταναγκάζοντος, ἡ δὲ χάρις συνεκπεσεῖν αὐτῇ τὴν φωνὴν οὐκ εἴασεν· ὅθεν λοιπὸν πνευματικωτέρας ἀπήλαυον οἱ μαθηταὶ διδασκαλίας, οὐκ ἀνθρωπίνῃ φωνῇ καθάπερ τὰ πρότερα ἀκούοντες, ἀλλὰ θείᾳ τινὶ, καὶ πνευματικῇ, καὶ μείζονι τῆς φύσεως τῆς ἡμετέρας· καὶ πάντες συνέτρεχον, ἄνωθεν ἄγγελοι, κάτωθεν ἄνθρωποι, ἕκαστος χωρὶς γλώττης στόμα ἰδεῖν ἐπιθυμοῦντες, καὶ ἀκοῦσαι φθεγγομένου οὕτως. Καὶ γὰρ ἦν ὄντως [h] θαυμαστὸν καὶ παράδοξον στόμα ἄνευ γλώττης φθεγγόμενον, πολλὴν μὲν τῷ διαβόλῳ φέρον αἰσχύνην, πολλὴν δὲ τῷ μάρτυρι δόξαν, μεγάλην δὲ τοῖς μαθηταῖς παράκλησιν καὶ ὑπομονῆς ὑπόθεσιν. Καὶ γὰρ ἔθος τῷ Θεῷ τοιοῦτον ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἅπερ ἂν καθ' ἡμῶν ὁ διάβολος ῥάψῃ, ταῦτα εἰς τὴν ἐκείνου τρέπειν κεφαλὴν, καὶ ὑπὲρ τῆς ἡμετέρας κατασκευάζειν σωτηρίας. Σκόπει δέ· ἐξέβαλεν ἐκεῖνος τοῦ παραδείσου τὸν ἄνθρωπον, καὶ ἀνέῳξεν αὐτῷ τὸν οὐρανὸν ὁ Θεός· ἀπήλασεν αὐτὸν ἐκεῖνος τῆς ἀρχῆς τῆς ἐν τῇ γῇ, καὶ ἔδωκεν αὐτῷ τὴν βασιλείαν τῶν οὐρανῶν ὁ Θεὸς, καὶ ἐν τῷ θρόνῳ τῷ βασιλικῷ τὴν φύσιν ἐνίδρυσε τὴν ἡμετέραν. Οὕτως ἀεὶ μείζονα δίδωσιν ἀγαθὰ, ὧν ὁ διάβολος ἀποστερεῖν ἐπιχειρεῖ. Ποιεῖ δὲ τοῦτο, ἐκεῖνόν τε ὀχνηρότερον ἐν ταῖς καθ' ἡμῶν κατασκευάζων [i] ἐπιβουλαῖς, ἡμᾶς δὲ παιδεύων μηδέποτε αὐτοῦ δεδοικέναι τὰ μηχανήματα· ὅ δὴ καὶ ἐνταῦθα γέγονεν ἐπὶ τοῦ μάρτυρος. Ἧς γὰρ προσεδόκησε φωνῆς ἀποστερήσειν αὐτὸν, πολλῷ μείζονα καὶ σεμνοτέραν αὐτῷ ἐχαρίσατο ὁ Θεός. Οὐ γὰρ ἦν ἴσον μετὰ γλώττης φθέγγεσθαι, καὶ χωρὶς γλώττης· τὸ μὲν γὰρ ἀκόλουθον ἦν, καὶ κοινὸν ἅπασι, τὸ δὲ ὑπὲρ τὴν φύσιν, καὶ αὐτοῦ ἴδιον ἐγένετο μόνου. Καίτοι καὶ εἰ ἄφωνος ἔστη μετὰ τὴν τῆς γλώττης ἐκκοπὴν ὁ μάρτυς, καὶ οὕτως αὐτῷ τὰ τῶν ἀγώνων πεπλήρωτο, καὶ ὁ στέφανος ἁπήρτιστο· ἦττα γὰρ μεγίστη καὶ σαφὴς ἀπόδειξις ἦν τὸ τὴν γλῶτταν τεμεῖν. Εἰ γὰρ μὴ

[a] Sic in præsenti rescribendum fuit, contra Montf. qui in aoristo legebat ἀντιθείς. Edit.
[b] Unus Reg. ταῖς πληγαῖς.
[c] Alii τούτοις ὅμοια.
[d] Unus Reg. τῶν ἐναντίων μετήνεγκε. Ibid. Savil. in marg. μετήνεγκε φάλαγγας.
[e] Unus Reg. ὡς ἐπὶ πηγάς.
[f] Unus Reg. αὐτοῖς ἐνθήσει.
[g] Idem Reg. φωνῆς καὶ τῆς γλώσσης ἀποστερηθεὶς ἀφήσει πᾶσαν μηχανήν. Ἀλλ' ὁ.
[h] Sic e Savil. et int. correctum. Montf. οὕτως. Edit.
[i] Idem Reg. καταναγκάζων.

qui stabant, confirmans precibus, exhortationibus, et consiliis; de futuris, et de præsentibus rebus multum philosophans, ostendens has ad tempus esse, illas autem perpetuas; præmia laboribus opponens, coronas tormentis, bravia doloribus [1]; docens quænam sit vita præsens, quænam futura, et inter utramque quantum intersit, et quod mori omnino sit necesse; et si non hoc modo vitam finierimus, omnino coacti lege naturæ paulo post ab his corporibus discedemus. Illis et similibus exhortationibus beatus ille manus remissas erexit, et genua dissoluta roboravit, fugitivos reduxit, metum expulit, angorem exegit, animum eis addidit; pro timidis audaces et confidentes effecit; pro capreis et cervis leones reddidit magnam vim spirantes; Christi exercitum instruxit; ignominiam nostram in hostium capita convertit [2]. Cum ergo tantam repente factam fuisse diabolus mutationem vidisset, et qui nudiustertius eum timebant et contremiscebant, ipsum irridere et audacter in eum se gerere, adeuntes pericula, prosilientes ad supplicia; et eum auctorem cognovisset, dimissis omnibus, in illum deinceps totus incubuit, omnemque vim suam et insaniam adversus beatum hoc caput effudit. Et quid facit? Considerate malitiam. Non eum ad tormenta duxit, non ejus caput abscidit : hæc enim omnia temere fuisse facta præteritum eum tempus edocuit. Non solum enim animi alacritatem eorum qui crediderant non cohibuit, sed etiam magis auxit, eamque majorem ac vehementiorem effecit. Carbones, inquit, substernebam, illi autem tamquam ad rosas currebant : ignem accendebam, illi vero tamquam in fontes frigidarum aquarum seipsos projiciebant : latera cædebam, profundos in eis sulcos faciebam, et rivos sanguinis deducebam; illi autem tamquam auro omni ex parte circumfluentes gloriabantur : per præcipitia jaciebam et in mare demergebam, illi vero non tamquam in profundum descendentes, sed tamquam in ipsum cælum ascendentes, ita affecti erant, exsilientes et exsultantes, et velut in sacra pompa choreas ducentes, et in viridi prato ludentes : ita arripiebat unusquisque cruciatus, non tamquam cruciatus, sed tamquam vernos flores carpentes, sesque coronantes, insigni animi sui alacritate cruciatus meos præveniebant. Quid ergo, inquit, agendum nunc fuerit? Abscindamne caput ejus? Sed id ille in votis habet, et per opera discipuli majorem adhortationem accipiunt : eos quippe admonuit martyrum mortem non esse mortem, sed vitam fine carentem : atque hujus maxime causa omnia esse toleranda, despiciendumque esse decessum. Si ergo caput abscidero, et id ille fortiter tulerit, ipses apertius per facta docebit sic oportere mortem despicere, et eorum spiritus magis eriget, eisque mortuus majorem animi alacritatem inspirabit. Propterea linguam amputavit, ut voce, qua fruebantur, privati martyris discipuli, et consilio destituti, atque admonitione privati, timidiores evaderent, et ad priorem angorem et dubitationem redirent, cum non haberent, qui eis animum adderet, neque qui excitaret et armaret.

3. Considera autem mihi diaboli malitiam. Herodes quidem Joannis caput abscidit : hic autem non caput, sed linguam solum. Quare? Præ nimia scilicet malitia et perversitate. Si abscidero caput, inquit, et mortuus fuerit, fratrum interitum non videns recedet; at ego illum militum suorum lapsum et calamitatis testem esse volo, ut dolore enecetur, dum labentes quidem cernit, sed porrigere manum non potest, neque ea quæ prius potest consulere, exsecta ei simul voce cum lingua.

Romanus amputata lingua loquitur. — Sed qui comprehendit sapientes in astutia eorum (1. *Cor.* 3. 19), inventum hoc in ejus caput convertit : neque solum eos consilio non privavit, sed etiam ut majori adhortatione fruerentur, effecit, magisque spiritualis doctrinæ participes essent. Nam cum hoc obtinuisset, vocatur de cætero medicus ad sectionem, et fit pro medico carnifex; non id corrigens, quod morbo laborabat, membrum, sed quod erat sanum corrumpens; et cum linguam exemisset, simul cum ea vocem eximere minime potuit : sed carnis quidem lingua fuit abscisa, lingua autem divinæ gratiæ ad beati Romani os advolavit; et natura quidem membrum suum ferro id cogente amisit, Dei autem gratia cum ea excidere vocem non sivit : unde etiam de cætero discipuli magis spirituali doctrina fruebantur, non humana voce, cujusmodi prius, verba audientes, sed divina quadam et spiritali, et quæ naturam nostram superabat : et concurrebant omnes, superne angeli, inferne homines, unusquisque os sine lingua videre cupientes, et audire sic loquentem. Erat enim revera admirabile et præter opinionem, os absque lingua verba faciens, diabolo quidem magnum dedecus afferens, martyri autem ingentem gloriam, discipulis vero plurimam consolationem et patientiæ argumentum. Hic enim Deo mos est jamdiu et a principio, quæcumque contra nos diabolus consarcinarit, ea in caput illius convertere, et ad salutem nostram redigere. Mihi autem hoc considera : ille hominem e paradiso ejecit, et Deus illi cælum aperuit : ille ipsum expulit ex imperio terreno, Deus autem regnum ei cælorum dedit, et in throno regio naturam nostram collocavit. Sic dona semper majora Deus iis dat, quibus diabolus homines privare conatur. Hoc autem facit, illum quidem tardiorem ad parandas nobis insidias reddens, nos vero docens numquam ejus machinationes timendas esse : quod quidem factum est etiam in martyre. Qua enim se eum voce privaturum diabolus existimavit, multo majorem et præclariorem ei Deus largitus est. Non enim erat ejusdem momenti, cum lingua loqui, et sine lingua : nam illud quidem consequens et commune omnibus, hoc autem supra naturam erat, et proprium ejus solius. Quamquam etiamsi post linguæ abscisionem mutus martyr fuisset, sic quoque impletum ab eo certamen fuisset, eique parata esset corona : nam quod victus esset, maximum erat et apertum argumentum, quod

[1] Ouns Reg., *plagis*
[2] Savil. in mag., *in hostium phalanges convertit.*

linguam amputasset. Si enim linguam martyris non timebas, o scelerate et exsecrande diabole, cur eam abscidisti? cur decertationum argumentum non dimisisti, sed stadium occlusisti? Quemadmodum enim si quis omni certaminum genere luctaturus, deinde plagas accepisset ingentes, et cum deinde amplius resistere non valeret, manus abscindi adversario juberet, eumque sic percuteret, non jam alia probatione opus esset ad decernendam victoriam ei, cui fuissent manus abscisæ : ita etiam in martyre apertissimum omnium argumentum victoriæ adversus diabolum fuit linguæ ipsius amputatio. Nam etsi mortalis erat lingua, quia tamen ea vulnera immortalia diabolo inflixit, propterea in illam virus suum efflavit, sibi quidem majus dedecus afferens, martyri autem coronam splendidiorem reddens. Ut enim mirabile est arborem sine radice intueri, ac fluvium sine fonte : sic etiam vocem sine lingua.

4. *Contra eos, qui corporum resurrectioni non credunt.* — Ubi nunc sunt, qui corporum resurrectioni non credunt? Ecce vox mortua est, et revixit : et uno momento temporis utraque facta sunt. Quamquam hoc longe majus est, quam corporum resurrectio : nam illic quidem natura corporum est subjecta, compositio autem solum est dissoluta : hic vero sublatum fuit vocis ipsum fundamentum, sed tamen ea splendidior rursus est facta. Enimvero si a tibia lingulas abstuleris, inutile deinceps jacet instrumentum ; verum non sic tibia spiritualis, sed tametsi lingua privata, non solum muta non erat, sed etiam modulatius et magis mysticum carmen, et majori cum admiratione emittebat. Rursus etiam in cithara si quis plectrum solum eripuerit, otiosus artifex, ars inutilis, et inane instrumentum ; hic autem nihil ejusmodi, sed contrarium omnino. Os enim erat cithara, lingua plectrum, artifex anima, ars vero confessio : plectro tamen ablato, lingua inquam, neque artifex, neque ars, neque instrumentum inutile evasit, sed omnia virtutem suam ostenderunt. Quis hæc fecit? quis admirabilia hæc ostendit quæque omnem superant opinionem? Deus qui solus mirabilia facit, de quo dicit David : *Domine Dominus noster, quam admirabile est nomen tuum in universa terra! quoniam elevata est magnificentia tua super cælos : ex ore infantium et lactentium perfecisti laudem* (*Psal.* 8. 2. 3). Atque tunc quidem ex ore infantium et lactentium, nunc autem ex ore elinguium : tunc natura immatura, nunc os lingua vacuum. tunc erat in pueris mollis radix, sed fructus perfectus ; hic autem et ipsa radix ablata erat, et fructus generatio non prohibebatur : est enim vox linguæ fructus. Sunt revera posteriora prioribus mirabiliora. Etenim, ne his fidem non adhibeatis, illa propterea præcesserunt, ut in his non conturbemur, cum in illis fuerit animus assuetus : ideo hæc evenerunt, ut illa quæ latent et sunt vetera, ex manifestis et iis quæ sunt recens facta credantur. Sic aliquando Aaronis quoque virga floruit, sicut nunc os martyris germinavit. Sed quanam de causa virga tunc Aaronis germinavit (*Num.* 17)? Quoniam sacerdos contumeliis afficiebatur. Quanam autem de causa nunc os martyris germinavit? Quoniam blasphemia et maledictis incessebatur magnus Pontifex Jesus Christus. Vide ergo quanta sit miraculi cognatio et excellentia. Quemadmodum enim virga illa non unita radici, nec ex terra trahens humorem, sed illius succo penitus privata, ac perdita vitali frugiferaque virtute, repente fructum ostendit : ita nimirum hic quoque vox radice privata et vim ex instrumento non habens, in sicco et sterili ore repente germinavit. In hoc quidem cognatio, in alio autem est excellentia : inter utrumque enim fructum multum interest. Nam ille quidem sensilis erat, hic autem spiritualis, et ipsos cælos aperiens ei, qui tunc eam vocem ediderat. Pro his omnibus martyri gratulemur, Deum glorificemus, qui hæc facit miracula, imitemur conservi patientiam, gratias agamus Domino pro gratia : ex iis quæ dicta sunt, sufficientem in tentationibus consolationem accipiamus, et Dei, qui nos fecit, potentiam et curam admirantes ac providentiam, omnia quæ ex nobis sunt afferamus, et quæ ex eo sunt, omnino consequentur. Sive homines, sive dæmones, sive ipse diabolus adversum nos depugnet, nihil proficient ii, qui nos oppugnant : modo promptum nostrum animi studium ostendamus, et quæ a nobis afferri oportet, omnia afferamus. Sic enim et hic Dei auxilium attrahemus, et in vita futura magna gloria et salute perfruemur : quam nobis omnibus consequi detur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri simul cum Spiritu sancto gloria, honor et imperium, in sæcula sæculorum. Amen.

DE SANCTO MARTYRE ROMANO.

ORATIO II (*a*).

1. *Martyrum commemorationis utilitas. Descriptio per sequutionis similitudine a mari sumpta.* — Palæstræ quidem corporibus robur ac peritiam athleticæ artis acquirunt, martyrum vero commemorationes animas adversus dæmonum artes armant, et contra illos ad luctam instituunt. Dum enim vires athleticas et continuam cum flagris luctam publice produnt, pietatem audacia corroborant, et in cruciatuum narrationibus tanquam in stadiis quibusdam stratum a quovis martyre curriculum proponunt. Talis est martyris ejus, qui hodie coronatus est, commemoratio. Quis enim in stadia adversus diabolum audacter non prosiliat, cum animam suam martyris certaminibus instituerit, quem tot periculorum multitudo non concussit? Tum

(*a*) Collata cum ms. Regio 2344.

ἐφοβοῦ τὴν γλῶτταν, ὦ μιαρὲ καὶ παμμίαρε, τίνος ἕνεκεν αὐτὴν ἀπέτεμες; τίνος ἕνεκεν οὐκ ἀφῆκας τῶν παλαισμάτων τὴν ὑπόθεσιν, ἀλλ' ἀπέκλεισας τὸ στάδιον; Ὥσπερ ἂν εἴ τις παγκρατιάζειν μέλλων, εἶτα πληγὰς ἀφάτους λαβών, καὶ μὴ δυνάμενος ἀντιστῆναι, λοιπὸν, κελεύσειεν ἐκκοπῆναι τοῦ ἀνταγωνιστοῦ τὰς χεῖρας, καὶ οὕτως αὐτὸν παίοι, οὐ χρεία λοιπὸν ἑτέρας ἀποδείξεως πρὸς τὸ τὴν νίκην τῷ τὰς χεῖρας ἐκκοπέντι ψηφίσασθαι· οὕτω δὴ [616] καὶ ἐπὶ τοῦ μάρτυρος σαφεστέρα πάντων ἀπόδειξις ἡ τῆς γλώττης ἐκκοπὴ γέγονε τῆς κατὰ τοῦ διαβόλου νίκης. Εἰ γὰρ καὶ θνητὴ ἦν ἡ γλῶττα, ἀλλ' ἐπειδὴ ἀθάνατα τραύματα δέδωκε τῷ διαβόλῳ, διὰ τοῦτο κατ' ἐκείνης ἔπνευσεν ὅλος, ἑαυτὸν μὲν εἰς μείζονα καθιστῶν αἰσχύνην, τῷ δὲ μάρτυρι λαμπρότερον ποιῶν τὸν στέφανον. Ὥσπερ γὰρ θαυμαστὸν χωρὶς ῥίζης δένδρον ἰδεῖν, καὶ χωρὶς πηγῆς ποταμόν· οὕτω καὶ χωρὶς γλώττης φωνήν.

δ'. Ποῦ νῦν εἰσιν οἱ τῇ τῶν σωμάτων ἀναστάσει διαπιστοῦντες; Ἰδοὺ ἡ φωνὴ καὶ ἀπέθανε καὶ ἀνέστη, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ταῦτα ἀμφότερα γέγονε. Καίτοι τοῦτο τῆς τῶν σωμάτων ἀναστάσεως πολλῷ μεῖζόν ἐστιν· ἐκεῖ μὲν γὰρ ἡ φύσις τῶν σωμάτων ὑπόκειται, ἡ σύνθεσις δὲ διαλέλυται μόνον· ἐνταῦθα δὲ αὐτὴ ἡ ὑπόθεσις τῆς φωνῆς ἀνῄρητο, ἀλλ' ὅμως λαμπροτέρα πάλιν ἐγίγνετο. Καίτοι γε αὐλοῦ τὰς γλωττίδας ἂν ἀφέλῃς, ἄχρηστον λοιπὸν κεῖται τὸ ὄργανον· ἀλλ' οὐχ οὕτως ὁ αὐλὸς ὁ πνευματικὸς, ἀλλὰ καὶ τὴν γλῶτταν ἀφαιρεθεὶς οὐ μόνον οὐκ ἦν ἄφωνος, ἀλλὰ καὶ ἐμμελέστερον καὶ μυστικώτερον ἠφίει μέλος, καὶ μετὰ πλείονος τῆς ἐκπλήξεως. Καὶ ἐπὶ κιθάρας δὲ πάλιν, ἂν τὸ πλῆκτρόν τις ἐξαρπάσῃ μόνον, ἀργὸς ὁ τεχνίτης, ἄχρηστος ἡ τέχνη, μάταιον τὸ ὄργανον γίγνεται· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τοὐναντίον ἅπαν. Καὶ γὰρ ἦν κιθάρα τὸ στόμα, ἦν πλῆκτρον ἡ γλῶττα, τεχνίτης δὲ ἡ ψυχὴ, καὶ τέχνη ἡ ὁμολογία· ἀλλ' ὅμως ἀφαιρεθέντος τοῦ πλήκτρου, τῆς γλώσσης λέγω, οὔτε ὁ τεχνίτης, οὔτε ἡ τέχνη, οὔτε τὸ ὄργανον ἄχρηστον γέγονεν, ἀλλὰ πάντα τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. Τίς ταῦτα ἐποίησε; τίς ταῦτα ἐπέδειξε τὰ θαυμαστὰ καὶ παράδοξα; Ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος, περὶ οὗ φησιν ὁ Δαυΐδ, *Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν· ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.* Τότε μὲν οὖν ἐκ στόματος νηπίων καὶ θηλαζόντων, νῦν δὲ ἐκ στόματος ἀγλώττων· τότε φύσις, ὥρα, νῦν δὲ στόμα ἔρημον· ἀπαλὴ τότε ἡ ῥίζα ἐπὶ τῶν παίδων ἦν, ἀλλ' ὁ καρπὸς ἀπηρτισμένος· ἐνταῦθα δὲ καὶ αὐτὴ ἡ ῥίζα ἀνῄρητο, καὶ ἡ τοῦ καρποῦ γένεσις οὐκ ἐκωλύετο· καρπὸς γὰρ γλώττης φωνή. Θαυμαστότερα τὰ ὕστερα τῶν προτέρων. Καὶ γὰρ ἵνα ταῦτα μὴ ἀπιστῆται, διὰ τοῦτο ἐκεῖνα προέδραμεν, ἵνα ἐν τούτοις μὴ θορυβώμεθα, τῆς διανοίας ἡμῶν ἐν ἐκείνοις προεθισθείσης Διὰ τοῦτο ταῦτα ἀπήντησεν, ἵνα ἐκεῖνα τὰ ἀφανῆ καὶ τὰ παλαιὰ ἀπὸ τῶν φανερῶν καὶ νεωστὶ γενομένων πιστεύηται. Οὕτω ποτὲ καὶ ἡ ῥάβδος Ἀαρὼν ἐβλάστησεν, ὥσπερ ἐβλάστησε τὸ στόμα τοῦ μάρτυρος νῦν. Ἀλλὰ τίνος ἕνεκεν ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν τότε; Ἐπειδὴ ὁ ἱερεὺς ἠτιμάζετο. Τίνος δὲ ἕνεκεν ἐβλάστησε νῦν τὸ στόμα τοῦ μάρτυρος; Ἐπειδὴ ὁ μέγας ἀρχιερεὺς ἐβλασφημεῖτο Ἰησοῦς ὁ Χριστός. Ὅρα πόση τοῦ θαύματος καὶ συγγένεια καὶ ὑπεροχή. Καθάπερ γὰρ ἐκείνη ἡ ῥάβδος οὐχ ἡνωμένη ῥίζῃ, οὐδὲ ἕλκουσα τὰς ἀπὸ τῆς γῆς νοτίδας, ἀλλ' ἔρημος τῆς χορηγίας οὖσα τῆς ἐκεῖθεν, καὶ τὴν καρπογόνον ἀπολέσασα [a] δύναμιν, ἐξαίφνης καρπὸν ἔδειξεν· οὕτω δὴ καὶ ἐνταῦθα [617] ἡ φωνὴ τῆς ῥίζης ἀποστερηθεῖσα, καὶ τὴν ἐκ τοῦ ὀργάνου δύναμιν οὐκ ἔχουσα, ἐν ξηρῷ καὶ ἀγόνῳ στόματι ἐξαίφνης ἐβλάστησεν. Ἐν τούτῳ μὲν ἡ συγγένεια, ἐν ἑτέρῳ δὲ ἡ ὑπεροχή· πολὺ γὰρ ἑκατέρου τοῦ καρποῦ τὸ μέσον. Ὁ μὲν γὰρ αἰσθητὸς ἦν, ὁ δὲ πνευματικὸς, καὶ τοὺς οὐρανοὺς ἀνοίγων αὐτοὺς τῷ τὴν φωνὴν ταύτην ἀποτεκόντι τότε. Ὑπὲρ δὴ τούτων ἁπάντων συγχαίρωμεν τῷ μάρτυρι, δοξάζωμεν τὸν ταῦτα θαυματουργοῦντα Θεὸν, μιμησώμεθα τὴν ὑπομονὴν τοῦ συνδούλου, εὐχαριστήσωμεν ὑπὲρ τῆς χάριτος τῷ Δεσπότῃ, λάβωμεν ἐκ τῶν εἰρημένων ἱκανὴν ἐν τοῖς πειρασμοῖς παράκλησιν, καὶ τὴν δύναμιν τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ καὶ τὴν κηδεμονίαν καταπλαγέντες, τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν, καὶ τὰ παρ' αὐτοῦ πάντως ἕψεται. Κἂν ἄνθρωποι, κἂν δαίμονες, κἂν αὐτὸς ὁ διάβολος ἡμῖν πυκτεύῃ, πλέον οὐδὲν ἔσται τοῖς πολεμοῦσιν ἡμῖν· μόνον ἂν τὴν οἰκείαν ἐπιδειξώμεθα προθυμίαν, καὶ ὅσα παρ' ἡμῶν εἰσενεχθῆναι χρὴ πάντα εἰσενέγκωμεν. Οὕτω γὰρ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπασόμεθα ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν πολλῆς ἀπολαύσομεν δόξης καὶ σωτηρίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΡΩΜΑΝΟΝ.

Λόγος β'.

α'. Παλαῖστραι μὲν σώμασιν ἀνδρείαν χαρίζονται, καὶ τέχνης ἀθλητικῆς ἐπιστήμας· μαρτύρων δὲ μνῆμαι ταῖς τῶν δαιμόνων τὰς ψυχὰς ἀνθοπλίζουσι τέχναις, καὶ πρὸς τὰς κατ' ἐκείνων παιδοτριβοῦσι λαβάς. Τὸν γὰρ ἀθλητικὸν δημοσιεύουσαι τόνον καὶ τὴν ἀνένδοτον πρὸς τὰς μάστιγας πάλην, ἐγείρουσιν εἰς θάρσος τὴν εὐσέβειαν, ὥσπερ ἐν σκάμμασι ταῖς τῶν παθῶν διηγήσεσιν ὑπὸ μάρτυρος παντὸς τεταμένον προθεῖσαι δίαυλον. Τοιαύτη ἡ τοῦ σήμερον στεφανωθέντος ἀθλητοῦ μνήμη. Τίς γὰρ οὐκ ἂν τὰ κατὰ τοῦ διαβόλου θαῤῥήσειε σκάμματα τοῖς τοῦ μάρτυρος τὴν ψυχὴν παιδοτριβήσας παλαίσμασιν, ὃν τοσούτων κινδύνων οὐ κατέσεισε πλῆθος; Πολλὴ γάρ τις τῷ κόσμῳ

τῆς ἀσεβείας τότε τυραννὶς ἐνωρχεῖτο, καὶ θάλασσαν ἐκ βυθῶν ἐμιμεῖτο σειομένην ὁ βίος, καὶ τοῦ πελάγους εἰς τὴν γῆν αἱ τρικυμίαι μετέστησαν, καὶ σφοδρὸν τὸ τῆς εὐσεβείας σκάφος δυσσεβείας περιήντλει κλυδώνιον, ἐν ᾧ πολλοὶ μὲν νεκροὶ πανταχοῦ κυβερνῆται, ναυτῶν δὲ οὐκ ὀλίγος ἀριθμὸς ὑποβρύχιος· πάντα δὲ ἦν φόβων πικρῶν καὶ ναυαγίων ἀνάμεστα. Ἔπνεον βασιλεῖς καταιγίδος σφοδρότερον, φοβερὰς τύραννοι τρικυμίας ἐπῆγον, ἀρχόντων συγχεκίνητο θρόνοι, δικασταὶ τὴν εἰς Χριστὸν ἐκήρυττον ἄρνησιν, πικρὰς νομοθέται τιμωρίας ἠπείλουν, πρὸς τὰς τῶν δαιμόνων ἄνδρες θυσίας ἡρπάζοντο, πρὸς τὴν τῶν [618] βωμῶν εἶλκοντο βδελυρίαν γυναῖκες· ἐσύροντο πρὸς ταύτην καὶ παρθένοι τὴν λύσσαν, φυγαῖς ἱερεῖς καὶ σφαγαῖς παρεδίδοντο, τῶν ἱερῶν ἠλαύνοντο οἱ πιστοὶ περιβόλων. Πρὸς τηλικαύτην ὁ μάρτυς ἐξωπλίζετο μάχην, καὶ τοσούτοις τὴν γνώμην κινδύνοις ἀνθίστησιν, ὥσπερ τινὰ σκιαμαχίαν γελῶν τὴν παράταξιν, καὶ καθάπερ ἐν σκάμμασιν ἀντὶ κόνεως τῇ πίστει τοὺς δικαστὰς καταπάσσων, οὕτω τὴν τοῦ τότε δικάζοντος ἀνερρίπιζε [a] γνώμην, δρόμον αὐτῷ κατὰ τῆς Ἐκκλησίας μελετώμενον στήσας. Διὸ δὴ πρὸς κόλασιν ὀξέως ὁ γενναῖος ἀνήρπαστο, καὶ πολλαὶ μὲν προσήγοντο τιμωριῶν ποικιλίαι· ὁ μάρτυς δὲ προσεῴκει κιθάρᾳ, τῷ τῶν βασάνων πλήκτρῳ πρὸς φθόγγον κινούμενος· συνέτριβον τὸ σῶμα [b] περιστάντες οἱ δήμιοι, ὁ δὲ, ὡς χαλκός τις, τῆς εὐσεβείας τὸ μέλος ὑπῆχει κρουόμενος· χρεμῶντες ἐπὶ ξύλου κατέξαινον, ὁ δὲ ὡς δένδρον ζωῆς τὸ ξύλον ἠσπάζετο· ὡς πλευρὰς τοῦ δικαίου τὰς παρειὰς διεσπάραττον, ὁ δὲ ὡς πλείονα στόματα λαμβάνων ἐῤῥητόρευεν, καὶ καινῷ κατῄσχυνε τὸν ἀντίπαλον πτώματι.

Ὡς γὰρ εἶδε τὸν δικαστὴν πρὸς τὴν τῶν δαιμόνων σπουδὴν αὐτὸν ἐκκαλούμενον, αἰτεῖ βρέφος ἐξ ἀγορᾶς ἀχθῆναι, ὡς ἐκεῖνο τῶν ζητουμένων παρὰ τοῦ δικαστοῦ κριτὴν ποιησόμενος· καὶ προσαχθέντι τῷ βρέφει τὴν περὶ τῶν προκειμένων προσῆγεν ἐρώτησιν. Τέκνον, φησὶ, δίκαιόν ἐστι τὸν Θεὸν προσκυνεῖν, ἢ τοὺς θεοὺς τοὺς λεγομένους ὑπὸ τούτων; Πολλὴ τῆς τοῦ μάρτυρος σοφίας ἡ περιουσία· τοῦ δικαστοῦ δικαστὴν τὸ παιδίον καθίζει· τὸ δὲ ὑπὲρ τοῦ Χριστοῦ ταχέως ἀπεφήνατο ψῆφον, ἵνα δειχθῇ καὶ παιδία δυσσεβούντων δικαστῶν συνετώτερα, μᾶλλον δὲ ἵνα φανῇ μὴ μόνον μάρτυς ὁ μάρτυς, ἀλλὰ καὶ μαρτύρων ἀλείπτης. Οὐδὲ τοῦτο δὲ ὅμως τὴν δικαστικὴν ὑπεσκέλισε λύσσαν, ἀλλ' εὐθὺς ἐπὶ ξύλου μετὰ τοῦ βρέφους ὁ μάρτυς ἡρπάζετο, καὶ τὴν τοῦ ξύλου κόλασιν εἱρκτὴ διεδέχετο, κἀκείνην ψῆφος ποικίλας τοῖς ἀθληταῖς τὰς τιμωρίας μερίζουσα· τὸ μὲν γὰρ βρέφος θανάτῳ, τὸν δὲ μάρτυρα τῇ τῆς γλώττης ἐκτομῇ κατεδίκασε. Τίς τρόπον κρίσεως τοιοῦτον ἀκήκοε; μαστίζουσι δικασταὶ καταδίκους, ἃ συνίσασιν ἑαυτοῖς, ὁμολογεῖν ἀναγκάζοντες, ἐκτέμνει δὲ τὴν γλῶσσαν ὁ τῆς ἀσεβείας κριτὴς, ἃ σύνοιδεν ἑαυτῷ σιγᾷν βιαζόμενος. Ὦ δεινοῦ κακοτεχνίας εὑρήματος. Φρονοῦσαν, φησὶ, τὰ τοῦ Χριστοῦ τὴν ψυχὴν οὐκ ἐξέστησα, κἂν τὴν λαλοῦσαν ὑπὲρ Χριστοῦ διακόψω γλῶτταν. Ἔκκοψον, ὦ τύραννε, γλῶσσαν, ἵνα μάθῃς τὴν φύσιν καὶ ἄγλωσσον ὑπὲρ Χριστοῦ ῥητορεύουσαν· ἐκκόλαψον τὴν γλῶσσαν τοῦ στόματος, ἵνα μάθῃς ἀληθῆ τὸν τὰ χαρίσματα τῶν γλωσσῶν ὑποσχόμενον. Τὸ μὲν γὰρ τῆς γλώσσης ἐξέκοψεν ὄργανον, ὁ λόγος δὲ ἐξώρμα σφοδρότερον, ὥσπερ ἐμποδίου τινὸς ἀπηλλαγμένος τῆς γλώττης· θέαμα [619] καινὸν καὶ παράδοξον· σάρκινος σαρκίνοις ἀσάρκως φθεγγόμενος. Πρέπον ἄρα τῷ μάρτυρι τοῦ προφήτου τὸ μέλος· *Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως·* ἐπλήσθη τὸ στόμα χαρᾶς, καινὸν θῦμα τῷ Χριστῷ προσκομίσαν τὴν γλῶσσαν· ἔσχεν ἡ γλῶσσα πολλὴν ἀγαλλίασιν, πρόδρομος μάρτυς ὀφθεῖσα τοῦ μάρτυρος. Ὦ γλώσσης πρὸς τοὺς τῶν μαρτύρων δήμους τὴν ψυχὴν προλαβούσης· ὦ στόματος κρυπτόμενον γεννήσαντος μάρτυρα· ὦ γλώσσης θυσιαστήριον κτησαμένης τὸ στόμα· ὦ στόματος ἱερεῖον κτησαμένου τὴν γλῶσσαν· ναὸν ἔχων ἐλελήθεις, ὦ γενναῖε, τὸ στόμα, ναὸν ἐν ᾧ τὴν σύναιμον γλῶσσαν [c] παράδοξον ἀμνάδα κατέθυσας.

β'. Τίς ἄρα σου τὰς ἀρετὰς ἀξίως στεφανώσειε ῥήτωρ; Ἔλαβες παρὰ τῆς φύσεως γλῶσσαν, σὺ δὲ αὐτὴν ἐξέθρεψας μάρτυρα· ἔλαβες στόμα φυλακτήριον γλώσσης, σὺ δὲ τῇ γλώσσῃ τὸ στόμα βωμὸν κατεσκεύασας· ἔλαβες εἰς τὸ φθέγγεσθαι πλῆκτρον, σὺ δὲ αὐτὸ τεμνόμενον ἄσταχυν ἀνέδειξας· ἔλαβες γλῶσσαν ῥημάτων διάκονον, σὺ δὲ αὐτὴν ἄμωμον τῷ Χριστῷ κατέθυσας πρόβατον. Τίνι σου τὴν γλῶσσαν πρεπούσῃ προσηγορίᾳ τιμήσω; ποίῳ σου κοσμήσω τὴν γλῶσσαν ὀνόματι; Προσῆγον ταύτῃ τὸν σίδηρον δήμιοι, ἡ δὲ κατὰ τὸν δεδεμένον Ἰσαὰκ οὐκ ἐσκίρτα, ἀλλ' ὡς ἐν βωμῷ κειμένη τῷ στόματι τὴν πληγὴν σὺν ἡδονῇ προσεδέχετο, διδάσκουσα τῶν ἀνθρώπων τὰς γλώσσας, ὡς οὐ φθέγγεσθαι μόνον διὰ Χριστὸν, ἀλλὰ καὶ σφάττεσθαι δεῖ. Τῆς τοῦ πατριάρχου θυσίας ἥρπασας, γενναῖε, τὸ φιλότιμον, μονογενὲς βλάστημα γλώττης ἀντὶ τέκνου μονογενοῦς προσκομίσας. Καλῶς ἄρα σοι δευτέραν ὁ Χριστὸς ἀντεφύτευσε γλῶσσαν· εὗρε γὰρ ἀγαθόν σε τῆς προτέρας γεωργόν· καλῶς σοι τὴν ἄσαρκον ἐχαρίσατο γλῶσσαν· ἀγγελικῷ γὰρ οὐκ ἔπρεπε φρονήματι σάρκινος· καλῶς σοι τὴν τῆς γλώσσης ἀντιμισθίαν ἀπέδωκεν. Ἔχρησάς σου τῷ Δεσπότῃ πρὸς θυσίαν τὴν γλῶσσαν, ὁ δὲ αὐτῇ πρὸς ῥητορείαν φωνὴν ἀντεδάνεισε· καὶ γέγονε τῆς γλώσσης καὶ τοῦ Χριστοῦ πρὸς ἀλλήλους συνάλλαγμα, τῆς μὲν γλώσσης ὑπὲρ Χριστοῦ τεμνομένης, τοῦ Χριστοῦ δὲ ὑπὲρ τῆς γλώσσης λαλοῦντος.

Ποῦ νῦν ἡμῖν Μακεδόνιος, ὁ τῷ δεδωκότι τὸ χάρισμα τῶν γλωσσῶν Παρακλήτῳ μαχόμενος; Ὅτι δὲ οὐ ψεύδομαι τῇ τοῦ Παρακλήτου θεότητι τὰς τῶν χαρισμάτων δωρεὰς περιάπτων, μάρτυς ἡμῖν ὁ μακάριος Παῦλος ὁ νῦν πρὸς τὴν ὑμετέραν φιληκοΐαν βοῶν· *Πάντα ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Καθὼς βούλεται, φησὶν, οὐ καθὼς ἐπιτάττεται. Ἀλλ' ἵνα μή τινας πρὸς τούτοις ἐπιθέντες προσθήκας τῷ πλήθει τὴν ὑμετέραν καταχώσωμεν μνήμην, ταύτην οὖσαν ἰσχυρὰν τὴν φωνὴν ὑπὲρ τοῦ Παρακλήτου μεμνημένοι οὕτως ἐντεῦθεν ἐξέλθωμεν, μεγάλα μὲν κατ' ἐκείνων φρονοῦντες, συγγινώσκοντες δὲ τέως

[a] Idem Reg. ἀπελάσασα.
[b] Savil. et Reg. τὸ στόμα Morel. τὸ σῶμα.

[c] Morel. et Savil. in marg. τὴν σύναιμον γλῶσσαν. Savil. in textu τὴν σὴν ἡμῖν γλῶσσαν. Reg. τὴν σὺν ἡμῖν γλῶσσαν.

enim ingens quædam mundo impietatis tyrannis insultabat, ab imo commotum mare vita hominum imitabatur, decumani pelagi fluctus in terram volvebantur, vehemensque impietatis procella navim pietatis obruebat : multi quidem ubique gubernatores moriebantur, non exiguus autem nautarum numerus submergebatur, omnia diris terroribus ac naufragiis redundabant. Reges procella vehementius spirabant, terribiles fluctus immittebant tyranni, tribunalia magistratuum commovebantur, Christi abnegationem judices promulgabant ; acerba supplicia legislatores minabantur, ad dæmonum sacrificia viri rapiebantur, ad altarium abominationem mulieres trahebantur ; ad hanc quoque insaniam virgines compellebantur, exsiliis sacerdotes ac cædibus addicebantur, e sacris septis fideles ejiciebantur. Tantam ad pugnam martyr armabatur, tantisque periculis animum opponebat ; conflictum illum tamquam certamen quoddam umbratile deridebat, et perinde quasi in scammate pulveris loco principes fide calcaret, sic ejus animum, qui tum judicium exercebat, exagitavit, atque adversus Ecclesiam incursionem facere parantem refrenavit. Quamobrem ad supplicium subito vir generosus abreptus est, variaque pœnarum genera admovebantur ; martyr autem citharæ similis erat, dum ad sonum edendum cruciatuum plectro moveretur : corpus[1] circumstantes carnifices plagis contundebant, ipse vero tamquam æreum quoddam tympanum pietatis carmen pulsatus succinebat : suspendentes in equuleo lacerabant, ille vero tamquam vitæ arborem equuleum amplexabatur : sicut latera justi genas dilaniabant, ille vero, quasi plura tum ora recepisset, orationem habebat, novoque lapsu pudorem adversario imponebat.

Mirabile responsum infantis a Martyre interrogati.— Cum enim se a judice ad dæmonum cultum provocari videret, infantem e foro duci postulat, ut eum, de quibus rebus a judice interrogabatur, judicem faciat ; et adducto infanti de iis, quæ agitabantur, quæstionem proponit. Fili, inquit, justumne est, ut Deus adoretur ; an ut ii, qui ab istis dii appellantur? Magna plane sapientiæ martyris excellentia : judicis judicem infantem constituit : at ille continuo secundum Christum litem dedit, ut impie se gerentibus judicibus vel infantes sapientiores ostenderentur ; imo vero ut non modo martyr appareret martyr, sed etiam martyrum monitor ac magister. Verumtamen ne hoc quidem judicis rabiem labefactavit ; sed in equuleum statim cum infante martyr abripiebatur, equuleique supplicio carcer succedebat, et illi sententia, quæ varias athletis pœnas dividebat : nam infantem quidem morte, martyrem autem linguæ excisione damnavit. Quis talem judicii modum audivit? reos judices flagris cædunt, ut ea, quorum sibi sunt conscii, fateri cogant : at impietatis judex linguam excidit, ut ea, quorum sibi conscius est, tacere compellat. O immane maliguæ artis inventum ! Animam, inquit, ea quæ Christi sunt sapientem de statu non dejeci ; at loquentem saltem pro Christo linguam excidam. Excide linguam, o tyranne, ut naturam etiam elinguem pro Christo eloquentem esse cognoscas : evelle linguam ex ore, ut eum, qui dona linguarum est pollicitus, veracem esse cognoscas. Etenim linguæ quidem instrumentum excidit, at sermo vehementius erumpebat lingua tamquam impedimento quodam liberatus : novum sane spectaculum ac stupendum, homo ex carne constans ex carne constantibus sine carne verba faciens. Convenit itaque martyri prophetæ carmen, ***Repletum est gaudio os nostrum, et lingua nostra exsultatione*** (*Psal.* 125. 2) : repletum est gaudio os, quod Christo linguam novam victimam offerebat : magna tum exsultatione correpta erat lingua, quæ prævia martyris martyr est visa. O linguam, quæ ad martyrum turmas animam ipsam prævenit ! o os, quod occultum martyrem genuit ! o linguam, cui pro altari os fuit ! o os, cui pro victima lingua fuit ! nesciebamus, o generose, templum habere te os tuum ; templum, in quo consanguineam linguam mirabilem agnam mactasti.

2. Quis igitur virtutes tuas orator pro dignitate laudibus prosequatur ? Linguam accepisti a natura, at tu eam martyrem educasti : accepisti os, munimentum linguæ, tu autem os linguæ altare effecisti : accepisti plectrum ad loquendum, at excisum illud spicam effecisti : linguam verborum administram accepisti, at tu illam Christo pecudem immaculatam immolasti. Qua tandem linguam tuam convenienti appellatione decorabo ? quo nomine linguam tuam exornabo ? Admovebant ei ferrum carnifices, at illa vincti Isaac in morem non resiliebat, sed in ore tamquam in altari jacens cum voluptate vulnus exspectabat, ac linguas hominum non pro Christo loqui tantum oportere, sed cædi etiam docebat. Patriarchæ sacrificii æmulationem, o generose, rapuisti, dum unigenitum linguæ germen pro unigenito Filio obtulisti (*Gen.* 22). Recte itaque tibi alteram linguam vicissim Christus insevit ; bonum quippe te agricolam prioris invenit : recte linguam non carneam est largitus ; angelicum enim animi affectum carnea non decebat : recte linguæ tibi remunerationem rependit. Ad sacrificium linguam Domino commodasti, at ille vicissim vocem ad eloquentiam fœneravit : factum est quoddam linguæ atque Christi inter se commercium, dum pro Christo quidem lingua exciditur, pro lingua vero Christus loquitur.

In Macedonium invehitur, qui Spiritus S. divinitatem negabat. Confert hoc miraculum cum rubo. — Ubi nunc est nobis Macedonius, qui Paracleto, a quo linguarum donum collatum est, bellum infert ? Neque vero mentiri me, dum charismatum dona Paracleti divinitati attribuo, testis nobis est beatus Paulus, qui vestrum audiendi studium nunc his vocibus occupat : *Hæc omnia operatur unus atque idem Spiritus, dividens singulis prout vult* (1. *Cor.* 12. 11) : Prout vult, inquit, non, Prout jubetur. Verum ne si forte quædam additamenta his fecerimus, nimia copia vestram memoriam obruamus, hujus certi firmique pro Paracleto loci memores hinc excedamus, et magnos spiritus in

[1] Savil. et Reg., *os*.

eos sumentes; sed illis errantibus interim ignoscentes, Paracleti divinitatem adoremus. Ac tuba quidem prophetica totius orbis in Christum consensum præmuntians dicebat, *Quia intelligent me, a parvo eorum, et usque ad magnum eorum* (*Jer.* 31. 34), *Et omnis lingua confitebitur Deo vero* (*Rom.* 14. 11). Et propheta quidem, ut dixi, linguam omnem cognitionis Dei reti concludit, nos vero hodierno die etiam elinguem orationem pietati patrocinantem audiemus : velut enim cithara quædam plectro destituta Creatorem collaudat. Dicat igitur et beatus Romanus : *Lingua mea calamus scribæ velociter scribentis* (*Psal.* 44. 1) : quænam lingua? Non ea quam ferrum eripuit, sed quam Spiritus gratia fabricata est ; lingua quippe avulsa, Spiritus gratia in ejus locum est suffecta. Habebant et linguas apostoli, sed ut operantis virtus indicaretur, lutum otiabatur, et ignis cælestis loquebatur. Habebat et Mosaica Scriptura rei imaginem quæ orationem excedit : rubus enim apud illum et ignis fuit (*Exod.* 3. *init.*). Apostolicus ignis prædicationis evangelicæ voces in rubo præfigurabat, ac vocem rei inanimatæ impertit, ut ei, cum tetigerit animata instrumenta, credatur : si enim rem inanimatam contactus ignis vocalem reddidit, nonne debuit, cum ratione præditas animas replevisset, ex contactu carmen concinnum admodum personare? Hac etiam gratia celebris hic Romanus donatus erat, qui exsecta lingua, clariori voce tyrannum arguebat. Neque vero tyrannus ullo pacto linguam excidere properasset, nisi reprehensionum fluenta reformidasset, nisi eum prædicationis Evangelii torrens perterrefecisset, nisi evangelicæ fluctus eloquentiæ se fracturum putasset. Sed unde necessitas tyranno fuerit facinus istud audendi, videamus.

3. Cum dæmonibus impius aliquando sacrificasset, et fumo nidoreque repletus esset, et impietatis guttis inquinatus, curriculo ad ecclesiam pergebat, ac stillantem sanguine præ se ferens securim, incruentum altare ad nefarium sacrificium perquirebat. At non latuit martyrem tyranni rabies. Itaque cum subito exsiliens prodiisset in vestibulum, jam irruentem impietatis inundationem coercet : et quemadmodum solers gubernator dum in proram impetum faciens mare conspicit, otiari nequit, sed navim totam celeri pede percurrit, et gubernaculo puppim erigens obversam fluctibus navigii faciem opponit, illoque quod in periculo versabatur in sublime sublato, medium decumanum fluctum diffindit, et arte quadam tumefactum pelagus sulcat : hoc et beatus Romanus fecit. Idololatriæ mari blasphemias mugiente, atque adversus ecclesiasticam navim furente, spumasque sanguinis in aras eructante, solus adversus insaniens pelagus armatur, penitusque subverti cymbam videns, dormientem in navi Dominum expergefacit, somno longanimitatis sopitum excitat. Contrariis ventorum flatibus procellisque turbatum mare conspicit, et in periculo versantium verba discipulorum usurpat, *Præceptor, salva, perimus* (*Luc.* 8. 24) : piratæ cymbam circumsident, lupi ovile circumvallant, latrones thalamum tuum perfodiunt, adulterini susurri tuam sponsam circumsonant, iterum paradisi parietem serpens effringit ; Ecclesiæ fundamentum petra concutitur : ac tu de cælo evangelicam anchoram projice, ac petram agitatam obfirma : *Præceptor, salva, perimus.*

Romani ad tyrannum oratio. — Commune periculum martyris animum dividit, et ad Dominum cum fiducia verba facit, atque adversus tyrannum fluentem linguam emittit. Siste, inquit, furiosum hunc cursum, o tyranne : imbecillitatis tuæ mensuram agnosce, crucifixi terminos reverere, termini vero crucifixi, non ecclesiæ parietes, sed orbis terrarum sunt fines : furoris caliginem excute, respice in terram, et naturæ tuæ imbecillitatem considera ; suspice in cælum, ac magnitudinem belli perpende ; infirmum dæmonum auxilium contemne ; animadverte dæmones cruce percussos te suorum altarium propugnatorem obtendere. Cur ea quæ nequeunt comprehendi persequeris? cur in aerem jacularis? num enim parietibus Deus circumscribitur? incircumscriptum est numen : num enim oculis Dominus noster conspicitur? invisibilis enim est essentia et informis : porro secundum humanitatem et pingitur, et videtur. Num enim lapidem et lignum inhabitans bove ac pecude providentiam vendit? num enim altare in ejus pactis velut interventor requiritur? Ea tuorum est dæmonum gulosa mendicatio : Dominus meus, vel universi potius Dominus, Christus incolit cælum, ac mundum gubernat, et sacrificium est illi anima, quæ ad ipsum oculos sursum reflectit : unus illi cibus est salus credentium. Desine arma adversus Ecclesiam movere : in terris est grex, et pastor in cælis : in terra sunt palmites, et vitis in cælo : si palmites excidas, vitem multiplicas. Cruore manus tuæ redundant, gladius tuus brutarum hostiarum sanguine tinctus est : parce pecudibus innocentibus, et in nos, qui reprehendimus, ferrum converte : parce tacentibus bestiis, et nos qui accusamus, interfice. Non enim ita ferrum homicidarum, ut securim inservientem altaribus pertimesco : homicidarum ferrum corpus laniat, securis altarium animam occidit : homicidarum ferrum id quod sacrificatur mactat, at securis altarium et id quod sacrificatur, et eum qui sacrificat, simul perdit : cervicem trunca, nec aram commacula : habes victimam voluntariam, cur captivum taurum colligas reluctantem? Si mactare desideras, in ecclesiæ vestibulo ratione præditam hostiam macta.

Lingua exciditur Romano. — Non tulit immodicam dicendi libertatem martyris tyrannus, sed e vestigio a lingua sacrificium inchoavit. Linguam igitur excidit, non quod eam vellet avulsam, sed ut Evangelii prædicationem oppugnaret : non tam quod præconi invideret, quam quod invidia in eum, qui prædicabatur, arderet. Sed *Qui comprehendit sapientes in astutia eorum* (1. *Cor.* 3. 19), excisum vocis instrumentum e cælo restituit, invisibili claudicantem sonum lingua suffulcit, vocem elingui largitur, et creationem hominis reipsa tyranno demonstrat. Et quemadmodum puteo-

αὐτοὶς πλανωμένοις, καὶ τὴν τοῦ Παρακλήτου προσκυνοῦντες θεότητα. Ἡ μὲν οὖν προφητικὴ σάλπιγξ τὴν οἰκουμενικὴν εἰς Χριστὸν προσημαίνουσα συμφωνίαν ἔλεγεν, *Ὅτι εἰδήσουσί με*, φησὶν, *ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως μεγάλου αὐτῶν, Καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ* Θεῷ [620] *τῷ ἀληθινῷ*. Καὶ ὁ μὲν προφήτης, ὡς ἔφην, ἅπασαν γλῶσσαν τῷ τῆς θεογνωσίας περικλείει δικτύῳ· ἡμεῖς δὲ σήμερον καὶ ἀγλώττου ῥήτορος ἀκουσόμεθα τῇ εὐσεβείᾳ συνηγοροῦντος· οἱονεὶ γάρ τις κιθάρα πλῆκτρον οὐκ ἔχουσα τὸν δημιουργὸν εὐφημεῖ. Λεγέτω τοίνυν καὶ ὁ μακάριος Ῥωμανός· *Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου*. Ποία γλῶσσα; Οὐχ ἣν ὁ σίδηρος ἀφεῖλεν, ἀλλ' ἣν ἡ τοῦ Πνεύματος χάρις ἐχάλκευσε· τῆς γλώσσης γὰρ συληθείσης ἡ τοῦ Πνεύματος χάρις ἀντεισήχθη. Εἶχον καὶ οἱ ἀπόστολοι γλώσσας, ἀλλ' ἵνα δειχθῇ τοῦ ἐνεργοῦντος ἡ δύναμις, ὁ πηλὸς ἤργει, καὶ τὸ πῦρ τὸ οὐράνιον ἐφθέγγετο. Εἶχε καὶ ἡ Μωσαϊκὴ Γραφὴ τοῦ ὑπὲρ λόγον πράγματος τὴν εἰκόνα· βάτος γὰρ παρ' ἐκείνῳ καὶ πῦρ. Καὶ τὸ ἀποστολικὸν πῦρ τὰς τοῦ κηρύγματος φωνὰς ἐπὶ τῆς βάτου προετύπου, καὶ φωνὴν τῷ ἀψύχῳ χαρίζεται, ἵνα τῶν ἐμψύχων ὀργάνων ἁψάμενον πιστευθῇ. Εἰ γὰρ τὸ ἄψυχον ἡ ἁφὴ τοῦ πυρὸς ἔμφωνον ἀπειργάσατο, πῶς οὐκ ἔμελλεν ἀναπλῆσαί που ψυχὰς λογικὰς δι' ἁφῆς τὸ παναρμόνιον ἀνακρούεσθαι μέλος; Ταύτης μετέσχε τῆς χάριτος καὶ Ῥωμανὸς ὁ ἀοίδιμος, καὶ τὴν γλῶτταν ἀποτμηθεὶς τρανοτέρῳ φθόγγῳ τὸν τύραννον ἤλεγχεν. Οὐκ ἂν δὲ ὅλως ὁ τύραννος ἐπὶ τὴν τῆς γλώττης ἔδραμεν ἐκτομήν, εἰ μὴ τῶν ἐλέγχων ἐφοβήθη τὰ ῥεύματα, εἰ μὴ τὸν χειμάρρουν τοῦ κηρύγματος κατεπλάγη, εἰ μὴ τὰ κύματα τῆς εὐαγγελικῆς ῥητορείας στορέσαι ὑπέλαβεν. Ἀλλ' ἴδωμεν, ὅθεν ὁ τύραννος εἰς ἀνάγκην ἔρχεται τῆς ταιαύτης τόλμης.

γ'. Δαίμοσί ποτε θύσας ὁ δυσσεβὴς, καὶ καπνοῦ καὶ κνίσσης ἀνάπλεως γεγονὼς, καὶ ταῖς σταγόσι τῆς ἀσεβείας μεμολυσμένος, δρομαίως ἐπὶ τὴν ἐκκλησίαν ἐχώρει, καὶ τὸν ἡμαγμένον ἐπιφερόμενος πέλεκυν, τὸ ἀναίμακτον θυσιαστήριον πρὸς ἱερουργίαν ἀθέμιτον ἐπεζήτει. Ἀλλ' οὐκ ἔλαθεν ἡ τοῦ τυράννου λύττα τὸν μάρτυρα. Εὐθέως γοῦν ἐκπηδήσας εἰς τὰ προπύλαια, φερομένην ἤδη τῆς ἀσεβείας τὴν ἐπίκλυσιν ἀναστέλλει· καὶ καθάπερ τις εὐμήχανος κυβερνήτης τὴν θάλατταν βλέπων κατὰ τῆς πρώρας ἐπιφερομένην, ῥεμεῖν οὐκ ἀνέχεται, ἀλλὰ τὸ σκάφος ὅλον κούφῳ ποδὶ διατρέχει, καὶ διὰ τοῦ πηδαλίου τὴν πρύμναν ἐγείρας, ἵστησι τὸ πλοῖον τοῖς κύμασιν ἀντιπρόσωπον, καὶ μετεωρίσας τὸ κινδυνεῦον, μέσην διασχίζει τὴν τρικυμίαν, καὶ τέχνῃ τινὶ τὸ κυρτωθὲν πέλαγος αὐλακίζει· τοῦτο καὶ ὁ μακάριος Ῥωμανὸς ἐποίησε. Τῆς εἰδωλικῆς θαλάττης βλάσφημα μυκωμένης, καὶ κατὰ τοῦ ἐκκλησιαστικοῦ σκάφους λυττώσης, καὶ ἀφρὸν αἱμάτων κατὰ τῶν θυσιαστηρίων ἐρευγομένης, μόνος ἀνθοπλίζεται τῇ μαινομένῃ θαλάττῃ, καὶ εἰς ἄκρον ὁρῶν τὸ σκάφος σφαλλόμενον, ἀφυπνίζει τὸν ἐν τῷ πλοίῳ Δεσπότην, ἀφυπνίζει δὲ αὐτὸν τὸν τῆς μακροθυμίας ὕπνον καθεύδοντα. Βλέπει τὸ πέλαγος ταῖς ἀντιπνοίαις χειμαζόμενον, καὶ τὰ τῶν κινδυνευόντων μαθητῶν φθέγγεται ῥήματα· *Ἐπιστάτα, σῶσον, ἀπολλύμεθα*· πειραταὶ τὸ σκάφος περιστοιχίζονται, λύκοι πολιορκοῦσι τὸ ποίμνιον, λῃσταὶ τὴν παστάδα τὴν σὴν διορύττουσι, μοιχικὰ [621] συρίγματα τὴν σὴν νύμφην περικτυπεῖ, πάλιν ὁ δφις τοιχωρυχεῖ τὸν παράδεισον· ὁ τῆς Ἐκκλησίας θεμέλιος ἡ πέτρα σαλεύεται· ἀλλ' ἐξ οὐρανοῦ τὴν εὐαγγελικὴν ἄγκυραν ῥῖψον, καὶ τὴν πέτραν στήριξον σειομένην· *Ἐπιστάτα, σῶσον, ἀπολλύμεθα*. Ὁ κοινὸς κίνδυνος μερίζει τὸν μάρτυρα, καὶ πρὸς τὸν Δεσπότην παῤῥησιάζεται· ἐπαφίησι ῥέουσαν κατὰ τοῦ τυράννου τὴν γλῶτταν, στῆσον, λέγων, τὸν ἐμμανῆ τοῦτον δρόμον, ὦ τύραννε· ἐπίγνωθι τῆς σῆς ἀσθενείας τὰ μέτρα, αἰδέσθητι τοῦ σταυρωθέντος τοὺς ὅρους· ὅροι δὲ τοῦ σταυρωθέντος οὐ τῆς ἐκκλησίας οἱ τοῖχοι, ἀλλὰ τῆς οἰκουμένης τὰ πέρατα· ἀποτίναξαι τὴν ἀχλὺν τῆς μανίας· βλέψον εἰς γῆν, καὶ τὸ τῆς φύσεως τῆς σῆς ἀσθενὲς ἐνθυμήθητι· ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ τοῦ πολέμου τὸ μέγεθος λόγισαι· τῶν δαιμόνων τὴν ἀσθενῆ διάπτυσον συμμαχίαν· σκόπησον, ὅτι τῷ σταυρῷ πεπληγότες οἱ δαίμονές σε προστάτην τῶν βωμῶν τῶν οἰκείων προβάλλονται. Τί διώκεις ἀκατάληπτα; τί τοξεύεις ἀπέραντα; μὴ γὰρ τοίχοις ὁ Θεὸς περιγράφεται; ἀπερίγραπτον τὸ θεῖον· μὴ γὰρ ὀφθαλμοῖς ὁ ἡμέτερος Δεσπότης ὁρᾶται; ἀθεώρητος γάρ ἐστι καὶ ἀνείδεος τῇ οὐσίᾳ, κατὰ δὲ τὸ ἀνθρώπινον γράφεται καὶ ὁρᾶται. Μὴ γὰρ λίθον καὶ ξύλον οἰκεῖ, πιπράσκων ἀντὶ βοὸς καὶ προβάτου τὴν πρόνοιαν; μὴ γὰρ βωμὸς τοῖς συναλλάγμασιν αὐτοῦ μεσιτεύει; Αὕτη τῶν σῶν δαιμόνων ἡ λίχνος προσαίτησις· ὁ ἐμὸς Δεσπότης, μᾶλλον δὲ ὁ τῶν ὅλων Δεσπότης, Χριστὸς οὐρανὸν οἰκεῖ, καὶ κόσμον ἠνιοχεῖ, καὶ θυσία τούτῳ ψυχὴ πρὸς αὐτὸν ἀνανεύουσα, μία τούτῳ τροφὴ, τῶν πιστευόντων σωτηρία. Παῦσαι κατὰ τῆς Ἐκκλησίας τὰ ὅπλα κινῶν· ἐπὶ γῆς τὸ ποίμνιον, καὶ ὁ ποιμαίνων ἐν οὐρανῷ· ἐπὶ γῆς αἱ κληματίδες, καὶ ἐν οὐρανῷ ἡ ἄμπελος· ἂν δὲ ἐκτέμῃς τὰς κληματίδας, πολυπλασιάζεις τὴν ἄμπελον. Λύθρου γέμουσιν αἱ χεῖρές σου, τὸ ξίφος τὸ σὸν ἀπὸ θυμάτων ἐστὶν ἀλόγων· φεῖσαι τῶν ἀναιτίων θρεμμάτων, καὶ ἡμῖν τοῖς ἐλέγχουσιν ἔπαφες τὸν σίδηρον· φεῖσαι τῶν σιωπώντων ἀλόγων, καὶ ἡμᾶς τοὺς κατηγοροῦντας ἀπόσφαττε. Οὐ γὰρ οὕτω φοβοῦμαι τὸν ἀνδροφόνον σίδηρον, ὡς τὸν ἐπιβώμιον πέλεκυν· ὁ ἀνδροφόνος σίδηρος τὸ σῶμα διασπαράττει, ὁ ἐπιβώμιος πέλεκυς τὴν ψυχὴν ἀναιρεῖ· ὁ ἀνδροφόνος σίδηρος τὸ θυόμενον κατασφάττει, ὁ δὲ ἐπιβώμιος πέλεκυς καὶ τὸ θυόμενον καὶ τὸν θύοντα συναπόλλυσι. Τέμε τὸν αὐχένα τὸν ἐμὸν, καὶ μὴ μολύνῃς θυσιαστήριον· ἔχεις αὐτοκέλευστον ἱερεῖον, τί τὸν δεσμώτην ταῦρον ἀνανεύοντα συμποδίζεις; Εἰ θύειν ἐπιθυμεῖς, ἐν τοῖς τῆς ἐκκλησίας προθύροις θύε λογικὸν ἱερεῖον.

Οὐ φέρει τὴν ἄμετρον ὁ τύραννος παῤῥησίαν τοῦ μάρτυρος, ἀλλ' εὐθὺς ἀπὸ τῆς γλώττης τοῦ θύματος ἄρχεται. Ἐκτέμνει τοίνυν τὴν γλῶτταν, οὐκ ἀνελεῖν βουλόμενος, ἀλλὰ τῷ κηρύγματι πολεμῶν· οὐ τοσοῦτον τῷ κήρυκι φθονῶν, ὅσον τῷ κηρυττομένῳ βασκαίνων. Ἀλλ' *Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν*, τὸ ἐκτμηθὲν ὄργανον τῆς φωνῆς ἐξ οὐρανοῦ ἀποδίδωσι, καὶ ἀοράτῳ γλώττῃ τὸν χωλεύοντα φθόγγον ὑποστηρίζει, καὶ χαρίζεται τῷ ἀγλώττῳ τὴν φωνὴν, ἔργῳ τὴν ἀνθρωπίνην δημιουργίαν ἐνδεικνύμενος τῷ τυράννῳ. Καὶ καθάπερ οἱ φρεωρύχοι τὰς

φλέβας διασκαλεύοντες [a] [622] εὐρυτέραν τῷ ὕδατι τὴν ἐκροὴν ἀπεργάζονται, οὕτω καὶ ὁ τύραννος σιδήρῳ τῆς γλώττης διορύττων τὴν ῥίζαν, σφοδροτέροις ἐπεκλύζετο τοῖς τῶν ἐλέγχων κρουνοῖς. Ἐβουλόμην ἄχρι τέλους ἐγχορεῦσαι τῇ τοῦ μάρτυρος ὑποθέσει, ἀλλ' ὁ τῆς συμμετρίας ἐπέστη καιρὸς, καί μοι σιωπᾷν ἐγκελεύεται· ὑμῖν τε γὰρ πρὸς ὠφέλειαν ἱκανὰ τὰ ῥηθέντα, καὶ ἀναγκαῖα τοῦ πατρὸς τὰ διδάγματα πρὸς τὸν τῶν ῥηθέντων ἀπαρτισμόν· ἀλλὰ καὶ τὰ ῥηθέντα τοῖς τῆς μνήμης κόλποις περιπτυξώμεθα, καὶ τοῖς λέγεσθαι μέλλουσι τοὺς τῆς ψυχῆς αὐλακας ἀναπτύξωμεν, καὶ ἐπὶ πᾶσι τὸν θαυματοποιὸν Χριστὸν προσκυνήσωμεν, ὅτι αὐτῷ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Savil. in textu et Reg. διασκυλεύοντες, Morel. et Savil. in marg. διασκαλεύοντες.

AD HOMILIAS TRES IN SS. SEPTEM MACCABÆOS

Hæ conciones Antiochiæ habitæ sunt nullamque præferunt anni notam. Prior matrem præsertim Maccabæorum a constantia animique robore plurimum commendat. Secunda septimum junioremque ex Maccabæis laudibus exornat, matre quoque identidem in laudum partem vocata. Hanc breviorem Chrysostomus in Maccabæos homiliam pronuntiavit; quo pluribus, inquit, illi laudibus a communi doctore cumularentur, nempe a Flaviano Episcopo, qui post Chrysostomum concionaturus erat. Tertia omnium brevissima in Maccabæos homilia a nonnullis in νοθείας suspicionem vocatur, nec injuria : nam olet certe

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ

Καὶ εἰς τὴν μητέρα αὐτῶν.

Ὁμιλία α'.

α'. [a] Ὡς φαιδρὰ καὶ περιχαρὴς ἡμῖν ἡ πόλις, καὶ τοῦ παντὸς ἐνιαυτοῦ λαμπροτέρα ἡ σήμερον ἡμέρα, οὐ τοῦ ἡλίου φανερωτέραν ἀκτῖνα τῆς εἰωθυίας πρὸς τὴν γῆν ἀφιέντος σήμερον, ἀλλὰ τοῦ φωτὸς τῶν ἁγίων μαρτύρων ὑπὲρ ἀστραπὴν ἅπασαν τὴν πόλιν ἡμῖν καταυγάσαντος· μυρίων γὰρ ἡλίων οὗτοι λαμπρότεροι, καὶ τῶν μεγάλων φωστήρων φανότεροι [b]. Διὰ τοῦτους σεμνοτέρα τοῦ οὐρανοῦ σήμερον ἡ γῆ. Μὴ γάρ μοι τὴν κόνιν εἴπῃς, μηδὲ τὴν τέφραν λογίζου, μηδὲ τὰ χρόνῳ δαπανηθέντα ὀστᾶ, ἀλλ' ἄνοιξον τῆς πίστεως τοὺς ὀφθαλμοὺς, καὶ βλέπε παρακαθημένην αὐτοῖς τοῦ Θεοῦ τὴν δύναμιν, περιβεβλημένην αὐτοῖς τοῦ Πνεύματος τὴν χάριν, περιστέλλουσαν αὐτοὺς [623] τοῦ οὐρανίου φωτὸς τὴν δόξαν. Οὐ τοιαῦται ἐξ ἡλιακοῦ κύκλου πρὸς τὴν γῆν ἀκτῖνες ἀφίενται, οἷαι μαρμαρυγαὶ καὶ λαμπηδόνες ἐκ τῶν σωμάτων ἐξαλλόμεναι τούτων αὐτὰς ἀποτυφλοῦσι τοῦ διαβόλου τὰς ὄψεις. Καθάπερ γὰρ λῃσταρχοι καὶ τυμβωρύχοι ἐπειδὰν ἴδωσιν ὅπλα που κείμενα βασιλικὰ, θώρακα, καὶ ἀσπίδα, καὶ κράνος, χρυσῷ πάντα καταλαμπόμενα, ἀποπηδῶσιν εὐθέως, καὶ οὐδὲ προσελθεῖν, οὐδὲ ἅψασθαι τολμῶσι μέγαν ὑφορώμενοι κίνδυνον, εἴ τι τοιοῦτον τολμήσαιεν· οὕτω δὴ καὶ οἱ δαίμονες οἱ ἀληθινοὶ λῃσταρχοι, ὅπουπερ ἂν ἴδωσι μαρτύρων σώματα κείμενα, δραπετεύουσι, καὶ ἀποπηδῶσιν εὐθέως. Οὐ γὰρ πρὸς τὴν φύσιν αὐτῶν βλέπουσι τὴν τέως θνητὴν, ἀλλὰ πρὸς τὴν ἀπόῤῥητον ἀξίαν τοῦ φορήσαντος αὐτὰ Χριστοῦ. Ταῦτα γὰρ τὰ ὅπλα οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ ἐνεδύσατο δύναμις, ἀλλ' αὐτὸς ὁ τῶν ἀγγέλων Δεσπότης. Καὶ καθάπερ ὁ Παῦλος ἑδόα λέγων· *Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;* οὕτω καὶ οὗτοι δύνανται βοᾷν καὶ λέγειν· εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἡμῖν ἀγωνισταμένου Χριστοῦ; Τίμια γὰρ τὰ σώματα, ἐπειδὴ πληγὰς ἐδέξαντο ὑπὲρ τοῦ ἰδίου Δεσπότου, ἐπειδὴ στίγματα βαστάζουσι διὰ τὸν Χριστόν. Καὶ καθάπερ στέφανος βασιλικὸς λίθοις ποικίλοις πάντοθεν καλλωπιζόμενος μαρμαρυγὰς διαφόρους ἀφίησιν, οὕτω δὴ καὶ τὰ σώματα τῶν ἁγίων μαρτύρων, ὥσπερ λίθοις τιμίοις τοῖς ὑπὲρ τοῦ Χριστοῦ τραύμασι κατεστιγμένα, παντὸς διαδήματος βασιλικοῦ τιμιώτερα καὶ σεμνότερα φαίνεται. Οἱ μὲν οὖν ἔξωθεν ἀγωνοθέται ἀγῶνας τιθέντες μεγίστην φιλοτιμίαν εἶναι νομίζουσιν, ὅταν νέους ἀθλητὰς καὶ σφριγῶντας εἰς τὰ σκάμματα καὶ τοὺς ἀγῶνας εἰσάγωσιν, ὥστε πρὸ τῆς ἐν τοῖς παλαίσμασιν ἐπιδείξεως, ἀπὸ τῆς τῶν μελῶν εὐεξίας θαῦμα παρασχεῖν τοῖς θεαταῖς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πᾶν τοὐναντίον. Ἀγῶνα γὰρ τιθεὶς ὁ Χριστὸς οὐ τοιοῦτον οἷον ἐκεῖνοι, ἀλλὰ φρικτὸν καὶ φόβου γέμοντα· οὐ γὰρ ἀνθρώπων πρὸς ἀνθρώπους ἡ πάλη, ἀλλ' ἀνθρώπων πρὸς δαίμονας ἡ μάχη· τοιοῦτον τοίνυν ἀγῶνα τιθεὶς ἡμῖν, οὐ νέους ἀθλητὰς καὶ σφρι-

[a] Initium sic effert Savil. in marg. : Ὡς φαιδρὰ καὶ περιλαμπὴς ἡ παροῦσα ἡμέρα· μᾶλλον δὲ τοῦ παντὸς ἐνιαυτοῦ λαμπροτέρα. Γέγονε δὲ λαμπροτέρα, οὐ τοῦ. Unus Reg. habet : Ὡς φαιδρὰ καὶ περιφανής. Paulo post idem Reg. τῆς εἰωθυίας ἀφέντος σήμερον. Paulo post idem πόλιν ἡμῶν, et mox λαμπρότεροι διὰ τῶν.

[b] Sic rectius e Savilio φανοτεροι. Moutf. φανερώτεροι. Ed.

rum fossores dum fodiendo venas aperiunt, efficiunt, ut laxiori meatu ferantur aquæ : sic et tyrannus, dum linguæ radicem ferro perfodit, vehementioribus reprehensionum scatebris obruebatur. Voluissem equidem in hujus martyris argumento exsultantem orationem ad finem usque deducere : at justi spatii tempus advenit, et ut sileamus hortatur : nam et vobis ad utilitatem hæc dicta sufficiunt, et necessaria sunt patris (*a*) documenta, ut dicta illa perficiantur. Nos vero et ea, quæ dicta sunt, memoriæ sinu complectamur, et iis quæ dicenda sunt animæ sulcos explicemus, ac super omnia miraculorum effectorem Christum adoremus; quoniam ipsi gloria cum Patre ac sanctissimo Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) De Flaviano loquitur.

MONITUM.

peregrinum : styli genus strigosum est, omnia ceu in transcursu dicuntur; neque tamen eam loco movendam esse putavi : satis enim erit scrupulum indicasse, ne quis eam ut certum S. doctoris fetum habeat. Huic subjicimus fragmentum quoddam S. Joannis Chrysostomi in Maccabæos a Joanne Damasceno allatum lib. III de Imaginibus, quod in nulla trium homiliarum occurrit.

Primæ in Maccabæos homiliæ Interpretationem Latinam incerti cujusdam viri, utpote παραφραστικῶς adornatam, rejecimus, novamque paravimus. Secundæ et tertiæ Interpretatio est Frontonis Ducæi.

IN SANCTOS MACCABÆOS, ET IN MATREM EORUM.

HOMILIA I (*a*).

1. *Martyrum ossa dæmonibus terribilia.* — Quam speciosa nobis et læta civitas ! quam toto anno splendidior hæc dies ! non sole [1] clariores, quam more solito, radios in terram effundente, sed sanctorum martyrum luce plus, quam fulgur, totam nobis civitatem irradiante : sexcentis enim solibus splendidiores hi sunt, ac magnis luminaribus clariores. Propter illos hodie terra ornatior est, quam ipsum cælum. Ne mihi pulverem dicas, ne mihi cinerem cogites, vel ossa tempore consumpta : sed fidei oculos aperi, et vide assidentem ipsis Dei virtutem, ambientem ipsos Spiritus gratiam, circumfusam cælestis luminis gloriam. Non tales ex solari orbe in terram emittuntur radii, quales ex sanctis corporibus prosilientes fulgores diaboli oculos excæcant. Quemadmodum enim prædonum duces, aut sepulcrorum effossores, ubi vident imperatoria arma jacentia, loricam, clypeum, galeam, auro tota fulgentia, statim resiliunt, magnumque suspicantes periculum, neque accedere neque ea contingere audent : sic et dæmones vere prædonum duces, ubicumque vident martyrum corpora jacentia, statim fugiunt ac resiliunt. Non enim in mortalem naturam eorum respiciunt, sed in arcanam Christi, qui illa gestavit, dignitatem. Hæc quippe arma non angelus, non archangelus, non alia quæpiam creata virtus induit, sed ipse angelorum Dominus. Ac quemadmodum Paulus clamabat dicens : *An experimentum ejus quæritis, qui in me loquitur, Christi* (2. *Cor.* 13. 3) ? sic et isti possunt clamare ac dicere, An experimentum quæritis ejus, qui in nobis certavit, Christi ? Pretiosa enim sunt corpora, quia plagas pro Domino suo acceperunt, quia stigmata propter Christum gestant. Ac sicut corona imperatoria variis lapillis undique decorata fulgores varios emittit, ita et sanctorum martyrum corpora, quasi lapillis pretiosis, vulneribus pro Christo susceptis distincta, omni imperatorio diademate pretiosiora et venerabiliora videntur. Exteri quidem agonothetæ certamina constituentes, rem admodum spectabilem esse putant, cum juvenes robustosque athletas in scammata et certamina inducunt, ita ut vel antequam certamina incipiantur, ex bona membrorum habitudine in admirationem spectatores moveant : hic vero non ita se res habet, sed e contrario omnia. Agonem enim proponens Christus non talem qualem illi, sed horrendum et formidandum : quippe non hominum adversus homines est lucta, sed hominum adversus dæmones certamen est

[1] Initium sic effert Savil. in marg., *Quam speciosa et circumfulgens hodierna dies ! imo et toto anno splendidior. Splendidior autem, non sole*, etc.

(*a*) Contulimus cum Mss. Regiis 2343 et 2447.

talem, inquam, agonem nobis proponens, non juvenes robustosque athletas ad certamina induxit, sed adolescentulos, ac cum illis senem Eleazarum, itemque mulierem vetulam, adolescentium matrem. Quid hoc igitur est? inutilemne ætatem ad certamina et scamnata ducis? quis audivit unquam mulierem in tanta senectute concertasse? Nemo audivit: sed ego, inquit, illam rem incredibilem, novam, et numquam antehac auditam, ipsis operibus credibilem faciam. Non enim is agonotheta sum ego, qui certantium virtuti omnia committam; sed adsum, opem fero manumque athletis meis porrigo, et rei ab illis fortiter gestæ pars maxima ex patrocinio meo proficiscitur.

Gratia Martyres fortes efficit. — Cum itaque videris mulierem trementem, vetulam, baculo egentem, in certamen ingressam, tyranni furorem prosternere, incorporeas virtutes superare, diabolum facile vincere, ejusque robur strenue admodum frangere, agonothetæ gratiam admirare, Christi conspecta virtute obstupesce. Non secundum carnem robusti sunt athletæ, sed secundum fidem: infirma est ipsorum natura, sed potens est, quæ ungit eos, gratia: soluta sunt senectute corpora, sed roborati sunt animi pietatis amore. Non est sensibilis pugna: ne igitur athletas extrinsecus consideres, sed ratiocinio eorum animi robur intus perpende; considera ipsorum fidei fortitudinem, ut ediscas eum, qui cum dæmonibus pugnet, non robusto corporis habitu et mole indigere, neque ætate florida; sed etsi admodum juvenis sit, etsi decursa jam ætate, si animo generoso robustoque prædituś sit, nihil damni ab ætate in certamine accipere.

2. Ecquid dico senem et juvenem, quando mulieres ipsæ hæc certamina inierunt, splendidisque coronis redimitæ sunt? Nam externa quidem certamina ætatem, naturam et dignitatem exquirentia, servis, mulieribus, senibus, adolescentulis aditum intercludunt; hic vero cuilibet conditioni, ætati cuilibet, utrique sexui theatrum magna data libertate aperitur, ut et liberalitatem et inenarrabilem virtutem ejus, qui certamen instituit, ediscas, et apostolicum illud dictum operibus confirmatum videas: *Quia virtus ejus in infirmitate perficitur* (2. *Cor.* 12. 9). Quando enim pueri et senes supra naturam fortiter agunt, Dei in ipsis operantis gratia splendide prorsus demonstratur.

Matris Maccabæorum virtus. — Ut autem ediscas illam exteriorem athletarum infirmitatem ipsos coronam reportantes splendidiores reddere, age, sene puerisque dimissis, infirmiorem illis mulierem vetulam, septem filiorum matrem, in medium adducamus: nam partus labores non leve impedimentum in his certaminibus afferunt. Quid ergo prius in ea admiremur? infirmitatemne naturæ, an provectam ætatem, an maternæ commiserationis sensum fragilem? [Mater enim erat: unde facile eam potuisset in tormentis viscerum suorum vincere materna pietas, nisi divinæ pietatis altior virtus virili fide anile pectus armaret (*a*)]. Magna siquidem hæc sunt impedimenta ad tantæ patientiæ cursum. Ego vero aliud proferendum habeo his majus, quo et mulieris fortitudinem et diaboli vafritiem totam videamus. Quodnam illud? Animadverte improbi dæmonis nequitiam: non priorem illam traxit in scammata, sed post filios ad certamina duxit. Quare? Ut postquam septem filiorum cruciatibus ejus animum prius dejecisset, ejusque mentis firmitatem emollivisset, rerum illarum spectaculo prius absumpta fortitudine in suppliciis filiorum, infirmior demum facta facilius expugnari posset. Ne consideres illos excepisse tormenta, sed tecum reputa illam ad singulos graviores tulisse dolores, et in singulis eorum confossam esse. Quodque dicimus probe norunt quotquot mulieres partus dolores expertæ sunt, et matres evaserunt. Sæpe namque mater febri æstuantem filium videns, nihil non doloris amplectatur, ut ex illo corpore ægritudinis ignem in se transferat: ita nempe matres filiorum ærumnas propriis malis intolerabiliores existimant. Quod si hoc verum est, ut est profecto verum, in suppliciis filiorum gravius quam ipsi filii cruciabatur mater, majusque in matre martyrium erat, quam in filiis. Nam si vel unius filii morbus nuntiatus materna viscera turbat, non uno solum filio, sed tanto filiorum interfecto choro, cum non auditu solo, sed visu cruciatus perciperet, quid non passa fuerit? quomodo mentis compos esse potuerit, cum singulos videret diversis et horrendis suppliciis paulatim occisos? quomodo non erupit e corpore anima? quomodo non ex primo aspectu in rogum insiliit, ut se a reliquo spectaculo liberaret? Etsi enim philosophabatur, at mater erat; etsi religiosa erat, at carne induebatur; etsi alacris erat, at muliebris erat sexus; etsi studio pietatis fervebat, sed partuum vinculo detinebatur. Nam si nos, viri cum simus, reum videntes per forum agi, funem in ore habentem, in barathrumque trahi, etiamsi nulla cum eo amicitia juncti, hoc spectaculo frangimur, etsi idoneum ad leniendam miserationem solatium habeamus, damnati nempe nequitiam: quantum illa passa fuerit, quæ non reum unum abduci videret, sed simul unaque die septem filios, non celeri morte, sed variis suppliciis cæsos? Etsi enim lapidea fuisset, etsi viscera habuisset adamantina, annon turbata fuisset, annon quidpiam eorum passa esset, qualia et mulierem et matrem pati par erat? Cogita mihi quantum admiremur patriarcham Abraham, qui filium suum, ut offerret, vinxit et altari imposuit: et tunc probe comperies quanta fuerit mulieris fortitudo. O acerbissimum, idemque suavissimum spectaculum! acerbissimum quidem ob rerum, quæ agebantur, naturam; suavissimum vero ob affectum videntis. Non enim illa fluentem sanguinem respiciebat, sed coronas justitiæ contextas; non intuebatur confossa latera, sed æterna tabernacula constructa; non videbat circumstantes

(*a*) Quæ uncinis clauduntur, in nullo Græco, quod videre licuit, exemplari habentur, sed ex veteri interpretatione desumpta sunt.

γῶντας πρὸς τὰ παλαίσματα ἤγαγεν, ἀλλὰ μειράκια κομιδῇ, καὶ μετ' ἐκείνων γέροντα, τὸν Ἐλεάζαρον, καὶ πρὸς τούτοις γυναῖκα γεγηρακυῖαν, τὴν μητέρα τῶν μειρακίων. Τί ποτε τοῦτο ἄρα ἐστὶ, Δέσποτα; τὴν ἄχρηστον ἡλικίαν πρὸς τὰ ἀγωνίσματα εἰς τὰ σκάμματα ἄγεις; τίς ἤκουσε γυναῖκα ἀγωνιζομένην ποτὲ ἐν γήρᾳ τοσούτῳ; Οὐδεὶς ἤκουσεν· ἀλλ' ἐγὼ τὸ παράδοξον τοῦτο, φησὶ, καὶ καινὸν καὶ οὔτε ἀκοῇ ποτε παραδεχθὲν διὰ τῶν ἔργων αὐτῶν πιστώσομαι. Οὐ γὰρ τοιοῦτος ἀγωνοθέτης ἐγὼ, ὡς τῇ τῶν ἀγωνιζομένων δυνάμει τὸ πᾶν ἐπιτρέπειν· ἀλλὰ παρίσταμαι, καὶ βοηθῶ, καὶ χεῖρα ὀρέγω τοῖς ἐμοῖς ἀθληταῖς, καὶ τῶν κατορθουμένων τὸ πλέον αὐτοῖς ἐκ τῆς ἐμῆς γίνεται προστασίας.

Ὅταν οὖν ἴδῃς γυναῖκα ὑπότρομον, γεγηρακυῖαν, βακτηρίας δεομένην, εἰς ἀγῶνα εἰσιοῦσαν, καὶ καταλύουσαν τυράννου μανίαν, περιγινομένην ἀσωμάτων [624] δυνάμεων, κρατοῦσαν τοῦ διαβόλου ῥᾳδίως, συγκόπτουσαν αὐτοῦ τὴν ἔξιν [a] μετ' ἐξουσίας πολλῆς, θαύμασον τοῦ ἀγωνοθέτου τὴν χάριν, ἐκπλάγηθι τοῦ Χριστοῦ τὴν δύναμιν. Οὐ σφριγῶσι κατὰ τὴν σάρκα οἱ ἀθληταὶ, ἀλλὰ σφριγῶσι κατὰ τὴν πίστιν· ἀσθενὴς αὐτῶν ἡ φύσις, ἀλλὰ δυνατὴ ἡ ἀλείψασα αὐτοὺς χάρις· παραλέλυται τὰ σώματα τῷ γήρᾳ, ἀλλὰ συγκεκρότηται τὰ φρονήματα τῷ πόθῳ τῆς εὐσεβείας. Οὐκ ἔστιν αἰσθητὸς ὁ ἀγών· μὴ τοίνυν ἔξωθεν καταμάθῃς τοὺς ἀθλητάς, ἀλλ' εἴσελθε τῷ λογισμῷ πρὸς τὴν τῆς ψυχῆς αὐτῶν εὐεξίαν· κατάμαθε τῆς πίστεως αὐτῶν τὴν ἰσχὺν, ἵνα μάθῃς ὅτι ὁ δαίμοσι πυκτεύων [b] οὐ σώματος ἰσχυρᾶς δεῖται περιβολῆς, οὐδὲ ἡλικίας ἀκμαζούσης, ἀλλὰ κἂν κομιδῇ νέος ᾖ, κἂν εἰς ἔσχατον γῆρας ἐληλακὼς, ψυχὴν δὲ ἔχῃ γενναίαν καὶ ἐῤῥωμένην, οὐδὲν ἀπὸ τῆς ἡλικίας εἰς τὰ ἀγωνίσματα παραβλάπτεται.

β'. Καὶ τί λέγω γέροντα καὶ νέον, ὅπου γε καὶ γυναῖκες πρὸς ταῦτα ἀπεδύσαντο τὰ παλαίσματα, καὶ λαμπροὺς ἀνεδήσαντο τοὺς στεφάνους; Οἱ μὲν γὰρ ἔξωθεν ἀγῶνες καὶ ἡλικίαν, καὶ φύσιν, καὶ ἀξίαν ἐξετάζοντες, καὶ δούλοις, καὶ γυναιξὶ, καὶ πρεσβυτέροις, καὶ μειρακίοις τὴν πρὸς αὐτοὺς εἴσοδον ἀποκλείουσιν, ἐνταῦθα δὲ πάσῃ μὲν ἀξίᾳ, πάσῃ δὲ ἡλικίᾳ, ἑκατέρᾳ δὲ τῇ φύσει τὸ θέατρον μετὰ πάσης ἀδείας ἠνέῳκται, ἵνα καὶ τὴν ἀφθονίαν καὶ τὴν ἄφατον δύναμιν τοῦ τὸν ἀγῶνα τιθέντος καταμάθῃς, καὶ τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων βεβαιούμενον ἴδῃς, *Ὅτι ἡ δύναμις αὐτοῦ ἐν ἀσθενείᾳ τελειοῦται.* Ὅταν γὰρ παιδία καὶ γέροντες τὰ ὑπὲρ τὴν φύσιν ἰσχύωσι, διὰ πάντων λαμπρῶς ἡ τοῦ δι' αὐτῶν ἐνεργοῦντος Θεοῦ διαφαίνεται χάρις.

Καὶ ἵνα μάθῃς ὅτι ἡ ἀσθένεια τῶν ἀθλητῶν, αὕτη ἡ ἔξωθεν, λαμπροτέρους ποιεῖ γενέσθαι τοὺς στεφανίτας, φέρε δὴ, τὸν γέροντα καὶ τὰ παιδία ἀφέντες τὴν ἀσθενεστέραν αὐτῶν παραγάγωμεν εἰς μέσον, τὴν γυναῖκα, τὴν γεγηρακυῖαν, τὴν ἑπτὰ παίδων μητέρα· καὶ γὰρ αἱ ὠδῖνες οὐ μικρὸν κώλυμα τῶν παλαισμάτων τούτων εἰσί. Τί οὖν αὐτῆς πρότερον θαυμάσαι ἄξιον; τὸ τῆς φύσεως ἀσθενὲς, ἢ τὸ τῆς ἡλικίας ὥριμον, ἢ [c] τὸ τῆς συμπαθείας εὐεπηρέαστον; Μεγάλα μὲν γὰρ καὶ ταῦτα κωλύματα πρὸς τὸν τοσαύτης καρτερίας δεόμενον δρόμον. Ἐγὼ δὲ καὶ ἕτερον ἔχω τούτων μεῖζον εἰπεῖν, δι' οὗ καὶ τὴν ἀνδρείαν τῆς γυναικὸς καὶ τὴν τοῦ διαβόλου κακουργίαν ἅπασαν κατοψόμεθα. Τί δὲ τοῦτό ἐστι; Σκόπει μιαροῦ δαίμονος πονηρίαν· οὐ πρώτην αὐτὴν εἴλκυσεν εἰς τὰ σκάμματα, ἀλλὰ μετὰ τοὺς παῖδας ἤγαγε πρὸς τὰ παλαίσματα. Τί δήποτε; Ἵνα ταῖς τῶν ἑπτὰ παίδων βασάνοις προκαταβαλὼν αὐτῆς τὸ φρόνημα, καὶ τὸ στερρὸν τῆς διανοίας μαλάξας, διὰ τῆς τῶν γινομένων θέας προδαπανηθείσης αὐτῇ τῆς ἰσχύος ἐν ταῖς τῶν ἐγγόνων κολάσεσιν, ἀσθενεστέρᾳ λοιπὸν γενομένῃ ῥᾳδίως ἐπιθῆται. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι ἐκεῖνοι τὰς βασάνους ἐδέχοντο, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι αὐτὴ καθ' ἕκαστον αὐτῶν χαλεπωτέρας ὑπέμενε τὰς ὀδύνας, καὶ καθ' ἕκαστον αὐτῶν ἀπεσφάττετο. [625] Καὶ τὸ λεγόμενον τοῦτο ἴσασι καλῶς, ὅσαι πεῖραν ὠδίνων ἔλαβον γυναῖκες, καὶ μητέρες ἐγένοντο. Πολλάκις γοῦν ὁρῶσα μήτηρ παιδίον πυρετῷ φλεγόμενον, πάντα ἂν ἕλοιτο παθεῖν, ὥστε ἀπὸ τοῦ σώματος ἐκείνου πρὸς ἑαυτὴν μεταγαγεῖν τὸ πῦρ τοῦ νοσήματος· οὕτω τῶν οἰκείων κακῶν τὰς τῶν παίδων συμφορὰς ἀφορητοτέρας αἱ μητέρες εἶναι νομίζουσιν. Εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν ἀληθὲς, χαλεπώτερον τῶν παιδίων ἐν ταῖς τῶν παιδίων βασάνοις ἐκολάζετο ἡ μήτηρ, καὶ μεῖζον τὸ μαρτύριον ἐν τῇ μητρὶ ἢ ἐν τοῖς παιδίοις ἐγίνετο. Εἰ γὰρ ἑνὸς παιδίου νόσος ἀκουομένη μόνον διαταράττει τὰ σπλάγχνα τῆς τεκούσης, οὐχ ἑνὸς παιδίου, ἀλλὰ τοσούτου χοροῦ παίδων ἀναιρουμένου, οὐκ ἀκοῇ δεχομένη τὰ παθήματα, ἀλλ' ὄψει παραλαμβάνουσα τὰ γινόμενα, τί οὐκ ἂν ἔπαθε; πῶς οὐκ ἐξέστη τῇ διανοίᾳ [d] ἕκαστον αὐτῶν ὁρῶσα διαφόροις τισὶ καὶ φρικταῖς τιμωρίαις κατὰ μικρὸν ἀναιρούμενον; πῶς οὐκ ἀπερράγη τοῦ σώματος ἡ ψυχή; πῶς οὐκ ἀπὸ τῆς πρώτης ὄψεως ἐπὶ τὴν πυρὰν ἐπεπήδησεν ἀπαλλάττουσα ἑαυτὴν τῆς λοιπῆς θεωρίας; Εἰ γὰρ καὶ φιλόσοφος ἦν, ἀλλὰ μήτηρ· εἰ καὶ θεοφιλὴς, ἀλλὰ καὶ σάρκα περιέκειτο· εἰ καὶ πρόθυμος ἦν, ἀλλὰ καὶ γυναικείας μετεῖχε φύσεως· εἰ καὶ τῷ ζήλῳ τῆς εὐσεβείας ἔζεεν, ἀλλὰ καὶ τῷ δεσμῷ τῶν ὠδίνων κατείχετο. Εἰ γὰρ ἡμεῖς ἄνδρες ὄντες κατάδικον πολλάκις ὁρῶντες διὰ τῆς ἀγορᾶς ἀγόμενον τὸ σπαρτίον ἐπὶ τοῦ στόματος ἔχοντα, ἐπὶ τὸ βάραθρον ἑλκόμενον, οὐδὲν δικαίωμα φιλίας πρὸς αὐτὸν ἔχοντες, ἀπὸ τῆς θέας μόνης κατακλώμεθα, καίτοι ἱκανὴν ἔχοντες παραμυθίαν πρὸς τὸ μηδὲν τοιοῦτον παθεῖν, τοῦ καταδεδικασμένου τὴν πονηρίαν· τί παθεῖν ταύτην εἰκὸς οὐχὶ κατάδικον ἕνα ὁρῶσαν ἀπαγόμενον, ἀλλ' ἑπτὰ παιδία ἀθρόον ἐν ἡμέρᾳ μιᾷ οὐχὶ συντόμῳ τελευτῇ, ἀλλὰ ποικίλαις κατακοπτόμενα σφαγαῖς; Εἰ γὰρ λιθίνη τις ἦν, εἰ γὰρ ἐξ ἀδάμαντος αὐτῇ τὰ σπλάγχνα ἐπεπήγει, οὐκ ἂν διεταράχθη, οὐκ ἂν ἔπαθέ τι τοιοῦτον, οἷον καὶ γυναῖκα καὶ μητέρα παθεῖν εἰκὸς ἦν; Ἐννόησον πῶς θαυμάζομεν τὸν πατριάρχην Ἀβραὰμ, ὅτι τὸν υἱὸν αὐτοῦ ἀνενεγκὼν συνεπόδισε καὶ ἐπὶ τὸ θυσιαστήριον ἀνεβίβασε, καὶ τότε ὄψει καλῶς ὅση τῆς γυναικὸς ἡ ἀνδρεία. Ὦ πικροτάτης θέας καὶ ἡδίστης ἐκείνης· πικροτάτης μὲν διὰ τὴν φύσιν τῶν γινομένων, ἡδίστης δὲ διὰ τὴν διάθεσιν τῆς ὁρώσης. Οὐ γὰρ ἐώρα τὸ καταῤῥέον αἷμα, ἀλλ' ἐώρα τοὺς στεφάνους τῆς δικαιοσύνης πλεκομένους· οὐκ ἔβλεπε διορυττομένας πλευρὰς, ἀλλ' ἔβλεπεν οἰκοδομουμένας σκηνὰς αἰω-

[a] Sic unus Regius recte; alii τὴν ὄψιν.
[b] Unus Reg. ὁ δαίμωσι παλαίων.
[c] Idem Reg τῆς ἡλικίας ἄωρον, ἢ.
[d] Idem Reg. τῆς διανοίας.

νίους· οὐχ ἑώρα περιεστῶτας δημίους, ἀλλ' ἑώρα κυκλοῦντας ἀγγέλους· ἐπελάθετο τῶν ὠδίνων, κατεφρόνησε τῆς φύσεως [a], ὑπερεῖδε τῆς ἡλικίας· κατεφρόνησε φύσεως, πράγματος τυραννικοῦ, φύσεως, ἣ καὶ τῶν θηρίων κρατεῖν εἴωθε. Πολλὰ γοῦν τῶν δυσαλώτων θηρίων οὕτως ἁλίσκεται, διὰ τὴν πρὸς τὰ παιδία συμπάθειαν τῆς οἰκείας ἀλογοῦντα σωτηρίας, καὶ ἀφυλάκτως εἰς τὰς τῶν θηρατῶν ἐμπίπτοντα χεῖρας· καὶ οὐδέν ἐστι ζῶον οὕτως ἀσθενὲς, ὃ μὴ ὑπερασπίζοι τῶν ἐγγόνων· οὐδὲν οὕτως ἥμερον, ὃ μὴ τῶν παιδίων ἀφαιρουμένων παροξύνηται. Ἀλλ' αὕτη καὶ τὴν διὰ τῶν λογικῶν [626] ἀνθρώπων καὶ τὴν διὰ τῶν ἀλόγων ζώων τεταμένην τῆς φύσεως τυραννίδα κατέλυσε· καὶ οὐ μόνον οὐκ ἐπεπήδησε τῇ κεφαλῇ τοῦ τυράννου, οὐδὲ διεσπάραξεν αὐτοῦ τὴν ὄψιν, ὁρῶσα τοὺς σκύμνους διασπαρασσομένους, ἀλλὰ τοσαύτην ἐπεδείξατο φιλοσοφίας ὑπερβολὴν, ὡς καὶ προπαρασκευάζειν αὐτῷ τὴν ἀπάνθρωπον θοίνην, καὶ τῶν πρωτέρων ἔτι χολαζομένων, τοὺς ὑπολειπομένους πρὸς τὴν τῶν αὐτῶν πεῖραν ἀλείφειν δεινῶν.

γ'. Ἀκουέτωσαν μητέρες ταῦτα, ζηλούτωσαν τὴν ἀνδρείαν τῆς γυναικὸς, τὴν περὶ τὰ ἔγγονα φιλοστοργίαν· οὕτω τρεφέτωσαν τὰ παιδία· οὐ γὰρ τὸ τεκεῖν μητρὸς, τοῦτο γὰρ τῆς φύσεως, ἀλλὰ τὸ θρέψαι μητρὸς, τοῦτο γὰρ τῆς προαιρέσεως. Καὶ ἵνα μάθῃς, ὅτι οὐ τὸ τεκεῖν ποιεῖ μητέρα, ἀλλὰ τὸ θρέψαι καλῶς, ἄκουσον τοῦ Παύλου στεφανοῦντος τὴν χήραν οὐ διὰ τὸν τόκον, ἀλλὰ διὰ τὴν τροφὴν τῶν παιδίων. Εἰπὼν γὰρ, *Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἐν ἔργοις καλοῖς μαρτυρουμένη*, τὸ κεφάλαιον τῶν ἀγαθῶν ἔργων ἐπήγαγεν. Τί δὲ τοῦτό ἐστιν; *Εἰ ἐτεκνοτρόφησε*, φησὶν· οὐκ εἶπεν, εἰ ἐτεκνοποίησεν, ἀλλ', *Εἰ ἐτεκνοτρόφησεν*. Ἐννοήσωμεν τοίνυν τί πάσχειν εἰκὸς τὴν γυναῖκα, εἴ γε γυναῖκα δεῖ αὐτὴν καλεῖν, ὁρῶσαν δακτύλους σπαίροντας ἐπὶ τῶν ἀνθράκων, κεφαλὴν ἐξαλλομένην, σιδηρᾶν χεῖρα ἐπιβαλλομένην ἑτέρου παιδίου κεφαλῇ, καὶ τὴν δορὰν ἀποσύρουσαν, καὶ τὸν ταῦτα πάσχοντα ἑστῶτα ἔτι καὶ διαλεγόμενον. Πῶς διῆρε στόμα; πῶς ἐκίνησε γλῶτταν; πῶς οὐκ ἀπέπτη τῆς σαρκὸς ἡ ψυχή; Πῶς, ἐγὼ λέγω. Οὐχ ἑώρα πρὸς τὴν γῆν, ἀλλὰ πρὸς τὰ μέλλοντα παρεσκευάζετο πάντα· ἓν ἐδεδοίκει μόνον, μὴ φείσηται καὶ προκαταλύσῃ τὸν ἀγῶνα ὁ τύραννος, μὴ διασχίσῃ τὸν χορὸν τῶν παιδίων, μὴ μείνωσί τινες ἀστεφάνωτοι.* Καὶ ὅτι τοῦτο ἐδεδοίκει, τὸν ἔσχατον μονονουχὶ ταῖς χερσὶ λαβοῦσα, οὕτως εἰς τὸν λέβητα ἐνῆκεν, ἀντὶ χειρῶν τῇ τῶν λόγων πρὸς αὐτὸν χρησαμένη παρακλήσει καὶ συμβουλῇ. Ἡμεῖς οὐκ ἀκούομεν χωρὶς ἀλγηδόνος τὰ ἀλλότρια κακὰ, κἀκείνη ἔβλεπε χωρὶς ἀλγηδόνος τὰ οἰκεῖα. Ταῦτα μὴ ἁπλῶς ἀκούωμεν, ἀλλ' ἕκαστος τῶν ἀκροατῶν ἐπὶ τῶν οἰκείων ἀναλαμβανέτω παιδίων ἅπασαν ταύτην τὴν τραγῳδίαν· ὑποτυπούτω τὴν ὄψιν τὴν ποθουμένην, καὶ τὰ φίλτατα ὑπογράφων ἑαυτῷ, ἐπ' αὐτῶν ἀναζωγραφείτω ταῦτα τὰ πάθη, καὶ τότε εἴσεται καλῶς τῶν λεγομένων τὴν δύναμιν· μᾶλλον δὲ οὐδὲ οὕτως· τὰ γὰρ τῆς φύσεως πάθη λόγος μὲν οὐδεὶς παραστῆσαι δυνήσεται, πεῖρα δὲ διδάσκει μόνη. Εὔκαιρον πρὸς ἐκείνην εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο μετὰ τὸν στέφανον τῶν ἑπτὰ παίδων· *Σὺ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ*. Ἐπὶ μὲν οὖν τῶν Ὀλυμπιακῶν ἀγώνων, χιλίων πολλάκις εἰσελθόντων ἀθλητῶν, εἰς ἕνα περιίσταται μόνον ὁ στέφανος· ἐνταῦθα δὲ ἀπὸ ἑπτὰ ἀθλητῶν ἑπτὰ στεφανῖται γεγόνασι. Ποίαν ἔχεις μοι δεῖξαι χώραν οὕτως εὔφορον; ποίαν νηδὺν οὕτως εὔτοκον; ποίας τοιαύτας ὠδῖνας; Ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου ἀποστόλων ἐγένετο μήτηρ, ἀλλὰ δύο μόνων· ἑπτὰ δὲ μάρτυρας οὐκ οἶδα μίαν ἐξενεγκοῦσαν γαστέρα, καὶ αὐτὴν πάλιν προστεθεῖσαν αὐτοῖς, οὐκ ἐν προσθήκῃ μιᾶς μάρτυρος μόνον, ἀλλ' ἐν πολλῷ πλειόνων. Οἱ μὲν [627] γὰρ παῖδες ἑπτὰ μάρτυρες ἦσαν μόνον· τὸ δὲ σῶμα τῆς μητρὸς αὐτῶν προστεθὲν σῶμα μὲν ἦν ἕν, μαρτύρων δὲ δὶς ἑπτὰ χώραν ἐπλήρου, ὅτι τε καθ' ἕκαστον αὐτῶν ἐμαρτύρησε, καὶ ὅτι κἀκείνους τοιούτους εἰργάσατο, Ἐκκλησίαν ὁλόκληρον μαρτύρων ἡμῖν ἀποκυήσασα. Ἑπτὰ παῖδας ὤδινε, καὶ οὐδένα ὤδινε τῇ γῇ, ἀλλὰ πάντας τῷ οὐρανῷ, μᾶλλον δὲ τῷ βασιλεῖ τῶν οὐρανῶν, εἰς τὴν μέλλουσαν αὐτοὺς ἅπαντας ἀποκυήσασα ζωήν. Ὁ μὲν οὖν διάβολος ἐσχάτην αὐτὴν ἦγε πρὸς τὰ παλαίσματα διὰ τὴν αἰτίαν, ἣν ἔφθην εἰπὼν, ἵνα τῆς δυνάμεως αὐτῆς προαναλωθείσης ἐν τῇ θεωρίᾳ τῶν βασάνων, εὐχείρωτος γένηται ἐσχάτη δεχομένη τὸν ἀντίπαλον. Εἰ γὰρ αἷμα πολλάκις ὁρῶντες καταῤῥέον ἄνθρωποι κατέπεσον ὀλιγοψυχήσαντες, καὶ πολλῆς ἐδεήθησαν πραγματείας, ὥστε τὴν ζωὴν ἐκλείπουσαν αὐτοῖς καὶ τοῦ σώματος ἀφιπταμένην τὴν ψυχὴν ἐπαναγαγεῖν· τοσούτους ἐκείνη αἵματος βλέπουσα ῥύακας οὐκ ἐξ ἀλλοτρίας, ἀλλ' ἐκ τῆς τῶν παιδίων σαρκὸς καταῤῥέοντας, τί οὐκ ἂν ὑπέμεινεν; πόσον οὐκ ἂν ἐδέξατο θόρυβον τῇ ψυχῇ; Ὁ μὲν οὖν διάβολος, ὅπερ ἔφθην εἰπὼν, διὰ τοῦτο μετὰ τοὺς παῖδας αὐτὴν ἐπὶ τοὺς ἀγῶνας εἵλκυσεν, ὥστε ἀσθενεστέραν ἐργάσασθαι· ἐγένετο δὲ τοὐναντίον· μᾶλλον γὰρ θαῤῥοῦσα πρὸς τοὺς ἀγῶνας ἤρχετο. Τίνος ἕνεκεν, καὶ διὰ τί; Ὅτι οὐκ ἐδεδοίκει λοιπὸν, οὐδὲ ἐφρόντιζεν ὑπέρ τινων ἐνταῦθα καταλιμπανομένων αὐτῇ παιδίων, μή ποτε καταμαλακισθέντες ἀποστερηθῶσι τῶν στεφάνων· ἀλλὰ πάντας αὐτοὺς ὥσπερ εἰς ἄσυλον ἀποθεμένη ταμεῖον τὸν οὐρανὸν, καὶ πρὸς τοὺς ἄνω πέμψασα στεφάνους καὶ τὰ ἀκίνητα ἀγαθὰ, θαῤῥοῦσα ἐπαπεδύετο μετὰ πολλῆς τῆς ἡδονῆς· καὶ καθάπερ στεφάνῳ τινὶ τὸν τιμαλφέστατον λίθον, αὕτη τὴν σάρκα τὴν ἑαυτῆς τῷ χορῷ τῶν παιδίων ἐναρμόσασα πρὸς τὸν ποθούμενον Ἰησοῦν ἀπεδήμησε, μεγίστην ἡμῖν καταλιποῦσα παράκλησιν καὶ συμβουλὴν, τὴν διὰ τῶν ἔργων παραίνεσιν, ὥστε ἐῤῥωμένῃ ψυχῇ καὶ ὑψηλῷ τῷ φρονήματι πάντων καταπολεμᾶν τῶν δεινῶν. Τίς γὰρ ἀνὴρ, ποία γυνὴ, τίς πρεσβύτης, ποῖος νέος συγγνώμης τεύξεται λοιπὸν, ἢ ἀπολογίαν ἕξει δεδοικὼς διὰ τὸν Χριστὸν ἐπαγομένους αὐτῷ κινδύνους, ὅταν γυνὴ, καὶ γεγηρακυῖα, καὶ τοσούτων παίδων μήτηρ, καὶ πρὸ τῆς χάριτος ἀγωνισαμένη, κεκλεισμένων ἔτι τῶν τοῦ θανάτου πυλῶν, οὔπω τῆς ἁμαρτίας σβεσθείσης, οὐδὲ τοῦ θανάτου καταγωνισθέντος, μετὰ τοσαύτης προθυμίας τε καὶ ἀνδρείας τοσαύτας φαίνηται διὰ τὸν Θεὸν ὑπομένουσα τιμωρίας; Ταῦτα δὲ πάντα λογισάμενοι, καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, τοὺς ἀγῶνας καὶ τὰ παλαίσματα ὥσπερ ἐπὶ πίνακός τινος τῆς καρδίας ἡμῶν ἀπογράψαντες, διηνεκῆ συμβουλὴν πρὸς τὴν τῶν δεινῶν ὑπεροψίαν τὴν ἐκείνης καρτερίαν ἔχωμεν ἐναποκειμένην ἡμῶν τῇ ψυχῇ, ἵνα ἐνταῦθα μιμησάμενοι τὴν ἀρετὴν τῶν ἁγίων τούτων, κἀκεῖ τῶν στεφάνων δυνηθῶμεν αὐτοῖς κοινωνῆσαι, ὅσην ἐν τοῖς κινδύνοις φιλοσοφίαν ἐπεδείξαντο, τοσαύτην ἐν τοῖς ἀλόγοις πάθεσιν ἡμεῖς καρτερίαν ἐπιδεικνύμενοι, θυμῷ, καὶ ἐπιθυμίᾳ χρημάτων, σωμάτων, δόξης κενῆς, καὶ τῶν ἄλλων τῶν τοιούτων ἁπάντων. Εἰ γὰρ τῆς τούτων περιγενοίμεθα φλογὸς καθάπερ ἐκεῖνοι τοῦ πυρὸς, δυνησόμεθα στῆναι

* Idem Reg. τῆς κυήσεως.

carnifices, sed circumpositos angelos : oblita est dolores partus, contempsit naturam [1], despexit ætatem : despexit, inquam, naturam, rem tyrannicam; naturam, quæ vel feras ipsas vincere solet. Multæ namque captu difficiliores feræ sic amore et commiseratione erga prolem capiuntur, suam non curantes salutem, sed incaute in venatorum manus incidentes : nullumque est animal ita infirmum, ut prolem non defendat; nullum ita mansuetum, ut fetu sue orbatum non irritetur. Verum illa tyrannidem tum per rationabiles homines, tum per bruta animalia immensam dissolvit : neque solum non insilivit in caput tyranni, neque modo faciem ejus non laceravit, discerptos videns catulos, sed tantam philosophiæ magnitudinem exhibuit, ut immanes ipsi dapes præpararet : ac dum priores adhuc cruciarentur, reliquos ad suppliciorum experimentum inungeret.

3. Audiant matres, mulieris imitentur fortitudinem, prolisque amorem : sic filios nutriant. Non enim mulieris est parere, id nempe est naturæ; sed educare matris est, id namque est voluntatis. Ut vero discas non ex partu matrem fieri, sed ex educatione bona, audi Paulum, viduam coronantem, non ob partum, sed ob educationem liberorum : cum enim dixisset, *Vidua eligatur non minus annorum sexaginta, testimonium habens in operibus bonis* (1. *Tim.* 5. 9. 10), bonorum omnium caput addidit : quodnam illud? *Si filios educavit*, inquit; non dixit, Si filios peperit; sed, *Si filios educavit*. Cogitemus ergo, quid verisimile sit passam fuisse mulierem, si tamen mulierem licet appellare, cum videret digitos super prunis palpitantes, caput exsiliens, ferream manum injectam, capiti alterius e filiis pellem detractam, et eum, qui talia passus esset, adhuc stantem et loquentem. Quomodo os aperuit? quomodo linguam movit? quomodo non anima e corpore evolavit? Id quomodo factum sit, ego dicam. Non respiciebat in terram, sed ad futura omnia præparabatur : unum tantummodo metuebat, ne parceret et prius agonem solveret tyrannus, ne chorum filiorum disjungeret, neu quidam sine coronis manerent. Quodque illud timeret hinc palam est, quod postremum quasi manibus correptum injecerit in lebetem, pro manibus verborum usa adhortatione atque consilio. Nos aliena mala non sine dolore audimus : illa vero propria mala sine dolore videbat. Hæc ne frustra audiamus, sed singuli audiorum totam hanc tragœdiam de filiis suis accipiant; amabilem sibi vultum effingant, et sibi liberorum carissimos repræsentantes, in illis hos cruciatus inesse sibi depingant, et tunc pulchre dictorum vim noverint; imo vero ne ita quidem noverint, quia naturales ærumnas nullus sermo declarare poterit : experientia sola docet. Opportune illi dicatur, postquam septem ejus filii coronam adepti sunt, propheticum illud : *Tu autem sicut oliva fructifera in domo Dei* (*Psal.* 51. 10). Nam in Olympicis quidem certaminibus, postquam mille ingressi sunt athletæ, uni tantum corona tribuitur : hic vero ex septem athletis septem coronati prodierunt. Quem mihi agrum ostendas ita feracem? quem uterum ita fecundum? quos partus similes? Mater filiorum Zebedæi apostolorum mater fuit, sed duorum tantum : septem autem martyres uterum unum tulisse non novi, quorum ipsa mater iis martyrii socia fuerit, neque tanquam una solum martyr addita fuerit, sed vice multorum. Filii namque septem tantum martyres erant, corpus vero matris ipsis adjectum unum tantum corpus erat, sed bis septem martyrum locum implebat, quia in singulis eorum martyrium subiit, et quia illos tales reddidit. Ecclesiam nobis martyrum integram peperit. Septem peperit filios, sed nullum terræ, omnes cælo peperit, imo potius regi cælorum, illos omnes in futuram enixa vitam. Diabolus ergo illam postremam in certamina duxit ob causam supra memoratam, ut virtute ejus in cruciatuum spectaculo consumpta, expugnatu facilis esset cum ultima adversarium exciperet. Nam si plerumque homines sanguinem profluentem videntes animi deliquium passi sunt, multaque curatione opus habuerunt, ut vita jam deficiens et anima mox avolatura revocaretur : tot illa videns sanguinis rivos, non ex aliena, sed ex filiorum carne manantes, quid non sustinuit? quam perturbationem non animo suscepit? Diabolus itaque, ut dixi, ideo illam post filios in certamina traxit, ut infirmiorem redderet; sed contra accidit : majori enim cum fiducia certamina adiit. Cur et qua de causa? Quia non timebat ultra, nec sollicita erat de filiis quibusdam in hac vita relictis, ne emolliti coronis privarentur; sed illos omnes, ceu in tutum quoddam receptaculum, in cælum deportatos habens, et ad supernas missos coronas bonaque immutabilia, multa cum fiducia et voluptate certamen adiit, et ceu lapidem pretiosissimum coronæ cuipiam, carnem suam choro filiorum adaptans, ad desideratum Jesum profecta est, magnum nobis relinquens solatium et consilium, nempe adhortationem operibus factam, ut forti animo et sublimi sensu ærumnas omnes fidenter adeamus. Quis enim vir, quæ mulier, quis senex, quis juvenis veniam consequetur, aut excusari poterit, si oblata sibi pro Christo pericula reformidet, quando mulier vetula, et tot filiorum mater, ante gratiam decertans, clausis adhuc mortis januis, nondum exstincto peccato, neque debellata morte, cum tanta alacritate et fortitudine tot propter Deum supplicia sustinuisse cernitur? Hæc porro omnia cogitantes, et mulieres et viri, et juvenes et senes, agones et certamina in corde nostro, ceu in tabula quadam, describentes, perenne consilium ad malorum contemptum ejus patientiam in anima nostra repositam habeamus : ut hic sanctorum horum virtutem imitati, illic coronarum consortes ipsis esse valeamus; quantam illi periculis philosophiam exhibuerunt, tantam et nos in absurdis affectibus patientiam continentiamque demonstrantes, in ira, in concupiscentia pecuniarum, corporum, vanæ gloriæ, aliorumque omnium similium. Nam si horum flammam, quemadmodum illi ignem, superemus, prope ipsos stare poterimus,

[1] Idem Reg., *prægnationem*.

eorumque fiduciæ participes esse : quam assequi nobis omnibus contingat, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria una cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

IN SANCTOS MACCABÆOS.

HOMILIA II.

1. *Gratus est Martyribus conatus noster.* — Omnes quidem ut sanctos martyres una lingua laudemus, fieri nequit ; sed etiam si sexcenta nobis ora totidemque linguæ suppeterent, parem tamen laudibus orationem non afferremus : idemque mihi accidit, cum septem martyrum præclara facta contueor, quod avaro cuipiam homini, qui fonti assideat auro mananti, in quo septem sint tubi, ac totum exhaurire conetur, sed multo immensoque labore impenso majori parte derelicta recedat. Fontem enim quantumvis exhauseris, pars major tamen relinquitur. Quid igitur ? an quia pro dignitate largiri non possumus, conticescemus ? Minime vero : martyres enim sunt, qui dona suscipiunt, et in judicio de ejusmodi largitione ferendo suum Dominum imitantur. Quid igitur ille facit ? Cum dona quispiam offert, non oblatæ rei magnitudinem, sed alacritatem animi ejus qui obtulerit attendens præmium admetitur. Sic erga viduam illam se gessit : duos obolos demisit mulier (*Luc.* 21. 2—4), et illis, qui multa demiserant, antelata est : non enim pecuniæ paucitatem, sed animi magnificentiam respexit Deus : oboli duo pecunia (*Ibid.*), sed talentis auri sexcentis pretiosior animus erat. Audacter igitur ad laudandum aggrediamur, et quod heri egimus, id nunc etiam, si placet, agamus. Heri siquidem in solius matris laudes sermonem totum impendimus, quod a nobis factum est, non quod eam a filiorum choro avellere studeremus, sed ut tutiores nobis divitias redderemus : quod utique nunc quoque præstemus : uno filiorum abducto, de eo pauca dicamus : verendum est enim ne septem martyrum laudes ceu septem flumina confertim confluentia sermonem nobis inundent et obruant. Unum igitur ex juvenibus assumamus, non tamen ut hunc ipsum a choro fratrum abstrahamus, sed ut leviorem sarcinam nostram reddamus : siquidem uno laudato communis et aliis erit corona, quandoquidem eorumdem consortes certaminum fuerunt omnes. Sed ingeret se nobis plane hodie quoque mater, licet illam non attingamus : omnino enim illam series sermonis attrahet, nec deserere pueros poterit : nam quæ in certaminibus a liberis suis non discessit, nec in laudibus se ab eis sejunget.

Postremi ex fratribus laudatio. — Quemnam ergo ex septem athletis vultis assumamus ? num primum, vel secundum, vel tertium, vel postremum ? Imo vero nullus inter eos est postremus : chorus enim est, chori vero neque principium neque finis apparet ; sed ut melius designemus, quem laudamus, dicimus ætate postremum : sunt enim germana similiaque certamina, et cognata inter se recte facta : ubi vero cognatio recte factorum est, non ibi primus est aut secundus. Assumamus igitur ætate postremum et magnitudine animi coævum, nec fratribus tantum coævum, sed ipsi etiam seni. Solus ex fratribus hic solutus ad tormenta ducebatur : non enim carnificum manus exspectavit, sed illorum crudelitatem alacritate animi prævenit, et solutus ducebatur. Ac fratrum quidem nullum habuit spectatorem : omnes enim fuerant jam morte sublati ; sed præclarius theatrum, quam fratres, habuit oculos matris. Nonne dicebam vobis, quod licet non studentibus nobis omnino sese etiam mater ingeret ? Ecce illam series sermonis introduxit. Hoc vero theatrum adeo præclarum erat et magnum, ut ipsum angelorum cœtum, imo vero fratres spectatores haberet, non jam e terra, sed e cælis. Coronati enim, ut in Olympicis certaminibus judices, considebant, non ut certaminum judicio præessent, verum ut victorem ad accipiendam coronam incitarent. Stabat igitur solutus, et philosophiæ plena proferens verba ; siquidem tyrannum studebat ad pietatem suam traducere ; cum vero id minime potuisset, quod suarum partium erat deinceps præstitit, supplicio seipsum exposuit. Atque ille quidem cum ætatis gratia miserabatur, hic vero illum impietatis causa deflebat ; non enim eadem respicit tyrannus et martyr : nam utrique sunt iidem oculi, verum carnis, fidei vero oculi non iidem ; sed illo quidem præsentem vitam respiciebat, hic vero respiciebat futuram, ad quam erat evolaturus : tyrannus quidem sartagines videbat, at gehennam martyr videbat, in quam se injecturus erat tyrannus.

Confert Maccabæorum unum cum Isaac. — Quod si Isaac laudamus, quod a patre vinctus et compeditus ab altari non recesserit (*Genes.* 22), nec admotum cernens gladium resilierit, multo hic æquius laudandus est, quo vinctus non sit, neque vinculorum necessitate indiguerit, neque carnificum manus exspectarit, sed ipse sibi et victimæ, et sacerdotis, et altaris loco fuerit. Cum enim undequaque circumspexisset, nec ullum ex fratribus adesse vidisset, conturbatus est : ut properaret incitatus est, et assequeretur, ne a præclaro illo choro separaretur. Ideo carnificum manus non exspectavit : siquidem tyranni clementiam reformidabat, ne forte ipsius misertus eum a societate fratrum avelleret : propterea præveniens seipsum immani illius humanitati præripuit. Etenim multa erant, quæ tyrannum possent inflectere : juvenilis ætas, tot fratrum supplicium, quod vel ad feram exsatiandam posset sufficere, tametsi ille saturatus non

πλησίον αὐτῶν, καὶ τῆς αὐτῆς μετασχεῖν [628] παῤῥησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ.

Ὁμιλία β'.

α'. Ἅπαντας μὲν οὖν ἐγκωμιάσαι τοὺς ἁγίους μάρτυρας οὐ δυνατὸν μιᾷ γλώττῃ, ἀλλὰ κἂν μυρία στόματα ἔχωμεν καὶ γλώττας τοσαύτας, λειπόμεθα τῶν ἐγκωμίων· καὶ ταὐτὸν πάσχω πρὸς τὰ κατορθώματα τῶν ἑπτὰ μαρτύρων ὁρῶν, οἷον ἂν εἰ φιλοχρήματος ἄνθρωπος, ἐπιστὰς πηγῇ ῥεούσῃ χρυσὸν ἑπτὰ στόματα ἐχούσῃ, πᾶσαν μὲν αὐτὴν ἐξαντλῆσαι ἐπιχειροίη, μετὰ δὲ τὸν πολὺν καὶ ἄφατον πόνον τὸ πλέον ἀφεὶς ἀπέλθοι. Πηγῆς γὰρ ὅσον ἂν ἐξαντλήσῃς, τὸ πλέον ἀπολείπεται. Τί οὖν; ἐπειδὴ τὰ κατ' ἀξίαν εἰσενεγκεῖν οὐ δυνάμεθα, σιγήσομεν; Οὐδαμῶς. Μάρτυρες γάρ εἰσιν οἱ τὰ δῶρα δεχόμενοι, καὶ τὸν ἑαυτῶν Δεσπότην μιμοῦνται ἐν τῇ κρίσει τῆς τοιαύτης φιλοτιμίας. Πῶς δὲ ἐκεῖνος ποιεῖ; Ὅταν τις προσενέγκῃ δῶρα, οὐ τῷ μεγέθει τοῦ προσενεχθέντος, ἀλλὰ τῇ προθυμίᾳ τοῦ προσενέγκαντος προσέχων μετρεῖ τὴν ἀντίδοσιν. Οὕτως ἐποίησεν ἐπὶ τῆς χήρας ἐκείνης· δύο κατέβαλεν ὀβολοὺς ἡ γυνή, καὶ προετιμήθη τῶν πολλὰ καταβεβληκότων· οὐ γὰρ τὴν ὀλιγότητα τῶν χρημάτων, ἀλλὰ τὴν πολυτέλειαν τῆς γνώμης εἶδεν ὁ Θεός· δύο ὀβολοὶ τὰ χρήματα, ἀλλὰ μυρίων χρυσοῦ ταλάντων τιμιωτέρα ἡ γνώμη. Ἀψώμεθα δὴ τῶν ἐγκωμίων θαῤῥοῦντες, καὶ ὅπερ χθὲς ἐποιήσαμεν, τοῦτο εἰ δοκεῖ γενέσθω καὶ νῦν· καὶ γὰρ χθὲς τὴν μητέρα ἀπολαβόντες μόνην εἰς αὐτὴν τὸν λόγον ἀνηλώσαμεν· ἐποιοῦμεν δὲ τοῦτο οὐκ ἀποσχίσαι βουλόμενοι τοῦ χοροῦ τῶν παίδων αὐτὴν, ἀλλ' ἀσφαλέστερον ἡμῖν κατασκευάσαι τὸν πλοῦτον· τοῦτο δὴ καὶ νῦν ποιήσωμεν· ἕνα τῶν παίδων ἀποσπάσαντες, εἰς αὐτὸν ὀλίγα εἴπωμεν· δέος γὰρ μή ποτε καθάπερ ἑπτὰ ποταμοὶ, οἱ τῶν ἑπτὰ μαρτύρων ἔπαινοι συνελθόντες ἀθρόον τὸν λόγον ἡμῖν ἐπικλύσωσιν. Οὐκοῦν ἕνα τῶν νεανίσκων ἀπολάβωμεν, οὐδὲ τοῦτον ἀποσχίζοντες τοῦ χοροῦ τῶν ἀδελφῶν, ἀλλὰ κοῦφον ἡμῖν ποιοῦντες τὸ φορτίον· καὶ γὰρ ἑνὸς ἐπαινουμένου, κοινὸς καὶ τῶν ἄλλων ὁ στέφανος ἔσται, ἐπεὶ καὶ τῶν ἄθλων τῶν αὐτῶν ἐκοινώνησαν ἅπαντες. Πάντως δὲ ἐπεισελεύσεται ἡμῖν ἡ μήτηρ καὶ σήμερον, κἂν μὴ αὐτῆς ἁπτώμεθα· ἡ γὰρ ἀκολουθία αὐτὴν τῶν λόγων ἐπισπάσεται πάντως, καὶ οὐκ ἀνέξεται ἀφεῖναι τὰ παιδία· εἰ γὰρ ἐν τοῖς ᾠῶσιν οὐκ ἀπέστη τῶν ἐκγόνων, οὐδὲ ἐν τοῖς ἐγκωμίοις αὐτῶν ἀφέξεται.

Τίνα οὖν βούλεσθε τῶν ἑπτὰ ἀπολάβωμεν ἀθλητῶν; Ἆρα τὸν πρῶτον, ἢ τὸν δεύτερον, ἢ τὸν τρίτον, ἢ τὸν ἔσχατον; [629] Μᾶλλον δὲ οὐδεὶς ἐν αὐτοῖς ἔσχατος· χορὸς γάρ ἐστι, χοροῦ δὲ οὔτε ἀρχὴ, οὔτε τέλος φαίνεται· ἀλλ' ἵνα γνωριμώτερον ποιήσωμεν τὸν ἐπαινούμενον, τὸν ἔσχατον τῇ ἡλικίᾳ λέγομεν. Ἀδελφὰ γὰρ τὰ παλαίσματα, καὶ συγγενῆ τὰ κατορθώματα· ἔνθα δὲ ἡ συγγένεια κατορθωμάτων, οὐκ ἔστι πρῶτος καὶ δεύτερος. Ἀπολάβωμεν οὖν τὸν ἔσχατον τῇ ἡλικίᾳ καὶ ὁμήλικα τῷ φρονήματι, οὐ τοῖς ἀδελφοῖς ὁμήλικα μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ γέροντι. Οὗτος μόνος τῶν ἀδελφῶν λελυμένος ἦγετο πρὸς τὰ βασανιστήρια· οὐ γὰρ ἀνέμεινε τὰς τῶν δημίων χεῖρας· ἀλλὰ προέλαβε τῇ οἰκείᾳ προθυμίᾳ τὴν ἐκείνων ὠμότητα, καὶ λελυμένος ἦγετο. Καὶ τῶν μὲν ἀδελφῶν οὐδένα εἶχε θεατήν· πάντες γὰρ ἦσαν τελειωθέντες· εἶχε δὲ σεμνότερον τῶν ἀδελφῶν θέατρον, τοὺς τῆς μητρὸς ὀφθαλμούς. Οὐκ ἔλεγον ὑμῖν, ὅτι καὶ μὴ σπουδαζόντων ἡμῶν ἐπεισελεύσεται καὶ ἡ μήτηρ πάντως; Ἰδοὺ τοίνυν εἰσήγαγεν αὐτὴν ἡ ἀκολουθία τοῦ λόγου. Τοῦτο δὲ τὸ θέατρον οὕτω σεμνὸν ἦν καὶ μέγα, ὥστε καὶ αὐτὸν τῶν ἀγγέλων τὸν δῆμον, μᾶλλον δὲ καὶ τοὺς ἀδελφοὺς εἶχεν αὐτὸν θεωμένους, οὐκ ἔτι ἀπὸ τῆς γῆς, ἀλλ' ἐκ τῶν οὐρανῶν. Ἐστεφανωμένοι γὰρ ἐκάθηντο, καθάπερ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οἱ δικασταὶ, οὐχὶ κρίνοντες τοῖς παλαίσμασιν, ἀλλὰ τὸν στεφανίτην ἐπειγόμενοι λαβεῖν. Ἱστήκει τοίνυν λελυμένος, καὶ φθεγγόμενος ῥήματα φιλοσοφίας γέμοντα· ἐβούλετο μὲν γὰρ μεταστῆσαι τὸν τύραννον πρὸς τὴν οἰκείαν εὐσέβειαν· ὡς δὲ οὐκ ἴσχυσε, τὸ ἑαυτοῦ λοιπὸν ἐποίησεν, ἐξέδωκεν ἑαυτὸν τῇ τιμωρίᾳ. Κἀκεῖνος μὲν ᾤκτειρεν αὐτὸν τῆς ἡλικίας, οὗτος δὲ ἐδάκρυσεν αὐτὸν τῆς ἀσεβείας· οὐ γὰρ τὰ αὐτὰ βλέπει ὁ τύραννος καὶ ὁ μάρτυς· ἀμφοτέροις μὲν γὰρ οἱ αὐτοὶ ὀφθαλμοὶ, ἀλλὰ τῆς σαρκός· οἱ δὲ τῆς πίστεως οὐκ ἔτι οἱ αὐτοί· ἀλλ' ἐκεῖνος μὲν ἔβλεπε τὴν παροῦσαν ζωὴν, οὗτος δὲ ἔβλεπε τὴν μέλλουσαν, πρὸς ἣν ἔμελλεν ἀναπτήσεσθαι· καὶ ὁ μὲν τύραννος ἐώρα τήγανα, ὁ δὲ μάρτυς ἐώρα τὴν γέενναν, εἰς ἣν ἔμελλεν ἑαυτὸν ἐμβαλεῖν ὁ τύραννος.

Εἰ δὲ τὸν Ἰσαὰκ θαυμάζομεν, ὅτι δεθεὶς ὑπὸ τοῦ πατρὸς καὶ συμποδισθεὶς, οὐκ ἐξήλατο τοῦ βωμοῦ, οὐδὲ ἐσκίρτησεν ὁρῶν μάχαιραν ἐπαγομένην· πολλῷ μᾶλλον τοῦτον θαυμάζειν χρὴ, ὅτι οὐκ ἐδέθη, οὐδὲ τῆς ἀπὸ τῶν δεσμῶν ἀνάγκης χρείαν ἔσχεν, οὐδὲ ἀνέμεινε τὰς χεῖρας τῶν δημίων, ἀλλ' αὐτὸς ἑαυτῷ καὶ θῦμα καὶ ἱερεὺς καὶ θυσιαστήριον γέγονε. Περισκοπήσας γὰρ κύκλῳ, καὶ ἰδὼν οὐδένα τῶν ἀδελφῶν παρόντα ἐθορυβήθη, ἠπείχθη σπεῦσαι καὶ καταλαβεῖν, ὥστε μὴ ἀποσχισθῆναι τοῦ καλοῦ τούτου χοροῦ. Διὰ τοῦτο οὐκ ἀνέμεινε τὰς τῶν δημίων χεῖρας· ἐφοβεῖτο γὰρ τὴν φειδὼ τοῦ τυράννου, μή ποτε αὐτὸν κατελεήσας ἐξαρπάσῃ τῆς κοινωνίας τῶν ἀδελφῶν· διὰ τοῦτο προλαβὼν ἑαυτὸν ἐξήρπασε τῆς φιλανθρωπίας τῆς ἀνημέρου. Καὶ γὰρ πολλὰ ἦν ἱκανὰ ἐπικάμψαι τὸν τύραννον, τῆς ἡλικίας τὸ νέον, τῶν ἀδελφῶν τῶν τοσούτων ἡ τιμωρία, ἡ καὶ θηρίον ἱκανὴ κορέσαι (ἀλλ' ἐκεῖνος οὐκ ἐκορέννυτο), ἡ πολιὰ

τῆς μητρὸς, τὸ μηδὲν αὐτῷ γενέσθαι πλέον ἀπὸ τῆς κολάσεως τῶν προλαβόντων.

[630] β'. Ταῦτα πάντα ἐννοήσας ὁ νεανίας ἐνέβαλεν ἑαυτὸν εἰς τιμωρίαν, ἀφ' ἧς διαφυγεῖν οὐκ ἐνῆν, καὶ ὡς εἰς πηγὴν ναμάτων ψυχρῶν, οὕτως εἰς τοὺς λέβητάς ἐκυβίστα, λουτρὸν αὐτοὺς θεῖον καὶ βάπτισμα [a] νομίζων. Καθάπερ γὰρ ἄνθρωποι φλεγόμενοι εἰς εὕριπον ψυχρῶν ὑδάτων ἑαυτοὺς ἀφιᾶσιν, οὕτως ἐκεῖνος ἐκκαιόμενος τῇ τῶν ἀδελφῶν ἐπιθυμίᾳ πρὸς τὴν τιμωρίαν ἐκείνην ἀφῆκεν ἑαυτόν.

Προσήγαγε δὲ καὶ ἡ μήτηρ παράκλησιν, οὐκ ἐπειδὴ παρακλήσεως ἐκεῖνος ἐδεῖτο, ἀλλ' ἵνα μάθῃς πάλιν τὸ στερρὸν τῆς γυναικός· ἐπ' οὐδενὶ γὰρ τῶν ἑπτὰ παίδων ἔπαθε τὰ μητέρων, μᾶλλον δὲ ἐφ' ἑκάστῳ τὰ μητέρων ἔπαθεν· οὐ γὰρ εἶπε πρὸς ἑαυτήν· Τί ποτε τοῦτό ἐστιν; ἀνήρπασταί μοι τῶν παίδων ὁ χορός· οὗτος ὑπολέλειπταί μόνος· ἐν τούτῳ μοι κινδυνεύει τὰ τῆς ἀπαιδίας· τίς με γηροκομήσει λοιπὸν, ἂν οὗτος ἀπέλθῃ; οὐ γὰρ ἦρκει μοι τοὺς ἡμίσεις παραστῆσαι, εἰ δὲ μὴ τοὺς ἡμίσεις, τὰς δύο μοίρας; ἀλλὰ καὶ τὸν ὑπολελειμμένον μοι μόνον εἰς παραμυθίαν τοῦ γήρως, καὶ αὐτὸν ἐπιδώσω πάλιν; Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ καθάπερ χερσὶ τῇ παρακλήσει τῶν λόγων ἐπάρασα ἐνέβαλεν εἰς τὸν λέβητα τὸν υἱὸν, δοξάζουσα τὸν Θεὸν, ὅτι ὅλον αὐτῆς τὸν καρπὸν τῆς γαστρὸς ἐδέξατο, καὶ οὐδένα ἀπεδοκίμασεν, ἀλλ' ὁλόκληρον τὸ δένδρον ἐτρύγησεν· ὥστε θαρρῶν ἂν εἴποιμι, ὅτι μείζονα αὕτη τῶν παίδων ἔπαθεν. Ἐκείνοις μὲν γὰρ τὸ πολὺ τῆς ὀδύνης καὶ ἡ λειποψυχία λοιπὸν ὑπετέμνετο, αὕτη δὲ ἀκεραίῳ διανοίᾳ καὶ ἀκραιφνεῖ γνώμῃ τρανοτέραν ἐλάμβανε τῶν γινομένων τὴν αἴσθησιν διὰ τὴν φύσιν. Καὶ ἦν ἰδεῖν τριπλοῦν πῦρ, ὅπερ ἔκαυσεν ὁ τύραννος ἐκεῖνος, ὅπερ ἀνέφλεξεν ἡ φύσις, ὅπερ ἐξῆψε τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ τοιαύτην ἀνῆψε κάμινον ὁ Βαβυλώνιος τύραννος ἐκεῖνος, οἵαν ἀνῆψε τῇ μητρὶ κάμινον ὁ τύραννος οὗτος· ἐκεῖ μὲν γὰρ ἡ τροφὴ τοῦ πυρὸς νάφθα, καὶ πίσσα, καὶ στύππιον [b], καὶ κληματὶς ἦν· ἐνταῦθα δὲ φύσις, ὠδῖνες, φιλοστοργία, παίδων συμφωνία. Οὐχ οὕτως ἐτηγανίζοντο ἐκεῖνοι ἐπὶ τοῦ πυρὸς κείμενοι, ὡς ἐτηγανίζετο αὕτη διὰ τὴν φιλοστοργίαν· ἀλλ' ἐκράτει διὰ τὴν εὐσέβειαν, καὶ φύσις ἐμάχετο χάριτι, καὶ ἡ νίκη τῆς χάριτος ἦν· εὐσέβεια ὠδίνων περιεγένετο, καὶ πῦρ ἐκράτει πυρὸς, τὸ πνευματικὸν τοῦ φυσικοῦ, καὶ τοῦ παρὰ τῆς ὠμότητος τοῦ τυράννου καυθέντος. Καὶ καθάπερ θαλαττία πέτρα δεχομένη κυμάτων προσβολὰς αὐτὴ μὲν ἀκίνητος μένει, ἐκεῖνα δὲ εἰς ἀφρὸν διαλύουσα ἀφανίζει ῥᾳδίως· οὕτω δὴ καὶ ἡ καρδία τῆς γυναικὸς ἐκείνης, ὥσπερ τις θαλαττία πέτρα κύματα δεχομένη τὰς προσβολὰς τῶν ὀδυνῶν, αὐτὴ μὲν ἀκίνητος ἔμενε, τὰς δὲ προσβολὰς ἐκείνας στερρῷ καὶ φιλοσοφίας γέμοντι διέλυε λογισμῷ· ἐφιλοτιμεῖτο δεῖξαι τῷ τυράννῳ, ὅτι ὄντως μήτηρ αὐτῶν ἐστιν, ὄντως ἐκεῖνοι γνήσιοι παῖδες αὐτῆς, οὐ διὰ τὴν συγγένειαν τῆς φύσεως, ἀλλὰ διὰ τὴν κοινωνίαν τῆς ἀρετῆς· οὐκ ἐνόμιζεν ὁρᾷν κολαστικὸν πῦρ, ἀλλὰ γαμήλιον λαμπάδα. Οὐχ οὕτω μήτηρ κοσμοῦσα παῖδας εἰς γάμον εὐφραίνεται, ὡς ἐκείνη κολαζομένους βλέπουσα [631] ἔχαιρε· καὶ καθάπερ τὸν μὲν στολῇ περιβάλλουσα νυμφικῇ, τῷ δὲ στεφάνους πλέκουσα, τῷ δὲ παστάδας ἱστᾶσα γαμηλίους, οὕτω τὸν μὲν ἐπὶ τοὺς λέβητας, τὸν δὲ ἐπὶ τὰ τήγανα τρέχοντα, τὸν δὲ τὴν κεφαλὴν ἀποτεμνόμενον ὁρῶσα ἠγάλλετο. Καὶ ἦν πάντα καπνοῦ καὶ κνίσσης μεστὰ, καὶ διὰ τῶν αἰσθητηρίων ἁπάντων τὴν πεῖραν ἐδέχετο τῶν παίδων, διὰ τῶν ὀφθαλμῶν ὁρῶσα, διὰ τῆς ἀκοῆς τῶν φιλτάτων ἀκούουσα ῥημάτων, αὐτῇ τῇ ῥινὶ τὸν καπνὸν δεχομένη τῶν σαρκῶν τὸν ἡδὺν ἐκεῖνον καὶ ἀηδῆ· ἀηδῆ μὲν τοῖς ἀπίστοις, τῷ Θεῷ δὲ καὶ αὐτῇ πάντων ἥδιστον· τὸν καπνὸν ἐκεῖνον ὃς τὸν μὲν ἀέρα ἐθόλωσε, τὴν δὲ διάνοιαν τῆς γυναικὸς οὐκ ἐθόλωσεν· εἱστήκει γὰρ ἀκλινὴς καὶ ἀπερίτρεπτος ἐγκαρτεροῦσα πᾶσι τοῖς γινομένοις. Ἀλλ' ὥρα λοιπὸν καταπαῦσαι τὸν λόγον, ὥστε πλειόνων αὐτοὺς ἀπολαῦσαι τῶν ἐγκωμίων παρὰ τῷ κοινῷ διδασκάλῳ.

Ταύτην μιμείσθωσαν πατέρες, ζηλούτωσαν μητέρες, καὶ γυναῖκες, καὶ ἄνδρες, ἐν παρθενίᾳ ζῶντες, καὶ σάκκους περιβεβλημένοι, καὶ κλοιὰ περικείμενοι· ὅπου γὰρ ἂν ἀφικώμεθα σκληραγωγίας τε καὶ φιλοσοφίας, προφθάνει τὴν καρτερίαν ἡμῶν τῆς γυναικὸς ἡ φιλοσοφία. Μηδεὶς τοίνυν τῶν εἰς ἄκρον ἐληλακότων ἀνδρείας καὶ καρτερίας ἀνάξιον εἶναι νομιζέτω τὴν γυναῖκα τὴν γεγηρακυῖαν διδάσκαλον ἔχειν· ἀλλ' εὐξώμεθα κοινῇ πάντες, καὶ οἱ τὰς πόλεις οἰκοῦντες, καὶ οἱ ταῖς ἐρημίαις ἐνδιαιτώμενοι, καὶ οἱ παρθενίαν ἀσκοῦντες, καὶ οἱ ἐν γάμῳ σεμνῷ διαλάμποντες, καὶ οἱ τῶν παρόντων ὑπερορῶντες ἁπάντων, καὶ τὸ σῶμα σταυρώσαντες, δυνηθῆναι τὸν αὐτὸν αὐτῇ δρόμον ἀράμενοι τῆς αὐτῆς αὐτῇ καταξιωθῆναι παῤῥησίας, καὶ ἐγγὺς αὐτῆς στῆναι κατὰ τὴν ἡμέραν ἐκείνην εὐχαῖς αὐτῆς τῆς ἁγίας, καὶ τῶν αὐτῆς παίδων, καὶ τοῦ τὸν χορὸν αὐτῶν συμπληροῦντος Ἐλεαζάρου τοῦ μεγάλου καὶ γενναίου γέροντος καὶ ψυχὴν ἀδαμάντινον ἐν τοῖς δεινοῖς ἐνδειξαμένου. Δυνησόμεθα δὲ ἂν μετὰ τῶν ἁγίων αὐτῶν εὐχῶν καὶ τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν, πρὸ τῶν πολέμων καὶ τῶν δεινῶν ἐν τῷ καιρῷ τῆς εἰρήνης τῶν ἐν ἡμῖν κρατοῦντες παθῶν, τὰ ἄτακτα τῆς σαρκὸς περικόπτοντες σκιρτήματα, ὑπωπιάζοντες καὶ δουλαγωγοῦντες τὸ σῶμα. Οὕτω γὰρ ἄν τε ἐν εἰρήνῃ διάγωμεν, λαμπροὺς ἕξομεν τῶν γυμνασίων τοὺς στεφάνους· ἄν τε τὸν αὐτὸν ἡμῖν ἀγῶνα ἀνύσαι δοκῇ τῷ φιλανθρώπῳ Θεῷ, παρεσκευασμένοι πρὸς τὰ παλαίσματα ἥξομεν, καὶ τῶν οὐρανίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Reg. et Savil. λουτρὸν θεῖον ἐκεῖνο τὸ βάπτισμα.

[b] In marg. Regii ms. notatur στίππυον (sic) ἐνταῦθα καλεῖται τὸ ἐλαιόκοκκον.

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ.

Ὁμιλία γ'.

Καὶ τοῖς μάρτυσιν ὁρῶν τὴν τῶν ἔργων εὐφημίαν ὀφειλομένην, καὶ τὸ πλῆθος στενοχωρούμενον βλέπων [632] ὀκνῶ. Οὐκοῦν, εἰ δοκεῖ, τὴν διδασκαλίαν [a] τοῖς

[a] Reg. βλέπων. Τὴν διδασκαλίαν ὀκνῶ. Οὐκοῦν εἰ δοκεῖ τὴν μὲν διδασκ.

est ; canities matris, quodque præcedentium supplicium nihil profecisset.

2. Hæc omnia secum mente versans adolescens in supplicium seipsum immisit, ex quo effugere non licebat, et tamquam in laticum frigidorum fontem in lebetes præceps desiliebat, divinum lavacrum illos existimans et baptismum. Sicut enim homines qui uruntur, seipsos in lacum frigidarum aquarum immittunt, sic ille fratrum desiderio incensus in eorum supplicium se immisit.

Amplificat et laudat generosum matris animum. Similitudine a scopulo ducta rem illustrat.—Adjungebat et cohortationem mater, non quod ille cohortatione indigeret, sed ut rursus mulieris fortitudinem animadvertas. Nullius enim septem liberorum causa materno affectu commota est : imo vero in singulis affecto materno commota est : non enim dixit apud se : Quid hoc tandem rei est? abreptus est mihi filiorum chorus, hic derelictus est solus : in hoc ego de orbitate periclitor ; quis me in posterum alet in senectute, si hic abierit? non enim mihi dimidiam partem exhibuisse satis erat, aut si minus partem dimidiam, duas partes, nisi et eum qui mihi solus ad senectutis consolationem derelictus est, ipsum etiam rursus adjiciam? Nihil horum dixit aut cogitavit, sed quasi manibus cohortatione verborum in altum sublatum filium in lebetem immisit. Deum laudans, quod totum ventris sui fructum acceptasset, nullumque respuisset, verum omnia ex arbore poma decerpsisset : ita ut audacter dicere possim graviora filiis eam esse perpessam. Nam illis quidem pars major doloris et animi deliquium succidebatur ; hæc vero integra mente judicioque illæso veriorem eorum, quæ gerebantur, sensum ob naturam capiebat. Ac videre erat ignem triplicem : quem ille tyrannus accendebat, quem excitabat natura, quem Spiritus sanctus inflammabat. Non talem Babylonius tyrannus ille fornacem accendit, (*Dan.* 3), qualem matri fornacem hic tyrannus accendit : nam illic quidem ignis fomes erat naphtha, pix, stuppa, sarmentum ; hic vero natura, dolores partus, liberorum amor, puerorum concordiæ. Non ita illi jacentes in igne urebantur, atque hæc ob amorem liberorum urebatur, sed ob pietatem vincebat ; et natura cum gratia pugnabat, et victoriam gratia reportabat : religio maternum affectum superabat, et ignis ignem vincebat, spiritualis naturalem, quem crudelitas tyranni succenderat. Et sicut marinus scopulus, qui fluctuum incursus excipit, ipse quidem manet immobilis, illos autem in spumam dissolutos facile tollit : sic illius quoque mulieris cor tamquam scopulus marinus fluctus excipiens dolorum incursus, ipsa quidem mansit immota, sed incursus illos firma et philosophiæ plena mente dissolvit. Ostendere tyranno contendebat se vere matrem illorum esse, vere filios illos suos esse genuinos, non propter naturæ cognationem, sed propter virtutis communionem : non se ignem tormentorum, sed facem nuptialem cernere arbitrabatur. Non ita mater, quæ filios ad nuptias exornat, lætatur, ut illa, cum cerneret excruciatos, gaudebat ; et quasi hunc stola sponsali amiciret, illi coronas necteret, alteri thalamos nuptiales erigeret, ita hunc ad lebetes, illum ad sartagines currentem, alium capite truncatum cum cerneret, exsultabat. Omnia tum fumo nidoreque redundabant, ac sensibus omnibus liberos suos experimento cognoscebat, per oculos eos intuens, per aures verba exaudiens, ipsis naribus fumum illum carnium suavem et insuavem excipiens : insuavem quidem infidelibus, Deo vero ipsique omnium suavissimum ; fumum illum, qui aerem quidem infecit, mulieris autem mentem non infecit. Stabat enim constans et immobilis, omnia, quæ gerebantur, patienter ferens. Sed jam tempus est, ut finem dicendi faciamus, quo pluribus illi laudibus a communi doctore (*a*) cumulentur.

Moralis exhortatio ad imitationem matris. — Hanc imitentur patres, æmulentur matres, et mulieres, et viri ; qui in virginitate vivunt, et qui saccis amicti sunt, et qui torquibus exornati : quantumvis enim austeram fuerimus vitam amplexi et philosophiam, mulieris philosophia tolerantiam nostram antecedit. Nullus igitur eorum, qui ad summam fortitudinem ac patientiam pervenerint, indignum existimet confectam senio mulierem sibi magistram adsciscere ; sed omnes simul oremus, qui urbes incolitis et qui in desertis versamini ; qui virginitatem colitis, et qui castis nuptiis refulgetis ; qui sæculi hujus res omnes aspernamini, et corpus crucifixistis : ut eodem cursu confecto fiduciam eamdem quam ipsa obtineamus, ac prope ipsam in die illa consistamus, sanctæ precibus freti ejusque liberorum, et Eleazari, qui chorum illum explevit, magni generosique senis, qui adamantinum animum in adversis præ se tulit. Id vero poterimus assequi, si una cum sanctis illorum precibus, etiam quæ nostrarum sunt partium conferamus, et ante bella casusque adversos pacis tempore perturbationes quæ in nobis sunt vincamus, incompositos carnis insultus compescamus, suggillemus, et in servitutem corpus redigamus. Sic enim fiet, ut sive in pace vitam traducamus, splendidas gymnasiorum coronas obtineamus ; sive, ut idem certamen obeamus, benigno Deo visum fuerit, in arenam parati descendamus, et cælestia bona consequamur : quæ nos omnes ut obtineamus, faxit gratia et benignitas Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, honor et imperium, una cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) De Flaviano loquitur.

IN SANCTOS MACCABÆOS.

HOMILIA III.

Senis Eleazari laudes explicat. — Cum et martyribus debitam operum commendationem, et redactam in angustias multitudinem video, me piget. Quocirca,

si ita videtur, doctrinam in præsentia differamus, imitari vero martyrum fortitudinem studeamus. Primus ergo nobis Eleazarus senior in medium prodeat, initium certaminum, martyrii fundamentum, stadiorum janua, fortitudinis princeps, tolerantiæ præcursor, illa canities juvenescens, Testamenti veteris protomartyr, apostolorum principis Petri imago. Defecit et blandiens et virgis cædens adversarius, nec tamen declamare destitit, qui suppliciis divexabatur : stabat senior præ nimia tremens senectute ; sedebat minas ac cædem anhelans tyrannus ; et qui tremebat, vegetus abiit ; qui florenti ætate lasciviebat, victus abscessit : stabat canities excruciata, judicium exercebat cum auctoritate juventus efferata, et victoriam canities reportabat. O novum genus victoriæ ! totum simul exercitum sagittas arcu mittentem senex unus vulneratus in fugam convertit. Non patitur me ad juvenum fortitudinem gradum facere certaminum senis miraculum, sed tamen necesse est, ut ad eos vim afferentes isti pergamus : nam et illi præclaros de tyranno triumphos egerunt : non enim debuit juventus minus intrepida, quam canities apparere. Septem igitur deinde juvenes cum strenue dimicassent, coronati sunt, qui ex uno ventre in aciem unam cucurrerant. Si ita videtur, finem faciam dicendi, o fortium martyrum fortes saltatores ! Sed, ut dicebam, septem deinde coronati sunt juvenes, qui ex uno ventre in aciem unam cucurrerant, una parentum germanitate et moribus exornati, alius post alium in certamen irrumpebant. Nunc mihi de vobis, o generosi, evangelicum illud dictum memorandum est, *Beatus venter qui vos portavit, et ubera quæ suxistis* (*Luc.* 11. 27). Quando autem uberum ac ventris feci mentionem, tempus est, ut ad fortium bellatorum transeam matrem, quæ in uno sæpius corpore mortua est, vel potius sæpe mactata est, et ne semel quidem indoluit, ad illam, inquam, invulneratam simul et multis vulneribus sauciam. Non ita illam primus liberorum perturbabat, cum ad necem traheretur, ut secundus, qui certamina non attigerat, metum afferebat : non ita secundi rursus interitus contristabat, ut tertii filii vita terrebat, cujus adhuc erat finis ignotus : perexigui pretii erat illi et tertius, et quartus filius jugulatus, cum nondum esset quintus occisus : ne sexti quidem casus philosophiam ejus superavit : restabat deinceps ultimus ad certamina septimus, qui martyrum citharam septem chordarum compleret [1]. Quid igitur ? an eam ætas immatura flexit ? an indoluit, cum has naturæ reliquias auferri videret ? Illa certe puerum ad mortem urgebat, si minus manibus, consiliis tamen. Ne coronarum, o fili, numerum imminuas : esto fratribus, ut partus, etiam socius recte factorum : imitare actionum communione naturæ communionem ; ostende te eorum, qui mactati sunt, etiam in agonibus fratrem. Septimus mihi a natura natus es filius, septimus mihi ab animi proposito martyr exorere : ne efficias, o fili, ut liberorum quidem septem, sex vero martyrum mater appeller. Ubi nunc, quæso, sunt illi, qui ne pecuniarum quidem oblationes Deo largiuntur ? Septem hodie teneros liberos ad Dominum mater adduxit, nec obtorpuit, cum sacrificium e visceribus suis offerret : at multi paucorum obolorum nobis interdum oblationem sordide conferunt. Nos autem Deo et animorum et pecuniarum et corporum oblationem offeramus, Christum super omnia collaudantes, cui gloria et imperium in sæcula sæculorum. Amen.

[1] In Montef. legitur, *citharam mutam compleret*, minus recte.

EX S. JOANNE DAMASCENO, DE IMAGINIBUS, LIB. III.

EDIT. R. P. MICHAELIS LEQUIEN, P. 384, T. I.

S. Joannis Chrysostomi

IN MACCABÆOS.

Imperatoriæ expressæ figuræ non auro tantum aut argento, aliave pretiosa materia fulgentes reperiuntur ; verum etiam in ære fabrefactæ formam eamdem impressam habent. Atque materiæ discrimen nihil imaginis officit dignitati, neque ex eo quod illa majoris pretii materia constet, alterius, quæ ex ignobiliore confecta sit, pretium minuitur : sed omnes similiter commendat Imperatoris forma ; ipsaque ex materiæ conditione nihil imminuta, illius pretium efficit, quæ ejus excipit imaginem.

τὸ παρὸν ὑπερθώμεθα, μιμεῖσθαι δὲ σπουδάζωμεν τῶν μαρτύρων τὸν τόνον. Οὐκοῦν πρῶτος ἡμῖν Ἐλεάζαρος ὁ πρεσβύτης εἰς μέσον ἠκέτω, ἡ τῶν ἀγώνων ἀρχὴ, ὁ τῆς μαρτυρίας θεμέλιος, τῶν σκαμμάτων ἡ θύρα, τῆς ἀνδρείας ὁ ἀρχηγὸς, τῆς καρτερίας ὁ πρόδρομος, ἡ νεάζουσα πολιὰ, ὁ τῆς Παλαιᾶς πρωτόμαρτυς, ἡ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων εἰκών· ἔκαμε κολακεύων καὶ μαστιγῶν ὁ πολέμιος, καὶ οὐκ ἐπαύσατο ῥητορεύων ὁ κολαζόμενος· εἱστήκει τρέμων ὁ πρεσβύτης ὑπὸ τοῦ γήρως, ἐκάθητο δὲ ἀπειλῆς καὶ φόνου πνέων ὁ τύραννος, καὶ ὁ μὲν τρέμων ἀπῆλθεν ἀκμάζων, ὁ δὲ σφριγῶν ἀπῆλθε νενικημένος· εἱστήκει πολιὰ καταξαινομένη, ἐδίκαζε δὲ νεότης μετὰ αὐθεντίας ἀγριουμένη, καὶ τῇ πολιᾷ τὰ τῆς νίκης ἐγίνετο. Ὢ τρόπου νικητηρίων καινοῦ· ὅλην ὁμοῦ τοξεύουσαν στρατιὰν τυπτόμενος εἷς ἐτρέψατο γέρων. Οὐκ ἐᾷ με πρὸς τὴν τῶν νέων ἀνδρείαν τῶν τοῦ γέροντος ἄθλων μεταβαίνειν τὸ θαῦμα· πορευτέον δ' οὖν ὅμως ἡμῖν ἐπ' αὐτοὺς τοῦτον βιασαμένους· λαμπρὰ γὰρ καὶ παρ' ἐκείνοις κατὰ τοῦ τυράννου τὰ τρόπαια· οὐ γὰρ ἔμελλε πολιᾶς νεότης ἀτολμηροτέρα φανεῖσθαι. Ἑπτὰ γοῦν ἐφεξῆς ἀριστεύοντες ἐστεφάνωντο νέοι ἐκ μιᾶς γαστρὸς εἰς μίαν δραμόντες παράταξιν. Εἰ δοκεῖ, καταπαύω τὸν λόγον, ἰσχυρῶν μαρτύρων ἰσχυροὶ χορευταί. Ἀλλ', ὅπερ ἔλεγον, ἑπτὰ ἐφεξῆς ἀριστεύοντες ἐστεφάνωντο νέοι ἐκ μιᾶς γαστρὸς εἰς μίαν δραμόντες παράταξιν, μιᾷ γόνων ἀδελφότητι καὶ τρόπῳ κεκοσμημένοι, ἄλλος ἐπ' ἄλλῳ τοῖς ἀγῶσιν ἐμβάλλων. Νῦν μοι τῆς εὐαγγελικῆς ἐκείνης ἐφ' ὑμῖν, ὦ γενναῖοι, μνημονευτέον φωνῆς· *Μακαρία*, φησὶν, *ἡ κοιλία ἡ βαστάσασα ὑμᾶς, καὶ μαστοὶ, οὓς ἐθηλάσατε.* Ἐπεὶ δὲ μαστῶν καὶ κοιλίας ἐμνήσθην, ὥρα μοι καὶ πρὸς τὴν τῶν ἀριστέων διαβαίνειν μητέρα τὴν ἐν ἑνὶ σώματι πολλάκις ἀποθανοῦσαν· μᾶλλον δὲ τὴν πολλάκις σφαγεῖσαν, καὶ μηδὲ ἅπαξ ἀλγήσασαν· τὴν ἄτρωτον ὁμοῦ καὶ πολύτρωτον. Οὐκ ἐτάραττεν αὐτὴν ὁ πρῶτος ἑλκόμενος εἰς θάνατον τῶν παίδων, ὡς ὁ δεύτερος μηδέπω τῶν ἀγώνων ἁψάμενος ἐπτόει· οὐκ ἐλύπει τοῦ δευτέρου πάλιν ἡ τελευτὴ, ὡς ἡ τοῦ τρίτου παιδὸς ἐφόβει ζωὴ τὸ πέρας ἀγνοούμενον ἔχουσα· μικρὸς ἦν αὐτῇ καὶ τρίτος καὶ τέταρτος ἀποσφαττόμενος παῖς, τοῦ πέμπτου μήπω πεφονευμένου· οὐδὲ τοῦ ἕκτου τὸ πτῶμα τὴν φιλοσοφίαν ἐνίκησεν· ἔμενε λοιπὸν τελευταῖος πρὸς τοὺς ἀγῶνας ὁ ἕβδομος ὁ τὴν ἑπτάφθογγον τῶν μαρτύρων συμπληρώσας κιθάραν. Τί οὖν; ἐπεκάμφθη τῷ τῆς ἡλικίας ἀώρῳ, συνήλγησε κἂν τῷ λειψάνῳ τῆς φύσεως; Αὐτὴ μὲν οὖν τὸ παιδίον πρὸς τὸν θάνατον ὦθει, εἰ καὶ μὴ ταῖς χερσὶν, ἀλλὰ ταῖς συμβουλαῖς. Μὴ διακόψῃς, φησὶ, τῶν στεφάνων, ὦ τέκνον, τὸν ἀριθμόν· γενοῦ μετὰ τῶν ὠδίνων καὶ τῶν κατορθωμάτων τοῖς ἀδελφοῖς κοινωνός· μίμησαι τὴν κοινωνίαν τῆς φύσεως τῇ κοινωνίᾳ τῆς πράξεως· δεῖξον σαυτὸν τῶν ἀνῃρημένων καὶ ἐν τοῖς σκάμμασιν ἀδελφόν. Ἕβδομός μοι παῖς ἐτέχθης παρὰ τῆς φύσεως, ἕβδομός μοι μάρτυς γενοῦ παρὰ τῆς προαιρέσεως· μή με δείξῃς, ὦ τέκνον, παίδων με ἑπτὰ, μαρτύρων δὲ ἓξ καλουμένην μητέρα. Ποῦ μοι νῦν οἱ [633] μηδὲ τὰς ἐκ χρημάτων τῷ Θεῷ προσφορὰς προσκομίζοντες; Ἑπτὰ τῷ Δεσπότῃ σήμερον παῖδας ἀπαλοὺς προσήγαγε μήτηρ, καὶ οὐκ ἐνάρκησεν ἐκ τῶν σπλάγχνων θυσίαν προσφέρουσα· πολλοὶ δὲ ἡμῖν καὶ περὶ ὀβολῶν ἐν καιρῷ μικρολογοῦνται προσκομιδήν. Ἀλλ' ἡμεῖς τῷ Θεῷ καὶ ψυχῶν καὶ χρημάτων καὶ σωμάτων προσκομιδὴν προσαγάγωμεν, ἐπὶ πᾶσι δοξάζοντες Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Εἰς τοὺς Μακκαβαίους.

Τὰ τῶν βασιλικῶν ἐκτυπώματα χαρακτήρων οὐ μόνον ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ ταῖς τιμιωτέραις ὕλαις εὕροι τις ἂν διαλάμποντα, ἀλλ' ἤδη καὶ ἐν χαλκῷ τὴν αὐτὴν ἔστιν ἰδεῖν χαραττομένην μορφήν. Καὶ ἡ διαφορὰ τῶν ὑλῶν οὐ λυμαίνεται τῷ ἀξιώματι τοῦ χαρακτῆρος, οὐδὲ ἀμβλύνει τὴν ἀπὸ τῶν κρειττόνων τιμὴν ἡ τῆς ἐλάττονος μετοχὴ, ἀλλὰ πάσας ὁμοίως ὁ βασιλικὸς τύπος σεμνύνει, καὶ οὐδὲν ἀπὸ τῆς ὕλης ἐλαττούμενος τιμιωτέραν τὴν δεχομένην ἐργάζεται.

MONITUM AD HOMILIAM IN SANCTAS MARTYRES

Diximus supra in Admonitione ad Homiliam de Cœmeterio ac de Cruce, quæ feria sexta Parasceves habita est, eam viginti diebus ante Concionem de SS. Martyribus Bernice, Prosdoce, etc., habitam fuisse, ad illamque referenda esse prima hujusce concionis verba : *Nondum elapsi sunt dies viginti ex quo memoriam Crucis celebravimus.* Id vero confirmatur ex his paulo post sequentibus verbis : *Tum dicebam: Contrivit portas æreas, et vectes ferreos confregit.* Et reipsa in eadem de Cruce homilia in his ipsis explanandis verbis non parum immoratur. Atque adeo explodendus ille Græcorum calculus, qui putantes illam Crucis memoriam nihil aliud esse quam festum Exaltationis S. Crucis, decima quarta Septembris celebrari solitum, festum sanctarum Dernices, etc., viginti post illam diebus, scilicet quarta die Octobris celebrant : non advertentes illam de Cruce homiliam in die Parasceves biduo ante Pascha pronuntiatam

ΕΙΣ ΤΑΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΑΣ

Βερνίκην καὶ Προσδόκην παρθένους, καὶ Δομνίναν τὴν μητέρα αὐτῶν, ὁμιλία ἐγκωμιαστική.

α'. Οὔπω εἴκοσιν ἡμέρας ἔχομεν σταυροῦ μνείαν ἐπιτελέσαντες, καὶ ἰδοὺ μαρτύρων μνείαν ἐπιτελοῦμεν. Εἶδες πῶς ταχὺς ὁ καρπὸς τοῦ θανάτου τοῦ Χριστοῦ; δι' ἐκεῖνο τὸ πρόβατον αὗται αἱ δαμάλεις ἐσφάγησαν· δι' ἐκεῖνον τὸν ἀμνὸν ταῦτα τὰ θύματα, δι' ἐκείνην τὴν θυσίαν αὗται αἱ προσφοραί· οὔπω εἴκοσιν ἡμέρας ἔχομεν, καὶ εὐθέως τὸ ξύλον ἐβλάστησε τοῦ σταυροῦ τὰ καλὰ τῶν μαρτύρων βλαστήματα· ταῦτα γὰρ ἐκείνου τοῦ θανάτου τὰ κατορθώματα. Ἴδε τοίνυν τὴν ἀπόδειξιν τῶν τότε εἰρημένων δι' αὐτῶν σήμερον ἐκβεβηκυῖαν τῶν ἔργων. Τότε ἔλεγον, *Συνέκλασε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε·* σήμερον ταῦτα δείκνυται διὰ τῶν ἔργων. Εἰ γὰρ μὴ συνέκλασε τὰς πύλας τὰς χαλκᾶς, οὐκ ἂν κεκλεισμένων αὐτῶν ἐτόλμησαν αἱ γυναῖκες οὕτω ῥᾳδίως εἰσελθεῖν· εἰ μὴ συνέθλασε τὸν μοχλὸν τὸν σιδηροῦν, οὐκ ἂν αἱ παρθένοι ἴσχυσαν αὐτὸν ἀφελέσθαι· εἰ μὴ τὸ δεσμωτήριον ἄχρηστον ἐποίησεν, οὐκ ἂν μετὰ τοσαύτης ἀδείας εἰσῆλθον αἱ μάρτυρες. Εὐλογητὸς ὁ Θεὸς, γυνὴ θανάτου κατατολμᾷ, γυνὴ ἡ θάνατον εἰς τὴν ζωὴν εἰσαγαγοῦσα τὴν ἡμετέραν, τὸ παλαιὸν ὅπλον τοῦ διαβόλου, τοῦτο τοῦ διαβόλου κατήνεγκε τὴν ἰσχύν· τὸ σκεῦος τὸ ἀσθενὲς καὶ εὐεπηρέαστον τοῦτο γέγονεν ὅπλον ἀκαταγώνιστον· γυναῖκες θανάτου κατατολμῶσι· τίς οὐκ ἂν ἐκπλαγείη; Αἰσχυνέσθωσαν Ἕλληνες, ἐγκαλυπτέσθωσαν Ἰουδαῖοι οἱ διαπιστοῦντες τῇ ἀναστάσει τοῦ Χριστοῦ. Τί γὰρ μεῖζον, εἰπέ μοι, ζητεῖς σημεῖον τῆς ἀναστάσεως ἐκείνης, ὅταν ἴδῃς τοσαύτην μετάστασιν πραγμάτων γεγενημένην; Γυναῖκες θανάτου κατατολμῶσι, πράγματος τοῦ καὶ ἀνδράσιν ἁγίοις πρὸ τούτου φοβεροῦ καὶ φρικώδους ὄντος.

Μάθε τοίνυν αὐτοῦ τὸν ἔμπροσθεν φόβον, ἵνα ἰδὼν αὐτοῦ τὴν νῦν καταφρόνησιν, θαυμάσῃς τὸν τῆς μεταβολῆς αἴτιον Θεόν· μάθε αὐτοῦ τὴν προτέραν ἰσχὺν, ἵνα μαθὼν αὐτοῦ τὴν νῦν ἀσθένειαν, εὐχαριστήσῃς τῷ τέλεον αὐτὸν ἐκνευρίσαντι Χριστῷ. Οὐδὲν ἰσχυρότερον ἐκείνου τὸ πρότερον, ἀγαπητὲ, καὶ οὐδὲν ἀσθενέστερον ἡμῶν· ἀλλὰ νῦν οὐδέν ἐστιν ἀσθενέστερον ἐκείνου, καὶ οὐδὲν ἰσχυρότερον ἡμῶν. Εἶδες πῶς ἀρίατη ἡ μετάστασις γέγονε; πῶς τὰ ἰσχυρὰ ἀσθενῆ ἐποίησε, καὶ τὰ ἀσθενῆ ἰσχυρὰ κατεσκεύασεν ὁ Θεὸς, ἐκατέρωθεν ἡμῖν δεικνὺς αὐτοῦ τὴν δύναμιν; Ἀλλ' ἵνα μὴ μόνον ἀπόφασις ᾖ τὰ λεγόμενα, καὶ τὴν ἀπόδειξιν ἐπάγω. Καὶ, εἰ δοκεῖ, πρῶτον ἐκεῖνο δείξωμεν, πῶς ἐφοβοῦντο αὐτὸν ἔμπροσθεν οὐχ ἁμαρτωλοὶ μόνον, ἀλλὰ καὶ ἅγιοι ἄνθρωποι πολλὴν παῤῥησίαν πρὸς τὸν Θεὸν [635] ἔχοντες, ἀπὸ κατορθωμάτων κομῶντες, καὶ πᾶσαν ἐπελθόντες ἀρετήν. Ταῦτα δὲ δείκνυμι, οὐχ ἵνα καταγνῶμεν τῶν ἁγίων, ἀλλ' ἵνα θαυμάσωμεν τοῦ Θεοῦ τὴν δύναμιν. Πόθεν οὖν δῆλον, ὅτι φοβερὸν τοῦ θανάτου τὸ προσωπεῖον ἦν πρὸ τούτου, καὶ πάντες αὐτὸν ἐπεφρίκεισαν, καὶ ἔτρεμον; Ἀπὸ τοῦ πατριάρχου πρώτου. Ὁ γὰρ Ἀβραὰμ ὁ πατριάρχης, ὁ δίκαιος, ὁ τοῦ Θεοῦ φίλος, ὁ πατρίδα ἀφεὶς, καὶ οἰκίαν, καὶ συγγενεῖς, καὶ φίλους, καὶ πάντων ὑπεριδὼν τῶν παρόντων διὰ τὸ πρόσταγμα τοῦ Θεοῦ, οὕτως ἐδεδοίκει καὶ ἐφοβεῖτο τὸν θάνατον, ὡς εἰς τὴν Αἴγυπτον εἰσιέναι μέλλων εἰπεῖν πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ ταῦτα· *Γινώσκω ὅτι γυνὴ εὐπρόσωπος εἶ σύ· ἔσται οὖν ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσι.* Τί οὖν; *Εἰπὲ ὅτι ἀδελφή αὐτοῦ εἰμι, ἵνα εὖ μοι γένηται διὰ σὲ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ.* Τί τοῦτο, ὦ ἅγιε καὶ πατριάρχα; περιορᾷς τὸ γύναιον ὑβριζόμενον, καὶ τὴν εὐνὴν ἀδικουμένην, καὶ τὸν γάμον διορυττόμενον; οὕτω ἥδοικας, εἰπέ μοι, τὸν θάνατον; οὐ περιορᾷς δὲ μόνον, ἀλλὰ καὶ πλέκεις δόλον μετὰ τῆς γυναικὸς, καὶ συνυποκρίνῃ τὸ δρᾶμα τῆς ὕβρεως, καὶ πῶς μὴ γένηται κατάδηλος ὁ βασιλεὺς τῶν Αἰγυπτίων ἐπιχειρῶν τῇ μοιχείᾳ πάντα πράττεις, καὶ περιελὼν αὐτὴν τὸ ὄνομα τῆς γυναικὸς, περιέθηκας αὐτῇ τὸ προσωπεῖον τῆς ἀδελφῆς; Ἀλλὰ γὰρ δέδοικα μὴ θανάτου σπουδάζοντες παραλῦσαι δύναμιν, φανῶμεν τοῦ δικαίου κατηγοροῦντες· διόπερ ἀμφότερα ποιῆσαι πειράσομαι, καὶ τοῦ θανάτου δεῖξαι τὴν ἀσθένειαν, καὶ τοῦτον τῆς κατηγορίας ἐξαρπάσαι ταύτης. Πρότερον δὲ αὐτὸν ἀναγκαῖον δεῖξαι δεδοικότα τὸν θάνατον, καὶ τότε ἀπαλλάξαι τῶν ἐγκλημάτων. Ἴδωμεν τοίνυν ὅσον πρᾶγμα ὑπέμεινεν ἄφορητον καὶ δεινόν· τὸ γὰρ γυναῖκα ὑβριζομένην ἰδεῖν, καὶ μοιχευομένην θεάσασθαι μυρίων

BERNICEN ET PROSDOCEN VIRGINES ET DOMNINAM MATREM EARUM.

fuisse, non autem in die Exaltationis S. Crucis, quæ Chrysostomi tempore nondum celebrabatur. Longe consultius Martyrologium Romanum festum SS. Martyrum Domninæ et sociarum ad 15 Aprilis diem consignat, licet in hoc peccare videatur, quod Domninam virginem vocet, quæ mater [634] erat Bernices et Prosdoces virginum. Ex hoc autem Romani Martyrologii calculo annum quo tum hæc sanctarum martyrum, tum illa de Cruce homilia habita est, expiscari posse videmur ; nempe 392, quo Pascha celebrabatur die vicesima octava Martii, et consequenter Parasceves die vicesima sexta ejusdem mensis : a qua si numerum ducas, vicesima dies incidet in decimam quartam Aprilis. In hoc igitur calculo standum, etsi non sine quodam scrupulo : nam, ut diximus in Monito ad Homilias contra Judæos, tabulæ Paschales quæ sunt posterioribus sæculis concinnatæ, cum veteribus tabulis non concordare facile possunt.

Interpretatio Latina est Frontonis Ducæi.

DE SANCTIS MARTYRIBUS

BERNICE ET PROSDOCE VIRGINIBUS, ET DOMNINA MATRE EARUM, HOMILIA PANEGYRICA (a).

1 Nondum elapsi sunt dies viginti, ex quo memoriam Crucis celebravimus, et ecce martyrum memoriam celebramus. Vides, ut celer mortis Christi sit fructus? propter illam ovem jugulatæ sunt hæ juvencæ, propter illum agnum hæ victimæ, propter illud sacrificium hæ oblationes : nondum viginti elapsi sunt dies, et subito lignum crucis præclara germina martyrum germinavit : hæc enim sunt illius mortis opera. Vide igitur eorum, quæ tum dicta sunt, operibus ipsis exhibitam hodie demonstrationem. Tum dicebam : *Contrivit portas æreas, et vectes ferreos confregit* (*Psal.* 106. 16) : hæc operibus hodie demonstrantur. Nisi enim portas æreas contrivisset, illis clausis mulieres tam facile ingredi ausæ non essent : nisi ferreum vectem confregisset, non potuissent virgines ipsum auferre ; nisi inutilem carcerem reddidisset, non tanta cum confidentia martyres essent ingressæ. Benedictus Deus, mulier ad mortem est intrepida ; mulier, quæ mortem in naturam nostram invexit, antiquum diaboli telum, hoc diaboli vim prostravit ; infirmum vasculum et injuriis obnoxium, telum factum est insuperabile : mulieres adversus mortem audaces sunt : quis non obstupescat? Erubescant gentiles, pudefiant Judæi, qui resurrectioni Christi non credunt. Quod enim, quæso, majus argumentum resurrectionis quæris, cum tantam videas rerum factam mutationem? Mulieres ad mortem sunt intrepidæ, rem quæ vel sanctis viris antea formidabilis erat et horrenda.

Quantum reformidarint mortem olim veteres.— Disce igitur, quanto esset olim timori, ut, cum jam quantum sit despicabilis videris, Deum laudes mutationis auctorem : disce quanta vis ejus prius es et, ni, cum quanta sit nunc infirmitas ejus didiceris, Christo gratias agas, qui eam prorsus enervarit. Nihil illa robustius olim erat, carissime, nihilque nobis imbecillius ; jam vero nihil est illa imbecillius, nihilque nobis robustius. Vides, ut optima sit facta mutatio? ut robusta infirma reddiderit, et infirma robusta Deus effecerit, quo suam nobis utrimque potentiam declararet? Verumtamen ne hæc affirmare tantum videar, demonstrationem etiam adjungam. Ac, si videtur, primum illud ostendamus, quo pacto illam antea reformidarent non peccatores modo, sed et homines sancti, qui multam apud Deum fiduciam habebant, qui recte factis abundabant, omnemque virtutem attigerant. Hæc autem ostendo, non ut sanctos condemnemus, sed ut Dei potentiam efferamus. Undo igitur constat formidabilem antea mortis larvam fuisse, cunctosque illam horruisse et tremuisse? Ex patriarcha primo. Patriarcha enim Abraham, justus, Dei amicus, qui patriam reliquerat, qui domum, cognatos, amicos, et præsentes res omnes ob Dei mandatum contempserat, ita metuebat ac reformidabat mortem, ut in Ægyptum ingressurus hæc uxori suæ diceret, *Novi quod pulchra sis mulier. Erit igitur cum viderint te Ægyptii, te quidem servabunt, me vero interficient* (*Gen.* 12. 11. 12). Quid igitur? *Dic, Soror illius sum, ut bene sit mihi propter te, et vivet anima mea propter te* (*Ibid.* 13). Quid hoc rei est, o sancte atque patriarcha? pro nihilo habes, ut uxori stuprum afferatur, ut torus lædatur, ut conjugium violetur? itane tandem mortem reformidas? Neque vero tantum pro nihilo habes, sed et cum uxore dolum nectis, ac stupri fabulam cum ea simulas, omnemque das operam, ut rex, dum adulterium aggreditur, latere possit, et ablato conjugis nomine personam illi sororis adaptasti? Verum timeo, ne dum mortis imminuere virtutem studemus, justum accusare videamur ; quamobrem utrumque conabor perficere, ut et infirmitatem mortis ostendam, et ab hoc criminationem illam depellam. Sed operæ pretium est, prius ut eum timuisse mortem demonstremus, ac deinde a crimine vindicemus. Videamus ergo quam intolerabilem ac molestam rem passus sit : nam uxorem cernere constupratam et adulterio pollutam intueri, sexcentis mortibus

(a) Collata cum Codice Regio 2317.

est intolerabilius. Quid dico adulterio pollutam? si vel tenuis de ipsa suspicionis cogitatio mentem occupet[1], acerba illi vita omnis et minime vitalis redditur. Etenim ignis illi quidam et indomita flamma zelotypiæ morbus; cujus tyrannicam et inevitabilem vim declarans quispiam dicebat: *Plenus enim zelo animus viri ejus non commutabit ulla redemptione odium, neque parcet in die judicii, neque dissolvetur multis donis* (*Prov.* 6. 34. 35); et alibi rursus: *Durus ut infernus est zelus* (*Cant.* 8. 6). Sicut enim non potest infernus, inquit, pecuniis flecti, sic neque is qui zelotypia laborat, leniri atque placari. Multi utique sæpe vita sua libenter redemissent, ut adulterum invenirent: sanguinem ipsum viri ejus, qui uxorem constuprarat, perlubenter degustassent, et quævis aut agere aut pati ejus rei causa contenti fuissent; sed hunc nihilominus intolerandum morbum, hunc violentum et implacabilem justus patientissime toleravit; et stuprum uxoris præ nimio mortis et interitus timore contempsit.

2. *Abrahami apologia.* — Mortem illum ergo liquet ex hoc timuisse: jam vero tempus est, ut eum a crimine et accusatione, quæ hinc exoritur, liberemus, si prius ipsam accusationem expreserimus. Quænam igitur illa tandem est accusatio? Oportebat, dicet aliquis, ut mortem oppeteret potius, quam ut constuprari uxorem pro nihilo haberet: et hoc est, quod illi crimini vertunt quidam, quod vitam suam servare maluerit, quam conjugis castitatem. Quid ais? oportebat ipsum mori potius, quam ut constuprari uxorem pro nihilo haberet? Quid vero illud profecisset? nam si quidem morte sua conjugem a stupro fuisset exempturus, recte ista diceretis; sin autem moriens nihil uxori proderat, ut eam a stupro liberaret, qua de causa temere et inconsulto salutem suam proderet? Nam ut intelligas, ne morte quidem sua potuisse illum eam ab adulterio liberare, audi quid dicat: *Et erit cum viderint te Ægyptii, te quidem servabunt, me vero interficient* (*Gen.* 12. 12). Futurum igitur erat, ut duo scelera patrarentur, adulterium, et cædes; erat autem prudentiæ non vulgaris ex duobus istis unum lucrifacere. Nam si quidem exposita vita sua, rursus enim idem dicam, liberaturus eam a stupro fuisset, et occiso justo, Saram illi non attigissent, recte accusares; sin autem eo morte sublato pari ratione futurum erat, ut stupraretur uxor, qua de causa justum accusas, quod cum duo eventura mala essent, adulterium ac cædes, alterum sapientia sua impediverit, cædem nimirum? Hujus quippe rei causa laudari etiam eum oportebat, quod adulterii manum puram a sanguine conservarit. Non enim dicere illud potes, eam, quod dixerit se sororem illius esse, hoc ipso Ægyptium ad stuprum invitasse: licet enim dixisset uxorem ejus se esse, ne sic quidem erat abscessurus. Et hoc ipse declaravit, cum dixit, *Si viderint te, dicent, Uxor ejus est hæc, et interficient me; te autem servabunt.* Itaque si dixisset uxorem ipsius se esse, et adulterium et cædes patrata fuissent; si vero dixisset sororem, cædes impedita esset: vides ut imminentibus duobus malis alterum sapientia sua sustulerit.

Alteri occurrit objectioni. — Visne discere, quo pacto etiam adulterii crimen, quantum in ejus potestate situm est, rursus imminuat, ut ne perfectum quidem adulterum eum esse permittat: audi verba ipsa rursus attente. *Dic*, inquit, *Soror illius sum.* Quid ait? Qui sororem accipit, non jam adulter est: adulter enim ab animi proposito judicatur; Judas quippe cum ad nurum suam Thamar ingrederetur, non adulter judicabatur (*Gen.* 38. 15): non enim tamquam ad nurum, sed tamquam ad mulierem meretricem ingrediebatur. Sic etiam hoc loco Ægyptius, qui eam erat accepturus, non ut uxorem Abraham, sed ut sororem, judicandus adulter non erat. Sed quid hoc ad Abraham, dicet aliquis, qui probe noverat se conjugem suam et non sororem exponere? Atqui ne hoc quidem istius est crimen. Si enim, cum uxorem ejus esse audivisset, sibi temperaturus a stupro fuisset, recte justum criminareris; sin autem Saræ nihil commodi uxoris nomen erat allaturum, ut stuprum a se depelleret, prout ipse quoque dixit, *Dicent, Uxor ejus est hæc, et servabunt te*: multo æquius est, ut justum laudemus, qui in tanta rerum difficultate potuerit et Ægyptium purum a sanguine conservare, et quantum in se situm erat, adulterii crimen minuere.

Duplici exemplo Jacobi et Heliæ probat veteres metuisse mortem. — Restat ut ad ejus nepotem Jacob orationem traducamus, ut illum quoque necem metuentem ac trementem videas hominem, qui a prima jam ætate philosophiam apostolicam præ se tulerat. Paulus enim discipulis in hæc verba præcipiebat: *Habentes alimenta, et quibus tegamur, his contenti erimus* (1. *Tim.* 6. 8): hoc et iste postulabat a Deo dicens: *Si dederit mihi Dominus panem ad vescendum, et vestimentum ad induendum, sufficit nobis* (*Gen.* 28. 20). Sed et ipse tamen, qui nihil præter necessaria quærebat, qui domum neglexerat, qui benedictiones acceperat, qui matri paruerat, qui Deo amicus erat, qui per sapientiam naturæ vim attulerat (posterior quippe natura cum esset, benedictionibus prior evasit), qui tam multa potuerat, qui tantam philosophiam tantamque pietatem præ se tulerat, post sexcenta certamina, post sexcentos agones, post sexcentas luctas et plurimas illas coronas, cum in patriam reverteretur, et occursurus fratri esset, quasi belluam conspecturus, ejusque indignationem pertimescens, supplex Deo fit et orat, *Erue me de manu fratris mei Esaü, quoniam eum timeo ego, ne forte veniens percutiat me, et matrem super filios* (*Gen.* 32. 11). Vides ut hic quoque mortem pertimescat? ut trepidet, Deumque illius causa precetur? Visne ostendam et alterum virum magnum hoc eodem modo rursus affectum? Pone tibi ante oculos Heliam, animam ad cælum pertingentem ac divinam: ille enim qui cælum clausit, rursusque reseravit, qui desuper ignem dejecit, qui mirabile sacrificium illud obtulit, qui pro Deo zelo

[1] Savil., *si quis vel tenuem de uxore suspicionis cogitationem concipiat.*

θανάτων ἀφορητότερόν ἐστι. Καὶ τί λέγω μοιχευομένην; κἂν ψιλήν τινα ἔννοιαν ὑποψίας περὶ αὐτῆς ἐν τῇ ψυχῇ κέκτηται, ἀβίωτος [a] ὁ βίος αὐτῷ ἅπας γίνεται. Πῦρ γὰρ αὐτῷ καὶ φλόξ ἐστιν ἀκαταγώνιστος τὸ τῆς ζηλοτυπίας πάθος· καὶ τὸ τυραννικὸν αὐτοῦ καὶ ἀπαραίτητον δηλῶν τις ἔλεγε· *Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς· οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ φείσηται ἐν ἡμέρᾳ κρίσεως, οὐδ' οὐ μὴ διαλυθῇ πολλῶν δώρων.* Καὶ πάλιν ἀλλαχοῦ· *Σκληρὸς ὡς ᾅδης ζῆλος*· ὥσπερ γὰρ οὐκ ἔστι, φησὶ, τὸν ᾅδην χρήμασι πεῖσαι, οὕτως οὐδὲ τὸν ζηλοτυποῦντα παραμυθήσασθαι καὶ καταλλάξαι. Πολλοὶ γοῦν πολλάκις καὶ τὴν ψυχὴν προήκαντο τὴν ἑαυτῶν, ὥστε τὸν μοιχὸν εὑρεῖν· καὶ τοῦ αἵματος δὲ αὐτοῦ ἡδέως ἂν ἀπογεύσαιντο τοῦ τὴν γυναῖκα ὑβρικότος ἀνδρὸς, καὶ πάντα ἂν ἔλοιντο καὶ ποιῆσαι καὶ παθεῖν διὰ τοῦτο· ἀλλ' ὅμως τοῦτο τὸ ἀφόρητον πάθος, τοῦτο τὸ τυραννικὸν καὶ ἀπαραίτητον ὑπέμεινεν ὁ δίκαιος μετὰ πλείονος ὑπερβολῆς, καὶ περιορᾷ τὴν γυναῖκα ὑβριζομένην διὰ τὸν φόβον τοῦ θανάτου καὶ τῆς τελευτῆς.

β'. Ὅτι μὲν οὖν ἐδεδοίκει τὸν θάνατον ἐκ τούτου δῆλον· ὥρα δὲ λοιπὸν αὐτὸν ἀπαλλάξαι τῶν ἐγκλημά- [636] των καὶ τῆς κατηγορίας τῆς ἐπὶ τούτῳ, πρότερον αὐτὴν εἰπόντα τὴν κατηγορίαν. Τίς οὖν ἐστιν ἡ κατηγορία; Ἔδει, φησὶν, αὐτὸν ἀποθανεῖν μᾶλλον, ἢ περιιδεῖν τὴν γυναῖκα ὑβριζομένην· καὶ τοῦτό ἐστιν ὃ κατηγοροῦσί τινες· ὅτι εἵλετο μᾶλλον τὴν ἑαυτοῦ διασῶσαι ζωὴν, ἢ τὴν σωφροσύνην τῆς γυναικός. Τί λέγεις; ἔδει μᾶλλον αὐτὸν ἀποθανεῖν, ἢ τὴν γυναῖκα περιιδεῖν ὑβριζομένην; Καὶ τί πλέον ἐγίγνετο; εἰ μὲν γὰρ ἔμελλεν ἀποθνήσκων ἐξαρπάζειν τὴν γυναῖκα τῆς ὕβρεως, καλῶς ταῦτά φατε· εἰ δὲ ἀποθανὼν οὐδὲν ὠφελεῖ τὴν γυναῖκα πρὸς τὴν τῆς ὕβρεως ἀπαλλαγὴν, τίνος ἕνεκεν εἰκῇ καὶ ἁπλῶς τὴν ἑαυτοῦ προδίδωσι σωτηρίαν; Ἵνα γὰρ μάθῃς, ὅτι οὐδὲ ἀποθανὼν ἔμελλεν ἐξαρπάζειν αὐτὴν τῆς μοιχείας, ἄκουσον τί φησι· *Καὶ ἔσται ὡς ἂν σε ἴδωσιν οἱ Αἰγύπτιοι, σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσι.* Δύο τοίνυν ἔμελλε γίνεσθαι [b] ἄτοπα, μοιχεία, καὶ φόνος· οὐ τῆς τυχούσης δὲ ἦν συνέσεως ἐκ τῶν δύο τούτων ἓν γοῦν κερδᾶναι. Εἰ μὲν γὰρ ἔμελλε (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ) τὴν ψυχὴν ἐπιδοὺς τὴν ἑαυτοῦ ἀπαλλάττειν ἐκείνην τῆς ὕβρεως, καὶ ἀποκτείναντες ἐκεῖνοι τὸν δίκαιον τῆς Σάῤῥας οὐχ ἥπτοντο, καλῶς ἐνεκάλεις· εἰ δὲ καὶ ἀποθανόντος αὐτοῦ, ὁμοίως ἔμελλεν ὑβρίζεσθαι ἡ γυνὴ, τίνος ἕνεκεν τοῦ δικαίου κατηγορεῖς, ὅς γε δύο μελλόντων συμβαίνειν δεινῶν μοιχείας καὶ φόνου, θάτερον διὰ τῆς αὐτοῦ σοφίας ἐκώλυσε, τὸ τῆς ἀνδροφονίας λέγω; Ὑπὲρ γὰρ τούτου καὶ ἐπαινεῖσθαι αὐτὸν ἔδει, ὅτι καθαρὰν ἐτήρησεν αἵματος τὴν τοῦ μοιχοῦ χεῖρα. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι τῷ εἰπεῖν αὐτὴν, ὅτι ἀδελφή αὐτοῦ εἰμι, τούτῳ ἐπεσπάσατό τὸν Αἰγύπτιον πρὸς τὴν ὕβριν· καὶ γὰρ εἰ εἶπεν, ὅτι γυνὴ αὐτοῦ εἰμι, οὐδὲ οὕτως ἔμελλεν ἀποστήσεσθαι· καὶ τοῦτο ἐδήλωσεν αὐτὸς εἰπών· *Ὡς ἐὰν ἴδωσί σε, ἐροῦσιν, Ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται.* Ὥστε εἰπούσης μὲν, ὅτι γυνὴ αὐτοῦ ἦν, καὶ μοιχεία καὶ φόνος ἐγίγνετο· εἰπούσης δὲ, ὅτι ἀδελφὴ, τὸ τοῦ φόνου διεκωλύετο. Ὁρᾷς πῶς δύο μελλόντων συμβαίνειν δεινῶν, θάτερον διὰ τῆς αὐτοῦ σοφίας ἀνεῖλε;

Βούλει μαθεῖν, πῶς καὶ τῆς μοιχείας τὸ ἔγκλημα κατὰ δύναμιν τὴν ἑαυτοῦ πάλιν ὑποτέμνεται, ὥστε μηδὲ μοιχὸν αὐτὸν ἀπηρτισμένον ἀφεῖναι γενέσθαι; Ἄκουσον αὐτῶν πάλιν ἀκριβῶς τῶν ῥημάτων· *Εἰπὲ, φησὶν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι.* Τί λέγει; Ὁ ἀδελφὴν λαμβάνων οὐκ ἔστι μοιχός· ὁ γὰρ μοιχὸς ἀπὸ τῆς προαιρέσεως κρίνεται· ἐπεὶ καὶ ὁ Ἰούδας πρὸς τὴν νύμφην τὴν ἑαυτοῦ εἰσελθὼν τὴν Θάμαρ, οὐκ ἐκρίνετο μοιχός· οὐ γὰρ ὡς πρὸς νύμφην, ἀλλ' ὡς πρὸς πόρνην εἰσῆλθε γυναῖκα. Οὕτω καὶ ἐνταῦθα ὁ Αἰγύπτιος μέλλων αὐτὴν λαμβάνειν οὐχ ὡς γυναῖκα τοῦ Ἀβραὰμ, ἀλλ' ὡς ἀδελφὴν, οὐκ ἔμελλε μοιχὸς κρίνεσθαι. Τί οὖν τοῦτο πρὸς τὸν Ἀβραὰμ, φησὶ, τὸν εἰδότα, ὅτι γυναῖκα τὴν ἑαυτοῦ ἐξεδίδου, καὶ οὐκ ἀδελφήν; Ἀλλ' οὐδὲ τοῦτο ἔγκλημα τούτου. Εἰ μὲν γὰρ ἔμελλεν ἀκούσας, ὅτι γυνὴ αὐτοῦ ἐστιν, ἀφέξεσθαι τῆς ὕβρεως, καλῶς ἐνεκάλεις τῷ δικαίῳ· εἰ δὲ οὐδὲν ἔμελλε τὸ ὄνομα τῆς γυναικὸς προστήσεσθαι τῆς Σάῤῥας εἰς τὸ τὴν ὕβριν ἀποκρούσασθαι, [637] καθὼς καὶ αὐτός φησιν, ὅτι Ἐροῦσιν, ὅτι *Γυνὴ αὐτοῦ ἐστιν αὕτη, καὶ περιποιήσονταί σε*, πολλῷ μᾶλλον θαυμάζειν τὸν δίκαιον χρὴ ἐν τοσαύτῃ πράγματος δυσκολίᾳ δυνηθέντα καὶ αἱμάτων καθαρὸν τηρῆσαι τὸν Αἰγύπτιον, καὶ εἰς δύναμιν τὴν ἑαυτοῦ τὸ ἔγκλημα τῆς ὕβρεως παραμυθήσασθαι.

Ἄγωμεν δὴ λοιπὸν τὸν λόγον καὶ ἐπὶ τὸν ἔκγονον αὐτοῦ τὸν Ἰακώβ· καὶ ὄψει κἀκεῖνον δεδοικότα καὶ τρέμοντα τὴν τελευτὴν, ἄνθρωπον ἐκ πρώτης ἡλικίας ἀποστολικὴν ἐπιδειξάμενον φιλοσοφίαν. Ὁ γὰρ Παῦλος τοῖς μαθηταῖς ἐνομοθέτει λέγων· *Ἔχοντες τροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα*, τοῦτο καὶ οὗτος ᾔτησε παρὰ τοῦ Θεοῦ εἰπών· *Ἂν δῴη μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, ἀρκεῖ ἡμῖν.* Ἀλλ' ὅμως καὶ οὗτος ὁ μηδὲν πλέον τῆς χρείας ζητῶν, ὁ τῆς οἰκίας ὑπεριδὼν, ὁ τὰς εὐλογίας λαβὼν, ὁ τῇ μητρὶ πεισθεὶς, ὁ τῷ Θεῷ φίλος, ὁ διὰ τῆς σοφίας βιασάμενος τὴν φύσιν (δεύτερος γὰρ ὢν τῇ φύσει, πρότερος γέγονε ταῖς εὐλογίαις), ὁ τοσαῦτα δυνηθεὶς, ὁ τοσαῦτα φιλοσοφήσας, ὁ τοσαύτην εὐσέβειαν ἐπιδειξάμενος, μετὰ τοὺς μυρίους ἄθλους, μετὰ τὰ μυρία σκάμματα, μετὰ τὰ μυρία παλαίσματα καὶ τοὺς πολλοὺς στεφάνους ἐκείνους, ἐπὶ τὴν πατρίδα ἐπανιὼν, καὶ μέλλων ἐντεύξεσθαι τῷ ἀδελφῷ, καθάπερ θηρίον ὄψεσθαι μέλλων, καὶ φοβούμενος αὐτοῦ τὴν μνησικακίαν, προσπίπτει τῷ Θεῷ, καὶ παρακαλεῖ· *Ἐξελοῦ με ἐκ χειρὸς Ἡσαῦ τοῦ ἀδελφοῦ μου*, λέγων, *ὅτι φοβοῦμαι ἐγὼ αὐτὸν, μή ποτε ἐλθὼν πατάξῃ με, καὶ μητέρα ἐπὶ τέκνοις.* Εἶδες πῶς καὶ οὗτος ἐδεδοίκει τὸν θάνατον; πῶς τρέμει, καὶ τὸν Θεὸν παρακαλεῖ περὶ τούτου; Βούλει σοι δείξω καὶ ἕτερον μέγαν ἄνθρωπον τὸ αὐτὸ τοῦτο πεπονθότα πάλιν; Ἐννόησον τὸν Ἠλίαν, τὴν οὐρανομήκη ψυχὴν καὶ θείαν· ἐκεῖνος γὰρ ὁ τὸν οὐρανὸν κλείσας, καὶ πάλιν ἀνοίξας, ὁ τὸ πῦρ ἄνωθεν κατενεγκὼν, ὁ τὴν θαυμαστὴν θυσίαν προσενεγκὼν, ὁ ζηλώσας ὑπὲρ τοῦ Θεοῦ, ἐκεῖνος ὁ ἐν σώματι ἀνθρωπίνῳ ἀγγελικὸν ἐπιδειξάμενος βίον, ὁ τῆς μηλωτῆς πλέον ἔχων οὐδέν, ὁ

[a] Savil. ἐν τῇ ψυχῇ λάβοι τις, ἀβίωτος. Ibid. Savil. et Reg ἅπας γεγένηται. Mox Savil. in marg φλόξ ἐστιν ἀκατάσβεστος.

[b] Savil. in textu εἶκτεσθαι, in marg. γίνεσθαι, ut alli.

πάντων ἀνωτέρω γενόμενος τῶν ἀνθρωπίνων, οὕτω τὸν θάνατον τρέμει καὶ δέδοικεν, ὡς μετὰ πάντα ἐκεῖνα, μετὰ τὸν οὐρανὸν καὶ τὴν θυσίαν, μετὰ τὴν μηλωτὴν καὶ τὴν ἐρημίαν, καὶ τὴν φιλοσοφίαν, καὶ τὴν παῤῥησίαν τὴν τοσαύτην γύναιον εὐτελὲς φοβηθῆναι, καὶ διὰ τοῦτο φυγεῖν. Ἐπειδὴ γὰρ εἶπεν Ἰεζάβελ· *Τάδε ποιήσαιέν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον τὴν ψυχήν σου θήσομαι ὡς τὴν ψυχὴν ἑνὸς τῶν τεθνηκότων· ἐφοβήθη Ἠλίας*, φησὶ, *καὶ ἔφυγεν ὁδὸν ἡμερῶν τεσσαράκοντα.*

γ'. Εἶδες πῶς φοβερὸς ὁ θάνατος; Θαυμάσωμεν τοίνυν σὸν Δεσπότην, ὅτι τὸν φοβερὸν ὄντα προφήταις, εὐκαταφρόνητον ἐποίησε γυναιξίν. Ὁ Ἠλίας ἔφυγε θάνατον, γυναῖκες κατέφυγον εἰς θάνατον· ἐκεῖνος ἀπεπήδησε τοῦ θανάτου, καὶ αὗται ἐδίωξαν θάνατον. Εἶδες πόση γέγονεν ἀθρόον ἡ μεταβολή; Οἱ περὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἠλίαν ἀγωνιῶσι τὴν τελευτὴν, γυναῖκες δὲ καθάπερ πηλὸν τοῖς ποσὶν ἑαυτῶν κατεπάτησαν θάνατον. Ἀλλὰ μηδὲ ἐκείνων τῶν ἁγίων κατηγορήσωμεν· οὐκ ἔστιν αὐτῶν τὸ ἔγκλημα· τῆς φύσεως ἦν ἡ ἀσθένεια, οὐ τῆς προαιρέσεως ἡ κατηγορία. Ὁ Θεὸς τότε ἐβούλετο φοβερὸν εἶναι τὸν θάνατον, ἵνα δειχθῇ μετὰ ταῦτα τῆς χάριτος [638] τὸ μέγεθος· φοβερὸν αὐτὸν εἶναι ἐβούλετο· καταδίκη γὰρ ἦν· διὰ τοῦτο οὐκ ἤθελε λυθῆναι τῆς καταδίκης τὴν ἀπειλὴν, ἵνα μὴ ῥᾳθυμότεροι μετὰ ταῦτα γένωνται οἱ ἄνθρωποι. Μενέτω, φησὶν, ἡ ἀπόφασις φοβοῦσα αὐτοὺς καὶ σωφρονίζουσα· ἔσται γὰρ, ἔσται καιρὸς, καθ' ὃν καὶ τῆς ἀγωνίας ἀπαλλαγήσονται ταύτης· ὃ δὴ καὶ συνέβη. Ὅτι γὰρ ἡμᾶς ἀπήλλαξε τῆς ἀγωνίας ταύτης, δηλοῦσι μὲν οἱ μάρτυρες, δηλοῖ δὲ πρὸ τῶν μαρτύρων ὁ Παῦλος. Ἤκουσας ἐν τῇ Παλαιᾷ τοῦ Ἀβραὰμ λέγοντος, ὅτι *Σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσιν*; ἤκουσας τοῦ Ἰακὼβ λέγοντος· *Ἐξελοῦ με, Κύριε, ἐκ χειρὸς Ἡσαῦ τοῦ ἀδελφοῦ μου*, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν;

Εἶδες τὸν Ἠλίαν φεύγοντα γυναικὸς ἀπειλὴν διὰ τὸν θάνατον; Ἄκουσον πῶς ὁ Παῦλος περὶ τοῦ πράγματος τούτου διάκειται, εἰ φοβερὸν αὐτὸν εἶναι νομίζει καθάπερ ἐκεῖνοι, εἰ λυπεῖται ἐπιόντος αὐτοῦ, καὶ δέδοικε. Τοὐναντίον μὲν οὖν, καὶ σπουδαῖον εἶναι νομίζει τὸ πρᾶγμα· διὰ τοῦτό φησιν· *Τὸ ἀναλῦσαί με καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον*. Ἐκείνοις φοβερὸν, τούτῳ κρεῖσσον· ἐκείνοις ἀηδὲς, τούτῳ ἡδύ· καὶ μάλα εἰκότως· τὸ μὲν γὰρ πρότερον ὁ θάνατος εἰς τὸν ᾅδην κατῆγεν· νυνὶ δὲ ὁ θάνατος πρὸς τὸν Χριστὸν παραπέμπει. Διὰ τοῦτο ὁ μὲν Ἰακὼβ ἔλεγε· *Κατάξετε τὸ γῆρας μου μετὰ λύπης εἰς ᾅδην*· ὁ δὲ Παῦλος ἔλεγε· *Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι με πολλῷ μᾶλλον κρεῖσσον*. Ταῦτα δὲ ἔλεγεν οὐ καταγινώσκων τῆς παρούσης ζωῆς (μὴ γένοιτο· φυλαττώμεθα γὰρ μὴ δῶμεν χώραν ταῖς τῶν αἱρετικῶν λαβαῖς [a]), οὐδὲ ὡς πονηρὰν φεύγων αὐτὴν, ἀλλ' ὡς κρείττονος τῆς μελλούσης ἐπιθυμῶν. Οὐ γὰρ εἶπε τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι καλὸν ἁπλῶς, ἀλλὰ κρεῖσσον· τὸ δὲ κρεῖσσον καλοῦ τινος ἔσται κρεῖσσον. Ὥσπερ γὰρ ὅταν λέγῃ ὅτι *Ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ*, καλὸν μὲν δείκνυσιν ὄντα τὸν γάμον, κρεῖττω δὲ τὴν παρθενίαν· οὕτω δὴ καὶ ἐνταῦθα· καλὴ μὲν ἡ παροῦσα ζωὴ, φησὶ, πολὺ δὲ βελτίων ἡ μέλλουσα. Πάλιν ἀλλαχοῦ τὰ αὐτὰ δὴ ταῦτα φιλοσοφῶν ἔλεγεν· *Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε.* Τί φῄς; ἀποθνήσκεις, Παῦλε, καὶ κοινωνοὺς καλεῖς τῆς ἡδονῆς τοὺς ἀνθρώπους; τί γέγονεν, εἰπέ μοι; Οὐκ ἀποθνήσκω, φησὶν, ἀλλ' ἐπὶ τὴν μείζονα ἀναβαίνω ζωήν. Καθάπερ οὖν ἄνθρωποι ἀρχὴν λαμβάνοντες πολλοὺς καλοῦσι τοὺς κοινωνήσοντας αὐτοῖς τῆς εὐφροσύνης, οὕτω καὶ Παῦλος ἐπὶ τὸν θάνατον ἰὼν, ἐκάλει τοὺς συνησθησομένους αὐτῷ. Ἀνάπαυσις γάρ ἐστιν ὁ θάνατος, καὶ πόνων ἀπαλλαγὴ, καὶ ἱδρώτων ἀντίδοσις, καὶ ἀμοιβὴ παλαισμάτων καὶ στέφανος. Διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν ἐπὶ τοῖς νεκροῖς κοπετοί τινες ἐγίγνοντο καὶ θρῆνοι, νῦν δὲ ψαλμοὶ καὶ ὑμνῳδίαι. Ἔκλαυσαν γοῦν τὸν Ἰακὼβ τεσσαράκοντα ἡμέρας, ἔκλαυσαν καὶ τὸν Μωϋσῆν ἑτέρας τοσαύτας οἱ Ἰουδαῖοι, καὶ ἐκόψαντο· ἐπειδὴ θάνατος τότε ὁ θάνατος ἦν· νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ ὑμνῳδίαι καὶ εὐχαὶ καὶ ψαλμοὶ, δηλούντων ἁπάντων, ὅτι ἡδονὴν ἔχει τὸ πρᾶγμα· οἱ γὰρ ψαλμοὶ [639] εὐθυμίας σύμβολον· *Εὐθυμεῖ γάρ τις*, φησὶν, *ἐν ὑμῖν; ψαλλέτω.* Ἐπεὶ οὖν εὐθυμίας ἐσμὲν πεπληρωμένοι, διὰ τοῦτο ψάλλομεν ἐπὶ τοῖς νεκροῖς ψαλμοὺς θαῤῥεῖν ὑπὲρ τῆς τελευτῆς παρακελευομένους. *Ἐπίστρεψον γὰρ*, φησὶ, *ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.* Ὁρᾷς εὐεργεσίαν ὄντα τὸν θάνατον καὶ ἀνάπαυσιν; ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν ἐκείνην, κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

δ'. Καὶ περὶ μὲν τοῦ θανάτου τοσαῦτα· φέρε δὴ λοιπὸν ἐπὶ τὸ ἐγκώμιον τῶν μαρτύρων ἴωμεν, εἰ μὴ ἀπεκάμετε πρὸς τὴν ἀκρόασιν· καὶ γὰρ καὶ ταῦτα ἀπὸ τοῦ τῶν μαρτύρων ἐγκωμίου τὴν ὑπόθεσιν ἔλαβε· μικρὸν δὲ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν ἀναγκαῖον. Πόλεμος ἀνερρίπισθη ποτὲ κατὰ τῆς Ἐκκλησίας χαλεπὸς, πολέμων ἁπάντων βαρύτατος· διπλοῦς [b] γὰρ οὗτος ὁ πόλεμος ἦν· ὁ μὲν ἔσωθεν, ὁ δὲ ἔξωθεν· ὁ μὲν παρὰ τῶν οἰκείων, ὁ δὲ παρὰ τῶν πολεμίων· ὁ μὲν παρὰ τῶν ἀλλοτρίων, ὁ δὲ παρὰ τῶν γνωρίμων. Καίτοι εἰ καὶ ἁπλοῦς ὁ πόλεμος ἦν, ἀφόρητον ὑπῆρχε τὸ κακὸν, καὶ εἰ ἔξωθεν προσέβαλλε μόνον, μέγα τῶν δεινῶν τὸ μέγεθος ἦν· νυνὶ δὲ διπλοῦς ἦν οὗτος, καὶ τοῦ παρὰ τῶν ἔξωθεν ὁ παρὰ τῶν οἰκείων χαλεπώτερος. Τὸν μὲν γὰρ ὡμολογημένον ἐχθρὸν ῥᾳδίως φυλάττεσθαι δυνατόν· ὁ δὲ φίλου μὲν ἔχων προσωπεῖον, τὰ δὲ ἐχθρῶν διατιθεὶς, δυσάλωτος τοῖς ἐπιβουλευομένοις ἐστί. Διπλοῦς τοίνυν τότε ὁ πόλεμος ἦν, ὁ μὲν ἐμφύλιος, ὁ δὲ παρὰ τῶν ἔξωθεν ἐπιών· μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἑκάτερος ὁ πόλεμος ἐμφύλιος ἦν. Καὶ γὰρ οἱ ἔξωθεν προσβάλλοντες δικασταὶ καὶ ἄρχοντες καὶ στρατιῶται οὐκ ἀλλόφυλοί τινες ἦσαν, καὶ βάρβαροι, καὶ ἄλλης ἀρχῆς καὶ βασιλείας, ἀλλὰ τοῖς αὐτοῖς διοικούμενοι νόμοις, τὴν αὐτὴν πατρίδα οἰκοῦντες, τῆς αὐτῆς μετέχοντες πολιτείας. Ὁ μὲν οὖν ἐμφύλιος ἦν ὁ παρὰ τῶν δικαστῶν, ὁ δὲ χαλεπώτερος ὁ παρὰ τῶν συγγενῶν, ὁ καινὸς καὶ παράλογος καὶ πολλῆς γέμων ὠμότητος. Καὶ γὰρ ἀδελφοὺς ἀδελφοὶ παρεδίδοσαν, καὶ πατέρες

[a] Savil. in textu et Reg. φυλαττώμεθα γὰρ καὶ τὰς τῶν αἱρετικῶν λαβάς. Morel. et Savil. in marg. φυλαττώμεθα γὰρ μὴ δῶμεν χώραν ταῖς τῶν αἱρετικῶν λαβαῖς.

[b] Savil. et Reg. ἁπάντων πικρότατος, διπλοῦς.

exarsit; ille, qui in corpore humano angelicam vitam exhibuit, qui præter ovinam pellem nihil habuit, qui rebus omnibus humanis superior evasit, adeo mortem metuit ac reformidat, ut post illa cuncta, post cælum et sacrificium, post meloten, desertum, et philosophiam tantamque fiduciam, vilem mulierculam pertimescat, et idcirco fugiat. Nam quia dixerat Jezabel : *Hæc faciant mihi dii, et hæc addant, nisi cras animam tuam posuero sicut animam unius ex illis, qui mortui sunt : timuit Helias*, inquit, *et fugit itinere dierum quadraginta* (3. *Reg.* 19. 2. 3).

3. Vides ut mors sit terribilis? Dominum ergo laudemus, quod cum terribilis esset prophetis, contemptu facilem mulieribus reddiderit. Helias mortem fugiebat, mulieres ad mortem confugiebant : ille a morte resiliit, istæ mortem sunt consectatæ. Vides quanta repente facta sit mutatio? Abraham et Helias necem reformidant, mulieres autem quasi lutum pedibus suis mortem conculcarunt. Veruntamen ne illos quidem sanctos accusemus; non ipsorum est culpa; naturæ imbecillitas erat, non crimen arbitrii : formidabilem esse tum temporis Deus mortem volebat, ut gratiæ postea magnitudo innotesceret; formidabilem illam voluit esse : supplicium enim erat : idcirco dissolvi supplicii minas noluit, ne segniores homines postea redderentur. Maneat, inquit, ad eos terrendos coercendosque sententia : erit enim, erit tempus, quo et metu isto liberabuntur; quod utique accidit. Nos quippe liberatos ab eo fuisse hoc metu declarant cum martyres tum ante martyres Paulus. Audisti in Veteri Testamento dicentem Abraham, *Te quidem servabunt, me vero interficient* (*Gen.* 12. 12)? audisti Jacob dicentem, *Erue me de manu Esaü fratris mei, quoniam eum timeo ego* (*Gen.* 32. 11)?

Longe alia est conditio Christianorum; Psalmi canebantur in eorum funeribus.— Vidisti Heliam mulieris minas mortis causa fugientem? Audi quomodo Paulus erga rem istam sit affectus, an formidabilem illam censeat ut illi; num ea imminente tristetur ac metuat. Imo vero e contrario, rem esse optabilem arbitratur : propterea dicit, *Dissolvi me et esse cum Christo multo melius* (*Philipp.* 1. 23). Illis formidabile, huic melius; illis injucundum, huic jucundum : ac merito sane : olim enim ad infernum mors deducebat, nunc autem ad Christum mors transmittit : quapropter Jacob quidem ait, *Deducetis senectutem meam cum tristitia ad inferos* (*Gen.* 42. 38); Paulus vero dicebat, *Dissolvi et cum Christo esse me multo melius* (*Philipp.* 1. 23). Hæc porro dicebat, non ut hanc vitam damnaret, absit : caveamus enim, ne hæreticis ansam præbeamus; neque quod eam tamquam malam fugeret, sed quod futuram, ut meliorem, exoptaret. Non enim dixit dissolvi et esse cum Christo bonum esse simpliciter, sed melius : melius comparatione boni alicujus dicitur. Quemadmodum enim cum ait, *Qui matrimonio jungit, bene facit; qui vero non jungit, melius facit* (1. *Cor.* 7. 38), bonum quidem esse matrimonium ostendit, at meliorem virginitatem : ita nimirum et hoc loco, Bona quidem vita præsens, inquit, multo vero melior est futura. Rursus alibi pari ratione philosophatur, et ait : *Sed et si immolor supra sacrificium, et obsequium fidei vestræ, gaudeo et congratulor omnibus vobis : idipsum autem et vos gaudete, et congratulamini* (*Philipp.* 2. 17. 18) Quid ais? moreris, o Paule, et ad societatem voluptatis homines advocas? quid tibi quæso accidit? Non equidem morior, inquit, sed ad meliorem vitam transeo. Ut igitur homines magistratum ineuntes plurimos lætitiæ sibi socios ac participes futuros accersunt : sic et Paulus ad mortem pergens gaudii sui consortes futuros vocabat. Est enim mors requies quædam, laborum finis, sudorumque retributio, ac certaminum præmium et corona. Ideo principio quidem super mortuos planctus quidam et lamentationes fiebant; nunc autem psalmi et cantus hymnorum. Fleverunt igitur Jacob quadraginta diebus, fleverunt et Moysem totidem alias Judæi et planxerunt, quoniam mors tum temporis mors erat : jam vero non ita, sed hymni sunt, preces et psalmi, quæ omnia voluptatem in ea re esse declarant : psalmi enim hilaris animi signum sunt : *Æquo enim est animo quis in vobis? psallat* (*Jacob* 5. 13). Quoniam igitur lætitia affluimus, idcirco psalmos super mortuos psallimus, qui nos cohortantur, ut mortem non timeamus. *Convertere* enim, inquit, *anima mea, in requiem tuam, quia Dominus benefecit tibi* (*Psal.* 114. 7). Vides beneficium esse mortem ac requiem? qui enim ingressus est in requiem illam, ab operibus suis requievit, ut a propriis Deus.

4. Ac de morte quidem hactenus : age nunc deinceps nos ad martyrum laudes convertamus, nisi forte sitis audiendo defessi : nam et hæc occasione laudis martyrum dicta sunt; paulo vero altius operæ pretium est narrationem ordiamur. Bellum adversus Ecclesiam grave quondam excitatum est, bellorum omnium gravissimum : duplex enim erat hoc bellum, unum quidem intus, alterum vero foris exortum : hoc a domesticis, illud ab hostibus; unum ab alienis, a familiaribus illatum alterum.

Bellum civile et intestinum externo periculosius. Simile ab incendio nocturno sumptum.— Et vero licet bellum simplex fuisset, intolerabile malum exstitisset; ac licet exterius tantum ingruisset, ingens calamitatum magnitudo fuisset : nunc autem duplex erat hoc; et quod a domesticis, multo gravius est, quam quod ab externis Facile namque nobis ab eo cavere possumus, qui se inimicum profiteatur; at eum, qui sibi amici larvam induit, non aliter autem atque inimicus affectus est, haud facile capere insidiis potes. Duplex ergo tum bellum erat, hoc civile, illud ab externis irruens; vel potius, si verum dicendum sit, civile fuit utrumque bellum. Nam qui forinsecus invadebant, judices, magistratus et milites, non alienigenæ quidam erant, aut barbari, aut ex alio quodam imperio regnove, sed qui iisdem legibus regebantur, eamdem patriam colebant, ejusdem participes erant reipublicæ. Erat igitur civile, quod a judicibus inferebatur sed gravius quod a cogna-

tis, novum ac inopinatum multaque redundans crudelitate. Nam et a fratribus tradebantur fratres, et a patribus liberi, et a maritis uxores; omnia cognationis jura conculcabantur, ac totus orbis terrarum subvertebatur, nec ullus tum ullum agnoscebat: diabolus enim majorem in modum dominabatur. In illo itaque tumultu ac bello mulieres istæ, si quidem mulieres appellandæ sunt, quippe quæ in muliebri corpore viriles animos exhibuerint, imo vero non viriles tantum animos, sed naturam ipsam supergressæ sint, et cum virtutibus incorporeis contenderint: istæ ergo mulieres relicta urbe, domo, ac propinquis peregre commigrarunt. Cum enim Christus, aiebant, contemnitur, nihil nobis esto pretiosum, neque necessitudine conjunctum: propterea relictis omnibus sunt egressæ. Et sicut cum media nocte domus incenditur, qui intus dormiebant, ubi tumultum audierint, cito e stratis exsilientes e vestibulo domus evolant, neque secum eorum, quæ intus sunt, quidquam auferunt; id enim unum student, ut e flamma suum corpus eripiant, et ignis cursum magna celeritate grassantem præveniant: sic et istæ nimirum egerunt. Cum enim totum orbem terrarum inflammatum vidissent, confestim ex urbis vestibulo exsilierunt et evolarunt, id unum quærentes, ut animæ suæ salutem sartam tectam conservarent. Tum enim erat incendium infestum, et profundæ tenebræ dominabantur, tenebræ nocturnis istis multo tetriores: quapropter tanquam in tenebris amicos non noverant amici, et uxores viri prodebant; propterea cum inimicos præteribant, tum amicos et domesticos impetebant: nocturnum quoddam erat infestum prælium, et ingenti tumultu cuncta replebantur.

SS. Martyres patriam relinquunt.—Tum igitur istæ relicta patria excesserunt, et patriarcham Abraham imitatæ sunt, ad quem dictum est: *Egredere de terra tua et de cognatione tua* (*Gen.* 12. 1.): nam et has persequutionis tempus ad hoc incitabat, ut de terra deque cognatione exirent, ut ita cælum hereditate possiderent. Egrediebatur igitur ex ædibus mulier duas secum filias habens; at tu ne temere prætereas, cum excessisse mulieres liberaliter educatas audis, nec ferendis ejusmodi malis assuefactas; sed animo versa, quantum illud malum esset, quantis res illa difficultatibus circumsepta. Si enim homines qui mediocrem peregrinationem suscipiunt, cum jumenta suppetant, ministri non desint, periculo vacent itinera, cum penes eos potestas sit redeundi, multas experiuntur molestias, multas miserias perpetiuntur: ubi mulier et virgines, penuria ministrorum, et amicorum proditio, tumultus, et perturbatio, metusque intolerabilis, diversa in illis pericula, de anima discrimen, et undecumque hostes; quæ tandem oratio mulierum certamina, fortitudinem, magnanimitatem, fidem exprimere poterit? Nam si egressa sola mater esset, non ita intolerandum certamen fuisset; jam vero cum et filias deduceret, et duas virgines, ita duplex timendi occasio, multaque sollicitudinis erat accessio: quanto enim major possessio, tanto difficilior est custodia. Egrediebatur ergo virgines habens, nec habens quibus in thalamis eas occultaret: tametsi intelligitis thalamos; gynæcea, januas, vectes, custodes, procubitores, ancillas, nutrices, ac matris assiduitatem, et patris providentiam multamque parentum curam adhiberi, ut virginitatis flos custodiatur, et vix ita incolumem conservari: at illa omni erat custodia destituta; quo igitur pacto poterat illas tueri? Divinarum scilicet legum custodia. Non habebat domum, qua obvallaretur, ad potentem manum habebat, qua de cælo protegeretur: non habebat januam, neque vectem, sed veram habebat januam quæ insidias longe arceret. Et quemadmodum in mediis Sodomis obsidebatur quidem Lot domus (*Gen.* 9. 10. *sqq.*), at nihil mali patiebatur, quippe quæ angelos intus haberet: sic nimirum et martyres istæ, inter Sodomitas cunctosque hostes constitutæ atque undique circumsessæ, nihil mali patiebantur, quippe quæ Dominum angelorum in animis suis habitantem haberent; et in desertum iter delatæ nihil patiebantur, quia iter habebant, quod ad cælum ipsas deduceret. Quapropter in tanto bello, tumultu, ac fluctibus deprehensæ, cum securitate incedebant: et quod sane mirum, per medios lupos oves ducebantur; per medios leones agnæ progrediebantur, nec illas quisquam lascivis oculis intuebatur: sed sicut Sodomitas juxta januam stantes aditum cernere non sinebat Deus, sic et omnium tunc oculos excæcavit, ne virginea corpora proderentur.

5. *Edessam perveniunt urbem Mesopotamiæ.* — Pergunt igitur ad urbem, Edessam nomine, urbem permultis agrestiorem quidem, sed pietate insigniorem: quid enim ex illa urbe æque commodum censuissent, atque ut in tanta procella perfugium nanciscerentur, et in tali tempestate portum haberent? Et excepit civitas peregrinas, peregrinas quidem terræ, cives autem cælorum, exceptumque depositum custodivit. Nemo autem mulieres imbecillitatis accuset, quod fugerint: præceptum enim Dominicum implebant, quod ita se habet, *Cum persequentur vos, ex civitate ista fugite in aliam* (*Matth.* 10. 23); quod et istæ cum audiissent, fugerunt[1], et una illis intexrim corona nectebatur: quænam illa tandem? Omnium scilicet præsentium rerum contemptus: *Quicunque* enim *reliquerit fratres, et sorores, aut patriam, aut domum, aut amicos, aut cognatos, centuplum accipiet*, inquit, *et vitam æternam possidebit* (*Matt.* 19. 29). Et erant ibi Christum habentes contubernalem: si enim ubi sunt duo vel tres congregati, in eorum est medio (*Matt.* 18. 20); ubi non congregatæ tantum erant, sed et propter nomen ejus exsules, nonne multo potiori jure ipsius auxilium promerebantur? Cum igitur illic mulieres versarentur, nefaria confestim edicta quoquoversum transmittebantur, multa tyrannide ac barbarica crudelitate referta: propinqui enim propinquos, inquit, prodant, mariti uxores, patres liberos, liberi patres, fratres fratres, amici amicos.

[1] Savil. in marg., *quod et istæ cum implessent, fugerunt.*

τέκνα, καὶ ἄνδρες γυναῖκας, καὶ πάντα τὰ τῆς συγγενείας ἐπατεῖτο δίκαια, καὶ πᾶσα ἡ οἰκουμένη ἀνάστατος ἦν, καὶ οὐδεὶς οὐδένα τότε ἐπεγίνωσκεν· ἐκράτει γὰρ ὁ διάβολος μετὰ πολλῆς τῆς ὑπερβολῆς. Ἐν ἐκείνῳ τοίνυν τῷ θορύβῳ καὶ τῷ πολέμῳ αἱ γυναῖκες αὗται, εἴ γε γυναῖκας αὐτὰς χρὴ καλεῖν· καὶ γὰρ ἐν γυναικείῳ σώματι ἀνδρῶν ἐπεδείξαντο φρόνημα, μᾶλλον δὲ οὐκ ἀνδρῶν ἐπεδείξαντο φρόνημα μόνον, ἀλλὰ καὶ αὐτὴν ὑπερέβησαν τὴν φύσιν, καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις τὴν ἄμιλλαν ἔθεντο· αὗται τοίνυν αἱ γυναῖκες ἀφεῖσαι πόλιν καὶ οἰκίαν καὶ συγγενεῖς πρὸς τὴν ἀλλοτρίαν μετετάξαντο. Ὅταν γὰρ, φησὶν, ὁ Χριστὸς ἀτιμάζηται, μηδὲν ἡμῖν ἔστω τίμιον μηδὲ ἀναγκαῖον· διὰ τοῦτο πάντα ἀφεῖσαι ἐξῆλθον. Καὶ καθάπερ οἰκίας ἐν μέσῃ νυκτὶ πυρπολουμένης, οἱ καθεύδοντες ἔνδον, ἐπειδὰν αἴσθωνται τοῦ θορύβου, ταχέως ἐξαλλόμενοι τῆς κλίνης ἐκπηδῶσι τῶν προθύρων τῆς οἰκίας, οὐδὲν τῶν ἔνδον λαβόντες· ἓν γὰρ μόνον σπουδάζουσιν, ὅπως τὸ σῶμα τὸ ἑαυτῶν προεξαρπάσωσι τῆς φλογὸς, καὶ τὸν [640] τοῦ πυρὸς φθάσωσι δρόμον μετὰ πολλῆς ἐπιόντα τῆς ταχύτητος· οὕτω δὴ καὶ αὗται ἐποίησαν. Ἰδοῦσαι γὰρ τὴν οἰκουμένην ἅπασαν ἐμπυριζομένην, εὐθέως ἐξεπήδησαν, καὶ ἐξήλαντο τῶν προθύρων τῆς πόλεως, ἓν μόνον ζητοῦσαι, τὴν σωτηρίαν τῆς ἑαυτῶν ψυχῆς παντὶ τρόπῳ διαφυλάξαι. Καὶ γὰρ ἐμπρησμὸς τότε χαλεπὸς ἦν καὶ σκότος ἐκράτει βαθὺ, σκότος τοῦ νυκτερινοῦ τούτου ζοφωδέστερον· καὶ διὰ τοῦτο καθάπερ ἐν σκότῳ τοὺς φίλους ἠγνόουν οἱ φίλοι, καὶ ἄνδρες παρεδίδοσαν γυναῖκας· διὰ τοῦτο τοὺς μὲν ἐχθροὺς παρέτρεχον, τοῖς δὲ φίλοις καὶ τοῖς οἰκείοις προσερρήγνυντο, καὶ νυκτομαχία τις ἦν χαλεπὴ, καὶ πολλοῦ θορύβου τὰ πράγματα ἔγεμε.

Τότε τοίνυν ἐξῆλθον αὗται τὴν πατρίδα ἀφεῖσαι, καὶ τὸν πατριάρχην ζηλώσασαι τὸν Ἀβραάμ, πρὸς ὃν εἴρητο· *Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου.* Καὶ γὰρ καὶ ταύταις ὁ τοῦ διωγμοῦ καιρὸς ταῦτα παρῄνει, ἐξελθεῖν ἐκ τῆς γῆς καὶ ἐκ τῆς συγγενείας, ὥστε κληρονομῆσαι τὸν οὐρανόν. Ἐξῄει τοίνυν ἐκ τῆς οἰκίας ἡ γυνὴ δύο μεθ' ἑαυτῆς ἔχουσα θυγατέρας. Σὺ δὲ μὴ παραδράμῃς ἁπλῶς ἀκούων, ὅτι ἐξῆλθον γυναῖκες ἐλευθερίως ἀνατραφεῖσαι, μηδέποτε πεῖραν λαβοῦσαι τῶν δεινῶν τούτων, ἀλλὰ ἀναλόγισαι τῇ διανοίᾳ ὅσον ἦν τὸ κακὸν, ὅσην ἔχει τὸ πρᾶγμα δυσκολίαν. Εἰ γὰρ ἄνθρωποι σύμμετρον ἀποδημίαν στελλόμενοι, ὑποζυγίων εὐποροῦντες, διακόνους ἔχοντες, μετὰ ἀδείας ὁδεύοντες, κύριοι τῆς ἐπανόδου ὄντες, πολλῶν αἰσθάνονται τῶν μοχθηρῶν, πολλὴν ὑπομένουσι ταλαιπωρίαν· ὅπου γυνὴ, καὶ παρθένοι, καὶ διακόνων ἐρημία, καὶ φίλων προδοσία, καὶ θόρυβος, καὶ ταραχὴ, καὶ φόβος ἀφόρητος, καὶ κίνδυνος ἐν αὐταῖς ποικίλος, καὶ περὶ ψυχῆς ὁ δρόμος, καὶ παντάχοθεν οἱ πολέμιοι, ποῖος λόγος τὰ ἀγωνίσματα τῶν γυναικῶν παραστῆσαι δυνήσεται, τὴν ἀνδρείαν, τὴν μεγαλοψυχίαν, τὴν πίστιν; Εἰ γὰρ μόνη ἐξῆλθεν ἡ μήτηρ, οὐκ ἦν καὶ οὕτως ἀφόρητος ὁ ἀγών· νυνὶ δὲ καὶ τὰς θυγατέρας ἐπήγετο, καὶ ταύτας παρθένους· ὥστε [a] διπλῆ ἡ ἀγωνία, καὶ πολλὴ τῆς φροντίδος ἡ προσθήκη· ὅσῳ γὰρ μέγα τὸ κτῆμα, τοσούτῳ δυσκολωτέρα ἡ φυλακή. Ἐξῄει τοίνυν παρθένους ἔχουσα, καὶ οὐκ ἔχουσα κατακρύψαι αὐτὰς ἐν θαλάμοις· καίτοι ἴστε, ὅτι καὶ θάλαμοι καὶ γυναικωνίτιδες, καὶ θύραι, καὶ μοχλοὶ, καὶ φύλακες, καὶ προφύλακες, καὶ θεραπαινίδες, καὶ τιθηνοὶ, καὶ μητρὸς προσεδρία, καὶ πατρὸς πρόνοια, καὶ πολλὴ παρὰ τῶν γονέων ἐπιμέλεια γίνεται, ὥστε διατηρηθῆναι τὸ τῆς παρθενίας ἄνθος, καὶ μόλις οὕτω διασώζεται· ἐκείνη δὲ πάσης ταύτης τῆς φυλακῆς ἔρημος ἦν· πῶς οὖν αὐτὰς διασῶσαι εἶχεν; Ἐκ τῆς τῶν θείων νόμων φυλακῆς. Οὐκ εἶχε στέγην περιβάλλουσαν, ἀλλ' εἶχε τὴν κραταιὰν χεῖρα ἄνωθεν σκέπουσαν· οὐκ εἶχε θύραν οὐδὲ μοχλὸν, ἀλλ' εἶχε τὴν ἀληθινὴν θύραν ἀποτειχίζουσαν τὴν ἐπιβουλήν. Καὶ καθάπερ ἐν μέσοις τοῖς Σοδόμοις ἐπολιορκεῖτο μὲν ἡ τοῦ Λὼτ οἰκία, οὐδὲν δὲ ἔπασχε δεινόν· ἀγγέλους γὰρ εἶχεν ἔνδον· οὕτω δὴ καὶ αἱ μάρτυρες αὗται μεταξὺ Σοδόμων καὶ πάντων τῶν πολεμίων οὖσαι, καὶ πολιορκούμεναι παντα-χόθεν, οὐδὲν ἔπασχον δεινόν· τὸν [641] γὰρ τῶν ἀγγέλων Δεσπότην εἶχον ἐν ταῖς αὐτῶν οἰκοῦντα ψυχαῖς· καὶ εἰς τὴν ὁδὸν ἐλθοῦσαι τὴν ἔρημον οὐδὲν ἔπαθον· εἶχον γὰρ τὴν ἀληθινὴν ὁδὸν τὴν πρὸς οὐρανὸν αὐτὰς ἄγουσαν. Διὰ τοῦτο ἐν τοσούτῳ πολέμῳ, καὶ θορύβῳ, καὶ κύμασιν ἀπειλημμέναι μετὰ ἀσφαλείας ἐβάδιζον· καὶ τὸ θαυμαστὸν, ὅτι διὰ τῶν λύκων τὰ πρόβατα ἦγετο, διὰ τῶν λεόντων αἱ ἀμνάδες ἐχώρουν, καὶ οὐδεὶς αὐτὰς εἶδεν ἀκολάστοις ὀφθαλμοῖς, ἀλλ' ὥσπερ τοὺς Σοδομίτας ἐγγὺς τῆς θύρας ἑστηκότας οὐκ ἠφίει τὴν εἴσοδον ὁρᾶν ὁ Θεὸς, οὕτω καὶ τότε τὰς πάντων ἐτύφλωσεν ὄψεις, ὥστε μὴ προδοθῆναι τὰ παρθενικὰ σώματα.

ε'. Πορεύονται τοίνυν εἰς πόλιν Ἔδεσσαν λεγομένην, πόλιν ἀγροικοτέραν μὲν τῶν πολλῶν, εὐσεβεστέραν δέ· τί γὰρ ἐκείνης τῆς πόλεως ἴσον εἶναι ἐνόμισαν ἐν τοσούτῳ χλυδωνίῳ καταφυγὴν εὑρεῖν, καὶ ἐν τοιούτῳ χειμῶνι λιμένα ἔχειν; Καὶ δέχεται ἡ πόλις τὰς ξένας, ξένας μὲν τῆς γῆς, πολίτιδας δὲ τῶν οὐρανῶν· καὶ δεξαμένη τὴν παρακαταθήκην ἐφύλαττεν. Ἀλλὰ μηδεὶς τῶν γυναικῶν ἀσθένειαν καταγιγνωσκέτω, ὅτι ἔφυγον· πρόσταγμα γὰρ ἐπλήρουν δεσποτικὸν τὸ λέγον· *Ὅταν γὰρ διώκωσιν ὑμᾶς*, φησὶν, *ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν*· ὅπερ καὶ αὗται ἀκούσασαι ἔφυγον [b], καὶ τέως εἷς αὐταῖς ἐπλέκετο στέφανος· ποῖος δὴ οὗτος; Ὁ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας. *Ὅστις γὰρ ἀφῆκεν ἀδελφοὺς καὶ ἀδελφὰς, ἢ πατρίδα, ἢ οἰκίαν, ἢ φίλους, ἢ συγγενεῖς, ἑκατονταπλασίονα λήψεται*, φησὶ, *καὶ ζωὴν αἰώνιον κληρονομήσει.* Καὶ ἦσαν ἐκεῖ τὸν Χριστὸν ἔχουσαι σύνοικον. Εἰ γὰρ ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστιν, ὅπου οὐχὶ συνηγμέναι ἦσαν μόνον, ἀλλὰ καὶ διὰ τὸ ὄνομα αὐτοῦ φεύγουσαι, πῶς οὐ μᾶλλον αὐτοῦ τὴν βοήθειαν ἐπεσπῶντο; Ἐκεῖ τοίνυν διατριβουσῶν τῶν γυναικῶν ἐξαίφνης ἐπιτάγματα πονηρὰ πανταχοῦ κατεπέμπετο πολλῆς γέμοντα τυραννίδος καὶ ὠμότητος βαρβαρικῆς· οἱ γὰρ οἰκεῖοι τοὺς οἰκείους παραδιδότωσαν, φησὶν, ἄνδρες τὰς γυναῖκας, πατέρες τὰ τέκνα, τέκνα τοὺς πατέρας, ἀδελφοὶ τοὺς ἀδελφοὺς, φίλοι τοὺς φί-

[a] Ὥστε deest in Savil. et Reg., sed non supervacaneum esse videtur. — « Eadem lin. scripsimus cum Savil. καὶ ταύτας παρθ., ubi Montf. legebat τὰς δύο παρθ. » Edit.

[b] Savil. in marg. ὅπερ δὴ αὐτὸ καὶ πληροῦσαι τότε ἔφυγον.

λους. Σὺ δέ μοι τῶν ῥημάτων ἐνταῦθα ἀναμνήσθητι τοῦ Χριστοῦ, καὶ θαύμασον αὐτοῦ τὴν πρόρρησιν· ταῦτα γὰρ πάντα ἄνωθεν προύλεγε· φησὶ γάρ· *Ἀδελφὸς ἀδελφὸν παραδώσει, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς.* Προύλεγε δὲ αὐτὰ τότε διὰ τρία ταῦτα· δι' ἓν μέν, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν, καὶ ὅτι ἀληθής ἐστι Θεὸς τὰ μηδέπω συμβάντα προορῶν πόρρωθεν. Ὅτι γὰρ διὰ τοῦτο προύλεγε τὰ ἐσόμενα, ἄκουσον αὐτοῦ λέγοντος· *Διὰ ταῦτα ὑμῖν εἶπον πρὶν ἢ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε, ὅτι ἐγώ εἰμι.* Δεύτερον δὲ, ἵνα μηδεὶς τῶν ἐχθρῶν λέγῃ, ὅτι ἀγνοοῦντος αὐτοῦ ἢ ἀσθενοῦντος ταῦτα γίνεται· ὁ γὰρ ἄνωθεν προϊδὼν [a] ἠδύνατο καὶ κωλῦσαι· οὐκ ἐκώλυσε δὲ, ἵνα λαμπρότεροι γένωνται οἱ στέφανοι. Διὰ τοῦτο ταῦτα προύλεγε, καὶ δι' ἕτερον δὲ τρίτον προεῖπε. [612] Ποῖον δὴ τοῦτο; Ἵνα κουφότερον πρισῃ τὸν ἀγῶνα τοῖς ἐν τῷ σκάμματι· τὰ μὲν γὰρ ἀπροσδόκητα δεινὰ, ὁποῖα ἂν ᾖ, χαλεπὰ καὶ ἀφόρητα φαίνεται, τὰ δὲ ἐλπισθέντα καὶ προμελετηθέντα κοῦφα καὶ ῥᾴδια γίνεται. Τότε τοίνυν ταῦτα ἐπιτάττοντες οἱ ἐχθροὶ καὶ τὴν ὠμότητα ἐπεδείκνυντο τὴν ἑαυτῶν, καὶ ἄκοντες ἐμαρτύρουν τῇ τοῦ Χριστοῦ προφητείᾳ, καὶ ἀδελφοὶ παρεδίδοσαν ἀδελφοὺς, καὶ πατέρες τέκνα, καὶ αὐτὴ ἑαυτὴν ἐπολέμει ἡ φύσις, καὶ ἐσχίζετο καθ' ἑαυτῆς ἡ συγγένεια, καὶ πάντες ἐκ βάθρων ἀνετρέποντο οἱ νόμοι, καὶ πάντα θορύβου τινὸς ἔγεμε καὶ ταραχῆς [b], καὶ αἱμάτων τὰς οἰκίας ἐνέπλησαν συγγενικῶν οἱ δαίμονες τότε. Ὁ γὰρ παραδοὺς πατὴρ τὸν υἱὸν πάντως καὶ ἔσφαξε· κἂν γὰρ μὴ τὸ ξίφος ὠθήσῃ, μηδὲ τῇ δεξιᾷ τὴν σφαγὴν ἐργάσηται, ἀλλὰ τῇ γνώμῃ τὸ πᾶν ἀπήρτισε· καὶ γὰρ ὁ τῷ φονεύοντι παραδοὺς τὸν φονεύεσθαι μέλλοντα, αὐτὸς τὸν φόνον εἰργάσατο. Ποιήσωμεν οὖν αὐτοὺς, φησὶ, παιδοκτόνους, οἱ δαίμονες ἔλεγον, ποιήσωμεν τοὺς παῖδας πατραλοίας διὰ τῆς προδοσίας· καὶ γὰρ ἐθύοντο αὐτοῖς θυσίαι τοιαῦται τὸ παλαιὸν, καὶ πατέρες ἔσφαττον τέκνα. Καὶ ταῦτα ὁ προφήτης ἐβόα λέγων· *Ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις,* καὶ τοιούτων ἐδίψων αἱμάτων.

Ἐπειδὴ οὖν ἔπαυσε τὰς ἐναγεῖς ταύτας καὶ μυσαρὰς θυσίας ὁ Χριστὸς, ἀνανεώσασθαι πάλιν αὐτὰς ἐφιλονείκουν, ἀλλὰ ἀναισχύντως μὲν εἰπεῖν καὶ φανερῶς, ὅτι σφάξατε τοὺς υἱοὺς ὑμῶν, οὐκ ἐτόλμων· οὐδεὶς γὰρ ἔμελλεν ὑπακούσεσθαι· μεθοδεύουσι δὲ ἑτέρως τὸ πρόσταγμα καὶ σοφίζονται τὸν νόμον, διὰ τῶν δικαστῶν κελεύσαντες πατέρας προδιδόναι παῖδας· οὐδὲν γὰρ ἡμῖν διαφέρει, φησὶν, ἄν τε σφάξῃ τις, ἄν τε παραδῷ πρὸς σφαγὴν τὸν υἱόν· καὶ γὰρ οὗτος κἀκεῖνος παιδοκτόνος ἐστίν. Ἦν τοίνυν ἰδεῖν πατραλοίας, παιδοκτόνους, ἀδελφοκτόνους, θορύβου καὶ ταραχῆς πάντα ἐμπεπλησμένα· ἀλλ' αἱ γυναῖκες γαλήνης βαθείας ἀπῆλαυον. Ἐτείχιζε γὰρ αὐτὰς πάντοθεν ἡ τῶν μελλόντων ἐλπὶς, ἐπεὶ καὶ ἐν ξένῃ οὖσαι οὐκ ἦσαν ἐν ξένῃ· εἶχον γὰρ ἀληθινὴν πατρίδα τὴν πίστιν, εἶχον οἰκείαν πόλιν τὴν ὁμολογίαν, καὶ ἐλπίσι συντρεφόμεναι χρησταῖς οὐδενὸς ἠσθάνοντο τῶν παρόντων· τὰ γὰρ μέλλοντα μόνον ἐώρων. Τῶν δὴ πραγμάτων ἐν τούτοις ὄντων, ἐφίσταται ὁ πατὴρ ἐν ἐκείνῃ τῇ πόλει στρατιώτας ἔχων πρὸς τὴν σύλληψιν τῆς θήρας· ἐφίσταται ὁ πατὴρ καὶ ἀνὴρ, πατὴρ μὲν τῶν θυγατέρων, ἀνὴρ δὲ τῆς γυναικὸς, εἴ γε πατέρα ἢ ἄνδρα τὸν τὰ τοιαῦτα διακονούμενον χρὴ καλεῖν. Μᾶλλον δὲ φεισώμεθα αὐτοῦ καθόσον οἷόν τε· καὶ γὰρ πατὴρ ἐγένετο μαρτύρων, καὶ ἀνὴρ μάρτυρος· μὴ δὴ χαλεπώτερον αὐτοῦ ποιήσωμεν τὸ τραῦμα ταῖς παρ' ἑαυτῶν κατηγορίαις.

ς'. Σὺ δέ μοι σκόπει τὴν σύνεσιν τῶν γυναικῶν· καὶ γὰρ ὅτε φυγεῖν ἔδει, ἔφυγον, καὶ ὅτε εἰς τοὺς ἀγῶνας ἐμβῆναι ἐχρῆν, ἔστησαν, καὶ ἠκολούθουν δεδεμέναι τῷ τοῦ Χριστοῦ πόθῳ· ὥσπερ γὰρ οὐ δεῖ πειρασμοὺς ἐπισπᾶσθαι, οὕτως, ὅταν ἐπιστῶσιν, ἀγωνίζεσθαι [c] [643] χρὴ, ἵνα καὶ ἐκεῖθεν τὴν ἐπιείκειαν, καὶ ἐντεῦθεν τὴν ἀνδρείαν ἐπιδειξώμεθα· ὃ δὴ καὶ ἐκεῖναι τότε ἐποίουν· καὶ ἐπανῆλθον, καὶ ἠγωνίζοντο. Καὶ γὰρ ἠνεῴγει τὸ στάδιον, καὶ ὁ καιρὸς ἐκάλει πρὸς τὰ παλαίσματα· ὁ δὲ τῶν ἀγώνων τρόπος τοιόσδε ἐγένετο.

Ἦλθον εἰς πόλιν Ἱεράπολιν καλουμένην, κἀκεῖθεν ἀληθῶς εἰς τὴν ἱερὰν πόλιν ἀνέδραμον διὰ τοιαύτης μηχανῆς. Ποταμὸς παρέρρει τὴν ὁδὸν ἐκείνην, καθ' ἣν ἐπανῆλθον, καὶ λαθοῦσαι τοὺς στρατιώτας ἀριστοποιουμένους καὶ μεθύοντας· τινὲς δέ φασιν, ὅτι καὶ τὸν πατέρα λαβοῦσαι συνεργὸν πρὸς τὸ τοὺς στρατιώτας ἀπατῆσαι, καὶ πείθομαι· τάχα γὰρ διὰ τοῦτο ταῦτα ἔπραξεν, ἵνα τινὰ ἀπολογίαν μικρὰν γοῦν διὰ τῆς προδοσίας ταύτης δυνηθῇ προαποθέσθαι ἑαυτῷ εἰς τὴν ἡμέραν τῆς κρίσεως, τὸ συμπρᾶξαι, καὶ βοηθῆσαι, καὶ εὐκολώτερον ποιῆσαι τὸν ἐπὶ τὸ μαρτύριον δρόμον· λαβοῦσαι τοίνυν αὐτὸν συνεργὸν, καὶ δι' ἐκείνου δυνηθεῖσαι παραχρούσασθαι τοὺς στρατιώτας, εἰσῆλθον εἰς τὸν ποταμὸν μέσον, καὶ ἀφῆκαν ἑαυτὰς κατὰ τῶν ῥευμάτων ἐκείνων. Εἰσῆλθε μήτηρ μετὰ δύο θυγατέρων· ἀκουέτωσαν καὶ μητέρες καὶ παρθένοι, καὶ αἱ μὲν οὕτω πειθέσθωσαν μητράσιν, αἱ δὲ οὕτω παιδευέτωσαν θυγατέρας, οὕτω φιλείτωσαν τὰ παιδία· εἰσῆλθε τοίνυν μέση ἡ μήτηρ, ἑκατέρωθεν κατέχουσα τὰς θυγατέρας, ἡ τὸν ἄνδρα ἔχουσα μέσον τῶν ἀπειρογάμων, καὶ ἦν τῆς παρθενίας μέσος ὁ γάμος, καὶ μέσος αὐτῶν ὁ Χριστός. Καθάπερ οὖν ῥίζα δένδρου δύο βλαστοὺς ἔχουσα ἑκατέρωθεν ἑστῶτας, οὕτω καὶ ἡ μακαρία τότε ἐκείνη ἑκατέρωθεν αὐτῆς ἔχουσα τὰς παρθένους εἰσῄει, καὶ κατὰ τῶν ὑδάτων αὐτὰς ἠφίει, καὶ ἀπεπνίγοντο οὕτω· μᾶλλον δὲ οὐκ ἀπεπνίγοντο, ἀλλ' ἐβαπτίζοντο βάπτισμα καινὸν καὶ παράδοξον. Καὶ εἰ βούλει μαθεῖν, ὅτι βάπτισμα ἦν σαφὲς τὸ τότε γενόμενον, ἄκουσον πῶς ὁ Χριστὸς τὸν θάνατον τὸν ἑαυτοῦ βάπτισμα καλεῖ. Τοῖς γὰρ τοῦ Ζεβεδαίου παισὶ διαλεγόμενος, *Τὸ μὲν ποτήριόν μου πίεσθε*, φησὶ, *καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε.* Ποῖον δὲ βάπτισμα ἐβαπτίσθη ὁ Χριστὸς μετὰ τὸ Ἰωάννου βάπτισμα, ἀλλ' ἢ τὸν θάνατον καὶ τὸν σταυρόν; Ὥσπερ οὖν Ἰάκωβος οὐχὶ σταυρωθεὶς, ἀλλὰ μαχαίρᾳ τὴν κεφαλὴν ἀποθέμενος τὸ βάπτισμα ἐβαπτίσθη τοῦ Χριστοῦ, οὕτω καὶ αὗται, εἰ καὶ μὴ ἐσταυρώθησαν, ἀλλὰ δι' ὕδατος τελειωθεῖσαι τὸ βάπτισμα ἐβαπτίσθησαν τοῦ Χριστοῦ· ἐβάπτισε δὲ αὐτὰς ἡ μήτηρ. Τί λέγεις; γυνὴ βαπτίζει;

[a] Savil. προειδώς.
[b] Morel. solus ταραχῆς τότε.
[c] Savil. et Reg. ὅταν ἐπιστῇ ἡ πεῖρα, ἀγων. Utraque lectio quadrat.

Tu vero mihi hoc loco verborum Christi recordare, ejusque prædictionem admirare : siquidem cuncta ista quondam prædixerat. *Tradet enim*, inquit, *frater fratrem, et pater filium, et insurgent filii in parentes* (*Matth.* 10. 21). Tum vero illa propter hæc tria prædicebat : primum quidem, ut ejus virtutem noscamus, eumque verum esse Deum, qui ea quæ nondum contigerint, multo ante prævideat. Ut enim intelligas eum propterea res futuras prædixisse, ipsum dicentem audi : *Propterea hæc dixi vobis prius quam fiant, ut cum facta fuerint, credatis, quia ego sum* (*Joan.* 14. 29). Deinde vero ne quis adversariorum hæc eo neseiente, vel ob imbecillitatem sinente fieri dicat; qui enim multo ante prævidit, potuit etiam impedire : non impedivit autem, ut fierent insigniores coronæ. Hac de causa prædixit hæc ; sed ob aliam quoque tertiam prænuntiavit. Quænam tandem illa ? Ut facilius certamen iis redderet, qui in stadio versantur : nam quæ inexspectata sunt mala, quæcumque illa tandem sint gravia et intoleranda videntur ; quæ vero præstolamur, et ad quæ nos excipienda comparamus, levia faciliaque redduntur. Qui tum itaque talia mandabant adversarii, cum suam crudelitatem declarabant, tum prophetiæ Christi nescientes testimonium dicebant, et fratres tradebantur a fratribus, et a patribus filii, sibique ipsi natura bellum inferebat : in seipsam cognatio scindebatur, omnes leges funditus evertebantur, omnia tumultu quodam et perturbatione replebantur, et a dæmonibus domus tum cognato sanguine complebantur. Nam qui filium tradidit pater, omnino etiam jugulavit : licet enim ensem non impulerit, neque dextera cædem patrarit, tamen animi sententia rem omnem peregit : nam qui percussori hominem necandum tradidit, homicidium ipse commisit. Efficiamus igitur, ut liberos suos occidant, aiebant dæmones ; reddamus filios per proditionem parricidas : tales enim olim illis victimæ immolabantur, et patres filios mactabant. Atque hæc propheta clamabat dicens, *Immolaverunt filios suos, et filias suas dæmoniis* (*Psal.* 105. 37) : et ejusmodi sanguinem sitiebant.

Edicto jubentur parentes filios deferre.—Quando ergo exsecrabilia ista et abominanda sacrificia Christus inhibuerat, renovare rursus illa contendebant ; verum impudenter quidem et aperte dicere, Filios vestros mactate, non audebant : nullus enim illis morem gessisset : sed alia ratione edictum concinnant, ac legem comminiscuntur : per judices imperant, ut parentes filios prodant : nihil enim nostra interest sive mactet quis, sive mactandum filium tradat : nam et hic et ille liberorum est interfector. Videre igitur erat parricidas, liberorum interfectores, fratricidas ; tumultus ac perturbationis omnia plena erant : at mulieres alta tranquillitate fruebantur : siquidem undique illas spes futurorum muniebat, quoniam et peregre cum degerent, peregre non degebant : veram enim patriam fidem habebant, civitatem propriam habebant confessionem, et cum optima ape alerentur, nullis rebus præsentibus afficiebantur : futura namque solum spectabant. Hoc igitur in statu cum res essent, in illam urbem advenit pater militibus ad capiendam prædam stipatus : advenit pater, et maritus ; filiarum quidem pater, uxoris autem maritus : siquidem patrem aut maritum eum appellari oportet, qui ejusmodi in rebus ministerium suum impenderet. At enim parcamus illi, quantum fieri potest, quandoquidem pater martyrum, et maritus martyris fuit ; neque dolorem vulneris ejus criminibus nostris augeamus.

6. Tu vero mihi mulierum prudentiam considera : cum enim fugiendum erat, fugerunt : cum ineunda erant certamina, constiterunt, et amore Christi victæ sequebantur : ut enim tentationes accersendæ non sunt, ita cum advenerint decertandum est, ut inde nostræ lenitatis, hinc nostræ fortitudinis specimen edamus ; id quod et illæ tum fecerunt : et reversæ sunt, ac decertarunt. Etenim apertum fuerat stadium, et ad certamina tempus invitabat ; genus autem agonis fuit ejusmodi.

Hierapolim perveniunt, urbem Asiæ minoris. Christo comite se in flumen projiciunt. Baptismum appellat mortem in martyrio obitam. — Venerunt in urbem Hierapolim nomine, indeque vere ad sacram urbem tali machina subvectæ ascenderunt. Viam illam, qua redibant, fluvius præterfluebat clam militibus, qui prandium sumebant et inebriabantur : sunt etiam qui dicant conscio et adjutore patre illas usas esse, ut milites fallerent, quod et credo : fortassis enim hoc ideo fecit, ut exigua saltem excusatione proditionis hujus gratia in die judicii saluti suæ provideret, quod operam commodarit, et adjuverit, atque ad martyrium faciliorem cursum reddiderit : illo igitur in auxilium ascito, et cum ejus opera milites amovere potuissent, in medium flumen ingressæ sunt, seque ipsas in illa fluenta demiserunt. Ingressa est cum geminis filiabus mater : audiant et matres et virgines, hæ quidem sic matribus pareant, illæ vero filias sic instituant, ita liberos diligant. Ingressa est itaque media mater utrimque filias secum habens ; quæ virum habebat in medio innuptarum : eratque in medio virginitatis matrimonium, et ipsarum in medio Christus. Sicut igitur radix arboris binis stolonibus utrimque stantibus vallata, sic utrimque beata illa virginibus stipata intrabat, et in aquas illas mittebat, itaque sunt suffocatæ, vel novo potius et inusitato baptismate baptizatæ. Ac si nosse velis clarum illud fuisse baptisma quod gestum est, audi quomodo mortem suam baptisma Christus appellet : filios enim alloquens Zebedæi, *Calicem quidem meum bibetis*, inquit, *et baptismo, quo ego baptizor, baptizabimini* (*Marc.* 10. 38). Quo vero baptismo baptizatus est Christus post Joannis baptismum, nisi morte ac cruce ? Ut igitur Jacobus non cruci affixus, sed capite truncatus ense, baptismo baptizatus est Christi : sic et istæ licet crucifixæ non fuerint, sed ab aquis necatæ, Christi sunt baptismate baptizatæ. Porro illas mater baptizavit. Quid ais ? mulier baptizat ? Sane quidem baptismatibus ejusmodi mulieres etiam bapti-

zant, quemadmodum et illa utique et baptizavit, et sacerdos est facta : siquidem victimas ratione præditas obtulit, et animi propositum illi ordinationis locum supplevit : quodque mirum est, non indiguit altari, cum sacrificaret, nec lignis, nec igne, nec gladio : fluvius enim illi omnium loco fuit, et altaris, et lignorum, et gladii, et ignis, et sacrificii, et baptismi, baptismi quidem multo evidentioris hoc baptismo[1]. Nam de hoc quidem ait Paulus : *Complantati facti sumus similitudini mortis ejus* (*Rom.* 6. 5) : de baptismo vero martyrum non jam similitudini ejus ait, sed configurari nos morti ejus (*Philipp.* 3. 10). Inducebat itaque filias mater non quasi in fluvium inductura, sed quasi in thalamos illas deduceret : inducebat utraque ex parte tenens dicensque, Ecce ego et puellæ meæ, quas dedit mihi Deus (*Isai.* 8. 18) : tu eas mihi dedisti, tibi ego illas commendo, res meas et me ipsam. Itaque duplex fuit mulieris martyrium, imo vero triplex : nam per seipsam semel, per filias suas bis martyrium passa est : et quemadmodum cum seipsam immittere debuit, multa illi fuit opus tolerantia : sic et ubi secum puellas traxit, altera tanta indiguit tolerantia, imo vero multo majori ; non enim adeo mulieres solent dolere, cum ipsæ morituræ fuerint, ut cum illarum filiæ passæ hoc fuerint. Itaque graviori per filias hæc martyrio cruciata est, cum ad reprimendam naturæ vim se accinxit, cum materni amoris flammæ restitit, et intolerabili viscerum conturbationi atque uteri commotioni. Si enim filiam unam quæpiam cernens morientem, acerbam existimat vitam suam, hæc duas filias confertim non intuens morientes, sed ad mortem propria manu trahens, cogita quæ martyria exhiberet ea, quæ id quod etiam auditu cæteris est intolerabile, reipsa perferret. Ac milites quidem penitus inscii tamquam rursus eas recepturi exspectabant, illæ vero cum Christi militibus cælestibus angelis jam tum erant ; quod custodes non videbant, quippe qui fidei oculos non haberent. Etenimvero de matre inquit Paulus, *Salvabitur per filiorum generationem* (1. *Tim.* 2. 15) : hic autem filiæ per matrem salvæ sunt factæ. Sic nimirum parere matres oportet. Hic enim partus illo priori melior est, in quo dolores quidem acerbiores sunt, at majus lucrum percipitur. De illis partus doloribus, quotquot matres fuerunt, noverunt quos dolores illud inurat, cum filias videris mortem obeuntes ; ut autem ipsa manu tua cædem perpetres, quam grave sit, exprimi verbis non potest.

7. *Cur Domina judicium non exspectaverit. Affectum matrum erga filias amplificat.* — At enim qua de causa in judicium non venit mulier ? Voluit ante pugnam tropæum erigere, ante certamina coronam abripere, ante luctas præmia reportare : non quod tormenta reformidaret, sed ne illæ oculis lascivorum paterent : non metuebat, ne quis latera ipsi effoderet, sed ne quis filiarum corrumperet virginitatem, timebat. Atque hoc eam, non illo fuisse timore correptam, et ideirco in judicium non venisse, inde manifestum est. Multo graviores in flumine cruciatus toleravit : multo enim gravius est et acerbius, ut ante dixi, propria viscera, filias inquam, manu sua demergere, ac suffocari cernere, quam lacerari carnem videre, multoque illi minori opus erat philosophia, quam ad tormenta toleranda, ut puellarum tenere dexteras et ad fluminis fluenta pertrahere secum posset. Neque enim par ad dolorem inurendum momentum affert ab aliis cernere divexatas, et ipsam morti inservire, ipsam fieri necis administram, ipsam filiabus carnificis vices obire : sed hoc multo illo gravius est et intolerabilius. Huic orationi meæ testimonium dicetis omnes, quotquot matres fuistis, quæ partus dolores expertæ estis, ac filias suscepistis. Quomodo puellarum dexteram arripuit ? qui fieri potuit, ut manus non obtorpesceret ? quomodo non resoluti sunt nervi ? quomodo mens de statu dejecta non est ? qui potuit ratio iis quæ gerebantur inservire ? Sexcentis enim tormentis facinus illud acerbius fuit, cum corporis loco ejus anima discruciaretur. Verum quousque tandem ea persequi contendemus, quæ nemo assequi potest ? nulla quippe passionis magnitudinem oratio posset exprimere, sed ea sola, quæ experta est ac decertavit, mulier novit, cujusmodi sint ista certamina. Audiant ista matres, audiant virgines : matres quidem, ut filias suas sic instituant ; virgines autem, ut ita matribus obsequantur. Non enim tantum laudare convenit matrem, quæ talia jusserit, sed et filias commendare, quæ in ejusmodi rebus paruerint : nam neque mater vinculis eguit ad hostias victimasque, neque juvencæ resilierunt, sed æquali mentis alacritate et animo eodem martyrii jugum trahentes, sic fluvium sunt ingressæ, calceamentis extra fluminis ripam derelictis : quod ideo fecerunt, ut custodibus ipsis consulerent ; tanta erat sanctarum illarum providentia. Studebant scilicet illis defensionis in judicio ansam relinquere : ne crudelis ille ac sævus judex eos proditionis accusaret, aut quod pecunia corrupti mulieres dimisissent ; idcirco calceamenta reliquerunt, quæ militum conscientiæ testificarentur, quod non illis consciis, sed ignorantibus in flumen sponte prosiliissent. Fortasse non mediocri erga sanctas illas amore exarsistis ; cum hoc igitur ardore coram ipsarum reliquiis procidamus, ipsarum capsulas complectamur ; multam enim possunt virtutem capsulæ martyrum obtinere, quemadmodum et ossa martyrum vim magnam habent. Neque die tantum hujus festivitatis, sed aliis etiam diebus iis assideamus, eas obsecremus, obtestemur, ut patronæ sint nostræ ; multam enim fiduciam obtinent non viventes modo, sed et mortuæ ; multoque magis cum sunt mortuæ. Jam enim stigmata ferunt Christi ; cum autem stigmata hæc ostenderint, omnia Regi possunt persuadere. Quando igitur tanta illæ virtute pollent, tantaque apud eum amicitia, cum continua velut obsessione ac perpetua illarum visitatione familiaritatem nos illarum insinuaverimus, ipsarum opera Dei misericordiam impetremus ; quam nobis omnibus assequi contingat, gratia Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, una cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

[1] Sic legitur in Savil. In Montef. autem, *eademque res sacrificium exstitit et baptismus evidentior hoc baptismo.*

Ναὶ, τὰ τοιαῦτα βαπτίσματα καὶ γυναῖκες βαπτίζουσι, καθάπερ οὖν καὶ ἐκείνη τότε καὶ ἐβάπτισε, καὶ ἱέρεια γέγονε· καὶ γὰρ θύματα προσήγαγε λογικὰ, καὶ χειροτονία αὐτῇ ἡ προαίρεσις γέγονε· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐκ ἐδεήθη θυσιαστηρίου θύουσα, οὐδὲ ξύλων, οὐδὲ πυρὸς, οὐδὲ μαχαίρας· πάντα γὰρ ἐγένετο ὁ ποταμὸς, καὶ θυσιαστήριον, καὶ ξύλα, καὶ μάχαιρα, καὶ πῦρ, καὶ θυσία, καὶ βάπτισμα, βάπτισμα πολλῷ τούτου [a] τοῦ βαπτίσματος σκφέστερον. Περὶ μὲν γὰρ τούτου φησὶ Παῦλος· *Σύμφυτοι γεγόναμεν* [b] *τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ*· περὶ δὲ τοῦ βαπτίσματος τῶν μαρτύρων [644] οὐκ ἔτι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ λέγει, ἀλλ' ὅτι συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ. Εἰσῆγε τοίνυν τὰς θυγατέρας ἡ μήτηρ, οὐχ ὡς εἰς ποταμὸν μέλλουσα εἰσάγειν, ἀλλ' ὥσπερ εἰς τὰς ἱερὰς αὐτὰς παστάδας χειραγωγοῦσα· εἰσῆγεν ἑκατέρωθεν κατέχουσα καὶ λέγουσα· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ ἐμοὶ ἔδωκεν ὁ Θεός· σύ μοι τὰ ἐμὰ ἔδωκας, σοὶ αὐτὰ παρακατατίθεμαι, τὰ ἐμαυτῆς καὶ ἐμαυτήν. Καὶ οὕτω διπλοῦν ἐγένετο τὸ τῆς γυναικὸς μαρτύριον, μᾶλλον δὲ τριπλοῦν· διὰ μὲν γὰρ ἑαυτῆς ἅπαξ, διὰ δὲ τῶν δύο θυγατέρων ὃς ἐμαρτύρησε· καὶ ὥσπερ ἡνίκα ἑαυτὴν ἀφιέναι ἔμελλε, πολλῆς αὐτῇ τῆς ὑπομονῆς ἔδει, οὕτω καὶ ὅτε τὰ παιδία μεθ' ἑαυτῆς εἵλκεν, ἑτέρας τοσαύτης ἔχρῃζεν ὑπομονῆς, μᾶλλον δὲ πολλῷ πλείονος· οὐ γὰρ οὕτως αἱ γυναῖκες ἀλγεῖν εἰώθασιν, ἐπειδὰν αὐταὶ μέλλωσι τελευτᾷν, ὡς ὅταν αἱ θυγατέρες αὐτῶν τοῦτο πάσχωσιν. Ὥστε μειζόνως διὰ τῶν θυγατέρων ἐμαρτύρησεν αὕτη, καὶ πρὸς αὐτὴν ἀπεδύσατο τῆς φύσεως τὴν τυραννίδα, καὶ πρὸς τὴν φλόγα τῶν ὠδίνων ἔστη, καὶ πρὸς τὴν ἀφόρητον τῶν σπλάγχνων ταραχὴν, καὶ πρὸς τὸν τῆς μήτρας θόρυβον. Εἰ γὰρ θυγατέρα μίαν τις ἀποθνήσκουσαν ὁρῶσα ἀβίωτον ἡγεῖται τὸν βίον, αὕτη τὰς δύο θυγατέρας ἀθρόον [αὐτῇ] οὐχὶ ὁρῶσα ἀποθνησκούσας, ἀλλὰ διὰ τῆς οἰκείας χειρὸς πρὸς τὸν θάνατον ἕλκουσα, ἐννόησον ὅσα ἐπεδείκνυτο τὰ μαρτύρια, ἃ μηδὲ ἀκοῦσαι ἑτέροις φορητὸν, διὰ τῶν πραγμάτων ὑπομείνασα ἐκείνη. Οἱ μὲν οὖν στρατιῶται τούτων οὐδὲν εἰδότες ἕμενον ὡς λῃψόμενοι πάλιν αὐτὰς, ἐκεῖναι δὲ ἦσαν μετὰ τῶν τοῦ Χριστοῦ στρατιωτῶν λοιπὸν τῶν οὐρανίων ἀγγέλων· οἱ δὲ τηροῦντες οὐκ εἶδον· οὐ γὰρ εἶχον τοὺς τῆς πίστεως ὀφθαλμούς. Ὁ μὲν οὖν Παῦλός φησι περὶ τῆς μητρὸς, ὅτι *Σωθήσεται διὰ τῆς τεκνογονίας*· ἐνταῦθα δὲ αἱ θυγατέρες διὰ τῆς μητρὸς διεσώθησαν. Οὕτως ὠδίνειν χρὴ τὰς μητέρας. Καὶ γὰρ αὗται αἱ ὠδῖνες τῶν προτέρων βελτίους, πικροτέραν μὲν ὀδύνην, μεῖζον δὲ ἔχουσαι κέρδος. Ἐκείνων ἴσασι τῶν ὠδίνων, ὅσαι μητέρες ἐγένοντο, οἷαι αἱ ὠδῖνες θυγατέρας ἰδεῖν ἀποθνησκούσας· τὸ δὲ καὶ αὐτὴν αὐτόχειρα γενέσθαι τῆς σφαγῆς, ἄφατον ἔχει τὴν ὑπερβολήν.

ζ'. Ἀλλὰ τίνος ἕνεκεν οὐκ ἦλθεν εἰς τὸ δικαστήριον ἡ γυνή; Πρὸ τῆς μάχης ἐβουλήθη τὸ τρόπαιον λαβεῖν, πρὸ τῶν ἀγώνων τὸν στέφανον ἁρπάσαι, πρὸ τῶν παλαισμάτων δέξασθαι τὰ βραβεῖα, οὐ βασάνους δεδοικυῖα, ἀλλὰ τοὺς ἀκολάστους τῶν ἀπίστων ὀφθαλμούς· οὐκ ἐφοβεῖτο, μή τις αὐτῇ διορύξῃ τὰς πλευρὰς, ἀλλ' ἐδεδοίκει, μή τις τῶν θυγατέρων διαφθείρῃ τὴν παρθενίαν. Καὶ ὅτι τοῦτον ἐδεδοίκει τὸν φόβον, οὐκ ἐκεῖνον, καὶ διὰ τοῦτο οὐκ ἦλθεν εἰς τὸ δικαστήριον, δῆλον ἐκεῖθεν. Πολλῷ μείζους βασάνους ὑπέμειναν ἐν τῷ ποταμῷ· καὶ γὰρ τοῦ σάρκα καταξαινομένην ὁρᾷν πολλῷ χαλεπώτερον καὶ ὀδυνηρότερον, καθάπερ ἔφθην εἰπὼν, τὰ οἰκεῖα σπλάγχνα, τὰς θυγατέρας λέγω, διὰ τῆς οἰκείας καταδῦσαι χειρὸς, καὶ ἀποπνιγομένας ἰδεῖν, καὶ τοῦ τὰς βασάνους ἐνεγκεῖν πολλῷ μείζονος ἔδει τῆς φιλοσοφίας αὐτῇ, ὥστε δυνηθῆναι κατασχεῖν τὰς δεξιὰς τῶν παιδίων, καὶ συνεφελκύσασθαι μεθ' ἑαυτῆς πρὸς τὰ ῥεύματα τοῦ ποταμοῦ. Οὐδὲ γὰρ ἴσον εἰς ὀδύνης λόγον ὑφ' ἑτέρων κακῶς πασχούσας ὁρᾷν, καὶ αὐτὴν διακονεῖσθαι τῷ θανάτῳ, αὐτὴν ὑπουργὸν γενέσθαι τῆς [645] τελευτῆς, αὐτὴν ἀντὶ δημίου καταστῆναι ταῖς θυγατράσιν· ἀλλὰ πολλῷ τοῦτο ἐκείνου χαλεπώτερον καὶ ἀφορητότερον. Καὶ μαρτυρήσετέ μου τῷ λόγῳ πᾶσαι ὅσαι μητέρες ἐγένεσθε, καὶ πεῖραν ὠδίνων ἐλάβετε, καὶ θυγατέρας ἐσχήκατε. Πῶς ἥψατο τῆς δεξιᾶς τῶν παιδίων; πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἐλύθη τὰ νεῦρα; πῶς οὐκ ἐξέστησαν αἱ φρένες; πῶς ἴσχυσεν ὁ λογισμὸς ὑπηρετήσασθαι τοῖς γινομένοις; Καὶ γὰρ μυρίων βασάνων πικρότερα ἦν τὰ γινόμενα, ἀντὶ τοῦ σώματος τῆς ψυχῆς αὐτῇ διαξαινομένης. Ἀλλὰ μέχρι τίνος φιλονεικοῦμεν διώκειν ἀκίνητα; οὐδεὶς γὰρ παραστῆσαι δυνήσεται λόγος τοῦ πάθους τὸ μέγεθος, ἀλλὰ μόνη ἡ πεῖραν λαβοῦσα καὶ ἀγωνισαμένη γυνὴ οἶδεν, ὁποῖα ταῦτά ἐστι τὰ παλαίσματα. Ταῦτα ἀκουέτωσαν μητέρες, ἀκουέτωσαν παρθένοι, μητέρες μὲν ἵνα οὕτω παιδεύωσι τὰς θυγατέρας, παρθένοι δὲ ἵνα οὕτω πείθωνται ταῖς μητράσιν. Οὐ γὰρ δὴ μόνον τὴν μητέρα ἐπαινεῖν χρὴ τὴν τοιαῦτα ἐπιτάξασαν, ἀλλὰ καὶ τὰς θυγατέρας θαυμάζειν, αἳ τὰ τοιαῦτα ὑπήκουσαν· οὔτε γὰρ ἡ μήτηρ ἐδεήθη δεσμῶν πρὸς τὰ ἱερεῖα καὶ τὰ θύματα, οὔτε αἱ δαμάλεις ἐσκίρτησαν, ἀλλ' ἴσῃ τῇ προθυμίᾳ καὶ ψυχῇ τὸν ζυγὸν ἕλκουσαι τοῦ μαρτυρίου, οὕτως εἰσῆσαν εἰς τὸν ποταμὸν τὰ ὑποδήματα ἔξω τῆς ὄχθης ἀφεῖσαι· τοῦτο δὲ ἐποίουν, φειδόμεναι τῶν φυλάκων· τοσαύτη ἡ πρόνοια τῶν ἁγίων ἐκείνων ἦν. Καταλιπεῖν γὰρ αὐτοῖς ἀπολογίαν ἐσπούδαζον εἰς τὸ δικαστήριον, ἵνα μὴ ὁ ὠμὸς καὶ ἀπηνὴς δικαστὴς ἐκεῖνος ἐγκαλεῖν ἔχῃ προδοσίαν, καὶ ὅτι λαβόντες ἀργύριον τὰς γυναῖκας ἀφῆκαν· διὰ τοῦτο κατέλιπον τὰ ὑποδήματα τῇ γνώμῃ μαρτυροῦντα τῶν στρατιωτῶν, ὅτι οὐκ εἰδότων αὐτῶν, ἀλλ' ἀγνοούντων πρὸς τὸν ποταμὸν ἠὐτομόλησαν. Τάχα πολὺς ὑμῖν ἐγένετο πόθος τῶν ἁγίων ἐκείνων· μετὰ τούτου τοίνυν τοῦ πυρὸς προσπέσωμεν αὐτῶν τοῖς λειψάνοις· συμπλακῶμεν αὐτῶν ταῖς θήκαις· δύνανται γὰρ καὶ θῆκαι μαρτύρων πολλὴν ἔχειν δύναμιν, ὥσπερ οὖν καὶ τὰ ὀστᾶ τῶν μαρτύρων πολλὴν ἔχει τὴν ἰσχύν. Καὶ μὴ μόνον ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς ταύτης, ἀλλὰ καὶ ἐν ἑτέραις ἡμέραις προσεδρεύωμεν αὐταῖς, παρακαλῶμεν αὐτὰς, ἀξιῶμεν γενέσθαι προστάτιδας ἡμῶν· πολλὴν γὰρ ἔχουσι παῤῥησίαν οὐχὶ ζῶσαι μόνον, ἀλλὰ καὶ τελευτήσασαι· καὶ πολλῷ μᾶλλον τελευτήσασαι. Νῦν γὰρ τὰ στίγματα φέρουσι τοῦ Χριστοῦ· τὰ δὲ στίγματα ἐπιδεικνύμεναι ταῦτα, πάντα δύνανται πεῖσαι τὸν βασιλέα. Ἐπεὶ οὖν τοσαύτη ἡ δύναμις αὐταῖς καὶ ἡ φιλία πρὸς τὸν Θεὸν, τῇ συνεχεῖ προσεδρίᾳ καὶ τῇ διηνεκεῖ πρὸς αὐτὰς ἀφίξει καταστήσαντες ἑαυτοὺς οἰκείους αὐτῶν, ἐπισπασώμεθα δι' αὐτῶν τὴν παρὰ τοῦ Θεοῦ φιλανθρωπίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* Sic nos cum Savilio; Montf. καὶ τὸ αὐτὸ θυσία καὶ βάπτ. τούτου. Edit.

[b] Savil. et Reg. σύμφυτοι ἐγενόμεθα.

IN CONCIONEM DE QUATRIDUANO LAZARO

[646] Hæc homilia nondum, quod sciam, in lucem prodierat : exscripsimusque illam ex vetusto Codice Eminentissimi Cardinalis Ottoboni anno 1699. Est autem Codex mendis non paucis fœdatus, quas alterius Codicis subsidio destituti utcunque sarcire conati sumus. Habita porro est paucis post Resurrectionem Domini diebus; et quidem, ut in fine concionis innuitur, in die festo sanctarum Bernices et Prosdoces atque Domninæ matris earum, qui, ut dicebamus in Monito ad homiliam priorem in easdem sanctas martyres, incidit in 15 Aprilis. Hic autem illas nominatim non memorat Chrysostomus, sed adeo clare indicat, ut perinde certum sit de illis agi atque si ipso nomine appellarentur. Agitur nimirum de matre et duabus filiabus, quæ servandæ fidei pudicitiæque causa post relictam patriam sese in flumen præcipitarunt. Singulare quidpiam hic carptim innuitur, quod in priore de SS. Bernice et Prosdoce homilia non comparet, nempe tyrannum quempiam cælibem virginitatem earum, nempe Domninæ filiarum, tentare voluisse, sed

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΤΕΤΡΑΗΜΕΡΟΝ ΛΑΖΑΡΟΝ.

Πρώτην ὑμῖν, ἀγαπητοί, τὸν πολυανθῆ τοῦ ἔαρος[a] διαπλέκοντες στέφανον, καὶ τὴν ὥραν τοῦ ἔτους καθάπερ ἐν πίνακι τῶν λόγων χαρακτηρίζοντες, οὐ μόνον ἄλση θάλλοντα καὶ λειμῶνας ἀναβλαστάνοντας καὶ αὖρας πρὸς ἀναβίωσιν κατεπειγομένας ἐνεδείκνυμεν, ἀλλὰ καὶ τὴν ἡμετέραν φύσιν κατὰ τὸν καιρὸν τοῦτον τὰ τῆς ἀναστάσεως δεδεγμένην ἀπεφαίνομεν σύμβολα, καὶ πρόσφορόν τινα τῷ καιρῷ ζητοῦντες ὑπόθεσιν, τὸν ἀναζήσαντα Λάζαρον εἱλκύσαμεν. Ἀλλὰ πρὸς τὴν ὑπόσχεσιν διαρκέσαι μὴ δυνηθέντες, κατὰ τὸ πρῶτον ἐγχείρημα τὸν λόγον συνεπεράναμεν· καὶ πρὸ πάντων ἐπιζητήσαντες, τίνος χάριν ὑπὸ τῶν λοιπῶν εὐαγγελιστῶν ὁ Λάζαρος σιγηθείς, Ἰωάννῃ μόνῳ συγγέγραπται, ἐλέγομεν, ὅτι τὴν ὑποψίαν[b] πλάσματος προϋποτεμνόμενον τὸ Πνεῦμα τὸ ἅγιον συνεχώρησε τοῖς εὐαγγελισταῖς ἐκ συνόδου τε καὶ συμφωνίας τὰ τοῦ Σωτῆρος ἀναγεγραφηκέναι τὰ θαύματα, ἀλλὰ καὶ παραλιπεῖν ἄλλον ἄλλο τι παρεσκεύασεν, ἐναργὲς τεκμήριον ποιούμενον, τὸ[c] μὴ κακούργως, μηδὲ ἐκ παρασκευῆς, μηδὲ ἐκ συνθήματος. μηδὲ πρὸς χάριν αὐτοῖς συγγεγράφθαι τὰ εὐαγγέλια, καὶ ὥστε πάντα, ὅταν τὸ φαινόμενον ἐλλείψῃ, τὴν ἀπερίεργον [647] ἀλήθειαν σαφηνίζειν. Ἀλλὰ τούτων ἱκανῶς τότε προκατασκευασθέντων ἡμῖν, σκοπήσωμεν τίς ἡ κατὰ τὸν Λάζαρον θαυματουργία τοῖς εὐαγγελισταῖς[d] εὔκαιρος χρεία. Πολλὰ πρὸς τοὺς μαθητὰς πολλάκις περὶ τοῦ πάθους διαλεχθεὶς ὁ Σωτὴρ, ναρκῶντας ἑώρα, καὶ πρὸς τοιαύτην ἀκοὴν ὑποφρίττοντας, καὶ ἀσθενείας μᾶλλον ἢ οἰκονομίας τὸ προμηνυόμενον πάθος ὑπολαμβάνοντας, καὶ ἀνθρωπίνοις ἔτι λογισμοῖς ῥιπιζομένους καὶ τρέμοντας. Διὰ τοῦτο ἤδη τοῦ πάθους πλησιάζοντος, καὶ τοῦ σταυροῦ μέλλοντος πήγνυσθαι, ἀνίστησιν ἀποθανόντα τὸν Λάζαρον, ἵνα ἔργῳ διδάξῃ τοὺς μαθητευομένους, ὡς οὐκ ἀσθενείας ὁ σταυρὸς καὶ ὁ θάνατος, ἵνα πείσῃ τοὺς παρόντας, ὅτι θανάτῳ μὲν ἐπιτάττει, καὶ ψυχὴν ἀναλαλεῖται τῶν γηΐνων ἀπολυθεῖσαν δεσμῶν. Σκοπῷ δέ τινι τὸν ἑκούσιον ὑφίσταται θάνατον, καὶ τάχα δὲ προδιαγράφων ἐν τῷ Λαζάρῳ τὴν μετὰ τρεῖς ἡμέρας ἀνάστασιν, καὶ τῇ συντόμῳ προθεσμίᾳ τῆς ὑπὸ γῆν διατριβῆς τοὺς μικροψύχους παραμυθησάμενος, καὶ ἐν προθύροις τοῦ σταυροῦ τὸν φόβον ἀναγκαίοις τῶν μαθητῶν ὑπεκλύων, καὶ δεικνὺς ὅτι τὸ τῷ ἑτέρῳ παρ' αὐτοῦ χαρισθὲν καὶ αὐτῷ παρ' ἑαυτοῦ ῥᾳδίως ὑπάρξει, διὰ αὐτῶν τῶν[e] ἔργων ἀμφιβάλλοντας νουθετῶν, καὶ τοιούτῳ τρόπῳ φωνὰς τοῖς πράγμασιν περιάπτων, καὶ δι' ὧν ἐποίει σχεδὸν ταῦτα φθεγγόμενος· οὐδαμοῦ τὴν ἀναληφθεῖσαν ἀνθρωπότητα τῆς θείας ἐνεργείας ἄμικτον ἀπολέλοιπα, ἀλλὰ νῦν μὲν ὡς ἄνθρωπος, νῦν δὲ ὡς Θεὸς ἐγὼ, τῇ[f] μὲν φύσιν ὑποδεικνὺς, τῇ δὲ τὴν οἰκονομίαν πιστούμενος, καὶ διδάσκων τὰ μὲν ταπεινότερα προσάπτειν τῇ ἀνθρω-

[a] Sic, postulante sensu, rescribendum fuit; quid enim sibi vult ἄερος στέφανον διαπλέκοντες, antea editum? Edit.

[b] Sic nos, sensu duce; Montf. ὑπορίαν, ed. Venet. ἀπορίαν. Edit.

[c] Omnino legendum τεκμ. τοῦτο ποιούμενον τοῦ. Edit.

[d] Legendum videtur τοῖς μαθηταῖς, nisi malis τῷ εὐαγγελιστῇ. Si hoc postremo modo legatur, sensus erit : *Cui opportuno usui Evangelista Lazari miraculum narret.*

[e] Montf., alieno sensu, τῶν αὐτῶν. Edit.

[f] Montf. τήν, quod correximus. Edit.

AC DE SANCTIS MARTYRIBUS DOMNINA, BERNICE ET PROSDOCE ADMONITIO.

inaccessas fuisse virgines; quod utique licet sileatur in priore, congruit tamen cum eis quæ num. 7 dicuntur : ubi quærens Chrysostomus cur Domnina judicium præverterit, et antequam ante judicem sisteretur cum filiabus sese in flumen præcipitaverit, respondet id fecisse, ne quis filiarum corrumperet virginitatem : quo innuitur judicem seu tyrannum Domninæ filiabus cupiditatis oculos adjecisse. De anno hujus habitæ concionis nihil adhuc expiscari potuimus.

Huic de sanctis mulieribus sermoni præmittit Chrysostomus concionis præteritæ reliquias, ubi quæsitum fuerat cur Joannes solus Evangelistarum de Lazaro quatriduano loquutus esset : postquam vero causam attulit, de Lazaro non pauca solito stylo orationisque genere disserit. Ex tempore autem pronuntiata fuisse videtur hæc concio, ut et aliæ non paucæ, quæ paris sunt brevitatis.

IN QUATRIDUANUM LAZARUM,

ET DE SS. MARTYRIBUS, DOMNINA, BERNICE ET PROSDOCE (*a*).

Cur Evangelistæ non eadem semper omnes describant. Lazari resurrectio Christi resurrectioni fidem facit. — Nuper, dilecti, floridam veris [1] coronam vobis nectentes, et anni tempestatem ceu in tabula sermonis delineantes, non modo nemora ramis ornata, prata florentia et auras ad vitam revocantes exhibuimus; sed naturam quoque nostram hoc tempore resurrectionis symbola nactam ostendimus : atque argumentum tempori congruens perquirentes, redivivum Lazarum attraximus. Verum cum promissa complere non possemus, in primo conatu orationis terminum posuimus; ac cum primo loco quæsivissemus, cur a cæteris evangelistis prætermissus Lazarus, a Joanne solo memoratus fuisset (*Joan.* 11), respondebamus, Spiritum sanctum, ut commenti suspicionem præcideret, permisisse ut evangelistæ quæ ad miracula Servatoris pertinerent concordissime describerent; curasse tamen ut alius aliud quidpiam præteriret : quod signum esset perspicuum ipsos neque callide, deditaque opera, unove consensu, neque ad gratiam Evangelia scripsisse, ita ut omnia, cum quidpiam in aliquo deesset, veritatem sine fuco declararent. At cum hæc tunc a nobis satis pertractata fuerint, inspiciamus quænam ex hoc circa Lazarum miraculo discipulis utilitas promanet. Multa de passione sua discipulis sæpe loquutus Servator, torpentes illos animadvertebat, ob talem narrationem horrentes, atque infirmitatis potius, quam œconomiæ, prænuntiatam passionem esse suspicantes, utpote humanis adhuc ratiociniis agitatos ac trementes. Quapropter cum jam instaret passionis tempus, et jam proximum esset ut crux defigeretur, Lazarum mortuum suscitat, ut opere discipulos doceat, non infirmitatis esse passionem et crucem; ut præsentibus fidem faciat, se et morti imperare, et terrenis vinculis solutam animam revocare : atque secundum aliquem scopum spontaneam mortem suam proponit, forteque in Lazaro suam post triduum resurrectionem prius describit, ac de brevissimo illo tempore quo sub terra versaturus erat imbecilles animo consolatur : atque in crucis limine discipulorum metum opportune solvit, docetque se illam, quam alteri impertit, gratiam sibi ipsi facile procuraturum esse : ipsisque operibus dubios animi commonefacit, rebus gestis vocem quodammodo adaptans, ipsoque facto sic prope loquens : Assumptam humanitatem divina operatione vacuam numquam reliqui; verum nunc ut homo, nunc ut Deus, cum naturam subindicans, tum œconomiæ fidem faciens, docensque humiliora ad humanitatem, sublimiora vero ad divinitatem referenda esse, atque per inæqualem hanc operum temperationem, inæ-

[1] Montef. legit, *acris*, quod absurdum videtur.
(*a*) Ex Codice Eminentissimi Cardinalis Ottoboni.

qualem naturarum unionem interpretans, ac per potestatem in passiones, voluntarias esse passiones meas declarans; ut Deus per jejunium et inediam quadraginta dierum naturam refrenavi; sed postea ut homo defatigatus esurivi: utique ut Deus efferatum mare sedavi; ut homo a diabolo tentatus sum: ut Deus dæmonas expuli; ut homo pro hominibus sum passurus: verum ne suspicemini id per infirmitatem accidere, priusquam mors adveniat, a morte detentum ad vitam revoco: ac postquam divinitatis vim operationemque declaravi, tunc humanitatis antiquum debitum depono; postquam vincula solvi, tunc vinculis alligor: atque rebus ipsis demonstro, me potestatem habere ponendi animam meam, et potestatem habere iterum sumendi eam (*Joan.* 10. 18). Hæc est Servatoris doctrina ipsis operibus exhibita: nisi enim hoc esset, ac nisi quadam ratione suum in Lazaro miraculum concinnasset, nequaquam nuntiata sibi, dum iter ageret, Lazari infirmitate: *Miserunt* enim, ait, *sorores ejus ad Dominum, dicentes, Ecce quem amas infirmatur* (*Joan.* 11. 3); nequaquam sane post nuntium hujusmodi cunctatus esset; sed quemadmodum erga centurionem et Syrophœnissam se gessit, cum illius absentis filium, et hujus pariter absentis filiam sanavit: sic et erga Martham fratris morbum indicantem se gessisset. Nunc vero de industria donec moriatur exspectat, fit mora longior, et ex providentia adventum suum differt, ut victoriam de morte reportatam vel ante mortis certamen ostendat: tribusque diebus moratur, ut mortis veritas palam fiat. Judæis vero præsentibus aperiri sepulcrum jubet, ut testes miraculi redderet eos, qui se pellebant: per orationem autem et Patris invocationem Lazarum suscitat, ne videretur Creatoris legibus repugnare. Ac vide mihi rem plane stupendam: non dixit, Lazare, revivisce; sed quid? *Lazare, veni foras* (*Joan.* 11. 43); ut doceret præsentes, ipsum esse qui vocat ea quæ non sunt, ut ea quæ sunt; ut ostenderet præsentibus, ipsum esse Deum vivorum et non mortuorum; ut demonstraret divinum præceptum a nullo posse obice tardari, simulque præsentibus in memoriam revocaret eum qui dicebat: *Fiat firmamentum. Congregentur aquæ in collectionem unam. Germinet terra herbam fœni. Educant aquæ reptilia animarum viventium* (*Gen.* 1. 6. 9. 11. 20). *Lazare, veni foras:* et hoc ad majorem et firmiorem concurrentium fidem, ut habitus et fasciæ mortem testificarentur, atque obedientia sine mora, metusque a nullo cohibitus Dominicam auctoritatem prædicarent. *Lazare, veni foras:* et solutus erigebatur, et putridus sentiebat, mortuus obediebat, vinctus currebat, qui deflebatur saltabat. Cur clamore nunc utitur Servator? ait quippe evangelista: *Hæc cum dixisset, voce magna clamavit, Lazare, veni foras* (*Joan.* 11. 43). Forte per clamorem futuram resurrectionem subindicavit: nam *Tuba canet*, inquit, *et mortui resurgent* (1. *Cor.* 15. 52). Cum multa mihi de hoc argumento dicenda suppetant, ad aliud pertrahor, et a sepulcro in sepulcrum venire cogor.

Loquitur de SS. Martyribus Domnina, Bernice et Prosdoce. — Opportunum est Lazari sepulcrum cum aliis sepulcris comparatum; neque inopportuna, ut videtur, est mors mulierum ad ipsum sepulcrum celebrata. Illic sepulcrum, et hic quoque sepulcrum; sed Lazari sepulcrum apertum Christi potentiam declarat, mulierum vero sepulcrum clausum et tamen operans, Christi gratiam prædicat: illic mortuus supra naturam ex sepulcro currit, hic mulieres præter naturam ad sepulcra accurrunt: illic divinæ potentiæ signum, hic generosi animi argumentum: illic Lazarus ex portis mortis egreditur, hic femineum genus portas mortis audacter adit: illic post mortem resurrectio, hic vita: illic mors violenter prædatur, hic mors palam calcatur: illum mors mutuo acceptum vitæ festinanter restituit; imo potius, *Acceperunt*, inquit, *mulieres de resurrectione mortuos suos* (*Hebr.* 11. 35), ita jubente Deo; hæ vero ex temporanea vita ad vitam perpetuam transilierunt, mater et filiæ, quæ nos hodie congregaverunt: mater pia, quæ partum sustinuit, et filiæ partus expertes: mater quæ virginitatem solvit ad partum virginum, mater quæ castitatem pepperit, mater quæ secundum legem naturalem virgines enixa est. Qui piis ubique bellum infert tyrannus, qui barbarica cæde in contribulium sanguinem gladium convertit; tyrannus ille qui Christum, quem nequit videre, persequitur; tyrannus qui per ovile se pastorem ipsum deprædari posse confidit; tyrannus qui contra cælum jaculari tentat, qui dilatato Christi regno invidet: tyrannus erat is qui persequebatur et cælebs, inaccessæ vero virgines, quæ concertabant. Pecuniæ diripiebantur, patria relinquebatur: eas pudicitiæ et modestiæ amantes trahebant milites, murorum effossores, qui Nabuchodonosoris imaginem, secundum intelligendi rationem, adorare cogebant (*Dan.* 3). Sed quod Babylonica fornax erga martyrum illam triadem effecit, hic quoque corporis et animæ vincula solvens, animas liberas ut ad cælum volarent dimisit. Rem suscepit serpens ille, qui Evam in paradiso persequutus est, qui simplices innocentesque mores circumvenit: hic cum fluvium cerneret in lavacri piscinam versum, et alveum divino Spiritu perfusum, usque ad ipsum fluvium beatas illas persequutus, ab aquis illis cum igne spirituali commixtis repulsus est; atque fastum suum animo revolvens, veterum machinarum suarum casum deplorabat: falaciis opportunas formidolosasque olim mulieres, jam audacter contra mortem decertantes cernebat, et calcaneum, quem supplantare volebat, a terra in cælum insilientem videbat. Verum postquam tropæa gestantium mulierum laudes sat prosequuti sumus, atque argumento utilia subinde admiscuimus, vetusque sepulcrum novo sepulcro exornavimus, atque miram resurrectionem cum permanente morte junximus, viris vero atque mulieribus exempla ad virtutem et pietatem proposuimus, postquam celebrem obitum, et desideratam resurrectionem ostendimus, gratias agamus Christo, qui potestatem habet vitæ et mortis: cui gloria et imperium, una cum Patre et sancto vivificoque Spiritu, in sæcula sæculorum. Amen.

πότητι, ἀνατιθέναι δὲ τὰ ὑψηλότερα τῇ θεότητι, καὶ διὰ τῆς ἀνίσου ταύτης τῶν ἔργων χράσεως τὴν ἄνισον τῶν φύσεων ἕνωσιν ἑρμηνεύων, καὶ διὰ τῆς κατὰ τῶν παθῶν ἐξουσίας δηλοποιῶν τῶν παθῶν τὸ αὐθαίρετον, ἐχαλίνωσε τὴν φύσιν ὡς Θεὸς, ἐπὶ τεσσαράκοντα ἡμέρας παρατείνας τὴν ἀσιτίαν, ἐπείνασα δὲ μετὰ ταῦτα, καὶ ἐκοπιάθην ὡς ἄνθρωπος· ἀλλ' ὡς Θεὸς θάλατταν λυττῶσαν ἐκοίμησα· ἐπειράθην ὡς ἄνθρωπος ὑπὸ τοῦ διαβόλου, ἀλλ' ὡς Θεὸς ἐπιτάγματι δαίμονας ἀπήλασα· μέλλω πάσχειν ὑπὲρ ἀνθρώπων ὡς ἄνθρωπος, ἀλλ' ἵνα μὴ ἀσθενείας ὑπολάβητε τὸ γινόμενον, πρὸ τοῦ θάνατον ἐπελθεῖν ἀναχαλοῦμαι τὸν ὑπὸ τοῦ θανάτου κρατούμενον, καὶ τὴν τῆς θεότητος ἐνέργειαν προμηνύσας, τότε τῆς ἀνθρωπότητος τὸ ἀρχαῖον ὄφλημα καταβάλλω, καὶ διαλύσας τὰ δεσμὰ, τότε δεσμοῦμαι, καὶ διὰ τῶν πραγμάτων αὐτῶν [ἐπιδείκνυμι] ὅτι ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Αὕτη τοῦ Σωτῆρος ἡ διὰ τῶν ἔργων διδασκαλία· εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ λόγῳ τινὶ τὴν κατὰ τὸν Λάζαρον θαυματουργίαν ἐταμιεύετο, οὐκ ἂν δήπου προαγγελθείσης αὐτῷ κατὰ τὴν ὁδὸν τῆς ἀσθενείας τοῦ Λαζάρου· *Ἀπέστειλαν* γὰρ, φησὶν, *ἀδελφαὶ αὐτοῦ πρὸς τὸν Κύριον λέγουσαι, Ἴδε ὃν φιλεῖς ἀσθενεῖ*· οὐκ ἂν οὖν τι τοιοῦτον ἀκούσας ἐπὶ πλεῖον ἀνεβάλετο, ἀλλ' ὥσπερ ἐπὶ τοῦ ἑκατοντάρχου καὶ τῆς Συροφοινικίσσης ἐποίησεν, καὶ τοῦ μὲν ἀπόντος τὸν παῖδα, τῆς δὲ ἀπούσης τὴν θυγατέρα διέσωσεν· οὕτως ἂν καὶ ἐπὶ τῆς Μάρθας περὶ ἀδελφοῦ δηλούσης [648] ὡς ἀσθενεῖ πεποίηκεν. Νῦν δὲ ἐξεπίτηδες ἀναμένει τὸν θάνατον, καὶ ἐνδιατρίβει ἡ παρολκὴ[a], καὶ τὴν παρουσίαν ἐκ προνοίας ὑπερτίθεται, ἵνα τὴν κατὰ τοῦ θανάτου νίκην πρὸ τῆς τοῦ θανάτου πάλης ἐνδείξηται· καὶ τρεῖς μὲν ἡμέρας ὑπερτίθεται, πρὸς ἔλεγχον τῆς ἀκριβοῦς τελευτῆς. Ἰουδαίων δὲ παρόντων ἀνοίγει τὸν τάφον, ἵνα κήρυκας τοῦ θαύματος ἐργάσηται τοὺς ἐλαύνοντας· δι' εὐχῆς δὲ καὶ τῆς τοῦ Πατρὸς ἐπικλήσεως ἐγείρει τὸν Λάζαρον, ἵνα μὴ δόξῃ τοῖς τοῦ δημιουργοῦ ἀντιτάττεσθαι νόμοις. Καὶ βλέπε μοι τὸ παράδοξον· οὐκ εἶπεν, Λάζαρε, ἀνάζησον, ἀλλὰ τί; *Λάζαρε, δεῦρο ἔξω*, ἵνα διδάξῃ τοὺς παρόντας ὡς οὗτος ἐκεῖνος ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα, ἵνα δείξῃ τοῖς παροῦσιν ὡς οὗτος ἐκεῖνος ὁ θεὸς ζώντων καὶ οὐ νεκρῶν, ἵνα ἐν καιρῷ τὸ ἀπαρεμπόδιστον τοῦ θείου προστάγματος ἐπιδείξηται, καὶ ἀναμνήσῃ τοὺς περιεστῶτας τοῦ λέγοντος· *Γενηθήτω στερέωμα· Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου· Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· Λάζαρε, δεῦρο ἔξω*· καὶ τοῦτο πρὸς μείζω καὶ βεβαιοτέραν πίστιν τῶν συνδραμόντων, ἵνα ἡ μὲν στολὴ καὶ τὰ δεσμὰ τῇ νεκρότητι μαρτυρήσῃ· ἡ δὲ ἀνυπέρβετος ὑπακοὴ, καὶ ὁ ἀνεμπόδιστος φόβος τὴν δεσποτικὴν αὐθεντίαν κηρύξῃ. *Λάζαρε, δεῦρο ἔξω*· καὶ ὁ διαλελυμένος ὠρθοῦτο, καὶ ὁ σεσηπὼς ἠσθάνετο· ὁ νεκρὸς ὑπήκουεν, καὶ ὁ δεσμώτης ἔτρεχεν, καὶ ὁ θρηνούμενος ἐσκίρτα. Διὰ τί δὲ κραυγῇ κέχρηται πρὸς τὸ παρὸν ὁ Σωτήρ; φησὶν γὰρ ὁ εὐαγγελιστὴς, *Ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασεν, Λάζαρε, δεῦρο ἔξω*. Καὶ διὰ τῆς βοῆς τάχα τὴν μέλλουσαν προϋποτυπώσας ἀνάστασιν· *Σαλπίσει* γὰρ, φησὶν, *καὶ οἱ νεκροὶ ἀναστήσονται*. Πολλὰ ἔτι ἔχων λέγειν, ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἔλκομαι, καὶ ἀπὸ τάφου πρὸς τάφον με ἐλθεῖν ἀναγκάζομαι.

[a] Malim legere τῇ παρολκῇ. Edit.

Εὔκαιρος δὲ ἄρα καὶ ὁ τοῦ Λαζάρου τάφος τάφοις ἐξετασθείς· οὐκ ἄκαιρος, ὡς ἔοικεν, καὶ ὁ τῶν γυναικῶν θάνατος ἐπ' αὐτὸν τὸν τάφον ἑορταζόμενος. Τάφος ἐκεῖ, καὶ τάφος ἐνταῦθα· ἀλλ' ὁ μὲν τοῦ Λαζάρου τάφος ἀνοιγόμενος τὴν τοῦ Χριστοῦ δύναμιν ἐμφανίζει, ὁ δὲ τῶν γυναικῶν τάφος κεκλεισμένος καὶ ἐνεργῶν τὴν τοῦ Σωτῆρος χάριν κηρύττει· ἐκεῖ νεκρὸς ὑπὲρ φύσιν τὸν τάφον ἐκτρέχων, ἐνταῦθα γυναῖκες παρὰ φύσιν τοῖς τάφοις προστρέχουσιν· ἐκεῖ θείας δυνάμεως σημεῖον, ἐνταῦθα προαιρέσεως γενναίας τεκμήριον· ἐκεῖ[b] Λάζαρος..... τὰς τοῦ θανάτου..... εὐθάρσως ἐπίσταται· ἐκεῖ μετὰ τὸν θάνατον ἀναβίωσις, καὶ ἐνταῦθα ζωή· ἐκεῖ θάνατος βιαίως ληστεύεται, ἐνταῦθα θάνατος προδήλως πατεῖται· ἐκεῖνον ὁ θάνατος δανείσας τῷ βίῳ πάλιν διὰ τοῦ τάχους ἀνέλαβεν[c]· μᾶλλον δὲ, φησὶν, *Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν*, τοῦτο Θεοῦ κελεύσαντος· αὗται δὲ ἀπὸ προσκαίρου ζωῆς πρὸς ζωὴν ἀπέραντον μετεπήδησαν, μήτηρ καὶ θυγατέρες, αἱ σήμερον ἡμᾶς συναθροίσασαι· μήτηρ εὐσεβὴς ὠδῖνα ὑπενεγκοῦσα, θυγατέρας ὠδίνων ἀπείραστοι, μήτηρ λύσασα [649] παρθενίαν εἰς γένεσιν παρθένων, μήτηρ ἁγνείας ὠδίνασα, μήτηρ κατὰ φυσικὸν νόμον παρθένους γεννήσασα. Ὁ πανταχοῦ τοῖς εὐσεβέσιν ἐπιστρατεύων τύραννος, ὁ τῶν βαρβαρικῶν φόνων πρὸς τὸ ἐμφύλιον αἷμα μεταστρέφων τὸ ξίφος, τύραννος Χριστὸν ἐλαύνων τὸν οὐ βλεπόμενον, τύραννος διὰ τῆς ποίμνης οἰόμενος τὸν ποιμένα πορθεῖν, τύραννος εἰς οὐρανὸν τοξεύειν ἐπιχειρῶν, τύραννος τὴν Χριστοῦ βασιλείαν πλατυνομένην ζηλοτυπῶν· τύραννος ἦν ὁ διώκων ἀνὴρ καὶ μονόζυξ[d], ἀπρόσοδοι θυγατέρες αἱ συναγωνιζόμεναι. Χρήματα διιρπάζετο, πατρὶς ἀπελιμπάνετο· εἶλκον ἀσεβεῖς στρατιῶται τὰς τῆς σωφροσύνης τε καὶ κοσμιότητος ἐραστὰς, τοιχωρύχοι τὴν τοῦ νοητοῦ Ναβουχοδονόσορ εἰκόνα προσκυνεῖν ἀναγκάζοντες. Ἀλλ' ὅπερ ἡ Βαβυλωνία κάμινος ἐπὶ τῆς τῶν μαρτύρων τριάδος ἐργάζεται, καὶ σώματός τε καὶ ψυχῆς τὰ δεσμὰ διαλύσασα, ἐλευθέρας ἀφῆκεν εἰς οὐρανὸν πέτασθαι τὰς ψυχάς. Ὄφις δὲ ἀρχόμενος ὁ τὴν Εὔαν ἐν παραδείσῳ διώξας, ὁ τοῖς ἁπλοῖς καὶ ἀκάκοις σοφιστεύσας ἤθεσιν, οὗτος τὸν ποταμὸν ἰδὼν λύθρου κολυμβήθραν γενόμενον, καὶ θείῳ Πνεύματι τὸ ῥεῖθρον ἀναχιρνώμενον, ἄχρι τοῦ ποταμοῦ τὰς μακαρίας διώξας, τοῖς πυρὶ πνευματικῷ κερασθεῖσιν ὕδασιν ἀνεκρούετο, καὶ περιστρέφων ἑαυτῷ τὸ κομψὸν, τοῦ ἀρχαίου μηχανήματος τὴν ζημίαν ἐθρήνει, καὶ τὰς πρὶν εὐαπατήτους τε καὶ εὐπτοήτους γυναῖκας, ταύτας κατὰ τοῦ θανάτου σοβαρῶς νεανιευομένας ἑώρα, καὶ ἣν ἐτήρει πτερνίσαι πτέρναν, ταύτην ἀπὸ γῆς εἰς οὐρανὸν ἁλλομένην ἔβλεπεν. Ἀλλ' ἱκανῶς καὶ ταῖς τροπαιοφόροις ἐμπανηγυρίσαντες γυναιξὶν, καὶ τὸ χρήσιμον πανταχοῦ τῇ ὑποθέσει κεράσαντες, καὶ τάφον παλαιὸν νεαρῷ τάφῳ κοσμήσαντες, καὶ παράλογον ἀναβίωσιν καρτερικῷ θανάτῳ συῤῥάψαντες, καὶ ἀνδράσι τε καὶ γυναιξὶν ὑποδείγματα πρὸς ἀρετήν τε καὶ εὐσέβειαν ὑποθέμενοι, καὶ θάνατον ἀοίδιμον καὶ ἀνάστασιν ζηλωτὴν ἐπιδείξαντες, εὐχαριστήσωμεν ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχοντι Χριστῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[b] Hæc corrupta sunt in mss, verum talem sensum expressisse verisimile est, qualem interpretatio nostra Latina effert.

[c] Forte ἀνέβαλεν.

[d] Sic ms., sed hæc vox suspecta videtur. Mox ἀπρόσοδοι mutandum videtur in ἀπρόσοδοι.

MONITUM IN HOMILIAM DE SANCTIS MARTYRIBUS.

Conciones in Machabæos hæc Antiochiæ habita homilia sequi debet, ita suadente ipso Chrysostomo, qui numero 1 innuit, so hanc pronuntiasse paulo post Machabæorum solemnitatem, quando Flavianus Episcopus Martyrum festum ruri celebraturus abscessit, atque Chrysostomo in ipsa urbe concionandi provinciam reliquit. In hac autem homilia de martyrum virtute egregie disserit S. doctor : muta eorum ossa plus ad salutem, ad compunctionem, ad pœnitentiam conferre dicit, quam doctorum [650] quorumlibet verba admonitionesque. Hinc transit ad eos qui mysteria indigne participant, edicitque eos non secus plectendos esse, quam eos qui Jesum crucifixerunt. Post hanc autem habitam concionem permulti, dicti hujus acerbitatem non ferentes, indignabantur et excandescebant. *Avocas nos*, aiebant, *a sacra Mensa, et a Communione repellis*. Qua re permotus Chrysostomus pulcherrimam illam concionem habuit, qua probat rem esse periculi plenam tum prædicanti, tum auditoribus, si ad gratiam ille concionetur : plurimaque dicit alia ad concionatorum et ad auditorum officium spectantia. Etsi vero hæc homilia ad panegy-

Ἀπελθόντος τοῦ ἐπισκόπου μαρτύρων ἡμέραν ἐν τῇ χώρᾳ ἐπιτελέσαι, ἐλέχθη ἡ ὁμιλία ἐν τῇ πόλει εἰς μάρτυρας, καὶ περὶ κατανύξεως καὶ ἐλεημοσύνης.

α'. Χθὲς μαρτύρων ἡμέρα, ἀλλὰ καὶ σήμερον μαρτύρων ἡμέρα· εἴθε καὶ ἀεὶ μαρτύρων ἡμέραν ἐπετελοῦμεν. Εἰ γὰρ οἱ περὶ τὰ θέατρα μεμηνότες, καὶ πρὸς τὴν τῶν ἵππων ἅμιλλαν κεχηνότες, οὐδέποτε λαμβάνουσι κόρον τῶν ἀτόπων θεαμάτων ἐκείνων, πολλῷ μᾶλλον ἡμᾶς ἀκορέστως ἔχειν δεῖ πρὸς τὰς ἑορτὰς τῶν ἁγίων. Ἐκεῖ πομπὴ διαβολική, ἐνταῦθα ἑορτὴ χριστιανική· ἐκεῖ δαίμονες σκιρτῶσιν, ἐνταῦθα ἄγγελοι χορεύουσιν· ἐκεῖ ψυχῶν ἀπώλεια, ἐνταῦθα σωτηρία τῶν συλλεγομένων ἁπάντων. Ἀλλ' ἔχέι τινὰ ἡδονὴν ἐκεῖνα; Ἀλλ' οὐ τοσαύτην ὅσην ταῦτα. Ποία γὰρ ἡδονὴ τρέχοντας εἰκῆ καὶ ἁπλῶς ἵππους ἰδεῖν; ἐνταῦθα δὲ οὐχὶ ἁλόγων ζεῦγος ὁρᾷς, ἀλλὰ μαρτύρων μυρία ἅρματα, καὶ τὸν Θεὸν τοῖς ἅρμασιν ἐφεστῶτα τούτοις, καὶ τὴν πρὸς τὸν οὐρανὸν ὁδὸν ἐλαύνοντα. Ὅτι γὰρ αἱ ψυχαὶ τῶν ἁγίων ἅρμα εἰσὶ τοῦ Θεοῦ, ἄκουσον τοῦ προφήτου λέγοντος· Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων. Ὅπερ γὰρ ἐδωρήσατο ταῖς ἄνω δυνάμεσι, τοῦτο ἐχαρίσατο καὶ τῇ ἡμετέρᾳ φύσει. Ἐπὶ τῶν Χερουβὶμ κάθηται, καθάπερ καὶ ὁ ψαλμός φησιν· *Ἐπέβη ἐπὶ τῶν χερουβὶμ, καὶ ἐπετάσθη·* καὶ πάλιν, *Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, καὶ βλέπων ἀβύσσους.* Τοῦτο καὶ ἡμῖν πάλιν ἐδωκεν· ἐπ' ἐκείνων κάθηται, ἐν ἡμῖν οἰκεῖ· *Ἐνοικήσω γὰρ καὶ ἐμπεριπατήσω ἐν ὑμῖν.* Ἐκεῖνοι γεγόνασιν ἅρμα, ἡμεῖς γενώμεθα ναός. Εἶδες τῆς τιμῆς τὴν συγγένειαν; εἶδες πῶς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ κάτω; Διόπερ οὐδὲν διεστήκαμεν τῶν ἀγγέλων, ἂν θέλωμεν. Ἀλλ' ὅπερ ἔφην ἀρχόμενος, χθὲς μαρτύρων ἡμέρα, καὶ σήμερον μαρτύρων ἡμέρα, [651] οὐχὶ τῶν παρ' ἡμῖν, ἀλλὰ τῶν ἐν τῇ χώρᾳ· μᾶλλον δὲ κἀκεῖνοι παρ' ἡμῖν. Πόλις μὲν γὰρ καὶ χώρα ἐν τοῖς βιωτικοῖς πράγμασιν ἀλλήλων διεστήκασι, κατὰ δὲ τὸν τῆς εὐσεβείας λόγον κοινωνοῦσι καὶ ἥνωνται. Μὴ γάρ μοι τὴν βάρβαρον αὐτῶν φωνὴν ἴδῃς, ἀλλὰ τὴν φιλοσοφοῦσαν αὐτῶν διάνοιαν. Τί γάρ μοι ὄφελος τῆς ὁμοφωνίας, ὅταν τὰ τῆς γνώμης ᾖ διῃρημένα; τί δέ μοι βλάβος τῆς ἑτεροφωνίας, ὅταν τὰ τῆς πίστεως ᾖ συνημμένα; Κατὰ τὸν λόγον τοῦτον οὐδὲν οὔτε χώρα πόλεως εὐτελεστέρα· ἐν γὰρ τῷ κεφαλαίῳ τῶν ἀγαθῶν τὴν ἰσοτιμίαν ἔχουσι. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐχὶ ταῖς πόλεσι μὲν ἐνδιέτριβε, τὰς δὲ χώρας ἠφίει κενάς; καὶ ἐρήμους, ἀλλὰ διεπορεύετο κατὰ πόλεις καὶ κώμας, κηρύσσων τὸ εὐαγγέλιον καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τοῦτον καὶ ὁ κοινὸς ἡμῶν ποιμὴν καὶ διδάσκαλος μιμησάμενος, ἀφῆκεν ἡμᾶς καὶ πρὸς ἐκείνους ἔδραμε· μᾶλλον δὲ οὐκ ἀφῆκεν ἡμᾶς πρὸς ἐκείνους ἀπελθών· πρὸς γὰρ τοὺς ἀδελφοὺς τοὺς

ET IN EAM CUJUS ARGUMENTUM EST, NON ESSE AD GRATIAM CONCIONANDUM.

ricos sanctorum sermones non pertineat, religio fuit eam a præcedenti concione disjungere, quia cœptam de indigne communicantibus hypothesim ea quam diximus occasione ductus hic prosequitur. Quo anno utramque habuerit homiliam Chrysostomus, ne conjectura quidem assequi valemus : hoc unum ex secunda homilia, cui titulus, *Non esse ad gratiam concionandum*, expiscari posse videmur, nempe habitam utramque fuisse post Homiliam de Lazaro : dicit enim S. doctor num. 3 de Lazaro loquens : *Et quid opus est parabolam totam percurrere? Quippe nostis historiam omnem, crudelitatem divitis, quo pacto mendicum participem mensæ non faceret, egestatem illius ac famem, cum qua perpetuo conflictabatur.* Quæ sane videntur post sermones de Lazaro dicta, licet id affirmare non ausim. Quo autem anno sermones de Lazaro dicti fuerint, pariter incertum, ut vidimus in Monito ad eosdem.

Utriusque interpretationem Latinam edidit Fronto Ducæus.

CUM EPISCOPUS MARTYRUM DIEM RURI CELEBRATUM ABIISSET, HABITUS EST IN URBE SERMO IN MARTYRES, ET DE COMPUNCTIONE CORDIS ET ELEEMOSYNA.

1. Heri martyrum dies fuit, sed et hodie martyrum dies est : atque utinam semper diem martyrum celebraremus. Si enim illi, qui insano theatrorum amore ducuntur, et circenses ludos ad stuporem usque mirantur, numquam turpibus illis spectaculis satiantur : multo æquius est, ut sanctorum festivitatis celebratio nobis satietatem et fastidium numquam pariat. Illic pompa est diabolica, hic festivitas Christiana : illic exsultant dæmones, hic angeli choreas ducunt : illic animarum pernicies, hic salus eorum omnium, qui congregantur. At habent illa quamdam voluptatem ? Non sane tantam, quantam ista. Quæ enim, quæso, voluptas temere et quoquo modo currentes equos cernere ? hic vero non jugum brutorum animalium spectas, sed martyrum mille currus, et Deum qui curribus istis præsidet, atque in cælum iter agit. Ut enim intelligas sanctorum animas Dei currum esse, audi prophetam dicentem : *Currus Dei decem millibus multiplex, millia lætantium* (*Psal.* 67. 18). Quod enim supernis virtutibus dono dedit, hoc et naturæ nostræ largitus est. Super Cherubim sedet, sicut ait psalmus, *Ascendit super Cherubim et volavit* (*Psal.* 17. 11) : et rursus, *Qui sedes super Cherubim, et intueris abyssos* (*Dan.* 3. 55). Hoc etiam nobis rursus contulit : sedet super illos, in nobis habitat : *Inhabitabo enim et inambulabo in vobis* (*Lev.* 26. 12 *et* 2. *Cor.* 6. 16). Illi facti sunt currus, nos templum flamus. Vides cognationem honoris ? vides, quo pacto pacificarit quæ in cælis sunt, et quæ in terra (*Col.* 1. 20) ? Itaque nihil ab angelis differimus, si velimus. Sed quod in exordio sermonis dicebam, heri martyrum dies, et hodie martyrum dies, non eorum qui apud nos sunt, sed eorum qui in villa : imo vero illi quoque apud nos sunt. Nam in sæcularibus quidem negotiis a se invicem dissident civitas et villa ; in iis autem quæ ad religionem pertinent, communicant et uniuntur inter se invicem. Noli enim barbaram ipsorum linguam spectare, sed animum ipsorum philosophia excultum. Quid enim linguæ communio prodest, si animi sint divisi ? quid vero diversitas linguæ nocet, si fide jungamur? Hac ratione neque villa deterioris conditionis quam civitas, cum in eo, quod bonorum caput est, æqualem honorem sortiantur. Propterea quoque Dominus noster Jesus Christus non in urbibus versabatur, et villas vacuas ac desertas relinquebat, sed peragrabat civitates et castella, prædicans Evangelium et sanans omnem languorem et omnem infirmitatem (*Luc.* 7. 21 ; *Matth.* 4. 24). Hunc et communis pastor noster ac doctor (*a*) imitatus nos

(*a*) De Flaviano loquitur.

deseruit, et ad illos profectus est ; imo vero non deseruit nos, cum ad illos abiit, quippe qui ad fratres nostros abierit. Et quemadmodum cum Maccabæorum festum celebraretur, in urbem villa omnis effusa est : ita cum martyrum, qui illic quiescunt, festum ageretur, nunc urbem totam ad illos oportuit se transferre. Propterea namque non in urbibus tantum collocavit martyres Deus, sed etiam in villis ipsis, ut ex diebus festis commercii et colloquii necessaria nobis occasio detur : atque adeo plures in villis, quam in urbe. Inferiori enim abundantiorem honorem impertiit Deus (1. *Cor.* 12. 23), quod imbecillior sit pars illa : propterea majori eam subsidio cultuque dignatus est. Nam ii quidem qui urbes incolunt, assidua doctrina fruuntur ; at qui degunt in agris, non tanta largitate potiuntur.

Martyres cum doctoribus conferuntur. Plus persuadent facta quam dicta. — Itaque doctorum penuriam martyrum abundantia solatus est Deus, et ita disposuit, ut plures apud illos martyres sepelirentur. Illi doctorum quidem linguam perpetuo non audiunt, sed martyrum vocem e sepulcro resonantem et ipsos alloquentem, quæ multo majori virtute pollet. Atque ut intelligatis majori pollere virtute martyres etiam silentes, quam nos qui loquimur : multi sæpenumero dum apud multos de virtute verba faciunt, nihil profecerunt ; alii vero etiam tacentes ob vitæ integritatem et splendorem multa egregia facinora patrarunt : itaque multo amplius martyres hoc fecerunt, non quidem lingua efformatam vocem mittentes, sed illam quæ ex rebus ipsis multo clarius resonat, quam quæ ore profertur, qua nimirum totum genus humanum alloquuntur, his verbis utentes : Respicite in nos, qualia passi fuerimus mala. Quid enim passi sumus, qui ad mortem damnati sumus, ac vitam æternam adepti sumus? Digni habiti sumus, qui propter Christum corpora poneremus : quod si nunc illis nos non exuissemus, paulo post etiam inviti temporariam hanc illorum vitam amissuri eramus. Si non advenisset martyrium, eaque nobis abstulisset, at communis naturæ nostræ mors nos invasisset, eaque plane dissolvisset. Propterea Deo gratias agere non cessamus, quod ejus beneficio nobis contigerit, ut morte, quæ omnino nobis oppetenda erat, ad nostrarum salutem animarum uteremur, quodque rem necessario debitam tamquam donum aliquod, ac summi genus honoris a nobis acceperit. At enim molesta sunt et acerba tormenta. Sed brevi temporis momento feruntur : quæ vero per illa voluptas acquiritur, sempiternis sæculis coæva durat ; imo vero ne brevi quidem temporis momento molesta sunt tormenta illis, qui futura respiciunt, et ad certaminis præsidem ac remuneratorem aspirant. Siquidem beatus etiam Stephanus, quia Christum oculis fidei spectabat (*Act.* 7. 55), propterea lapidum imbres non respiciebat, sed illorum loco præmia coronasque numerabat. Tu igitur a rebus quoque præsentibus oculos tuos ad futura converte, ac ne brevem quidem capies sensum malorum.

2. Hæc et his plura dicunt martyres, multoque melius, quam nos, persuadent. Nam ego quidem si nihil habere molestiæ tormentum dicam, fide dignus minime videor, dum ita loquor : nihil quippe difficile verbis hoc pacto philosophari ; at ex ipsis operibus erumpentem vocem martyr emittens, neminem habet, qui contradicat. Et quemadmodum fieri solet intus in balneis, ubi calidarum aquarum fervet lavacrum, nec descendere quisquam audet ; quamdiu quidem se invicem verbis cohortantur, qui ad oram balnei sedent, nemini tamen persuadent ; ubi vero quispiam ex illis aut manum demiserit, aut laxato pede totum corpus confidenter immiserit, quamvis tacens multo melius quam qui multa verba facerent, eos qui superiori loco sedent adducet, ut in lavacrum audeant insilire : sic etiam fit in martyribus : hic enim loco lavacri aquæ propositus est rogus. Ergo qui foris circumstant, licet innumeris verbis cohortentur, non admodum commovent ; ubi vero martyr unus non pedem, non manum tantum demiserit, sed totum corpus injecerit, tum ipsa rerum experientia vehementius quam cohortatione vel consilio quovis impellit, et ex animis circumstantium timorem expellit.

Martyrum reliquiæ sua præsentia quid efficiant. — Videtis, ut potentior sit quamvis tacentium vox ista martyrum? Propterea nobis illorum corpora dereliquit Deus : propterea cum olim vicerint, necdum tamen resurrexerunt, sed certamina quidem a tam multo tempore subierunt, resurrectionem vero nondum sunt consequuti, nondum propter te, ac propter tuam utilitatem, ut cum illum athletam tibi ante oculos posueris, ad eumdem cursum exciteris. Nam isti quidem nullum detrimentum ex dilatione patiuntur, at tibi maximam hæc occasio utilitatem parit. Siquidem illi postea recipient, licet nunc non recipiant : quod si eos de medio [illegible]e abripuisset Deus, multa nos cohortatione solatioque privasset, quod ex sanctorum istorum sepulcris ab hominibus cunctis percipitur. Atque ea quæ dicimus, vos vestro testimonio comprobatis. Sæpe namque quantumvis minaremur, blandiremur, terreremus, cohortaremur, non tanta estis ad orandum animi alacritate commoti nec excitati ; cum vero ad martyrum ecclesiam vos contulistis, nemine consulente, solo sanctorum conspecto sepulcro, copiosos lacrymarum fontes effudistis, et inter orandum fervore non mediocri exarsistis. Atqui mutus summo cum silentio jacet martyr : quid ergo tandem est, quod conscientiam pungit, efficitque, ut lacrymarum scatebræ tamquam ex fonte prosiliant? Quod nimirum martyres mente versetis, et rerum ab illis gestarum vobis memoria refricetur. Nam quemadmodum pauperes, ubi divites alios viderint in dignitatibus constitutos, satellitio stipatos, multis honoribus ab Imperatore cumulatos, dum melius egestatem suam ex aliorum prosperitate cognoscunt, ingemiscunt : ita nos quoque dum quantam apud universorum Regem Deum fiduciam habeant martyres, recordamur, quantoque splendore et quanta gloria fulgeant, nostraque nobis in memoriam pec-

ἡμετέρους ἀπῆλθε. Καὶ καθάπερ τῆς ἑορτῆς τῶν Μακκαβαίων ἐπιτελουμένης, πᾶσα ἡ χώρα εἰς τὴν πόλιν ἐξεχύθη· οὕτω τῆς ἑορτῆς τῶν ἐκεῖ μαρτύρων ἀγομένης, νῦν τὴν πόλιν ἅπασαν πρὸς ἐκείνους μεταστῆναι ἐχρῆν. Διὰ γὰρ τοῦτο οὐκ ἐν πόλεσι μόνον κατεφύτευσε μάρτυρας ὁ Θεὸς, ἀλλὰ καὶ ἐπὶ τῆς χώρας αὐτῆς, ἵνα ἐκ τῆς τῶν ἑορτῶν ὑποθέσεως πρόφασιν ἔχωμεν ἀναγκαίαν τῆς πρὸς ἀλλήλους ἐπιμιξίας, καὶ πλείους ἐπὶ τῆς χώρας ἢ ἐπὶ τῆς πόλεως. Τῷ γὰρ ὑστεροῦντι τὴν περισσοτέραν τιμὴν ἔδωκεν ὁ Θεός· ἀσθενέστερον γάρ ἐστιν ἐκεῖνο τὸ μέρος· διὰ τοῦτο πλείονος ἀπήλαυσε τῆς θεραπείας. Οἱ μὲν γὰρ τὰς πόλεις οἰκοῦντες συνεχοῦς ἀπολαύουσι διδασκαλίας, οἱ δὲ ἐν ἀγροικίᾳ ζῶντες, οὐ τοσαύτης μετέχουσιν ἀφθονίας.

Τὴν πενίαν τοίνυν τῶν διδασκόντων ἐν τῇ δαψιλείᾳ τῶν μαρτύρων παραμυθούμενος ὁ Θεὸς, ᾠκονόμησε πλείους παρ' ἐκείνοις ταφῆναι μάρτυρας. Οὐκ ἀκούουσι διδασκάλων γλώττης ἐκεῖνοι διηνεκῶς, ἀλλὰ μαρτύρων φωνῆς ἀπὸ τοῦ τάφου διαλεγομένης αὐτοῖς καὶ μείζονα ἰσχὺν ἐχούσης. Καὶ ἵνα μάθητε, ὅτι μείζονα ἰσχὺν ἔχουσι μάρτυρες καὶ σιωπῶντες ἡμῶν τῶν φθεγγομένων, πολλοὶ πολλάκις διαλεγόμενοι πολλοῖς περὶ ἀρετῆς οὐδὲν ἤνυσαν· ἕτεροι δὲ σιγῶντες μέγιστα κατώρθωσαν διὰ τὴν τοῦ βίου λαμπρότητα· ὥστε πολλῷ πλέον οἱ μάρτυρες τοῦτο εἰργάσαντο, τὴν μὲν διὰ τῆς γλώττης οὐκ ἀφιέντες φωνὴν, τὴν δὲ διὰ τῶν πραγμάτων αὐτῶν πολὺ τῆς ἀπὸ τοῦ στόματος οὖσαν ὑψηλοτέραν, δι' ἧς πρὸς πᾶσαν τὴν τῶν ἀνθρώπων διαλέγονται φύσιν, ταῦτα τὰ ῥήματα λέγοντες· Ἐμβλέψατε εἰς ἡμᾶς, ὅσα ἐπάθομεν δεινά. Τί γὰρ ἐπάθομεν θανάτῳ καταδικασθέντες, καὶ ζωὴν εὑρόντες διηνεκῆ; Κατηξιώθημεν ἀποθέσθαι τὰ σώματα διὰ τὸν Χριστόν· εἰ δὲ διὰ τὸν Χριστὸν μὴ παρεχωρήσαμεν αὐτῶν νῦν, μικρὸν ὕστερον [652] ἐμέλλομεν καὶ ἄκοντες αὐτῶν ἀποστήσεσθαι τῆς προσκαίρου ζωῆς. Εἰ καὶ μὴ μαρτύριον παρελθὸν ἔλαβεν, ἀλλ' ὁ κοινὸς τῆς φύσεως θάνατος ἐπελθὼν κατέλυσεν αὐτά. Διὰ ταῦτα οὐ παυόμεθα εὐχαριστοῦντες τῷ Θεῷ, ὅτι κατηξίωσεν ἡμᾶς τῷ πάντως ὀφειλομένῳ θανάτῳ πρὸς σωτηρίαν τῶν ἡμετέρων ἀποχρήσασθαι ψυχῶν, καὶ τὸ κατ' ἀνάγκην ὀφειλόμενον ἐν δωρεᾶς τάξει ἔλαβε παρ' ἡμῶν, καὶ μετὰ τῆς μεγίστης τιμῆς. Ἀλλ' αἱ βάσανοι φορτικαὶ, καὶ ἐπαχθεῖς. Ἀλλ' ἐν βραχείᾳ καιροῦ ῥοπῇ, ἡ δὲ ἐκ τούτων ἄνεσις ἐν τοῖς ἀθανάτοις αἰῶσι· μᾶλλον δὲ οὐδὲ ἐν βραχείᾳ καιροῦ ῥοπῇ φορτικαὶ αἱ βάσανοι τοῖς εἰς τὰ μέλλοντα βλέπουσι, καὶ πρὸς τὸν ἀγωνοθέτην κεχηνόσιν. Ἐπεὶ καὶ ὁ μακάριος Στέφανος, ἐπειδὴ τὸν Χριστὸν ἑώρα τοῖς τῆς πίστεως ὀφθαλμοῖς, διὰ τοῦτο τῶν λίθων τὰς νιφάδας οὐκ εἶδεν, ἀλλ' ἀντ' ἐκείνων τὰ βραβεῖα καὶ τοὺς στεφάνους ἠρίθμει. Καὶ σὺ τοίνυν μετάστησον ἀπὸ τῶν παρόντων πρὸς τὸ μέλλον τὸ ὄμμα, καὶ οὐδὲ βραχεῖαν τῶν δεινῶν λήψῃ τὴν αἴσθησιν.

β'. Ταῦτα καὶ πλείονα τούτων οἱ μάρτυρες λέγουσι, καὶ πείθουσι πολλῷ μᾶλλον, ἢ ἡμεῖς. Ἐγὼ μὲν γὰρ ἂν εἴπω ὅτι οὐδὲν ἔχει φορτικὸν ἡ βάσανος, οὐκ εἰμὶ ἀξιόπιστος ταῦτα λέγων· λόγῳ γὰρ τὰ τοιαῦτα φιλοσοφεῖν οὐδὲν δύσκολον· ὁ δὲ μάρτυς τὴν διὰ τῶν πραγμάτων φωνὴν ἀφιεὶς, οὐδένα ἔχει τὸν ἀντιλέγοντα. Καὶ καθάπερ ἐπὶ τῶν βαλανείων γίνεται ξυδον, ὅταν ἀναζέσῃ τῶν θερμῶν ὑδάτων ἡ κολυμβήθρα, καὶ μηδεὶς θαρρήσῃ καταβαίνειν, ἕως μὲν ἂν διὰ λόγων παρακαλῶσιν ἀλλήλους οἱ ἐπὶ τοῦ χείλους καθήμενοι, οὐδένα μᾶλλον πείθουσιν· ἐπειδὰν δὲ εἴς τις ἐξ αὐτῶν ἢ τὴν χεῖρα καθίῃ, ἢ τὸν πόδα χαλάσας μετὰ τοῦ θαρρεῖν ὅλον ἐναφίῃ τὸ σῶμα, σιγῶν τῶν πολλὰ φθεγγομένων μᾶλλον ἂν ἔπεισε τοὺς ἄνω καθημένους κατατολμῆσαι τῆς κολυμβήθρας· οὕτω καὶ ἐπὶ τῶν μαρτύρων· καὶ γὰρ ἐνταῦθα ἀντὶ τῆς κολυμβήθρας τῶν ὑδάτων ἡ πυρὰ πρόκειται. Οἱ μὲν οὖν ἔξωθεν περιεστηκότες κἂν μυρίοις λόγοις παρακαλῶσιν, οὐ σφόδρα πείθουσιν· ὅταν δὲ εἷς τις τῶν μαρτύρων μὴ τὸν πόδα, μηδὲ τὴν χεῖρα μόνον χαλάσῃ κάτω, ἀλλ' ὅλον ἐπαφῇ τὸ σῶμα, πάσης παραινέσεως καὶ συμβουλῆς δυνατωτέραν παρεχόμενος τὴν διὰ τῶν πραγμάτων πεῖραν, ἐκβάλλει τῶν περιεστηκότων τὴν ἀγωνίαν.

Εἴδετε πῶς δυνατωτέρα καὶ σιγώντων ἡ φωνὴ τῶν μαρτύρων; Διὰ τοῦτο ἀφῆκεν ἡμῖν τὰ σώματα αὐτῶν ὁ Θεός· διὰ τοῦτο πάλαι νικήσαντες, οὐδέπω καὶ νῦν ἀνέστησαν, ἀλλὰ τοὺς μὲν ἄθλους ὑπέμειναν πρὸ τοσούτου χρόνου, τῆς δὲ ἀναστάσεως οὐδέπω ἐπέτυχον, οὐδέπω διὰ σὲ καὶ τὴν ὠφέλειαν τὴν σὴν, ἵνα καὶ σὺ ἐκεῖνον τὸν ἀθλητὴν ἐννοῶν πρὸς τὸν αὐτὸν δρόμον διεγερθῇς. Τούτοις μὲν γὰρ οὐδὲν βλάβος ἀπὸ τῆς ἀναβολῆς γίνεται· σοὶ δὲ μέγιστον ὄφελος ἐκ τῆς ὑποθέσεως τίκτεται. Ἐκεῖνοι μὲν γὰρ [655] μετὰ ταῦτα ἀπολήψονται, κἂν μὴ νῦν ἀπολαμβάνωσιν· εἰ δὲ ἐξήρπασεν αὐτοὺς ἐκ τοῦ μέσου νῦν, πολλὴν ἂν ἡμῶν παράκλησιν καὶ παραμυθίαν ἀφείλετο· μεγίστη γὰρ ὄντως παράκλησις καὶ παραμυθία ἀπὸ τῶν τάφων τῶν ἁγίων τούτων πᾶσιν ἀνθρώποις προσγίνεται. Καὶ τῶν λεγομένων ὑμεῖς μάρτυρες. Πολλάκις γοῦν ἡμῶν ἀπειλούντων, κολακευόντων, φοβούντων, προτρεπόντων, οὐ τοσαύτην ἐδέξασθε προθυμίαν εἰς εὐχὴν, οὐδὲ διηγέρθητε· εἰς δὲ μαρτύριον ἀπελθόντες, οὐδενὸς συμβουλεύοντος, τὸν τάφον μόνον ἰδόντες, τῶν ἁγίων πολλὰς ἐξεχέατε δακρύων πηγὰς, καὶ διεθερμάνθητε ἐν ταῖς εὐχαῖς. Καίτοι γε ἄφωνος ὁ μάρτυς κεῖται ἐν πολλῇ τῇ σιγῇ. Τί ποτ' οὖν ἐστι τὸ κεντοῦν τὸ συνειδὸς, καὶ ποιοῦν ὥσπερ ἐκ πηγῆς ἀναβλύζειν τοὺς τῶν δακρύων κρουνούς; Αὐτὴ τοῦ μάρτυρος ἡ φαντασία, καὶ τῶν κατορθωθέντων πάντων ἡ μνήμη. Καθάπερ γὰρ οἱ πένητες, ἐπειδὰν ἴδωσι πλουτοῦντας ἑτέρους ἐν ἀξιώμασιν ὄντας, δορυφορουμένους, πολλῆς παρὰ βασιλέως τιμῆς ἀπολαύοντας, ἀκριβέστερον τὴν ἑαυτῶν πενίαν ἐν ταῖς ἑτέρων εὐπραγίαις μανθάνοντες ἀποδύρονται· οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὰν ἀναμνησθῶμεν τῆς τῶν μαρτύρων παῤῥησίας, ἣν ἔχουσι πρὸς τὸν βασιλέα τῶν ὅλων Θεὸν, καὶ τῆς λαμπρότητος καὶ τῆς δόξης, καὶ τῶν οἰκείων ἀναμνησθῶμεν ἁμαρτημάτων ἀκριβέστερον τὴν ἑαυτῶν πενίαν ἐκ τῆς

ἐκείνων εὐπορίας κατιδόντες ἀλγοῦμεν, καὶ ὀδυνώμεθα, καταμανθάνοντες ὅσον αὐτῶν ἀπολιμπανόμεθα· καὶ τοῦτό ἐστι τὸ ποιοῦν τὰ δάκρυα. Διὰ τοῦτο ἡμῖν τὰ σώματα ἀφῆκεν ἐνταῦθα ὁ Θεὸς, ἵν' ὅταν ὁ τῶν πραγμάτων ὄγκος καὶ φροντίδων πλῆθος βιωτικῶν σκότος πολὺ τῆς διανοίας κατασκεδάσῃ τῆς ἡμετέρας, ἢ ἐξ ἰδιωτικῶν ἢ ἐκ δημοσίων πραγμάτων (πολλὰ δὲ τοιαῦτα), τὴν οἰκίαν ἀφέντες, τῆς πόλεως ἐξελθόντες, πολλὰ χαίρειν τοῖς θορύβοις τούτοις εἰπόντες, ἀναχωρήσωμεν εἰς μαρτύριον, ἀπολαύσωμεν τῆς αὔρας ἐκείνης τῆς πνευματικῆς, ἐπιλαθώμεθα τῆς πολλῆς σχολῆς, ἐντρυφήσωμεν τῇ ἡσυχίᾳ, συγγενώμεθα τοῖς ἁγίοις, παρακαλέσωμεν αὐτῶν τὸν ἀγωνοθέτην ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, πολλὰς ἱκετηρίας ἐκχέωμεν, διὰ τούτων πάντων ἀποθέμενοι τὸ βάρος τοῦ συνειδότος, μετὰ πολλῆς τῆς ψυχαγωγίας οἴκαδε πάλιν ἐπανέλθωμεν.

Μαρτύρων θῆκαι οὐδὲν ἄλλο εἰσὶν, ἀλλ' ἢ λιμένες ἀσφαλεῖς, καὶ πηγαὶ ναμάτων πνευματικῶν, καὶ θησαυροὶ περιουσίας ἀνάλωτοι, μηδέποτε ἐλεγχόμενοι. Καὶ καθάπερ οἱ λιμένες ὑποδεχόμενοι τὰ πλοῖα πολλοῖς κύμασι περιαντληθέντα ἐν ἀσφαλείᾳ καθιστῶσιν, οὕτω δὴ καὶ τῶν μαρτύρων αἱ θῆκαι ὑποδεξάμεναι τὰς ἡμετέρας ψυχὰς βιωτικοῖς πράγμασι περιαντλουμένας ἐν πολλῇ καθιστῶσι γαλήνῃ καὶ ἀσφαλείᾳ· καὶ ὥσπερ αἱ πηγαὶ τῶν ψυχρῶν ναμάτων τὰ πεπονηκότα καὶ καταφλεχθέντα ἀνακτῶνται σώματα, οὕτω δὴ καὶ αὗται τὰς ἀπὸ τῶν ἀτόπων παθῶν κατακαυθείσας ψυχὰς καταψύχουσι, [654] καὶ ἐπιθυμίαν ἄτοπον, καὶ φθόνον τήκοντα, καὶ θυμὸν ζέοντα, καὶ εἴ τι τοιοῦτον ἕτερον διενοχλήσειεν, ἀπὸ τῆς ὄψεως μόνης κατασβέννυσι, καὶ θησαυρῶν δὲ ἐκ πολλῆς τῆς περιουσίας βελτίους εἰσίν. Οἱ μὲν γὰρ τῶν χρημάτων θησαυροὶ πολλοὺς παρέχουσι κινδύνους τοῖς εὑρίσκουσιν αὐτοὺς, καὶ εἰς πολλὰ μέρη διαιρεθέντες, ἐλάττους γίνονται τῇ διανομῇ· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλ' ἀκίνδυνος μὲν ἡ εὕρεσις, ἀμείωτος δὲ ἡ διαίρεσις, ἀπεναντίας τοῖς αἰσθητοῖς θησαυροῖς. Ἐκεῖνοι μὲν γὰρ, ὡς ἔφθην εἰπὼν, κατακερματισθέντες ἐλάττους γίνονται· οὗτοι δὲ ὅταν εἰς πολλοὺς διαιρεθῶσι, τότε μᾶλλον τὴν οἰκείαν ἐνδείκνυνται εὐπορίαν. Τοιαύτη γὰρ τῶν πνευματικῶν πραγμάτων ἡ φύσις· αὔξεται τῇ διανομῇ, καὶ πλείων γίνεται τῇ διαιρέσει. Οὐχ οὕτω λειμῶνές εἰσι τερπνοὶ, ῥόδα καὶ ἴα παρεχόμενοι τοῖς θεωμένοις, ὡς μαρτύρων τάφοι, ἀμάραντόν τινα καὶ ἀκατάλυτον ταῖς ψυχαῖς παρεχόμενοι τῶν θεωμένων τὴν ἡδονήν.

γ'. Ἀψώμεθα τοίνυν τῶν θηκῶν ἐκείνων μετὰ πίστεως, διαθερμανθῶμεν τὴν διάνοιαν, κινήσωμεν ὁδυρμούς. Πολλὰ ἡμῖν ἡμάρτηται καὶ μεγάλα ἁμαρτήματα· διὰ τοῦτο πολλῆς δεόμεθα τῆς θεραπείας, σφοδρᾶς τῆς ἐξομολογήσεως. Ἐρρεύσαν οἱ ἅγιοι μάρτυρες αἷμα, ῥευσάτωσάν σοι οἱ ὀφθαλμοὶ δάκρυα· δύνανται καὶ δάκρυα πυρὰν ἁμαρτημάτων κατασβέσαι· κατεξάνθησαν ἐκεῖνοι τὰς πλευράς, δημίους εἶδον περιεστῶτας· τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῷ συνειδότι· κάθισον τὸν λογισμὸν δικάζοντα ἐπὶ τοῦ θρόνου τῆς ἀδεκάστου διανοίας, παράγαγε τὰ ἡμαρτημένα σοι πάντα εἰς μέσον, φοβεροὺς ἐπίστησον τοῖς πλημμελήμασι λογισμούς, κόλασον τὰς ἀτόπους ἐνθυμήσεις, ἐξ ὧν τὰ ἁμαρτήματα γέγονε, μετὰ πολλῆς καταξαινέσθω τῆς σφοδρότητος. Ἐὰν οὕτω μελετήσωμεν δικάζειν ἑαυτοὺς, καὶ φευξόμεθα τὸ φοβερὸν ἐκεῖνο κριτήριον. Ὅτι γὰρ ὁ κρίνων ἑαυτὸν νῦν, καὶ τῶν ἡμαρτημένων εὐθύνας ἑαυτὸν ἀπαιτῶν ἀκριβεῖς, οὐ δώσει κατὰ τὸ μέλλον δίκην, ἄκουσον τοῦ Παύλου λέγοντος· *Εἰ γὰρ ἐκρίνομεν ἑαυτοὺς, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ τοῦ Κυρίου.* Ταῖς γὰρ ἀναξίως μετέχουσι τῶν μυστηρίων ἐγκαλῶν, οὕτως ἔλεγεν· *Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.* Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ οἱ σταυρώσαντες, φησὶ, τὸν Ἰησοῦν, οὕτω καὶ οἱ τῶν μυστηρίων ἀναξίως μετέχοντες δίκην δώσουσιν. Καὶ μὴ καταγνώσωσί τινες ὑπερβολὴν τοῦ λόγου. Ἱμάτιόν ἐστι βασιλικὸν τὸ σῶμα τὸ δεσποτικόν· τὴν δὲ ἀλουργίδα τὴν βασιλικὴν καὶ ὁ διαῤῥήξας καὶ ὁ χερσὶν ἀκαθάρτοις μολύνας ὁμοίως ὕβρισαν· διὸ καὶ ὁμοίως κολάζονται· οὕτω καὶ ἐπὶ τοῦ σώματος τοῦ Χριστοῦ γίνεται. Ἰουδαῖοι μὲν αὐτὸ διέῤῥηξαν τοῖς ἥλοις ἐπὶ τοῦ σταυροῦ, σὺ δὲ ἐν ἁμαρτήμασι ζῶν, ἀκαθάρτῳ τε γλώττῃ καὶ διανοίᾳ. Διὰ τοῦτο καὶ τὴν αὐτὴν ἐπήρτησέ σοι δίκην ὁ Παῦλος, καὶ ἐπάγει λέγων· *Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι,* [655] *καὶ κοιμῶνται ἱκανοί.* Εἶτα δεικνὺς ὅτι οἱ τὰς εὐθύνας τῶν ἁμαρτημάτων ἑαυτοὺς ἀπαιτοῦντες ἐνταῦθα, δικάζοντες αὐτῶν τοῖς πλημμελήμασι, καὶ μηκέτι τοῖς αὐτοῖς περιπίπτοντες, δυνήσονται ἐξαρπάσαι τῆς μελλούσης ἑαυτοὺς ψήφου τῆς φοβερᾶς ἐκείνης καὶ ἀπαραιτήτου, προσέθηκε λέγων· *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νυνὶ δὲ κρινόμενοι ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Καταξάνωμεν τοίνυν ἡμῶν τὴν διάνοιαν, σφοδρῶς ἐπιτιμῶντες τοῖς ἀκολάστοις τῶν λογισμῶν· ἀποσμήξωμεν ἡμῶν τὰς κηλῖδας διὰ τῶν δακρύων· μέγας τῶν ὀδυρμῶν τούτων ὁ καρπὸς, μεγάλη παράκλησις καὶ παραμυθία. Ὥσπερ γὰρ μεγάλη τοῦ γέλωτος καὶ τῆς διαχύσεως ἡ κόλασις, οὕτω καὶ ὁ διηνεκὴς ὀδυρμὸς παράκλησιν ἐμποιεῖ. *Μακάριοι* γάρ, φησὶν, *οἱ πενθοῦντες, ὅτι παρακληθήσονται. Οὐαὶ τοῖς γελῶσιν, ὅτι αὐτοὶ κλαύσονται.* Διὰ τοῦτο καὶ ὁ Παῦλος, καίτοι μηδὲν ἑαυτῷ συνειδὼς ἁμάρτημα, ἐν δάκρυσι καὶ θρήνοις τὸν πάντα διέτριβε χρόνον. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ μακάριος ἐκεῖνος· *Τριετίαν νύκτα καὶ ἡμέραν, φησὶν, οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν.* Ἐκεῖνος τριετίαν, ἡμεῖς κἂν μῆνα ἕνα· ἐκεῖνος νύκτας καὶ ἡμέρας, ἐκεῖνος ὑπὲρ ἀλλοτρίων ἁμαρτημάτων, ἡμεῖς κἂν ὑπὲρ τῶν οἰκείων πλημμελημάτων· ἐκεῖνος οὐδὲν ἑαυτῷ συνειδὼς, ἡμεῖς κἂν διὰ τὴν βαρεῖαν ἡμῶν συνείδησίν. Τίνος δὲ ἕνεκεν κλαίει; διὰ τί μὴ διδάσκει καὶ παραινεῖ μόνον, ἀλλὰ καὶ δάκρυα προστίθησι; Καθάπερ πατὴρ φιλόστοργος παῖδα ἔχων μονογενῆ ἄῤῥωστίᾳ περιπεσόντα, μὴ προσιέμενον τὰ φάρμακα τῶν ἰατρῶν, ἀλλὰ διωθούμενον, παρακαθήμενος κολακεύει, φιλεῖ, περιπτύσ-

cata redeunt, dum penuriam nostram melius ex illorum opibus animadvertimus, dolemus et angimur, dum intelligimus, quanto ab illis intervallo separemur : atque hoc est, quod nobis lacrymas elicit. Propterea nobis hic corpora reliquit Deus, ut si quando negotiorum turba, curarumque sæcularium multitudo menti nostræ caliginem multam offuderit, sive ex domesticis sive publicis ex negotiis, qualia multa nasci solent impedimenta : tum relicta domo ex urbe egressi, his tumultibus vale dicentes ad martyrum ecclesiam nos conferamus, aura illa spirituali fruamur, multarum occupationum obliviscamur, quiete nos oblectemus, cum sanctis versemur, pro salute nostra præsidem certaminum ipsorum ac numeratorem oremus, multas preces fundamus, atque horum omnium opera cum onus conscientiæ deposuerimus, multa cum animi voluptate domum iterum revertamur.

Cum portubus et fontibus comparantur reliquiæ Martyrum ; res spirituales distributione crescunt ; indigne communicantes puniendi. — Nihil aliud sunt martyrum capsulæ, quam securi portus, ac spiritualium laticum fontes, inviolati opum thesauri, qui numquam exhauriuntur. Et quemadmodum portus dum multis fluctibus circumfusas naves excipiunt, in tuto eas collocant : sic nimirum et martyrum capsulæ, dum sæcularibus negotiis circumfusas animas nostras excipiunt, in multa illas tranquillitate ac securitate constituunt : et quemadmodum gelidarum fontes aquarum afflicta laboribus et calore defessa corpora recreant : sic nimirum et istæ pravis inflammatas affectibus animas refrigerant, et obscœnam cupiditatem, invidiam exedentem, iramque ferventem, et si quid aliud ejusmodi negotium facessit, solo aspectus edant et exstinguunt. Enimvero thesauris etiam longe sunt potiores : siquidem pecuniarum thesauri multa illis, a quibus inventi fuerint, creant pericula, cumque multas divisi in partes fuerint, divisione minuuntur : hic vero nihil tale est, sed expers periculi est inventio ; neque diminutionem affert divisio, planeque contrarium evenit, quod sensilium rerum thesauris. Nam illi quidem, ut ante dixi, si multas dissecti in partes fuerint, minores fiunt ; isti vero cum in multos fuerint distributi, tum suam magis opulentiam ostendunt. Talis quippe rerum est spiritualium natura ; distributione crescit, et divisione multiplicatur. Non ita nos prata delectant, dum rosas violasque spectandas suppeditant, ac martyrum tumuli, dum numquam marcescentem et indissolubilem spectatorum animis afferunt voluptatem.

3. Thecas igitur illas cum fide complectamur, inardescamus mente, gemitus profundamus. Multa sunt a nobis admissa delicta, et magna sunt nostra peccata : propterea multa medicina, et diligenti confessione indigemus. Effuderunt sanguinem sancti martyres, oculi tui lacrymas tibi effundant : possunt et lacrymæ peccatorum rogum exstinguere ; laccrata fuerunt illis latera, carnifices videbant circumstantes : Idipsum tu quoque adversus tuam conscientiam præsta : rationem tamquam incorruptum judicem in solio mentis colloca, et quæ a te commissa sunt, omnia profer in medium, severas ac terribiles præficiens cogitationes peccatis, obscœnos animi motus castiga, ex quibus peccata sunt nata, et acriter acerbeque torqueantur. Si nos ita ad judicium in nosmetipsos exercendum comparemus, tremendum illud tribunal evitabimus. Ut enim scias eum, qui seipsum nunc judicat, et admissorum peccatorum severam a se rationem exigit, pœnas in futurum minime daturum, audi testantem id Apostolum : *Si enim nosmetipsos judicaremus, non utique a Domino judicaremur* (1. *Cor.* 11. 31). Reprehendens enim eos, qui indigne mysteriorum fiebant participes, ita dicebat : *Qui manducat et bibit indigne, reus erit corporis et sanguinis Domini.* Ejus autem verborum hic sensus est : Quemadmodum illi, qui Jesum crucifixerunt, inquit, sic et illi qui indigne fiunt mysteriorum participes, pœnas dabunt. Neque vero severitatem orationis illius quisquam condemnet. Regia vestis est corpus Dominicum : porro et qui regiam purpuram dilaceravit, et qui manibus immundis inquinavit, pari eam contumelia affecerunt ; quamobrem et pari supplicio plectuntur : ita fit et in corpore Christi. Judæi quidem illud clavis in cruce disruperunt, tu vero dum in peccatis et immunda lingua ac meate vivis : quam ob causam et idem tibi supplicium imminere dixit Paulus, et adjicit dicens : *Ideo inter vos multi infirmi, et imbecilles, et dormiunt multi.* Deinde, ut ostendat fore, ut qui peccatorum rationem a seipsis exigunt in hac vita, et in sua delicta judicium exercent, nec amplius in eadem recidunt, facile possint tremendam illam et implacabilem sententiam futuram evadere, adjunxit dicens : *Etenim si nosmetipsos judicaremus, non utique judicaremur : nunc autem dum judicamur, a Domino corripimur, ut non cum mundo damnemur.* Nostram igitur mentem torqueamus, lascivas cogitationes castigemus, maculas nostras lacrymis abstergamus : magnus ejusmodi planctuum fructus est, magnum subsidium et solatium. Ut enim risui ac deliciis magnum supplicium imminet, sic et perennis planctus solatium parit : *Beati* quippe, *qui lugent, quoniam consolabuntur* (*Matth.* 5. 5). *Væ illis qui rident, quoniam ipsi flebunt* (*Luc.* 6. 25). Idcirco etiam Paulus tametsi nullius sibi conscius peccati esset, in lacrymis et luctu tempus omne traducebat. Quis hoc dicit ? Ille ipse vir beatus : *Per triennium*, inquit, *nocte et die non cessavi cum lacrymis monens unumquemque vestrum* (*Act.* 20. 31). Ille per triennium, nos saltem ad mensem unum : ille nocte et die, ille propter aliena peccata, nos saltem propter nostra delicta : ille nullius rei sibi conscius, nos saltem ut nostram conscientiam onere pressam levemus. Qua vero de causa plorat ? cur non docet et admonet tantum, sed et lacrymas adjungit ? Quemadmodum pater indulgens, qui filium habet unigenitum morbo correptum, medicamenta non admittentem, sed rejicientem, assidens illi blanditur, deosculatur, amplectitur omnique genere blanditiarum flectere conatur, ac

persuadere, ut medicinæ remediis morbum velit depellere : sic et Paulus toto dispersos orbe terrarum fideles tamquam unigenitum filium amore complectens, cum plurimos videret in peccata prolapsos, et immedicabilibus animi morbis correptos, deinde reprehensionis et castigationis medelam non admittere, sed repudiare, ac resilire, lacrymis eos detinebat, ut cum gementem ac lugentem illum cernerent, ipso ejus aspectu commoti medicinam ferrent, ac depulsa ægritudine pristinam valetudinem recuperarent : propterea moneus semper lacrymabatur.

Tristitia secundum Deum. — Quod si tantam alienorum peccatorum curam gerit Paulus, quanto nos animi studio par est ad nostrorum emendationem incumbere ? Magna enim vis est tristitiæ secundum Deum, prodestque plurimum : quod cum nobis Isaias vellet exponere, ita dicebat, vel potius Deus per Isaiam : *Propter peccatum ad modicum contristavi eum* (*Isai.* 57. 17). Ne pro meritis quidem, inquit, delictorum ab eo pœnas exegi. Nam in recte factis quidem remunerandis Deus præmiis suis modum excedit ; cum autem peccata castiganda sunt, præ nimia sua benignitate modico supplicio delicta vindicat : idque ut hoc loco innuerel, dixit, *Propter peccatum ad modicum contristavi eum : et vidi, quia contristatus est, et ambulavit tristis, et vias ejus sanavi* (*Ib. v.* 18).

4. Vides ut celerrima sit, et summa utilitas pœnitentiæ ? Cum parumper eum propter peccata castigassem, inquit, quoniam mœstum illum ac tristem esse factum vidi, etiam modicam illam pœnam condonavi : adeo promptus ac paratus est ut reconcilietur nobiscum Deus, et perexiguam tantum occasionem requirit. Præbeamus igitur illi occasionem amoris erga nos, et a peccatis nos immunes conservare nitamur : quod si forte supplantati fuerimus aliquando, cito consurgamus, ac delicta nostra vehementer lugeamus, ut gaudium secundum Deum consequamur. Si enim eo quod contristatus esset, et ambularet mœstus, Deum sibi reconciliavit : qui etiam lacrymas addit, eumque maxima cum animi contentione vocat, quid non præstabit ? Scio vestram mentem inflammatam esse ; verum ut foras egressis nobis ardor iste non refrigescat, sed in nobis illum foveamus, hoc agamus. Fertilis est ager mentis vestræ, semina suscipit et confestim spicas producit, non indiget dilatione vel tempore : sed inimicum vestrum reformido.

Diabolus ecclesiam non ingreditur. Lucerna mentis doctrina. — Extra ecclesiam stat diabolus, quippe sacrum istud in ovile non audet intrare : ubi enim Christi grex est, lupus non comparet, sed foris stat, quod pastorem reformidet. Si egressi hinc fuerimus, ne statim nos ad intempestivos congressus, aut otiosa colloquia et inutiles occupationes traducamus ; sed dum recens adhuc viget in nobis eorum quæ dicta sunt memoria, domum properemus, et cum uxore ac liberis sedens unusquisque accurate, quæ audiverit, meditetur. Quod si domum regredi nolitis, vobis amicos colligite, atque in communionem eorum quæ audieritis eos vocantes privatim considete, atque unusquisque proferens quæ potuit memoria tenere, rursus alteram doctrinæ sacræ lectionem instituite, ne frustra hic interfuisse concioni videamini. Lucerna quippe sunt Dei mandata : siquidem *Mandatum legis est lucerna, et lux et vita, et correptio, et disciplina* (*Prov.* 6. 23) : porro qui lucernam accendit, non in foro residet, sed domum properat, ne ventorum incursu ignis exstinguatur, neve longa mora flammam absumat : ita nimirum et nos faciamus. Nobis Spiritus sanctus suam doctrinam accendit : egressi ergo atque audito sermone repleti, sive amicum, sive propinquum, sive domesticum, sive alium quemvis nobis videamus occurrere, prætercamus, ne si cum illo colloquamur de rebus inutilibus ac superfluis, doctrinæ nobis interim exstinguatur ignis, sed in mente tamquam in domo vigeat, et in sublimi ratione tamquam in candelabro quodam succensus cuncta, quæ domi sunt, illuminet. Absurdum enim est si domum quidem vesperi sine lucerna et lumine esse ferre nequeamus, animam autem expertem doctrinæ cernamus. Hinc nobis multa peccata nascuntur, quod non celeriter animæ lucernam accendamus ; hinc fit ut singulis diebus offendamus ; hinc fit ut temere et perfunctorie multa mente comprehendamus, quod audita verbi divini lectione, priusquam extra ecclesiæ vestibulum pedem efferamus, ea confestim abjiciamus, et exstincto lumine in tenebris ambulemus.

Non domus ornanda, sed anima. — At enim si forte contigerint isthæc antea, ne deinceps amplius fiant ; sed accensam in mente lucernam semper habeamus, et animam potius quam domum exornemus. Hæc enim hic remanet, at illa nobiscum assumpta hinc discedimus : propterea plus in eam sollicitudinis impendendum est. Jam vero nonnulli sunt adeo infelices ac misere affecti, ut ædes quidem aureis laquearibus, et tesserulis pavimento distincto, floridis picturis, columnarum splendore, aliisque cunctis exornent, animum autem in deteriori statu quam desertum hospitium derelinquant, luto, fumo ac multo fœtore completum, planeque desertum. Cæterum ideo continguut hæc omnia, quod nobis doctrinæ lucerna perpetuo non accendatur : propterea quæ fructuosa sunt, contemnimus ; quæ vero nullius pretii sunt, in illa diligenter incumbimus. Hæc non ad divites tantum, sed etiam ad pauperes a me sunt dicta. Nam et illi cum domos suas pro suis viribus frequenter exornent, animam suam neglectam et abjectam manere permittunt : quam ob causam et communem utrisque propono doctrinam communens consulensque, ut contemptis hujus vitæ negotiis totum studium in rerum spiritualium ac fructuosarum curam conferamus. Intueatur pauper viduam, quæ duos obolos erogavit (*Luc.* 21. 2), neque paupertatem arbitretur negotiationi eleemosynæ ac benignitatis impedimentum objicere. Jobum sibi ponat ob oculos dives, et sicut ille non pro se, verum pro pauperibus omnia sua bona possidebat, ita et ipse faciat : propterea namque se illis privari patienter tulit, quod antequam reipsa spo-

σεται τῇ τῆς θεραπείας ὑπερβολῇ βουλόμενος ἐπισπάσασθαι, καὶ πεῖσαι δέξασθαι τὴν ἀπὸ τῆς θεραπείας διόρθωσιν· οὕτω καὶ ὁ Παῦλος τοὺς πανταχοῦ τῆς οἰκουμένης πιστοὺς, καθάπερ υἱὸν μονογενῆ φιλῶν, καὶ ὁρῶν πολλοὺς πονηρίᾳ περιπεσόντας καὶ ἀῤῥωστίαις ἀνιάτοις ψυχῆς, εἶτα εὐκόλως οὐ δεχομένους τὸν ἔλεγχον, οὐδὲ τὴν ἐκ τῆς ἐπιτιμήσεως διόρθωσιν, ἀλλ' ἀποπηδῶντας, τοῖς δάκρυσι κατεῖχεν, ἵνα ὀδυρόμενον αὐτὸν καὶ θρηνοῦντα ἰδόντες, καὶ πρὸς τὴν ὄψιν καταπλαγέντες αὐτὴν, ἀνάσχωνται τῆς ἰατρείας, καὶ τὴν ἀῤῥωστίαν ἀποθέμενοι πρὸς ὑγείαν ἐπανέλθωσι πάλιν· διὰ τοῦτο νουθετῶν ἐδάκρυεν ἀεί.

Εἰ δὲ τοσαύτῃ περὶ τὰ ἁλλότρια ἁμαρτήματα προνοίᾳ κέχρηται Παῦλος, πόσῃ πρὸς τὴν τῶν οἰκείων διόρθωσιν ἡμᾶς προθυμίᾳ κεχρῆσθαι δεῖ; Καὶ γὰρ πολλὴ τῆς κατὰ Θεὸν λύπης ἡ δύναμις εἰς ὠφελείας λόγον, καὶ περὶ ταύτης ὁ Ἡσαΐας διηγούμενος οὕτως ἔλεγε, μᾶλλον δὲ ὁ Θεὸς δι' Ἡσαΐα· *Δι' ἁμαρτίας βραχύ τι ἐλύπησα αὐτόν.* Οὐδὲ ἀξίαν, φησὶν, ἐπέθηκα τῆς πλημμελείας τὴν κόλασιν. Ἐν μὲν γὰρ τοῖς κατορθώμασιν ὑπερβαίνει τὰ μέτρα ταῖς ἀντιδόσεσιν ὁ Θεὸς, ἐν δὲ τοῖς ἁμαρτήμασι, διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ἐλέγχων πολλαχοῦ, βραχεῖαν τὴν κόλασιν ἐπάγει τῶν πεπλημμεληκότων. Ὅπερ οὖν καὶ ἐνταῦθα αἰνιττόμενος ἔλεγε· *Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ εἶδον, ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ.*

[656] δ'. Ὁρᾷς πῶς καὶ ταχίστη καὶ πολλὴ τῆς μετανοίας ἡ ὠφέλεια; Ὀλίγα κολάσας αὐτὸν ὑπὲρ ἁμαρτημάτων, φησὶν, ἐπειδὴ εἶδον κατηφῆ γενόμενον καὶ στυγνὸν, καὶ αὐτὴν τὴν μικρὰν ἀνῆκα τιμωρίαν· οὕτω καὶ ἕτοιμός ἐστι πρὸς τὰς ἡμετέρας καταλλαγὰς ὁ Θεὸς, καὶ πρόφασιν βραχεῖαν ἐπιζητεῖ μόνον. Παρέχωμεν τοίνυν αὐτῷ τῆς πρὸς ἡμᾶς φιλίας τὰς ἀφορμὰς, καθαρούς τε ἁμαρτημάτων ἑαυτοὺς πειρώμεθα διασώζειν, καὶ εἴποτε ὑποσκελισθείημεν, διαναστῶμεν ταχέως πενθοῦντες τὰ πεπλημμεληκότα μετὰ πολλῆς τῆς ἀκριβείας, ἵνα τῆς κατὰ Θεὸν χαρᾶς ἐπιτύχωμεν. Εἰ γὰρ ἐπειδὴ ἐλυπήθη, καὶ στυγνὸς ἐπορεύθη, κατήλλαξε τὸν Θεὸν, ὁ καὶ δάκρυα προσθεὶς, καὶ μετὰ πολλῆς αὐτὸν ἐκτενείας καλῶν, τί οὐκ ἐργάσεται; Οἶδα ὅτι διεθερμάνθη νῦν ὑμῶν ἡ διάνοια, ἀλλ' ὅπως τὴν θερμότητα ταύτην μὴ ἐξελθόντες ἔξω καταψύξωμεν, ἀλλ' ἐν ἑαυτοῖς κατάσχωμεν, τοῦτο ποιήσωμεν. Εὔφορος ἡ χώρα τῆς ὑμετέρας διανοίας, δέχεται τὰ σπέρματα, καὶ εὐθέως δίδωσι τοὺς στάχυας, οὐ δεῖται ἀναβολῆς, οὐδὲ χρόνου· ἀλλὰ φοβοῦμαι τὸν ἐχθρὸν τὸν ὑμέτερον.

Ἔξω τῆς ἐκκλησίας ἕστηκεν ὁ διάβολος· εἰς γὰρ τὴν ἱερὰν ταύτην μάνδραν εἰσελθεῖν οὐ τολμᾷ· ἔνθα γὰρ ποίμνη Χριστοῦ, λύκος οὐ φαίνεται, ἀλλ' ἔξω τὸν ποιμένα δεδοικὼς ἕστηκεν. Ἂν ἐξέλθωμεν ἐντεῦθεν, εὐθέως μὴ πρὸς συνουσίας ἀκαίρους, ἢ πρὸς λόγους ἀνονήτους, καὶ διατριβὰς ἀκερδεῖς ἑαυτοὺς ἐκδῶμεν, ἀλλ' ὡς ἔχομεν ἐν τῇ μνήμῃ τὰ εἰρημένα, τρέχωμεν οἴκαδε, καὶ καθίσας ἕκαστος μετὰ τῆς γυναικὸς, μετὰ τῶν παίδων μελετάτω μετὰ ἀκριβείας τὰ εἰρημένα. Εἰ δὲ μὴ βούλεσθε οἴκαδε ἀναχωρεῖν, φίλους τοὺς κοινωνοὺς τῆς ἀκροάσεως ὑμῖν συλλέξαντες κατ' ἰδίαν συνεδρεύετε, καὶ τὰ παρ' ἑαυτοῦ φέρων ἕκαστος ἅπερ ἴσχυσε διατηρῆσαι, ἀπηρτισμένην ἐκ δευτέρου ποιεῖσθε τὴν διδασκαλίαν, ἵνα μὴ μάτην ἐνταῦθα συλλέγησθε. Λύχνος γάρ ἐστι τοῦ Θεοῦ τὰ προστάγματα· *Λύχνος γὰρ ἐντολὴ νόμου καὶ φῶς, καὶ ζωὴ, καὶ ἔλεγχος, καὶ παιδεία·* ὁ δὲ τὸν λύχνον ἀνάπτων, οὐχ ἵσταται ἐπὶ τῆς ἀγορᾶς, ἀλλ' οἴκαδε τρέχει, ὥστε μὴ ἀνέμων προσβολῇ κατασβέσαι τὸ πῦρ, μήτε μακρᾷ διατριβῇ ἀναλῶσαι τὴν φλόγα· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν. Ἀνῆψεν ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον τὴν παρ' ἑαυτοῦ διδασκαλίαν· ἐξελθόντες τοίνυν καὶ τῆς ἀκροάσεως γέμοντες, κἂν φίλον, κἂν συγγενῆ, κἂν οἰκεῖον, κἂν ἄλλον ὁντινοῦν ἀπαντήσαντα ἴδωμεν, παραδράμωμεν, ἵνα μὴ διαλεγομένων ἡμῶν πρὸς ἐκεῖνον ἀνόητα καὶ περιττὰ, κατασβεσθῇ μεταξὺ τῆς διδασκαλίας τὸ πῦρ, ἀλλ' ἀκμάζῃ ὥσπερ ἐν οἰκίᾳ τῇ διανοίᾳ, καὶ ἐφ' ὑψηλοῦ τοῦ λογισμοῦ καθάπερ ἐπὶ λυχνίας τινὸς καιόμενον ἅπαντα τὰ ἔνδον φωτίζῃ. Καὶ γὰρ ἄτοπον τὴν μὲν οἰκίαν μηδέποτε ἀνέχεσθαι ἐν ἑσπέρᾳ χωρὶς λύχνου καὶ φωτὸς ὁρᾶν, τὴν δὲ ψυχὴν ἔρημον διδασκαλίας ὁρᾶν. Ἐντεῦθεν τὰ πολλὰ τῶν ἁμαρτημάτων ἡμῖν συνίστανται, ὅτι οὐ ταχέως λύχνον ἀνάπτομεν τῇ ψυχῇ· ἐντεῦθεν καθ' ἑκάστην ἡμέραν προσπταίομεν· ἐντεῦθεν πολλὰ [657] ἁπλῶς καὶ ὡς ἔτυχεν ἡμῖν ἐν τῇ διανοίᾳ κεῖται, ἐπειδὴ τὴν τῶν θείων λόγων ἀκρόασιν δεχόμενοι, πρὶν ἢ τὰ πρόθυρα ὑπερβῆναι τῆς ἐκκλησίας, εὐθέως ῥίπτομεν, καὶ τὸ φῶς κατασβέσαντες, μετὰ πολλοῦ τοῦ ζόφου βαδίζομεν.

Ἀλλ' εἰ καὶ ἔμπροσθεν ταῦτα ἐγίνετο, μηκέτι γινέσθω λοιπὸν, ἀλλ' ἔχωμεν διηνεκῆ τὸν λύχνον καιόμενον ἐν τῇ διανοίᾳ, καὶ πρὸ τῆς οἰκίας τὴν ψυχὴν καλλωπίζωμεν. Αὕτη μὲν γὰρ ἐνταῦθα μένει, ἐκείνην δὲ λαμβάνοντες ἐντεῦθεν ἄπιμεν· διὰ τοῦτο καὶ πλείονος αὐτὴν ἐπιμελείας ἀξιοῦν χρή. Νῦν δέ εἰσί τινες οὕτως ἀθλίως διακείμενοι, οἳ τὰς μὲν οἰκίας τὰς ἐνταῦθα καὶ χρυσοῖς ὀρόφοις, καὶ ψηφῖσι διηνθισμένας, καὶ γραφῶν ἄνθεσι, καὶ κιόνων λαμπρότητι, καὶ τοῖς ἄλλοις κατακοσμοῦσιν ἅπασι· τὴν δὲ διάνοιαν παντὸς ἐρήμου πανδοχείου παρορῶσιν εὐτελέστερον διακειμένην, βορβόρου γέμουσαν, καπνοῦ, καὶ δυσωδίας πολλῆς, ἐρημίας ἀφάτου. Τὸ δὲ αἴτιον τούτων ἁπάντων, ὅτι συνεχῶς ἡμῖν ὁ λύχνος τῆς διδασκαλίας οὐ καίεται· διὰ τοῦτο τὰ μὲν ἀναγκαῖα ἡμέλληται, τὰ δὲ οὐδενὸς ἄξια σπουδῆς ἀπολαύει πολλῆς. Ταῦτά μοι οὐ πρὸς πλουσίους μόνον, ἀλλὰ καὶ πρὸς πένητας εἴρηται. Καὶ γὰρ ἐκεῖνοι κατὰ δύναμιν πολλάκις τὴν ἑαυτῶν κοσμοῦντες οἰκίαν, τὴν διάνοιαν ἠμελημένην περιορῶσι· διὸ κοινὴν ποιοῦμαι πρὸς ἀμφοτέρους τὴν διδασκαλίαν παραινῶν καὶ συμβουλεύων τῶν ἐν τῷ παρόντι βίῳ βραχὺν ποιουμένους λόγον, ἅπασαν τὴν σπουδὴν εἰς τὴν τῶν πνευματικῶν καὶ ἀναγκαίων πραγμάτων ἐπιμέλειαν κενοῦν. Ὁ πένης ὁράτω τὴν χήραν τὴν τοὺς δύο καταβαλοῦσαν ὀβολοὺς, καὶ μὴ νομιζέτω τὴν πενίαν ἐμπόδιον εἶναι πρὸς ἐργασίαν ἐλεημοσύνης καὶ φιλανθρωπίας· ὁ πλούσιος λογιζέσθω τὸν Ἰὼβ, καὶ καθάπερ ἐκεῖνος οὐχ ἑαυτῷ, ἀλλὰ τοῖς πένησιν ἐκέκτητο πάντα τὰ ὄντα, οὕτω καὶ οὗτος. Διὰ γὰρ τοῦτο

γενναίως ἤνεγκε τὴν ἀφαίρεσιν αὐτῶν, ἐπειδὴ καὶ πρὸ τῆς τοῦ διαβόλου πείρας ἐμελέτησεν αὐτῶν τὴν ἀλλοτρίωσιν. Καὶ σὺ τοίνυν καταφρόνει παρόντων τῶν χρημάτων, ἵνα καὶ ἀναχωρησάντων ποτὲ, μὴ ἀλγήσῃς. Ἀνάλισκε εἰς δέον ὅταν ἔχῃς, ἵν' ὅταν ἀφαιρεθῇς, διπλοῦν ἔχῃς τὸ κέρδος, τόν τε ἐκ τῆς ἀρίστης δαπάνης ἀποκείμενόν σοι μισθὸν, καὶ τὴν ἐκ τῆς ὑπεροψίας ἐγγινομένην φιλοσοφίαν εἰς τὸν καιρὸν τῆς ἀπουσίας αὐτῶν χρησιμεύουσαν. Χρήματα γὰρ διὰ τοῦτο καλεῖται, ἵνα αὐτοῖς εἰς δέον χρώμεθα, οὐχ ἵνα κατορύττωμεν· κτήματα διὰ τοῦτο λέγονται, ἵνα ἡμεῖς αὐτὰ κτησώμεθα, καὶ μὴ αὐτῶν γενώμεθα κτήματα. Κύριος εἶ χρημάτων πολλῶν, μὴ τοίνυν δούλευε τούτοις, ὧν ἐποίησέ σε δεσπότην ὁ Θεός· οὐ δουλεύεις δὲ εἰς δέον αὐτὰ ἀναλίσκων, ἀλλὰ μὴ κατορύττων. Οὐδὲν οὕτως εὑρίπιστον ὡς πλοῦτος· οὐδὲν οὕτως εὐμετάβλητον, ὡς εὐπορία. Ἐπεὶ οὖν ἀβέβαιος αὐτῶν ἡ κτῆσις, καὶ πτηνοῦ παντὸς ταχύτερον πολλάκις ἡμῶν ἀφίπταται, καὶ δραπέτου παντὸς ἀγνωμονέστερον ἀποπηδᾷ, τὸν χρόνον ὃν ἂν ὦμεν [658] δεσπόται, εἰς δέον αὐτοῖς χρησώμεθα, ἵν' ἐκ τῶν ἀβεβαίων χρημάτων βέβαια ἐνστησάμενοι τὰ ἀγαθὰ, τὸν ἐν οὐρανοῖς ἀποκείμενον κληρονομήσωμεν θησαυρόν· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι, καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν, καὶ ὅτι χρήσιμον καὶ δικαιοσύνη μεγίστη τὸ κατηγορεῖν τῶν οἰκείων ἁμαρτημάτων.

—

α'. Ἱκανῶς ὑμῶν, οἶμαι, καθηψάμεθα πρώην, καὶ βαθυτέραν ἐδώκαμεν τὴν πληγήν· οὐκοῦν ἀνάγκη θεραπεῦσαι τήμερον, καὶ προσηνέστερα ἐπιθεῖναι τὰ φάρμακα. Οὗτος γὰρ ἄριστος ἰατρείας τρόπος, μὴ μόνον τέμνειν, ἀλλὰ καὶ ἐπιδεσμεῖν τὰ ἕλκη· οὗτος θαυμαστὸς διδασκαλίας νόμος, μὴ μόνον ἐπιτιμᾷν, ἀλλὰ καὶ παρακαλεῖν καὶ παραμυθεῖσθαι. Οὕτω καὶ Παῦλος ἐκέλευσεν· *Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον.* Ἐάν τε παρακαλῇ τις διόλου, ῥᾳθυμοτέρους ποιεῖ τοὺς ἀκροατάς· ἐάν τε ἐπιτιμᾷ μόνον, τραχυτέρους ἐργάζεται· οὐ γὰρ δυνάμενοι τὸ φορτίον τῶν διηνεκῶν ἐλέγχων ἐνεγκεῖν, ἀποπηδῶσιν εὐθέως. Διὸ χρὴ ποικίλον τινὰ εἶναι τὸν τῆς διδασκαλίας τρόπον. Ἐπεὶ οὖν τῇ προτέρᾳ σφοδρότερον τὴν ἑκάστου διάνοιαν ἔδακεν ὁ λόγος, προσηνεστέρας ἡμῖν δεῖ τῆς διδασκαλίας τήμερον, καὶ ταῖς ἐκ τῶν ἐλέγχων γενομέναις ὀδύναις, ὥσπερ ἔλαιον, ἀναγκαῖον ἐπιστάξαι τοῦ λόγου τὸ προσηνὲς, πρότερον αὐτῶν ὑμᾶς ἀναμνήσαντες τῶν ἐλέγχων.

Ἀνέγνωμεν ὑμῖν πρώην τὸν Παύλου νόμον περὶ τῆς τῶν μυστηρίων κοινωνίας κείμενον τοῖς μεμυημένοις ἅπασιν. Ὁ δὲ νόμος ἦν οὗτος· οὐδὲν γὰρ κωλύει καὶ νῦν αὐτὸν ἀναγνῶναι πάλιν· *Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.* Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα, καὶ τίς μὲν ὁ ἄρτος, τί δὲ τὸ ποτήριον. *Ὁ γὰρ ἐσθίων καὶ πίνων*, φησὶν, *ἀναξίως τοῦ Κυρίου, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.* Τοῦτον ὑμῖν τὸν νόμον ἀνέγνωμεν· ἐξηγησάμεθα δὲ καὶ τὴν διάνοιαν τοῦ ῥητοῦ. Εἴπομεν τί ἐστιν, *Ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου*, ὅτι τὴν αὐτὴν δώσει δίκην, ὅσην ὑποστήσονται τιμωρίαν οἱ σταυρώσαντες τὸν Χριστόν. Καθάπερ γὰρ ἐκεῖνοι, φησὶν, οἱ σφαγεῖς ἔνοχοι ἐγένοντο τοῦ αἵματος, οὕτω καὶ οὗτοι οἱ ἀναξίως κοινωνοῦντες τῶν μυστηρίων· τοῦτο γάρ ἐστιν, *Ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.* Ἐδόκει πολλὴν ὑπερβολὴν ἔχειν τὸ εἰρημένον καὶ ἀφόρητος εἶναι ἡ ἀπειλή· προσεθήκαμεν καὶ λογισμὸν ἐκ παραδείγματος ἀκολουθίαν ἔχοντα πολλήν. Ὥσπερ γὰρ, ἔφην, ἄν τε διαῤῥήξῃ τις τὴν πορφυρίδα τὴν βασιλικὴν, ἂν τε μολύνῃ βορβόρῳ, παραπλησίως [659] εἰς τὸν ἐνδύντα αὐτὴν ὕβρισε βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα οἵ τε ἀνελόντες τὸ σῶμα τὸ δεσποτικὸν, οἵ τε ἀκαθάρτῳ δεχόμενοι τῇ διανοίᾳ, ὁμοίως ἐμπαροινοῦσι τῷ ἐνδύματι τῷ βασιλικῷ. Διέῤῥηξαν μὲν οὖν αὐτὸ Ἰουδαῖοι[a] τῷ σταυρῷ, μολύνει δὲ καὶ ὁ ἀκαθάρτῳ δεχόμενος αὐτὸ ψυχῇ· ὥστε εἰ καὶ διάφορα τὰ τῆς παρανομίας, ἀλλὰ τὰ τῆς ὕβρεως ἴσα. Τοῦτο πολλῶν καθήψατο, τοῦτο πολλοὺς ἐθορύβησεν· ἔδακε τὸ συνειδὸς τῶν ἀκουόντων, μᾶλλον δὲ οὐχὶ τῶν ἀκουόντων μόνον, ἀλλὰ καὶ ἐμοῦ τοῦ λέγοντος πρὸ ὑμῶν· κοινὴ γὰρ ἡ διδασκαλία, κοινὰ τὰ τραύματα· διὸ καὶ κοινὰ τὰ φάρμακα ἐπιτίθημι. Τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο ἔργον, ὥστε καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας τοῖς αὐτοῖς ὑποκεῖσθαι νόμοις, τῆς αὐτῆς κοινωνεῖν φύσεως, ὁμοίως ἕκαστον ὑπεύθυνον εἶναι παραβαίνοντα. Διὰ τί; Ἵνα μετὰ συμμετρίας ποιῆται τὴν ἐπιτίμησιν, ἵνα συγγνωμονικὸς γένηται τοῖς ἁμαρτάνουσιν, ἵνα ἀναμιμνησκόμενος τῆς οἰκείας ἀσθενείας μὴ ἀφόρητον ποιῆται τὸν ἔλεγχον. Διὰ τοῦτο οὐκ ἀγγέλους ἐκ τῶν οὐρανῶν καταγαγὼν ὁ Θεὸς τῇ τῶν ἀνθρώπων φύσει διδασκάλους ἐπέστησεν, ἵνα μὴ διὰ τὸ τῆς φύσεως ὑπερέχον, καὶ τῆς ἀνθρωπίνης ἀσθενείας τὴν ἄγνοιαν, ἀφειδέστερον ποιῶνται τὰς καθ' ἡμῶν ἐπιτιμήσεις· ἀλλὰ ἀνθρώπους θνητοὺς ἔδωκε διδασκάλους καὶ ἱερέας, ἀνθρώπους ἀσθένειαν περικειμένους, ἵν' αὐτὸ δὴ τοῦτο, τὸ τοῖς[b] αὐτοῖς ὑπεύθυνον εἶναι καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας, χαλινὸς γένηται τῇ τοῦ λέγοντος γλώττῃ, μὴ συγχωρῶν πέρα τοῦ μέτρου ποιεῖσθαι τὰς κατηγορίας. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτὸς ὁ Παῦλος, ὁ τὸν νόμον ἐκεῖνον θεὶς, καὶ ταύτην ἡμᾶς ἐδίδαξε τὴν αἰτίαν, οὕτως εἰπών· *Πᾶς γὰρ ἱερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις.* Πόθεν καὶ διὰ τί; *Ἐπειδὴ καὶ αὐτὸς περίκειται ἀσθένειαν.* Ὁρᾷς ὅτι ἡ ἀσθένεια τῆς συμπαθείας ὑπόθεσις γίνεται, καὶ τὸ συγγενὲς τῆς φύσεως οὐκ ἀφίησιν εἰς ἀμετρίαν ποτὲ ἐκπεσεῖν τὸν ἐπιτιμῶντα, κἂν σφόδρα φιλονεικῇ; Τίνος δὲ ἕνεκεν ταῦτα εἶπον;

[a] Colb. αὐτοὶ Ἰουδαῖοι.
[b] Sic nos e Savilio; Montf. τοῦτο, καὶ τοῖς. Edit.

liaretur a diabolo, jacturam se illorum posse facere meditatus esset. Et tu igitur opes contemne, dum adsunt, ut, cum aliquando ablatæ fuerint, nequaquam dolore frangaris. Expende illas in res utiles, dum suppetunt, ut, cum creptæ fuerint, duplex tibi quæstus obveniat, tum ob paratam tibi mercedem, quod eas optime expenderis, tum ob acquisitam ex earum contemptu philosophiam et patientiam, quæ tibi tum erit usui, cum illis fueris destitutus. Propterea namque χρήματα pecuniæ vocantur, ut illis utamur, ut decet, non ut eas defodiamus : possessiones propterea dicuntur, ut nos eas possideamus, non ab illis possideamur. Dominus es pecuniarum multarum, noli ergo illis servire, quorum dominum te constituit Deus : non servies autem, si, ut decet, illas expendas, non humi defodias. Nihil ita lubricum est, ut divitiæ ; nihil ita mutabile est, ut opes. Quando igitur adeo instabilis est illarum possessio, ac celerius illæ quam volucris a nobis avolant, et injustius quam fugitivus quivis aufugiunt : quo tempore domini illarum sumus, illis utamur, ut decet, quo possimus ex instabilibus pecuniis stabilia nobis bona comparare, ac reconditum nobis in cælis thesaurum possidere, quo nobis omnibus utinam potiri contingat, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria simulque Spiritui Sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

REM ESSE PERICULI PLENAM CUM IIS QUI DICUNT, TUM IIS QUI AUDIUNT, AD GRATIAM CONCIONARI : ATQUE UTILE ESSE, ET JUSTITIAM MAXIMAM PROPRIA INCUSARE PECCATA(a).

1. Satis, opinor, vos nuper increpavimus, ac profundiorem plagam infliximus : itaque necesse est hodie medeamur, ac mitiora medicamenta quædam apponamus. Hic enim optimus est medicinæ modus, ut non modo secentur ulcera, verum etiam obligentur : hæc præclara doctrinæ lex est, ut non modo reprehendantur discipuli, verum etiam cohortationibus et consolationibus adjuventur. Ita quoque Paulus fieri jussit : *Argue, increpa, exhortare* (2. *Tim.* 4. 2). Quod si semper exhortetur quispiam, negligentiores reddit auditores : si tantum increpet, asperiores efficit : cum enim assiduarum onus reprehensionum ferre non possint, confestim abscedunt. Quocirca varius quidam adhibendus est docendi modus. Quando igitur superiori collecta cujusque mentem acrius sermo perstrinxit, leniori nunc docendi modo nobis est opus hodierno die, ac doloribus, quos reprehensiones inusserunt, necesse est tamquam oleum lenitatem sermonis instillemus, si prius vobis in memoriam reprehensiones ipsas revocaverimus.

Lex Pauli de iis, qui indigne communicant. — Legem Pauli vobis nuper de sacramentorum participatione recitavimus, qua cuncti, qui mysteriis initiati sunt, obstringuntur. Hæc autem lex erat : nihil enim rursus illam prohibet recitari : *Probet autem seipsum unusquisque, et sic de pane illo edat, et de calice bibat* (1. *Cor.* 11. 28). Sciunt, qui mysteriis initiati sunt, quid dicamus, et quis hic panis sit, quisve calix. *Qui enim manducat et bibit*, inquit, *indigne Domino, reus erit corporis et sanguinis Domini* (*Ibid.* v. 27). Hanc vobis legem recitavimus, et verborum sensum exposuimus. Diximus quid sit, *Reus erit corporis et sanguinis Domini*, easdem nimirum pœnas daturum, quas et illi, qui Christum crucifixere sustinebant. Nam quemadmodum homicidæ illi rei facti sunt sanguinis, sic et isti qui sacramentis indigne communicant : hoc enim est, *Reus erit corporis et sanguinis Domini*. Videbatur dictum illud plane modum excedere, atque intolerabiles minæ censebantur : rationem adjunximus ductam ab exemplo, quæ mirifice quadrabat. Ut enim sive quis regiam purpuram discindat, inquiebam, sive luto coinquinet, ex æquo regem, qui ea indutus est, afficit contumelia : sic nimirum hoc loco cum illi, qui Dominicum corpus necarunt, tum qui immunda recipiunt anima, parem injuriam regio inferunt vestimento. Disciderunt quidem illud in cruce Judæi; coinquinat autem is, qui immunda suscipit illud anima : itaque licet diversa peccata sint, tamen æqualis est injuria. Hoc multos perstrinxit, hoc multos perturbavit, et conscientiam auditorum pupugit, nec auditorum tantum, sed meam, qui ad vos sermonem habeo, prius quam vestram. Communis est quippe doctrina, communia sunt vulnera : quapropter et communia adhibeo medicamenta. Hoc divinæ benignitatis opus fuit, ut et is qui sermonem habet, et qui audiunt, iisdem subjaceant legibus, ejusdem participes sint naturæ, et pariter reus quisque sit, ubi transgressus legem fuerit. Qua de causa ? Ut moderatam adhibeat increpationem, ut indulgentior fiat in eos qui peccant, ut ne, propriæ memor imbecillitatis, intolerandam adhibeat reprehensionem. Propterea non angelos e cælo delapsos magistros humanæ naturæ præfecit, ne propter excellentiam naturæ, atque humanæ infirmitatis ignorationem asperiores reprehensiones nobis adhiberent : sed homines mortales magistros ac sacerdotes concessit, homines infirmitate circumdatos, ut hoc ipso, quod eisdem obnoxii sint, et is qui sermonem habet, et illi qui audiunt, concionatoris linguæ frenum injiciatur, quod eum non sinat ultra modum suas castigationes extendere. Atque hoc verum esse declarat Paulus, qui legem illam tulit, et hanc causam nos docuit his verbis utens : *Omnis enim pontifex ex hominibus assumptus pro hominibus constituitur, qui condolere possit iis, qui ignorant, et errant* (*Hebr.* 5. 1. *et* 2). Qua occasione, et cur tandem? *Quoniam et ipse circumdatus est infirmitate.* Vides infirmitatem compassionis occasionem esse, neque sinere cognationem naturæ, ut quis in reprehendendo modum excedat; etsi vehementer contendat? Sed quam ob causam ista dixi? Ne forte dicatis : Tu qui

(a) Collata cum Cod. Colb. 1030, qui non multum variat.

mundus es a peccatis, et a molestia, quam increpatio parit, immunis ac liber es, magna cum potestate profundiorem nobis sectionem infligis. Siquidem ego prior molestiam sentio, quandoquidem et ipse obnoxius sum peccatis. *Omnes enim in correptionibus sumus* (*Eccli.* 8. 6), et, *Nemo gloriabitur castum se habere cor* (*Prov.* 20. 9). Itaque non quod in alienis philosopharer malis, neque ex inhumanitate quapiam, sed præ nimia sollicitudine reprehensiones illas adhibui Nam in corporum quidem curatione, qui plagam infligit, nullum plagæ sensum capit, sed ille, qui secatur, solus doloribus cruciatur: at in animarum curatione non ita, nisi forte fallar, dum ex meis de aliorum rebus judico; sed ipse prior cruciatur, qui concionem habet, quando cæteros increpat. Neque enim sic a cæteris reprehensi dolemus, ac si alios reprehendamus ob peccata, quorum ipsi rei simus. Statim enim concionatorem objurgat conscientia, quodque se videat magisterii dignitate decoratum in eadem cum discipulis peccata prolabi, atque iisdem reprehensionibus indigere, graviorem concionatori dolorem inurit.

2. *Metus pœnæ peccata minuit.* — Atque hæc non sine causa nunc conqueror; sed quoniam permulti eorum quæ dicta sunt acerbitatem non ferentes, cum hinc recessissent, accedentes indignabantur et excandescebant; Avocas nos, aiebant, a sacra mensa, et a communione repellis. Idcirco hæc dicere sum coactus, ut intelligatis me non avocare, sed potius convocare, non repellere, nec arcere, sed per ipsas reprehensiones magis allicere. Metus enim denuntiati supplicii, cum tamquam ignis in ceram in eorum conscientiam, qui peccant, inciderit, delicta dissolvit ac discutit, dum semper imminet, et puram ac splendidam mentem reddens, majorem fiduciam nobis inserit: porro fiducia concepta major exoritur animi promptitudo ad frequentem ineffabilium ac tremendorum mysteriorum communionem obeundam. Et quemadmodum qui acerba medicamenta porrigit iis, qui stomachi vitio cibos fastidiunt, ac pravos expurgat humores, dejectum excitat appetitum, et efficit, ut majori alacritate consuetos cibos degustent: sic nimirum is qui acerba profert verba, pravisque mentem cogitationibus purgat, et grave peccatorum onus excutit, efficit ut conscientia respiret ac multa cum voluptate Dominicum corpus degustet. Non est igitur ob ea quæ dicta sunt succensendum, sed ea approbanda sunt et laudanda.

Concionatorum officium. — Quod si forte imbecilliores sint quidam, neque defensionem hanc nostram ferant, ita cum illis agam, ut moneam me non a me ipso latas leges exponere, sed de cælo delapsas literas legere, ac proinde necessarium esse, ut cum hoc mihi creditum sit ministerium, aut quæ continentur illis confidenter ac libere cuncta dicam, et utilitatem ubique, non voluptatem, quæram auditorum, aut eorumdem odium reformidem, et hoc intempestivo beneficio salutem meam simul et illorum prodam. Nam et concionatori simul et auditoribus admodum periculosum esse quidpiam ex legibus divinis celare, ac tamquam cordis patratæ reos judicare doctores, nisi absque metu cuncta Dei jura ac decreta promulgent, Pauli vobis testimonio comprobabo. Propterea namque in omnibus rebus ad beatam illam animam sæpe confugio, quod fructuosæ quædam sacræque leges Pauli sint verba. Non enim Paulus est, qui loquitur, sed qui ejus animam movet Christus, siquidem per illum cuncta loquitur, quæ ille pronuntiat. Quid igitur ait Paulus? Cum eos qui Ephesum incolebant vocasset, ac postremam ad illos concionem habuisset, propterea quod ab illis deinceps discessurus erat, ut illorum præsules doceret, non minus quam qui sanguinem funderent discipulorum, eos qui res utiles celarent pœnis esse obnoxios ac supplicis, ita loquitur: *Mundus sum ego a sanguine omnium.* Quid ita? *Non enim subterfugi, quo minus annuntiarem vobis omne consilium Dei* (*Act.* 20. 26. 27): itaque si subterfugisset, quo minus annuntiaret, mundus a sanguine non fuisset, verum ut homicida damnatus esset; ac merito sane. Nam homicida quidem corpus tantum interficit; qui vero ad gratiam concionatur, et segniores reddit auditores, animam perdit: atque ille quidem præsenti morti tradit, hic vero perdit animam, et ad æternas pœnas suppliciaque transmittit. An igitur solus hoc dicit Paulus? Nequaquam, sed ante Paulum Deus rursus istud ipsum per prophetam subindicat, ita dicens: *Speculatorem dedi te domui Israel* (*Ezech.* 3. 17). Quid est hoc, *Speculatorem?* Speculator dicitur is, qui, dum exercitus inferius considet, sublimem et eminentem in colle locum occupat, et inde invadentes hostes speculatur, atque in valle sedentibus eorum adventum denuntiat, ut ad pugnam capessendam eos excitet, ne si in illos incautos irruant, magna illos cum facilitate trucident. Quando igitur multa, quæ nobis imminent, mala non videmus nos, qui humi versamur, ita divina gratia disponente factum est, ut tamquam in sublimi loco prophetiæ stantes prophetæ sancti irruituram in nos iram divinam a longe prænuntiarent, ut nos per pœnitentiam reparantes, animamque nostram lapsam erigentes, multo ante infligendam a Deo plagam repellamus. Idcirco, *Speculatorem*, inquit, *dedi te domui Israel:* ut calamitatem imminentem prænunties, quemadmodum hostes ille. Neque vero mediocrem pœnam concionatori, qui divinam iram non prænuntiarit, imponit. Quam vero tandem? Animas eorum, qui perierint, inquit, de manu tua requiram (*Ib. v.* 5). Quis igitur est ille tam crudelis et inhumanus, et immisericors, qui concionatori vitio vertat dicenti, deque ira divina frequenter verba facienti, cum tantas luiturus sit pœnas, si tacuerit? Nobis ergo qui concionamur, nequaquam prodesse, si talia siluerimus, sufficienter et propheta nos docuit, et apostolus; sed neque vobis prodesse, qui auditis, inde constabit. Nam si ego, dum sileo, peccata silentio absconderem, recte succenseret unusquisque, ac merito indignaretur, nisi silerem: sin autem, quantumvis jam non sileamus, omnino necesse est ut illic delicta manifestentur,

Ἵνα μὴ λέγητε ὅτι Σὺ καθαρὸς ὢν ἁμαρτημάτων, ἀπηλλαγμένος τῆς ὀδύνης τῆς κατὰ τὴν ἐπιτίμησιν, μετὰ πολλῆς ἐξουσίας ἐπιφέρεις ἡμῖν βαθυτέραν τὴν τομήν. Ἐγὼ γὰρ πρότερος αἰσθάνομαι τῆς ὀδύνης, ἐπειδὴ καὶ αὐτὸς ὑπεύθυνός εἰμι τοῖς ἁμαρτήμασι. *Πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις·* καὶ, *Οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν.* Ὥστε οὐκ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς, οὐδὲ ἐξ ἀπανθρωπίας τινὸς, ἀλλ' ἀπὸ κηδεμονίας πολλῆς τοὺς ἐλέγχους ἐποιησάμην ἐκείνους. Ἐπὶ μὲν γὰρ τῶν τὰ σώματα ἰατρευόντων, ὁ μὲν ἐπάγων τὴν πληγὴν οὐδεμίαν λαμβάνει τῆς πληγῆς αἴσθησιν, ὁ δὲ τεμνόμενος, οὗτός ἐστιν ὁ διασπώμενος ταῖς ἀλγηδόσι μόνος· ἐπὶ δὲ τῶν τὰς ψυχὰς θεραπευόντων οὐχ οὕτως, εἰ μήτι γε σφάλλομαι ἐξ ἑαυτοῦ τὰ τῶν λοιπῶν δοκιμάζων, ἀλλ' αὐτὸς πρότερος ὀδυνᾶται ὁ λέγων, ἡνίκα ἂν ἑτέροις ἐπιτιμᾷ. Οὐδὲ γὰρ οὕτως ἐλεγχόμενοι παρ' ἑτέρων ἀλγοῦμεν, ὡς ἐλέγχοντες ἑτέρους ὑπὲρ ἁμαρτημάτων, ὧν ἐσμεν ὑπεύθυνοι. Ἐπιλαμβάνεται γὰρ εὐθέως τὸ συνειδὸς τοῦ λέγοντος, καὶ τὸ διδασκαλίας [660] περικείμενον ἀξίωμα, εἰς τὰ αὐτὰ τοῖς μαθηταῖς καταπίπτειν ἁμαρτήματα, καὶ τῶν αὐτῶν δεῖσθαι ἐλέγχων, πικροτέραν τῷ λέγοντι ποιεῖ τὴν ὀδύνην.

β'. Καὶ ταῦτα οὐχ ἁπλῶς ἀποδύρομαι νῦν· ἀλλ' ἐπειδὴ πολλοὶ τὸ βάρος τῶν εἰρημένων οὐκ ἐνεγκόντες, μετὰ τὴν ἀναχώρησιν προσελθόντες ἐδυσχέραινον, ἠγανάκτουν, Ἀπάγεις ἡμᾶς, λέγοντες, τῆς ἱερᾶς τραπέζης, καὶ τῆς κοινωνίας ἀποσοβεῖς. Διὰ τοῦτο ταῦτα ἠναγκάσθην εἰπεῖν, ἵνα μάθητε ὅτι οὐκ ἀπάγω, ἀλλὰ συνάγω μᾶλλον· οὐκ ἀποσοβῶ οὐδὲ ἀπείργω, ἀλλ' ἐπισπῶμαι διὰ τῶν ἐλέγχων πλέον. Ὁ γὰρ φόβος τῆς εἰρημένης τιμωρίας, καθάπερ πῦρ εἰς κηρὸν, οὕτως εἰς τὸ συνειδὸς τῶν ἁμαρτανόντων ἐμπίπτων, λύει μὲν ἡμῶν καὶ τήκει τὰ πλημμελήματα, διηνεκῶς ἐγκαθήμενος, καθαρὰν δὲ καὶ ἀποστίλβουσαν ἐργαζόμενος τὴν διάνοιαν, πλείονα τὴν παῤῥησίαν ἡμῖν ἐντίθησιν[a]· ἀπὸ δὲ τῆς παῤῥησίας καὶ προθυμίας πλείων γένοιτ' ἂν πρὸς τὸ συνεχῶς τῶν ἀπορῥήτων καὶ φρικτῶν κοινωνεῖν μυστηρίων. Καὶ καθάπερ ὁ πικρὰ φάρμακα τοῖς κακοσίτοις διδοὺς, καὶ τοὺς πονηροὺς ἐκκαθαίρων χυμοὺς, διεγείρει τὴν καταβεβλημένην ὄρεξιν, καὶ μετὰ πλείονος παρασκευάζει τῆς προθυμίας τῆς συνήθους ἅπτεσθαι τροφῆς· οὕτω δὴ καὶ ὁ πικρὰ λέγων ῥήματα, καὶ καθαίρων τοὺς πονηροὺς λογισμοὺς τῆς διανοίας, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποσκευαζόμενος φορτίον, δίδωσιν ἀναπνεῦσαι τῷ συνειδότι, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς ἀπογεύσασθαι τοῦ σώματος παρασκευάζει τοῦ δεσποτικοῦ. Οὐ τοίνυν δυσχεραίνειν ὑπὲρ τῶν εἰρημένων χρὴ, ἀλλ' ἀποδέχεσθαι καὶ ἐπαινεῖν.

Εἰ δέ τινες ἀσθενέστερον διάκεινται, καὶ οὐκ ἀνέχονται ταύτης ἡμῶν τῆς ἀπολογίας, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτοὺς, ὅτι Οὐκ ἐμαυτοῦ νόμους ὑμῖν ἐξηγοῦμαι, ἀλλ' ἐκ τῶν οὐρανῶν καταβάντα ἀναγινώσκω γράμματα· καὶ ἀνάγκη τὸν ταύτην ἐμπιστευθέντα τὴν διακονίαν, ἢ πάντα μετὰ παῤῥησίας εἰπεῖν τὰ ἐγκείμενα, τὸ συμφέρον, ἀλλὰ μὴ τὸ ἡδὺ τοῖς ἀκροαταῖς πανταχοῦ ζητοῦντα· ἢ τὴν τῶν ἀκουόντων ὑπειδόμενον ἀτιμίαν, καὶ τὴν ἑαυτοῦ καὶ τὴν ἐκείνων προέσθαι σωτηρίαν, διὰ τῆς ἀκαίρου ταύτης χάριτος. Ὅτι γὰρ καὶ τῷ λέγοντι καὶ τοῖς ἀκούουσι σφόδρα ἐπικίνδυνον τὸ τῶν θείων ἀποκρύπτεσθαί τι νόμων, καὶ ὅτι φόνων ὑπεύθυνοι οἱ διδάσκαλοι κρίνονται, ὅταν μὴ πάντα χωρὶς ὑποστολῆς ἐξηγῶνται τοῦ Θεοῦ τὰ δικαιώματα, Παῦλον ὑμῖν τούτων πάλιν παρέξομαι μάρτυρα. Διὰ γὰρ τοῦτο συνεχῶς ὑπὲρ ἁπάντων ἐπὶ τὴν ἁγίαν ἐκείνην καταφεύγω ψυχὴν, ὅτι χρήσιμοί τινές εἰσι καὶ θεῖοι νόμοι τὰ Παύλου ῥήματα. Οὐ γὰρ Παῦλός ἐστιν ὁ λαλῶν, ἀλλ' ὁ Χριστὸς ὁ τὴν ἐκείνου ψυχὴν κινῶν· δι' ἐκείνου γὰρ φθέγγεται πάντα, ἅπερ ἐκεῖνος εἶπε. Τί τοίνυν φησὶν ὁ Παῦλος; Καλέσας τοὺς τὴν Ἔφεσον οἰκοῦντας, καὶ ἐσχάτην πρὸς αὐτοὺς δημηγορίαν εἰπὼν, ἐπειδὴ λοιπὸν αὐτῶν ἀπίστασθαι ἤμελλε, διδάσκων τοὺς ἐφεστηκότας αὐτοῖς, ὅτι καθάπερ οἱ τὸ αἷμα ἐκχέοντες τῶν μαθητῶν, οὕτως οἱ τὰ συμφέροντα [661] μὴ λέγοντες αὐτοῖς, εἰσὶν ὑπεύθυνοι κολάσεως καὶ τιμωρίας, οὕτω πώς φησι· *Καθαρός εἰμι ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.* Διὰ τί; *Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ·* ὡς εἰ ὑπεστείλατο τοῦ μὴ ἀναγγεῖλαι, οὐκ ἦν καθαρὸς ἐκ τοῦ αἵματος, ἀλλ' ὡς ἀνδροφόνος ἐκρίνετο, καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ ἀνδροφόνος τὸ σῶμα ἀναιρεῖ μόνον, ὁ δὲ πρὸς χάριν δημηγορῶν, καὶ ῥᾳθυμοτέρους ποιῶν τοὺς ἀκροατὰς, τὴν ψυχὴν ἀπόλλυσι· κἀκεῖνος μὲν τῷ παρόντι προδίδωσι θανάτῳ, οὗτος δὲ τὴν ψυχὴν ἀπόλλυσι, καὶ πρὸς τὰς ἀθανάτους παραπέμπει κολάσεις καὶ τιμωρίας. Ἆρα οὖν Παῦλος μόνος τοῦτό φησιν; Οὐδαμῶς, ἀλλὰ καὶ πρὸ Παύλου πάλιν ὁ Θεὸς διὰ τοῦ προφήτου τὸ αὐτὸ τοῦτο αἰνίττεται οὕτω λέγων· *Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ.* Τί ἐστι, *Σκοπόν*; Σκοπὸς λέγεται ὁ τῶν στρατοπέδων κάτω καθημένων ὑψηλὸν καὶ γεώλοφον χωρίον καταλαβὼν κἀκεῖθεν ἐπιόντας τοὺς πολεμίους σκοπεύων, καὶ τοῖς κάτω καθημένοις μηνύων τὴν ἔφοδον, καὶ διεγείρων πρὸς τὴν τοῦ πολέμου παράταξιν, ὥστε μὴ ἀφυλάκτοις ἐπιπεσόντας, μετὰ πολλῆς διαχειρίσασθαι τῆς εὐκολίας. Ἐπεὶ οὖν πολλὰ τῶν ἐπιόντων δεινῶν οὐχ ὁρῶμεν ἡμεῖς οἱ χαμαὶ βαδίζοντες, ᾠκονόμησεν ἡ τοῦ Θεοῦ χάρις, ὥσπερ ἐφ' ὑψηλοῦ χωρίου τῆς προφητείας τοὺς ἁγίους προφήτας ἑστῶτας, μέλλουσαν τοῦ Θεοῦ τὴν ὀργὴν ἡμῖν ἐπιέναι πόῤῥωθεν προμηνύειν, ἵνα διὰ τῆς μετανοίας ἑαυτοὺς ἀνακτησάμενοι, καὶ πεπτωκυῖαν ἡμῶν τὴν ψυχὴν ἀνορθώσαντες, τὴν θεήλατον πόῤῥωθεν ἀποκρουσώμεθα πληγήν. Διὰ τοῦτό φησι· *Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ·* ἵνα μέλλουσαν ἐπιέναι τὴν συμφορὰν προμηνύσῃς, καθάπερ ἐκεῖνος τοὺς πολεμίους. Καὶ τιμωρίαν δὲ οὐ μικρὰν ἐπιτίθησι τῷ μὴ προλέγοντι τοῦ Θεοῦ τὴν ὀργήν. Ποίαν δὴ ταύτην; Τὰς ψυχὰς τῶν ἀπολλυμένων, φησὶν, ἐκ τῆς χειρός σου ἐκζητήσω. Τίς οὖν οὕτως ὠμὸς καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθὴς, ὡς ἐγκαλεῖν τῷ λέγοντι καὶ περὶ τῆς τοῦ Θεοῦ διαλεγομένῳ συνεχῶς ὀργῆς, τοσαύτην κόλασιν ὑφίστασθαι μέλλοντι, εἰ σιγήσειεν; Ὅτι μὲν οὖν ἡμῖν οὐ συμφέρει τοῖς λέγουσι τὰ τοιαῦτα σιγᾶν, ἱκανῶς καὶ ὁ προφήτης καὶ ὁ ἀπόστολος ἡμᾶς ἐπαίδευσεν· ὅτι δὲ οὐδὲ ὑμῖν τοῖς ἀκούουσι, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ ἐγὼ σιγήσας ἀπέκρυπτον τῇ σιγῇ τὰ ἁμαρτήματα, καλῶς ἐδυσχέραινεν ἕκαστος καὶ ἠγανάκτει δικαίως, μὴ σιγῶντος ἐμοῦ· εἰ δὲ καὶ ἡμῶν σιγώντων νῦν, ἀνάγκη πάντως ἐκεῖ

[a] Coib ἐπιτίθησιν.

φανῆναι τὰ πλημμελήματα, τί τὸ ὄφελος ἀπὸ τῆς σιγῆς γένοιτ' ἄν; Ἀλλ' ὄφελος μὲν οὐδὲν, βλάβη δὲ ἐσχάτη. Ἂν μὲν γὰρ εἴπω νῦν, εἰς μετάνοιαν ἄγω καὶ κατάνυξιν διανοίας· ἂν δὲ σιγήσω, νῦν μὲν οὐκ ἀναμνησόμεθα τῶν πεπλημμεληκότων ἡμῖν, οὐδὲ μετανοήσομεν· ἐκεῖ δὲ αὐτὰ ὀψόμεθα πρὸ τῶν ὀφθαλμῶν γυμνὰ καὶ τετραχηλισμένα, καὶ θρηνήσομεν εἰκῆ καὶ μάτην.

γ'. Ἐπεὶ οὖν ἀνάγκη πάντως, ἢ ἐκεῖ, ἢ ἐνταῦθα κατανυγῆναι ἐπὶ τοῖς ἁμαρτήμασι, βέλτιον ἐνταῦθα, καὶ μὴ ἐκεῖ. Πόθεν τοῦτο δῆλον; Ἀπὸ τῶν προφητικῶν ῥημάτων, ἀπὸ τῶν εὐαγγελικῶν. [662] Ὁ μὲν γὰρ προφήτης φησὶν, *Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;* οὐχ ὅτι οὐκ ἐξομολογούμεθα, ἀλλ' ὅτι εἰκῆ τοῦτο ποιοῦμεν. Ὁ δὲ Χριστὸς καὶ διὰ παραβολῆς αὐτὸ τοῦτο ἐπαίδευσε. Λάζαρος γάρ τις ἦν πτωχὸς, φησὶν, ἡλκωμένος πάντοθεν, νόσον ἀνίατον ἔχων· ἕτερος δέ τις πλούσιος τῶν ψιχίων οὐ μετεδίδου τῷ πένητι. Καὶ τί δεῖ πᾶσαν ἐπελθεῖν τὴν παραβολήν; ἴστε γὰρ τὴν ἱστορίαν ἅπασαν, τὴν ὠμότητα τοῦ πλουσίου, πῶς οὐ μετεδίδου τῆς τραπέζης τῷ πτωχῷ, τὴν πενίαν τὴν ἐκείνου καὶ τὸν λιμὸν, ᾧ προσεπάλαιε διηνεκῶς. Ἀλλ' ἐνταῦθα ταῦτα· ἐπειδὴ δὲ ἐτελεύτησεν ἕκαστος, ὁρᾷ τὸν πτωχὸν ἐκεῖνον ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ. Καὶ τί φησι· *Πάτερ Ἀβραάμ, ἀπόστειλόν αὐτὸν, ἵνα ἐπιστάξῃ τῷ δακτύλῳ ἄκρῳ τῇ γλώττῃ μου, ἵνα ἀναπαύσωμαι τῆς ὀδύνης.* Εἶδες ἀντίδοσιν; οὐ μετέδωκεν αὐτῷ ψιχίων, οὐ μεταλαμβάνει σταγόνος ὕδατος. *ὯΙ γὰρ μέτρῳ, φησὶ, μετρεῖτε, μετρηθήσεται ὑμῖν.* Τί οὖν ὁ Ἀβραάμ; *Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος μὲν ἐνταῦθα παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.* Ἀλλὰ τὸ ζητούμενον, ὅτι κατανύσσονται μὲν ἐπὶ τοῖς ἁμαρτήμασι καὶ μεταβάλλονται καὶ βελτίους γίνονται ἀπὸ τῆς γεέννης, οὐδὲν δὲ κερδαίνουσιν εἰς παραμυθίαν τῆς φλογός· *Πάτερ* γὰρ, *ἀπόστειλόν αὐτὸν εἰς τὸν οἶκόν μου,* φησὶν, *ἵνα τοῖς συγγενέσι μου διαμαρτύρηται, καὶ μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον.* Αὐτὸς ἀποτυχὼν τῆς εὐεργεσίας, ἑτέροις προξενεῖ τὴν σωτηρίαν λοιπόν. Εἶδες πῶς ὠμὸς ἦν πρὸ τούτου, πῶς φιλάνθρωπος ἐγένετο μετὰ ταῦτα; Πρὸ τῶν ὀφθαλμῶν κείμενον παρέτρεχε τὸν Λάζαρον ζῶν, νυνὶ δὲ καὶ ἀπόντων φροντίζει τῶν συγγενῶν· καὶ τότε μὲν ἐν περιουσίᾳ ὢν, πρὸς τὴν ἐλεεινὴν οὐκ ἐπεκάμπτετο τοῦ πτωχοῦ θέαν, νυνὶ δὲ ἐν ὀδύναις καὶ ἀνάγκαις ὢν ἀπαραιτήτοις, κήδεται τῶν αὐτῷ προσηκόντων, καὶ ἀξιοῖ πεμφθῆναι τὸν ταῦτα ἀπαγγελοῦντα αὐτοῖς. Ὁρᾷς πῶς φιλάνθρωπος γέγονε καὶ ἥμερος καὶ συμπαθητικός;

Τί οὖν; ἀπώνατό τι τῆς μετανοίας; ἐγένετό τι κέρδος αὐτῷ ἀπὸ τῆς κατανύξεως; Οὐδαμῶς· ἄκαιρος γὰρ ἡ μετάνοια. Ἐλύθη τὸ θέατρον, ἀπῆλθε τὰ σκάμματα, οὐκ ἔτι καιρὸς τῶν παλαισμάτων ἦν· διὰ τοῦτο παρακαλῶ, καὶ δέομαι καὶ ἀντιβολῶ, ἐνταῦθα ὀδύρεσθαι χρὴ καὶ θρηνεῖν ἐπὶ τοῖς ἁμαρτήμασι. Λυπείτω ἡμᾶς ἐνταῦθα τὰ ῥήματα, καὶ μὴ φοβείτω ἐκεῖ τὰ πράγματα· δακνέτω ἡμᾶς ὁ λόγος ἐνταῦθα, καὶ μὴ δακνέτω ἡμᾶς ἐκεῖ σκώληξ ὁ ἰοβόλος· καιέτω ἡμᾶς ἐνταῦθα ἡ ἐπιτίμησις, καὶ μὴ καιέτω ἐκεῖ ἡ γέεννα τοῦ πυρός. Τοὺς ἐνταῦθα θρηνοῦντας ἀκόλουθον ἐκεῖ παρακληθῆναι· τοὺς ἐνταῦθα τρυφῶντας καὶ γελῶντας καὶ ἀναλγήτως περὶ τὰ ἁμαρτήματα διακειμένους ἀνάγκη πᾶσα ἐκεῖ θρηνῆσαι καὶ ὀδύρεσθαι, καὶ βρῦξαι τοὺς ὀδόντας. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ τότε δικάζοντος ἡμῖν· *Μακάριοι* γὰρ, φησὶν, *οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· Οὐαὶ ὑμῖν, οἱ γελῶντες, ὅτι κλαύσετε.* Πόσῳ τοίνυν [663] βέλτιον πρόσκαιρον κατάνυξιν καὶ ὀδυρμὸν ἀθανάτων ἀλλάξασθαι καλῶν καὶ ἡδονῆς τέλος οὐκ ἐχούσης, ἢ τὸν βραχὺν τοῦτον καὶ πρόσκαιρον βίον ἐνταῦθα γελάσαντας, ἀπελθεῖν ἐκεῖ κολασθησομένους ἀθάνατα; Ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς τὰ ἁμαρτήματα ἐξειπεῖν; Μάλιστα μὲν εἰ καὶ ἐπ' ἀνθρώπων ἔδει ταῦτα λέγειν καὶ ἐκπομπεύειν, οὐδὲ οὕτως αἰσχύνεσθαι ἔδει· αἰσχύνη γὰρ τὸ ἁμαρτάνειν, οὐ τὸ ὁμολογῆσαι τὰ ἁμαρτηθέντα· νυνὶ δὲ οὐδὲ ἀνάγκη παρόντων μαρτύρων ἐξομολογεῖσθαι. Παρὰ τοῖς λογισμοῖς τοῦ συνειδότος γιγνέσθω τῶν πεπλημμεληκότων ἡ ἐξέτασις· ἁμάρτυρον ἔστω τὸ δικαστήριον· ὁ Θεὸς ὁράτω σε μόνος ἐξομολογούμενον, ὁ Θεὸς ὁ μὴ ὀνειδίζων τὰ ἁμαρτήματα, ἀλλὰ λύων τὰ ἁμαρτήματα ἀπὸ τῆς ἐξομολογήσεως. Ἀλλὰ καὶ οὕτως ὀκνεῖς καὶ ἀναδύῃ; Οἶδα κἀγὼ, ὅτι οὐκ ἀνέχεται τὸ συνειδὸς τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων. Ἂν γὰρ ἔλθωμεν μόνον εἰς ἀνάμνησιν τῶν πεπλημμεληκότων ἡμῖν, καθάπερ πῶλός τις ἀδάμαστος καὶ δυσήνιος, σκιρτᾷ ἡ διάνοια. Ἀλλὰ κάτασχε, χαλίνωσον, κατάψηχε τῇ χειρὶ, ἥμερον αὐτὴν ποίησον, πεῖσον ὅτι ἂν μὴ νῦν ἐξομολογήσηται, ἐκεῖ ἐξομολογήσεται, ὅπου πλείων ἡ κόλασις, ὅπου μείζων ὁ παραδειγματισμός. Ἐνταῦθα ἀμάρτυρόν ἐστι τὸ δικαστήριον, καὶ σὺ σαυτῷ δικάζεις ὁ ἡμαρτηκώς· ἐκεῖ δὲ εἰς μέσον τὸ θέατρον τῆς οἰκουμένης ἅπαντα παραχθήσεται, ἂν μὴ προλαβόντες ἐνταῦθα αὐτὰ ἀπαλείψωμεν. Αἰσχύνῃ ὁμολογῆσαι ἁμαρτήματα; αἰσχύνου πρᾶξαι ἁμαρτήματα. Ἡμεῖς δὲ ὅταν αὐτὰ πράττωμεν, ἰταμῶς καὶ ἀναισχύντως τολμῶμεν· ὅταν δὲ ὁμολογῆσαι δέῃ, τότε αἰσχυνόμεθα καὶ ὀκνοῦμεν, δέον μετὰ προθυμίας τοῦτο ποιεῖν. Οὐ γάρ ἐστιν αἰσχύνη κατηγορεῖν ἁμαρτημάτων, ἀλλὰ δικαιοσύνη καὶ ἀρετή· εἰ μὴ δικαιοσύνη καὶ ἀρετὴ ἦν, οὐκ ἂν μισθὸν ἔθηκεν [a] αὐτῇ ὁ Θεός. Ὅτι γὰρ μισθοὺς ἔχει ἡ ἐξομολόγησις, ἄκουσον τί φησι· *Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς.* Τίς αἰσχύνεται ἔργον, ἀφ' οὗ γίνεται δίκαιος; τίς αἰσχύνεται ὁμολογῆσαι ἁμαρτήματα, ἵνα λύσῃ ἁμαρτήματα; Μὴ γὰρ διὰ τοῦτο κελεύει ὁμολογῆσαι, ἵνα κολάσῃ; οὐχ ἵνα κολάσῃ, ἀλλ' ἵνα συγχωρήσῃ.

δ'. Ἐπὶ γὰρ τῶν ἔξω δικαστηρίων μετὰ τὴν ὁμολογίαν κόλασις. Διὰ τοῦτο καὶ ὁ ψαλμὸς αὐτὸ τοῦτο ὑφορώμενος, μή τις δεδοικὼς κόλασιν μετὰ τὴν ἐξομολόγησιν, ἀρνήσηται τὰ ἁμαρτήματα, φησίν· *Ἐξομολογείσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.* Μὴ γὰρ οὐκ οἶδε τὰ ἁμαρτήματά σου, ἐὰν μὴ σὺ ὁμολογήσῃς; Τί οὖν σοι γίνεται πλέον ἐκ τοῦ μὴ ὁμολογεῖν; μὴ γὰρ δύνασαι λαθεῖν; Κἂν μὴ εἴπῃς, ἐκεῖνος εἶδεν· ἂν δὲ σὺ εἴπῃς, ἐκεῖνος ἐπιλανθάνεται. *Ἰδοὺ* γὰρ *ἐγὼ Θεός εἰμι ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθῶ.* Ὁρᾷς; *Ἐγὼ οὐ μὴ μνησθῶ,* φησί· φιλανθρωπίας γὰρ τοῦτο· σὺ

[a] Colbert μισθὸν ἔδωκεν.

quid poterit silentium prodesse? Imo nihil proderit, sed summopere nocebit. Nam si quidem nunc proloquar, ad pœnitentiam et animi compunctionem inducam : sin taceam, nunc quidem eorum quæ peccaverimus, non recordabimur, neque pœnitentiam agemus; at in futuro sæculo nuda et aperta præ oculis nostris intuebimur, ac frustra et incassum lamentabimur.

3. Quando igitur omnino necesse est, ut vel illic, vel in hac vita ob delicta compungamur, satius est ut illud hic potius, et non illic fiat. Unde id constat? Ex propheticis verbis, ex evangelicis. Nam propheta quidem sic ait : *In inferno autem quis confitebitur tibi* (*Psal.* 6. 6)? non quod non confiteamur, sed quod frustra illud faciamus. Christus autem per parabolam hoc ipsum docuit. Erat enim, inquit, Lazarus quidam mendicus undique ulceribus plenus (*Luc.* 16. 19. *sqq.*), immedicabili morbo laborans : alter autem quidam dives pauperi micas non impertiebat. Et quid opus est parabolam totam percurrere? quippe nostis historiam omnem, crudelitatem divitis, quo pacto mendicum participem mensæ non faceret; egestatem illius ac famem, qua perpetuo conflictabatur. At hæc in hac vita : postquam autem mortuus est uterque, videt illum mendicum in sinu Abrahæ dives. Et quid ait? *Pater Abraham, mitte illum, ut instillet extremo digiti sui in linguam meam, ut requiescam a dolore* (*Ib. v.* 24). Vides retributionem? non impertiit ipsi micas, unius aquæ guttæ non fit particeps. *In qua enim mensura*, inquit, *mensi fueritis, remetietur vobis* (*Marc.* 4. 24). Quid ergo Abraham? *Fili, recepisti bona tua, et Lazarus mala : et nunc hic quidem hic consolatur, tu vero cruciaris* (*Luc.* 16. 25). Sed quod est in quæstione positum, illos nimirum ob peccata compungi et converti, ac pœnis gehennæ fieri meliores, nihil tamen hoc illis ad levanda flammæ tormenta prodesse, quæ sequuntur ostendunt; *Pater* enim, inquit, *mitte illum in domum meam, ut cognatis meis testetur, et non veniant in hunc locum* (*Ibid. v.* 27. 28). Cum beneficium ipse non obtinuisset, aliorum postea salutem procurat. Vidisti quo pacto crudelis antea fuerit, quo pacto deinde benignus evaserit? Lazarum ante oculos jacentem præteribat, dum viveret; jam vero etiam absentium cognatorum curam gerit : ac tum quidem, dum opibus circumfloreret, ad miserabile mendici spectaculum non inflectebatur; jam vero, dum in doloribus ac necessitatibus versatur inevitabilibus, de propinquis suis est sollicitus, ac mitti rogat qui hæc illis annuntiet. Vides ut benignus et clemens evaserit et misericors?

Pœnitentia non prodest post mortem. — Quid igitur? numquid illi profuit pœnitentia? num aliquid lucri ex illa compunctione collegit? Nihil omnino : quippe quod intempestiva esset pœnitentia. Solutum erat theatrum, sublatus locus certaminis, non amplius luctarum tempus fuit. Propterea moneo, precor et obsecro, hic lamentari oportet, ac propter peccata lugere illic nos verba contristent, ne nos illis res terreant : hic nos pungat oratio, ne nos illic vermis pungat venenatus : hic nos urat reprehensio, ne nos gehenna ignis illic urat. Eos qui hic lugent, consentaneum est illic consolari : eos qui hic in deliciis degunt et rident, nec ullo propter admissa peccata dolore tanguntur, plane illic lugere ac lamentari ac frendere dentibus est necesse. Non mea sunt hæc verba, sed ipsius, qui judicium in nos tum temporis exercebit : *Beati* quippe, inquit, ii, *qui lugent, quoniam ipsi consolabuntur* (*Matth.* 5. 5). *Væ vobis, qui ridetis, quia flebitis* (*Luc.* 6. 25). Quanto igitur satius est temporariam compunctionem et luctum cum æternis bonis et voluptate quæ finem non habeat, commutare, quam brevi hac et temporaria vita ridendo transacta, illuc abire immortali supplicio plectendos? At verecundaris et erubescis enuntiare peccata? Sane quidem si coram hominibus ea dicenda essent et evulganda; non tamen ita pudere te oportuit: pudor enim est et ignominia peccare, non quæ peccaveris confiteri; jam vero neque necessarium est testibus præsentibus confiteri. Apud conscientiæ rationes fiat inquisitio delictorum : sine testibus sit judicium, Deus te confitentem solus audiat, Deus qui peccata non exprobrat, sed confessione peccata delet. At hoc pacto etiam pigritaris ac detrectas? Scio equidem conscientiam suorum delictorum memoriam minime ferre. Nam si tantum subeat animum eorum quæ deliquimus recordatio, tamquam pullus quidam indomitus ac frenatu difficilis mens resilit. Sed tu coerce illam ac refrena, demulce manu, cicurem illam redde, persuade fore ut, nisi nunc confiteatur, illic confiteatur, ubi major pœna, ubi diffamatio major. Hic judicium fit sine testibus, ac tu ipse in te judicium exerces, qui peccasti; at illic in medium orbis terrarum cuncta producentur, nisi prius hic fuerint a nobis deleta. Erubescis peccata confiteri? erubesce peccata committere. Nos vero dum illa committimus, temere et impudenter ea aggredimur; cum autem ea fuerint confitenda, tum nos pudet pigetque, cum id alacriter a nobis fieri oporteret. Non enim ignominiosum est incusare peccata, sed justitia et virtus : nisi justitia esset ac virtus, non proposuisset illi mercedem Deus. Nam confessionem obtinere mercedem, audi quibus verbis Scriptura testatur : *Dic tu iniquitates tuas primus, ut justificeris* (*Isai.* 43. 25). Quem tandem pudebit illius operis, quo fit justus? quem confiteri peccata pudeat, ut peccata solvat? Num enim idcirco peccata jubet confiteri, ut puniat? imo ut dimittat.

4. Nam in externis quidem tribunalibus post confessionem sequitur pœna. Propterea psalmus etiam hoc ipsum reformidans, ne quis metu pœnæ, quæ confessionem sequatur, peccata denegaret, ait, *Confitemini Domino, quoniam bonus; quoniam in sæculum misericordia ejus* (*Psal.* 105. 1). Num enim tua peccata nescit, nisi tu confessus fueris? Quid ergo tibi prodest si minime confiteare? num enim potes latere? Quamvis non dixeris, ille novit : quod si tu dixeris, ille obliviscitur. *Ecce* enim *ego sum Deus, qui deleo iniquitates tuas, et non recordabor* (*Isai.* 43. 25). Vides? Non recordabor, inquit; est enim hoc clemen-

tiæ : at tu recordare, ut castigationis captes occasionem. Hæc cum audiisset Paulus, peccatorum, quorum non recordabatur Deus, perpetuo recordabatur, cum ita diceret : *Non sum dignus vocari apostolus, quoniam persecutus sum Ecclesiam Dei* (1. *Cor.* 15. 9) : et, *Christus venit in mundum peccatores salvos facere, quorum primus ego sum* (1. *Tim.* 1. 15). Non dixit, Eram, sed, *Sum*. Facta erat remissio peccatorum apud Deum, et apud Paulum peccatorum memoria non delebatur; quæ Dominus deleverat, hæc ipse divulgabat. Audistis enim prophetam dicentem : *Et non recordabor* (*Isai.* 43) : at tu recordare. Deus vas electionis ipsum vocat (*Act.* 9. 15), et iste se peccatorum primum vocat. Quod si peccatorum non oblivisceretur, cogita quo pacto Dei beneficiorum recordaretur. Quid ego dico memoriam peccatorum minime probro afficere? non ita nos memoria recte factorum reddit illustres, ut memoria peccatorum : imo vero non modo non reddit illustres memoria recte factorum, sed etiam opprobrio afficit et condemnat; at peccatorum memoria fiducia nos ac justitia multa cumulat. Quis hoc dicit? Pharisæus et publicanus. Nam hic quidem cum sua peccata dixisset, justificatus descendit; ille vero cum sua recte facta dixisset, publicano factus inferior descendit. Vides quantum afferat damni recte factorum meminisse : quantam pariat utilitatem peccatorum minime oblivisci? Ac merito sane : qui namque recte factorum meminit, in superbiam effertur, cæteros homines aspernatur, quod et accidit Pharisæo : neque enim in tantam venisset arrogantiam, non dixisset, *Non sum sicut cæteri homines* (*Luc.* 18. 11), nisi jejunii sui decimarumque meminisset; memoria vero peccatorum mentem reprimit, humilitatem suadet, ac per humilitatem benevolentiam Dei conciliat. Audi, quæso, quo pacto nos Christus recte facta oblivioni tradere jubeat : *Cum feceritis hæc omnia, dicite, Servi inutiles sumus* (*Luc.* 17. 10). Tu dic inutilem esse te servum, non ego te inutilem reddo : tu si tuam ipse vilitatem confessus fueris, ego te illustrem reddo, et corona remunero

Peccatorum recordari quam utile. Examen conscientiæ ineundum. — Vides quot testimoniis utilem esse peccatorum memoriam nobis fuerit comprobatum, et noxiam memoriam recte factorum : et contra rursus supplicium nobis ex oblivione peccatorum, utilitatem autem ex oblivione recte factorum oriri? Vis etiam aliunde cognoscere maximum esse recte factum peccatorum recordari? Audi Jobum. Ut enim cæteris gloriabatur, ita et confessione peccatorum, um ita diceret : *Quod si cum sponte peccassem, expavi frequentiam multitudinis ; ut non enuntiarem peccata mea* (*Job* 31. 34). Horum autem verborum hic sensus est : numquam mihi cœtus conservorum pudorem imposuit. Quid enim prodest ignotum esse hominibus, cum Judex omnia noverit? quid vero nocet, quod hi quæ a nobis commissa sunt, noverint, si nos ille pœna voluerit liberare? Licet omnes condemnent, si nic calculo suo Judex absolvat, nihil illorum sententiam curo : licet omnes laudent et celebrent, si me ille condemnet, nihil mihi judicium illorum prodest. Semper enim oculos in illum oportet convertere, idemque præstandum est in peccatis, quod in pecuniarum impensa præstamus. Statim enim atque e cubili surreximus, antequam pedem in forum inferamus, aut aliquod privatum publicumve negotium aggrediamur, vocato servo rationem ab eo exigimus expensarum, ut videamus quid perperam, quid in legitimos usus insumptum fuerit, quantumque sit reliquum : quod si perexiguum esse viderimus id, quod restat, omnes vias augendorum redituum excogitamus, ne forte incauti fame conficiamur. Hoc igitur et in actionibus nostris faciamus. Advocata conscientia nostra rationes exigamus ab ea verborum, actionum, cogitationum; disquiramus quid commode utiliterque sit insumptum, quid in nostrum damnum; quis sermo perperam fuerit impensus in detractiones, in turpiloquia, in contumelias; quænam cogitatio ad lasciviam oculum concitarit, quod consilium in damnum nostrum in opus exierit, sive manibus illud, sive lingua, sive oculis ipsis fecerimus exsequuti : et ab intempestivis quidem sumptibus abstinere studeamus, in locum autem eorum, quæ male insumpta sunt, alios reditus recondamus : loco verborum temere prolatorum preces, loco aspectuum lascivorum eleemosynas et jejunia. Si enim intempestive simus insumpturi, nihil autem recondituri, neque boni quidquam nobis in thesauris reposituri, in extremam egestatem redactos incautos in æternum ignis supplicium præcipites agemus. Ac pecuniarum quidem summo mane olemus rationes inire, actionum vero post prandium, vel sub ipsam vesperam in lecto jacentes, nemine interpellante, nemine interturbante a nobis ipsis omnium, quæ fecimus ac diximus, rationem exigamus. Quod si quid peccatum esse animadvertamus, castigemus conscientiam, mentem increpemus, cor nostrum ita vehementer compungamus, ut non amplius, ubi surrexerimus, in idem peccati barathrum nos audeamus impellere, vespertinæ memores sectionis.

5. Hoc enim tempus aptius esse ad ejusmodi ratiocinium, audi quo pacto testetur propheta, cum dicat : *Quæ dicitis in cordibus vestris, in cubilibus vestris compungimini* (*Psal.* 4. 5). Multa interdiu non ut volumus a nobis fiunt; et amici offendunt, et exasperant servi, contristat uxor, filius dolore afficit, negotiorum sæcularium ac publicorum nos turba circumsidet, neque possumus intelligere, ne quidem qua ratione supplantemur. At his omnibus expediti, cum soli fuerimus vesperi, multaque frui licuerit tranquillitate, judicium in lecto excitemus, ut Deum nobis propitium ejusmodi habita quæstione reddamus. Quod si quotidie peccemus, et animum nostrum vulneremus, numquam autem sentiamus, ut qui vulnera frequenter accipiunt, ac deinde contemptis illis febrim sibi vel intolerandum accersunt interitum : sic et nos hoc continuo stupore, inevitabili nos obnoxios supplicio reddidimus. Scio molesta esse quæ dicimus, sed multam pariunt utilitatem.

δὲ μνήσθητι, ἵνα σωφρονισμοῦ λάβῃς ὑπόθεσιν. Τούτων ἀκούσας ὁ Παῦλος, ἁμαρτημάτων, ὧν οὐκ ἐμέμνητο ὁ Θεὸς, αὐτὸς διηνεκῶς ἐμέμνητο οὑτωσὶ λέγων· *Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν*· καὶ, *Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς* [664] *σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ*. Οὐκ εἶπεν, Ἤμην, ἀλλ', *Εἰμί*. Ἡ συγχώρησις ἐγένετο τῶν ἁμαρτημάτων παρὰ τῷ Θεῷ, καὶ ἡ μνήμη τῶν συγκεχωρημένων ἁμαρτημάτων οὐκ ἠφανίζετο παρὰ τῷ Παύλῳ· ἅπερ ὁ Δεσπότης ἀπῆλειψε, ταῦτα αὐτὸς ἐξεπόμπευεν. Ἠκούσατε γὰρ τοῦ προφήτου λέγοντος, *Καὶ οὐ μὴ μνησθῶ*· σὺ δὲ μνήσθητι. Ὁ Θεὸς σκεῦος ἐκλογῆς αὐτὸν καλεῖ, καὶ οὗτος πρῶτον τῶν ἁμαρτωλῶν ἑαυτὸν καλεῖ. Εἰ δὲ τῶν συγκεχωρημένων ἁμαρτημάτων οὐκ ἐπελανθάνετο, ἐννόησον πῶς τῶν εὐεργεσιῶν ἐμέμνητο τοῦ Θεοῦ. Καὶ τί λέγω, ὅτι οὐ καταισχύνει μνήμη ἁμαρτημάτων; οὐχ οὕτως ἡμᾶς ποιεῖ λαμπροὺς κατορθωμάτων μνήμη, ὡς ἡ τῶν ἁμαρτημάτων μνήμη· μᾶλλον δὲ ἡ μὲν τῶν κατορθωμάτων μνήμη οὐ μόνον οὐ ποιεῖ λαμπροὺς, ἀλλὰ καὶ αἰσχύνης πληροῖ καὶ καταγνώσεως· ἡ δὲ τῶν ἁμαρτημάτων μνήμη παῤῥησίας ἡμᾶς ἐμπίπλησι καὶ δικαιοσύνης πολλῆς. Τίς τοῦτό φησιν; Ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Ὁ μὲν γὰρ εἰπὼν τὰ ἁμαρτήματα, κατῆλθε δεδικαιωμένος· ὁ δὲ εἰπὼν τὰ κατορθώματα, κατῆλθεν ἐλάττων τοῦ τελώνου γενόμενος. Ὁρᾷς ὅση βλάβη μεμνῆσθαι κατορθωμάτων, ὅση ὠφέλεια μὴ ἐπιλελῆσθαι ἁμαρτημάτων; Καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ τῶν κατορθωμάτων μεμνημένος εἰς ἀπόνοιαν αἴρεται, ὑπερορᾷ τῶν λοιπῶν ἀνθρώπων, ὅπερ ὁ Φαρισαῖος ἔπαθεν· οὐ γὰρ ἂν εἰς τοσαύτην ἀλαζονείαν ἦλθεν, οὐκ ἂν εἶπεν, *Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ ἄνθρωποι*, εἰ μὴ ἐμέμνητο τῆς νηστείας αὐτοῦ καὶ τῆς δεκάτης· ἡ δὲ μνήμη τῶν ἁμαρτημάτων καταστέλλει τὴν διάνοιαν, ταπεινοφρονεῖν πείθει, καὶ διὰ τῆς ταπεινοφροσύνης ἐπισπᾶται τοῦ Θεοῦ τὴν εὔνοιαν. Ἄκουσον γοῦν πῶς καὶ ὁ Χριστὸς κελεύει λήθῃ παραπέμπειν ἡμᾶς τὰ κατορθώματα. *Ὅταν ταῦτα πάντα ποιήσητε, λέγετε ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν*. Σὺ λέγε ὅτι ἀχρεῖος δοῦλος εἶ, ἐγώ σε οὐ ποιῶ ἀχρεῖον· σὺ ἐὰν ὁμολογήσῃς τὴν εὐτέλειαν τὴν σεαυτοῦ, ἐγώ σε λαμπρὸν ποιῶ καὶ στεφανῶ.

Ὁρᾷς διὰ πόσων ἡμῖν ἀποδέδεικται κέρδος ἔχουσα τῶν ἁμαρτημάτων ἡ μνήμη, καὶ βλάβος τῶν κατορθωμάτων ἡ μνήμη, καὶ τοὐναντίον πάλιν, κόλασις μὲν ἀπὸ τῆς λήθης τῶν ἁμαρτημάτων, ὠφέλεια δὲ ἀπὸ τῆς λήθης τῶν κατορθωμάτων ἡμῖν γινομένη; Βούλει μαθεῖν καὶ ἑτέρωθεν ὅτι κατόρθωμα μέγιστον τὸ μεμνῆσθαι ἁμαρτημάτων; Ἄκουσον τοῦ Ἰώβ. Ὥσπερ γὰρ ἐπὶ τοῖς ἄλλοις ἐκαλλωπίζετο, οὕτω δὴ καὶ ἐπὶ τῇ ἐξομολογήσει τῶν ἁμαρτημάτων, οὑτωσὶ λέγων· *Εἰ δὲ καὶ ἁμαρτὼν ἑκουσίως διετράπην πολυοχλίαν λαοῦ μου, τοῦ μὴ ἐξαγγεῖλαι τὰς ἁμαρτίας μου*. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδέποτέ με σύλλογος τῶν συνδούλων εἰς αἰσχύνην ἤγαγε. Τί γὰρ ὄφελος ἐκ τῆς ἀγνοίας τῶν ἀνθρώπων, τοῦ κριτοῦ πάντα εἰδότος; τί δὲ βλάβος ἐκ τοῦ εἰδέναι τούτους τὰ πεπλημμελημένα, ὅταν ἐκεῖνος ἀπολῦσαι βούληται τῆς δίκης; Κἂν πάντες δικάζωσιν, ὁ δὲ δικαστὴς ἀποψηφίσηται, οὐδείς μοι λόγος τῆς ἐκείνων ψήφου· κἂν ἅπαντες ἐπαινέσωσι καὶ θαυμάσωσιν, ἐκεῖνος δέ με καταδικάζῃ, οὐδέν μοι πάλιν ὄφελος τῆς ἐκείνων κρίσεως. Πανταχοῦ γὰρ πρὸς ἐκεῖνον ὁρᾷν χρὴ, καὶ ταὐτὸ ποιεῖν ἐπὶ τῶν ἁμαρτημάτων, ὅπερ ποιοῦμεν ἐπὶ τῆς τῶν χρημάτων δαπάνης. Εὐθέως [665] ἀναστάντες ἀπὸ τῆς κλίνης, πρὶν εἰς ἀγορὰν ἐμβαλεῖν, ἢ μεταχειρίσαι τι τῶν ἰδιωτικῶν ἢ δημοσίων πραγμάτων, τὸν οἰκέτην καλέσαντες ἀπαιτοῦμεν λόγον τῶν δαπανηθέντων, ἵν' εἰδῶμεν τί μὲν κακῶς, τί δὲ εἰς δέον ἀνήλωται, πόσον δὲ ὑπαλέλειπται· κἂν εἰδῶμεν ὀλίγον ὂν τὸ ὑπολελειμμένον, παντὶ τρόπῳ προσόδων ἀφορμὰς ἐπινοοῦμεν, ἵνα μὴ λάθωμεν διαφθαρέντες λιμῷ. Τοῦτο τοίνυν καὶ ἐπὶ τῶν πράξεων τῶν ἡμετέρων ποιῶμεν. Τὸ συνειδὸς τὸ ἡμέτερον καλέσαντες ποιήσωμεν αὐτῷ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων· ἐξετάσωμεν, τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς, εἰς λοιδορίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνθύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λογισμὸς ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν· καὶ σπουδάσωμεν τῆς μὲν ἀκαίρου δαπάνης ἀποστῆναι, ἀντὶ δὲ τῶν ἅπαξ ἀναλωθέντων κακῶς, ἑτέραν ἀποθέσθαι πρόσοδον, ἀντὶ τῶν ῥημάτων τῶν εἰχῆ προσενεχθέντων, εὐχάς, ἀντὶ τῶν ὄψεων τῶν ἀκολάστως γενομένων, ἐλεημοσύνας, νηστείας. Εἰ γὰρ μέλλοιμεν δαπανᾷν μὲν ἀκαίρως, μηδὲν δὲ ἀποτίθεσθαι, μηδὲ θησαυρίζειν ἑαυτοῖς ἀγαθὸν, εἰς ἐσχάτην κατενεχθέντες πενίαν, λήσομεν πρὸς τὴν ἀθάνατον τοῦ πυρὸς ἑαυτοὺς παραπέμποντες κόλασιν. Τῶν μὲν οὖν χρημάτων ὑπὸ τὴν ἕω τὸν λόγον ποιεῖν εἰώθαμεν, τῶν δὲ πράξεων μετὰ τὸ δεῖπνον καὶ τὴν ἑσπέραν αὐτὴν, ἐπὶ τῆς κλίνης κείμενοι, οὐδενὸς ἐνοχλοῦντος, οὐδενὸς θορυβοῦντος, τῶν μεθ' ἡμέραν ἡμῖν πεπραγμένων καὶ λελεγμένων ἁπάντων ἀπαιτῶμεν τὰς εὐθύνας ἡμᾶς ἑαυτούς· κἂν ἴδωμέν τι ἡμαρτημένον, κολάσωμεν τὸ συνειδὸς, ἐπιτιμήσωμεν τῇ διανοίᾳ, κατανύξωμεν τὸν λογισμὸν οὕτω σφοδρῶς, ὡς μηκέτι τολμῆσαι διαναστάντας ἡμᾶς πρὸς τὸ αὐτὸ τῆς ἁμαρτίας ἀγαγεῖν βάραθρον τῆς ἐν ἑσπέρᾳ πληγῆς μεμνημένον.

ε'. Ὅτι γὰρ οὗτος ὁ καιρὸς ἐπιτηδειότερος πρὸς τὸ τοιοῦτον λογοθέσιον, ἄκουσον τοῦ προφήτου λέγοντος· *Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε*. Πολλὰ μεθ' ἡμέραν οὐχ ὡς βουλόμεθα πράττομεν· καὶ φίλοι παροξύνουσι, καὶ οἰκέται ἐκθηριοῦσι, καὶ γυνὴ λυπεῖ, καὶ παιδίον ὀδυνᾷ, καὶ ὄχλος πραγμάτων βιωτικῶν καὶ δημοσίων περίστασις· καὶ οὐ δυνάμεθα συνιδεῖν τότε, οὐδὲ ὅπως ὑποσκελιζόμεθα. Πάντων δὲ τούτων ἀπαλλαγέντες, καὶ καθ' ἑαυτοὺς γενόμενοι κατὰ τὴν ἑσπέραν, καὶ πολλῆς ἀπολαύοντες ἡσυχίας, συγκροτῶμεν ἐπὶ τῆς κλίνης τὸ δικαστήριον, ἵνα τὸν Θεὸν ἵλεων διὰ τῆς τοιαύτης κρίσεως ἔχωμεν. Ἂν δὲ καθ' ἑκάστην ἡμέραν ἁμαρτάνωμεν, καὶ παίωμεν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδέποτε δὲ αἰσθανώμεθα, καθάπερ οἱ συνεχῆ τραύματα λαμβάνοντες, εἶτα καταφρονοῦντες, πυρετοὺς καὶ θάνατον ἑαυτοῖς ἀφόρητον ἐπισπῶνται· οὕτω δὴ καὶ ἡμεῖς ἐκ τῆς συνεχοῦς

ταύτης ἀναισθησίας ἀπαραίτητον ἐπισπώμεθα [666] τιμωρίαν. Οἶδα ὅτι φορτικὰ τὰ εἰρημένα, ἀλλ' ἔχει πολὺ τὸ κέρδος. Ἥμερον ἔχομεν Δεσπότην· προφάσεως ἐπιλαβέσθαι βούλεται μόνον, καὶ πᾶσαν εὐθέως ἐπιδείκνυται τὴν φιλανθρωπίαν. Εἰ γὰρ ἁμαρτάνοντες καὶ μένοντες ἀτιμώρητοι μὴ ἐγινόμεθα χείρους, κἂν ἀφῆκεν ἡμῖν τὴν κόλασιν· ἀλλ' οἶδε τοῦτο σαφῶς, ὅτι τῶν ἁμαρτημάτων αὐτῶν οὐκ ἔλαττον ἡμᾶς τὸ μὴ κολάζεσθαι ἁμαρτάνοντας βλάπτει. Διὰ τοῦτο ἐπιτίθησι τὴν τιμωρίαν, οὐ τῶν ἀπελθόντων ἀπαιτῶν δίκην, ἀλλὰ τὰ μέλλοντα διορθούμενος. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησι πρὸς τὸν Μωϋσέα· *Ἄφες με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς.* Ἄφες με, ἔλεγεν, οὐχ ὅτι Μωϋσῆς αὐτὸν κατεῖχεν· οὐδὲν γὰρ ἐφθέγξατο πρὸς αὐτὸν, ἀλλὰ σιγῇ παρειστήκει· ἀλλὰ πρόφασιν αὐτῷ δοῦναι βουλόμενος τῆς ὑπὲρ αὐτῶν ἱκετηρίας. Ἐπειδὴ γὰρ ἄξια μὲν κολάσεως ἥμαρτον ἐκεῖνοι, καὶ κολάσεως ἀπαραιτήτου, κολάσαι δὲ αὐτοὺς οὐκ ἐβούλετο, ἀλλὰ φιλανθρωπεύσασθαι, τοῦτο δὲ αὐτοὺς ῥᾳθυμοτέρους ἐποίει, ἀμφότερα κατεσκεύαζεν, ὥστε μήτε τὴν τιμωρίαν ἐπενεχθῆναι, μήτε ἐκείνους ῥᾳθυμοτέρους ἐκ τῆς ἀτιμωρησίας γενέσθαι, μαθόντας ὅτι οὐ παρὰ τὴν οἰκείαν ἀξίαν, ἀλλὰ παρὰ τὴν τοῦ Μωϋσέως προστασίαν τὴν ὀργὴν τοῦ Δεσπότου διέφυγον. Τοῦτο καὶ ἡμεῖς πολλάκις ποιοῦμεν, καὶ οἰκέτας ἄξια κολάσεως πλημμελήσαντας οὔτε κολάσαι βουλόμενοι, οὔτε τοῦ ἐκ τῆς κολάσεως ἀπαλλάξαι φόβου, φίλοις κελεύομεν τῶν ἡμετέρων αὐτοὺς ἐξαρπάσαι χειρῶν, ὥστε καὶ τὸν φόβον αὐτοῖς ἐνακμάζοντα μένειν, καὶ τὰς παρ' ἡμῶν πληγὰς διαφυγεῖν. Τοῦτο καὶ ὁ Θεὸς ἐποίησε· καὶ ὅτι ἐστὶν ἀληθὲς, ἀπ' αὐτῶν τῶν ῥημάτων δῆλον· *Ἄφες με*, φησὶ, *καὶ θυμωθείς*. Καὶ μὴν ὅταν βουλομένους τιμωρήσασθαι μηδεὶς ἀφῇ, τότε θυμούμεθα· αὐτὸς δὲ λέγει, Ἄφες με καὶ θυμωθήσομαι, ἵνα μάθῃς ὅτι θυμὸς οὐ πάθος ἐστὶ περὶ Θεὸν, ἀλλ' ἡ καθ' ἡμῶν γινομένη κόλασις ταύτῃ καλεῖται τῇ προσηγορίᾳ. Ὅταν οὖν ἀκούσῃς τοῦ Μωϋσέως λέγοντος, *Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες*, πρὸ τοῦ δούλου τὸν Δεσπότην ἐκπλάγηθι, ὅτι αὐτὸς αὐτῷ τῆς φιλανθρωπίας ταύτης παρέσχε τὰς ἀφορμάς. Οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο ἐποίησεν, ἀλλὰ καὶ πρὸς τὸν Ἱερεμίαν, καὶ πρὸς τὸν Ἰεζεκιὴλ τὸ αὐτὸ τοῦτό φησι· *Περιδράμετε καὶ ἴδετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, εἰ ἔστι τις ποιῶν κρίμα καὶ δικαιοσύνην· ἵλεως ἔσομαι αὐτοῖς.* Εἶδες φιλανθρωπίαν; Τῆς μὲν ἑνὸς ἀρετῆς πολλοὶ συναπολαύουσι καὶ τῶν πονηρῶν· τῇ δὲ τῶν πολλῶν κακίᾳ, κἂν εἷς ὁ κατορθῶν ᾖ μεταξὺ δήμου πολλοῦ, οὐ συγκαταφέρεται· ἀλλ' εἷς μὲν ἄνθρωπος ὀρθῶς ζῶν δῆμον ὁλόκληρον ἐξαρπάσαι δυνήσεται τῆς ὀργῆς τοῦ Θεοῦ, πόλις δὲ ὁλόκληρος διεφθαρμένη πρὸς τὴν οἰκείαν κόλασιν καὶ τιμωρίαν ἐπισπάσασθαι τὸν εὖ βιοῦντα καὶ καθελεῖν οὐ δυνήσεται. Καὶ τοῦτο ἀπὸ τοῦ Νῶε δῆλον· πάντων γοῦν ἀπολλυμένων διεσώζετο μόνος· καὶ ἀπὸ τοῦ Μωϋσέως φανερόν· μόνος γοῦν ἴσχυσε δῆμον τοσοῦτον παραιτήσασθαι. Ἐγὼ δὲ καὶ ἕτερον μεῖζον ἔχω τῆς φιλανθρωπίας τοῦ Θεοῦ δεῖγμα εἰπεῖν. Ὅταν γὰρ ζῶντας ἀνθρώπους καὶ παῤῥησίαν ἔχοντας μὴ εὕρῃ δυναμένους ἐξαιτήσασθαι τοὺς ἡμαρτηκότας, ἐπὶ τοὺς τελευτήσαντας καταφεύγει, καὶ δι' ἐκείνους φησὶν ἀφιέναι τὰ ἁμαρτήματα, ὥσπερ οὖν τῷ Ἐζεκίᾳ φησίν· *Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαυὶδ τὸν παῖδά μου, τὸν ἤδη τετελευτηκότα.* Ταῦτ' οὖν εἰδότες ὅτι πάντα κινεῖ καὶ πραγματεύεται ὁ Θεὸς, ὥστε ἡμᾶς ἀπαλλάξαι κολάσεως καὶ τιμωρίας, πολλὰς παρέχωμεν αὐτῷ τὰς ἀφορμὰς, ἐξομολογούμενοι, μετανοοῦντες, δακρύοντες, εὐχόμενοι, τοῖς πλησίον τὴν ὀργὴν ἀφιέντες, τὴν τῶν πέλας πενίαν διορθούμενοι, ἐν ταῖς εὐχαῖς νήφοντες, ταπεινοφροσύνην ἐπιδεικνύμενοι, τῶν ἁμαρτημάτων μεμνημένοι συνεχῶς.

Οὐ γὰρ ἀρκεῖ τὸ εἰπεῖν, ὅτι ἁμαρτωλός εἰμι, ἀλλὰ δεῖ καὶ κατ' εἶδος αὐτῶν μεμνῆσθαι τῶν πλημμελημάτων. Καθάπερ γὰρ πῦρ εἰς ἀκάνθας ἐμπεσὸν ἀφανίζει ῥᾳδίως αὐτὰς, οὕτω καὶ λογισμὸς συνεχῶς παρ' ἑαυτῷ περιστρέφων τὰ πεπλημμελημένα, ῥᾳδίως αὐτὰ ἀπόλλυσι καὶ καταδύει. Ὁ δὲ Θεὸς ὁ ὑπερβαίνων ἀνομίας, ἐξαίρων ἀδικίας, καὶ τῶν ἁμαρτιῶν ἡμᾶς ἀπαλλάξει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιώσει, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM

Hanc brevissimam homiliam, cum non commodior suppetat locus, subjungimus homiliæ, cui titulus, *Non esse ad gratiam concionandum*, eodem scilicet situ, quo in editione Frontonis Ducæi. Suspicantur quidam viri docti, tum ex brevitate, tum ex ordiendi modo, eam initio esse mutilam. At ex brevitate quidem nihil inferre possumus, quandoquidem ex concionibus panegyricis in Sanctos aliæ proferri possunt hac breviores, quæ tamen sunt omnibus et numeris et partibus suis absolutæ. Ex ordiendi autem modo non liquet mihi an aliqua desint initio. Ut vero patet, hæc homilia in agro Antiocheno habita est, quo

ΕΙΣ ΜΑΡΤΥΡΑΣ ΟΜΙΛΙΑ.

Αἱ τῶν μαρτύρων ἑορταὶ οὐκ ἐν τῇ περιόδῳ τῶν ἡμερῶν μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ τῶν ἐπιτελούντων κρίνονται. Οἷόν τι λέγω· ἐμιμήσω μάρτυρα; ἐξήλωσας αὐτοῦ τὴν ἀρετήν; κατ' ἴχνος αὐτοῦ τῆς

Clementem Dominum habemus : occasionem tantum arripere vult, et omnem confestim exhibet humanitatem. Si enim cum peccamus et impuniti manemus, deteriores non fieremus, saltem nobis pœnam remitteret; sed hoc probe novit, non minus damni nobis peccatorum impunitatem, quam ipsamet afferre peccata. Propterea supplicium infert, non ut præteritorum pœnas exigat, sed ut in futurum emendet. Atque ut hoc verum esse noveris, audi quid ad Moysem dicat Deus : *Dimitte me, et indignatus ira atteram eos* (*Exod.* 32. 10). Dimitte me, dicebat, non quod eum Moyses retineret : nihil enim ad ipsum loquutus erat, sed tacitus coram eo stabat; verum occasionem ei præbere volebat pro illis orandi. Nam quoniam illi supplicio digna peccata commiserant, et supplicio inevitabili, nec tamen illos volebat punire, sed humanitatem in eos exercere, hoc vero segniores illos reddebat : utrumque præstabat, ut neque supplicium inferretur, nec deteriores impunitate illi fierent, cum intelligerent, se non suo merito, sed propter Moysis patrocinium iram Domini evitasse. Hoc nos etiam sæpenumero facimus, dum servos qui animadversione digna delicta commiserint, neque punire volumus, neque pœnarum metu liberare, amicis injungimus, ut e manibus nostris eos eripiant, ut et metus in eis æque vehemens maneat, et plagas a nobis inferendas effugiant. Tale quid etiam Deus præstitit : idque verum esse, ipsius constat ex verbis, *Dimitte me*, inquit, *et indignatus ira*. Atqui nos cum pœnas sumere volumus, et nemo permittit, tum indignari solemus; ipse vero dicit, Dimitte, et indignabor ira : ut intelligas, iram in Deo perturbationem non esse, sed supplicium, quo nos afficit, hac appellatione designari. Cum igitur Moysem dicentem audiveris : *Si quidem remittis eis peccatum, remitte* (*Exod.* 32. 31) : prius quam servum, Dominum mirare, quod hujus ipse benignitatis occasionem illi præbuerit. Neque vero tantum id hoc loco fecit, sed et ad Jeremiam et ad Ezechielem ipsum loquitur : *Circumcurrite, et videte in viis Jerusalem, si est aliquis faciens judicium et justitiam, et propitius ero ei* (*Jer.* 5. 1). Vides benignitatem? Unius virtute multi etiam pravi simul fruuntur : at si vel unus fuerit virtute præditus cum numeroso populo mixtus, non abripitur simul; sed homo quidem unus, qui recte vivat, integrum populum eripere poterit iræ divinæ, sed integra civitas depravata hominem vitæ probæ ad societatem pœnæ ac supplicii sui pertrahere non poterit, ac simul perdere. Atque hoc ex Noe liquet : qui pereuntibus cunctis solus salvus evasit; atque ex ipso Moyse patet, qui solus veniam tanto populo valuit impetrare. Ego vero possum et aliud multo majus divinæ benignitatis indicium proferre. Cum enim homines viventes, et qui gratia valeant ac fiducia, non invenit, qui peccati reos possint periculis liberare, ad vita functos confugit, et propter illos ait se delicta dimittere, quemadmodum et Ezechiæ dixit : *Protegam urbem istam propter me, et propter David servum meum* (4. *Reg.* 20. 6), qui jam mortuus erat. Cum igitur hæc nobis explorata sint, Deum omnia movere ac moliri, ut nos pœnis ac supplicio liberet, multas occasiones illi præbeamus, confitentes, pœnitentiam agentes, lacrymas fundentes, orantes, iram proximis dimittentes, propinquorum egestatem sublevantes, in orationibus vigilantes, humilitatem exhibentes, peccatorum assidue recordantes.

Peccata singulatim exprimenda. — Non enim sufficit dicere, Peccator sum, sed et singulæ sunt delictorum species exprimendæ. Ut enim si in spinas ignis inciderit, facile illas consumit : sic etiam mens quæ delicta sua frequenter apud se versat, facile illa perdit ac demergit, Deus autem qui transcendit iniquitates, et aufert injustitias, nos et a peccatis liberet, et cælorum regno donet, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, una cum Spiritu sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

AD CONCIONEM IN MARTYRES.

confluebant ex civitate multi; sed postquam et cultum martyribus exhibuerant, et conciones audierant, ad popinas et compotationes divertebant. Qua de re in eos acriter invehitur sanctus doctor. *Perpende*, inquit, *quam ridiculum sit, post ejusmodi conventum, post vigilias, post sacrarum auditionem Scripturarum, post divinorum participationem mysteriorum, et post spiritualem largitionem, virum aut mulierem totos dies in popinis transigentes videri.*

Interpretatio Latina est Frontonis Ducæi.

IN MARTYRES HOMILIA [a].

Martyres vere colere quid sit. Martyrum solemnitas schola virtutum. — Martyrum festa non ex dierum circuitu solum, sed etiam ex eorum animo, qui ea celebrant, æstimantur. Exempli causa : imitatus es marty-

(a) Collata cum Cod. Coislin. n. 193, qui est XI. sæculi.

rem? virtutem ejus æmulatus es? philosophiæ ipsius vestigiis institisti? etiam cum festum non esset martyris, festivitatem martyris celebrasti. Honor quippe martyris imitatio est martyris. Ut enim qui scelera committunt, etiam in festivitatibus sine festo sunt et profani: sic qui virtutem exercent, etiam cum nulla est solemnitas, festum celebrant: siquidem conscientiæ puritate festum exprimitur. Hoc etiam indicans Paulus dicebat: *Itaque festum celebremus non in fermento veteri malitiæ et nequitiæ, sed in azymis sinceritatis et veritatis* (1. *Cor.* 5. 8). Sunt igitur azyma apud Judæos, sunt et apud nos: verum apud illos quidem azymum est ex farina confectum, apud nos autem vitæ puritas, et conversatio ab omni nequitia aliena. Qui ergo ab omni sorde ac macula puram vitam suam conservat, quotidie festum celebrat ac solemnitatem, licet nec in die nec in templis martyrum, sed domi sedeat. Potest enim apud se unusquisque festum martyrum celebrare. Atque hæc a me dicuntur, non ut ad martyrum sepulcra non accedamus; sed ut accedentes cum ea qua decet alacritate animi veniamus, et non solum illorum diebus, sed alio quoque tempore pietatem eamdem præ nobis feramus. Quis enim hodierno die non cœtum nostrum miretur, splendidum istud theatrum, caritatem ferventem, affectum ardentem, indomitum amorem? Ita tota propemodum civitas huc commigravit, et neque servum domini timor retinuit, neque pauperem egestatis necessitas, neque senem ætatis imbecillitas, neque mulierem sexus mollities; non divitem fastus opum, non magistratum superbia potestatis: sed amor martyrum, hac omni sublata inæqualitate, naturæ imbecillitate, ac paupertatis necessitate, tantam multitudinem una catena devinctam huc attraxit, et affectu in martyres quasi pennis subvectos, velut ad vitam in cælis agendam incitavit: siquidem omni lasciviæ luxuriæque perturbatione superata, martyrum amore succensi estis. Ut enim cum primum radii solis oriuntur, aufugiunt feræ, seque latibulis suis abscondunt: ita cum menti nostræ martyrum lumen affulserit, omnia vitia morbique se occultant, ac splendida philosophiæ flamma succenditur. Sed ut non solum hoc tempore, verum etiam semper, et postquam solutum fuerit hoc spirituale theatrum, flammam istam conservemus, cum eadem animi devotione domum recedamus, neque nos popinis ac lustris, ebrietati et comessationibus addicamus. Noctem convertistis in diem per sacras istas vigilias: nolite rursus diem in noctem per ebrietatem et crapulam ac meretricios cantus convertere. Honorasti martyres, dum adfuisti, dum audivisti, dum studium præ te tulisti: honora etiam illos modeste domum recedendo, ne quis ubi te parum decore gerentem viderit in popina, te non propter martyres venisse dicat, sed ut vitium augeres, ut improbæ cupiditati servires. Hæc non eo dico, ut deliciis perfrui vetem, sed ut peccata committi vetem: non quod bibere vetem, sed ut ebrium fieri vetem. Non enim malum est vinum, sed immodicus ejus usus est pravus: ac vinum quidem Dei donum est, usus autem immodicus diaboli est inventum. *Servite igitur Domino in timore, et exsultate ei in tremore* (*Psal.* 2. 11).

A *popinis auditores avertit.* — Vis deliciis frui? domi fruere, ubi, licet in ebrietatem incidas, multi sunt, qui te possunt obtegere: non in popina, ne spectaculum fias præsentibus, et scandalum cæteris. Atque hæc ego dico, non quod ebrium fieri domi jubeam, sed quod in popinis versari prohibeam. Perpende quam ridiculum sit, post ejusmodi conventum, post vigilias, post sacrarum auditionem Scripturarum, post divinorum participationem mysteriorum, et post spiritualem largitionem, virum aut mulierem totos dies in popinis transigentes videri. An nescitis quantum ebriis supplicium immineat? siquidem e regno Dei expelluntur, et ineffabilibus bonis excidunt, atque in ignem æternum ablegantur. Quis hæc dicit? Beatus Paulus: *Neque avari*, inquit, *neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt* (1. *Cor.* 6. 10). Quid ebrio miserius fieri potest, qui ob exiguam voluptatem tantas regni delicias amittit? Imo vero ne voluptate quidem ulla frui potest ebrius; siquidem in temperato usu voluptas consistit, in immodico autem, stupor et sensuum privatio. Porro qui sentire nequit ubi sedeat aut jaceat, qui poterit voluptatis in potu sensum capere? qui ne solem quidem ipsum ob densam ebrietatis nebulam possit intueri, quomodo lætitia fruatur? Tantæ nimirum ipsum occupant tenebræ, ut ad illam discutiendam caliginem ipsi radii non sufficiant. Semper quidem, dilectissimi, malum est ebrietas, præcipue vero festo martyrum die. Nam præter peccatum contumelia est maxima, et stultitia, sacrorumque eloquiorum contemptus: quam ob causam et duplicem pœnam meretur. Si ergo postquam ad martyres accessisti, postquam hinc discesseris, ebrietati vacaturus es, melius est, ut domi maneas, nec indecore te geras, neque martyrum solemnitatem probro afficias, neque proximo sis offendiculo, neque mentem obsideas, neque peccata tibi accumules. Venisti ut homines tormentis laceratos videres, cruore stillantes, vulnerum examine decoratos, qui præsenti vita exuti, ad futuram evolarunt: da operam ut athletis istis dignus evadas. Contempserunt illi vitam, tu delicias contemne: abjecerunt illi vitam præsentem, tu ebrietatis amorem abjice.

Ossa et sepulcra Martyrum benedictionibus scatent. — Sed deliciis frui cupis? asside sepulcro martyris, lacrymarum illic fontes effunde, animam contere, benedictionem a sepulcro ejus refer; ejusque patrocinio fretus in precibus, narrationibus certaminum ipsius legendis te frequenter exerce, loculum amplectere capsulæ reliquiarum affixus esto: non ossa martyrum tantum, sed et ipsorum sepulcra et capsulæ benedictionibus multis scatent. Sanctum oleum sume, totumque tuum corpus inunge, linguam, labra, cervicem, oculos, nec umquam in ebrietatis naufragium incides. Siquidem oleum odoris suavitate martyrum tibi certamina in memoriam revocat, et omnem

φιλοσοφίας ἔδραμες; καὶ οὐκ οὔσης ἡμέρας μάρτυρος, ἑορτὴν μάρτυρος ἐπετέλεσας [a]. Τιμὴ γὰρ μάρτυρος, μίμησις μάρτυρος. Ὥσπερ γὰρ οἱ τὰ φαῦλα [668] πράττοντες, καὶ ἐν ἑορταῖς ἀνέορτοί εἰσιν· οὕτω καὶ οἱ τὴν ἀρετὴν μετιόντες, καὶ πανηγύρεως οὐκ οὔσης, ἑορτὴν ἐπιτελοῦσιν· ἐν γὰρ τῷ καθαρῷ τοῦ συνειδότος ἡ ἑορτὴ χαρακτηρίζεται. Τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· *Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.* Ἔστι τοίνυν ἄζυμα παρὰ Ἰουδαίοις, ἔστι καὶ παρ' ἡμῖν [b]· ἀλλὰ παρ' ἐκείνοις μὲν ἄζυμον ἐξ ἀλεύρου, παρ' ἡμῖν δὲ καθαρότης βίου, καὶ ζωὴ κακίας ἁπάσης ἀπηλλαγμένη. Ὥστε ὁ ῥύπου καὶ κηλῖδος καθαρὰν τὴν ἑαυτοῦ διατηρῶν ζωὴν, καθ' ἡμέραν ἑορτάζει, πανηγυρίζων ἀεὶ, κἂν μὴ ἐν ἡμέρᾳ, μηδὲ ἐν στηκοῖς μαρτύρων, ἀλλὰ καὶ οἴκοι καθήμενος. Ἔστι γὰρ καὶ καθ' ἑαυτὸν ἑορτὴν μαρτύρων ἐπιτελεῖν. Καὶ ταῦτα λέγω, οὐχ ἵνα μὴ παραγινώμεθα πρὸς τοὺς τάφους τῶν μαρτύρων, ἀλλ' ἵνα παραγενόμενοι μετὰ τῆς προσηκούσης ἁπαντῶμεν προθυμίας, καὶ μὴ μόνον ταῖς ἡμέραις αὐτῶν, ἀλλὰ καὶ τούτων χωρὶς, τὴν αὐτὴν εὐλάβειαν παρεχώμεθα. Τίς γὰρ οὐκ ἂν ἀγάσαιτο σήμερον ἡμῶν τὸν σύλλογον, τὸ λαμπρὸν τοῦτο θέατρον, τὴν ζέουσαν ἀγάπην, τὴν θερμὴν διάθεσιν, τὸν ἀκατάσχετον ἔρωτα; Ὡς πᾶσα μὲν σχεδὸν ἡ πόλις ἐνταῦθα μεθώρμισται, καὶ οὔτε οἰκέτην δεσπότου φόβος κατέσχεν, οὔτε πένητα ἡ τῆς πτωχείας ἀνάγκη, οὔτε γηραιὸν τῆς ἡλικίας ἡ ἀσθένεια, οὔτε γυναῖκα τὸ τῆς φύσεως ἄπαλὸν, οὔτε πλούσιον τῆς περιουσίας ὁ τῦφος, οὐ τὸν ἄρχοντα τῆς ἐξουσίας ἡ ἀπόνοια· ἀλλ' ὁ τῶν μαρτύρων πόθος πᾶσαν ταύτην τὴν ἀνωμαλίαν ἐκβαλὼν, καὶ φύσεως ἀσθένειαν καὶ πενίας ἀνάγκην, μιᾷ ἁλύσει πλῆθος τοσοῦτον ἐνταῦθα εἵλκυσε, καὶ τῷ πόθῳ τῶν μαρτύρων ἐπτέρωσεν, ὡς ἐν οὐρανῷ νῦν πολιτευομένους διατρίβειν· πᾶσαν γὰρ ἀκολασίας καὶ ἀσελγείας πατήσαντες προσπάθειαν, τῷ τῶν μαρτύρων καταφλέγεσθε πόθῳ. Καθάπερ γὰρ τῆς ἀκτῖνος ἀνισχούσης δραπετεύει τὰ θηρία, καὶ πρὸς τοὺς οἰκείους καταδύεται χηραμούς· οὕτω τοῦ φωτὸς τῶν μαρτύρων εἰς τὰς ὑμετέρας καταλάμποντος διανοίας, ἅπαντα κατορύττεται τὰ νοσήματα, καὶ ἡ λαμπρὰ τῆς φιλοσοφίας ἀνάπτεται φλόξ. Ἀλλ' ὅπως μὴ νῦν μόνον, ἀλλὰ καὶ διηνεκῶς, καὶ τοῦ θεάτρου λυθέντος τοῦ πνευματικοῦ τούτου, ταύτην διατηρῶμεν τὴν φλόγα, καὶ μετὰ τῆς αὐτῆς εὐλαβείας οἴκαδε ἀναχωρῶμεν, μὴ εἰς καπηλεῖα καὶ πορνεῖα, καὶ μέθην, καὶ κώμους [c] ἑαυτοὺς ἀφιέντες. Ἐποιήσατε τὴν νύκτα ἡμέραν διὰ τῶν παννυχίδων τῶν ἱερῶν· μὴ ποιήσατε πάλιν τὴν ἡμέραν νύκτα διὰ τῆς μέθης καὶ τῆς κραιπάλης, καὶ τῶν ἀσμάτων τῶν πορνικῶν. Ἐτίμησας τοὺς μάρτυρας τῇ παρουσίᾳ, τῇ ἀκροάσει, τῇ σπουδῇ· τίμησον αὐτοὺς καὶ τῇ κοσμίῳ ἀναχωρήσει, μή τις ἰδὼν σε ἀσχημονοῦντα ἐν καπηλείῳ εἴπῃ, ὅτι οὐ διὰ τοὺς μάρτυρας παρεγένου, ἀλλ' ἵνα τὸ πάθος αὐξήσῃς, ἵνα τῇ πονηρᾷ ἐπιθυμίᾳ χαρίσῃ. Ταῦτα λέγω, οὐ κωλύων τρυφᾶν, ἀλλὰ κωλύων ἁμαρτάνειν, οὐ κωλύων πίνειν, ἀλλὰ κωλύων μεθύειν. Οὐ γὰρ ὁ οἶνος φαῦλον, ἀλλ' ἡ ἀμετρία πονηρόν· ὁ μὲν γὰρ οἶνος τοῦ Θεοῦ δῶρον, [669] ἡ δὲ ἀμετρία τοῦ διαβόλου εὕρημα. *Δουλεύσατε τοίνυν τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.*

Βούλει τρυφῆς ἀπολαύειν; ἀπόλαυε ἐν οἰκίᾳ, ὅπου, κἂν μέθη γένηται, πολλοὶ οἱ περιστέλλοντες· μὴ ἐν καπηλείῳ, ἵνα μὴ κοινὸν ᾖς θέατρον τοῖς παροῦσι [d] καὶ σκάνδαλον ἑτέροις. Καὶ ταῦτα λέγω, οὐ κελεύων οἴκοι μεθύειν, ἀλλ' ἐν καπηλείῳ μὴ διατρίβειν. Ἐννόησον ἡλίκος γέλως, μετὰ τοιαύτην σύνοδον, μετὰ παννυχίδας, μετὰ Γραφῶν ἁγίων ἀκρόασιν, μετὰ μυστηρίων θείων κοινωνίαν, καὶ μετὰ πνευματικὴν χορηγίαν, ἄνδρα ἢ γυναῖκα ἐν καπηλείῳ φαίνεσθαι διημερεύοντας. Οὐκ οἴδατε ἡλίκη κεῖται κόλασις τοῖς μεθύουσι; τῆς γὰρ βασιλείας τοῦ Θεοῦ ἐκβάλλονται, καὶ τῶν ἀπορρήτων ἐκπίπτουσιν ἀγαθῶν, καὶ εἰς τὸ αἰώνιον πῦρ ἐκπέμπονται. Τίς ταῦτά φησιν; Ὁ μακάριος Παῦλος· *Οὐ πλεονέκται, φησὶν, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.* Τί γένοιτ' ἂν ἀθλιώτερον τοῦ μεθύοντος, ὅταν διὰ μικρὰν ἡδονὴν τοσαύτης ἀπολέσῃ βασιλείας ἀπόλαυσιν; Μᾶλλον οὐδὲ ἡδονὴν ὁ μεθύων καρπώσασθαι δύναται· ἐν γὰρ τῇ συμμετρίᾳ τὰ τῆς ἡδονῆς, ἐν δὲ τῇ ἀμετρίᾳ τὰ τῆς ἀναισθησίας. Ὁ δὲ οὐκ αἰσθανόμενος ποῦ κάθηται, ἢ κατάκειται, πῶς ἂν αἴσθοιτο τῆς τοῦ πόματος ἡδονῆς, μηδὲ τὸν ἥλιον αὐτὸν δυνάμενος ὁρᾷν διὰ τὴν πυκνὴν τῆς μέθης νεφέλην, πῶς ἂν ἀπολαύσειεν εὐφροσύνης; τοσοῦτον γὰρ αὐτοῦ τὸ σκότος, ὡς μὴ ἀρκεῖν αὐτῷ τὰς ἀκτῖνας εἰς τὸ λῦσαι τὸν ζόφον ἐκεῖνον. Ἀεὶ μὲν, ἀγαπητοὶ, κακὸν ἡ μέθη, μάλιστα δὲ ἐν ἡμέρᾳ μαρτύρων. Μετὰ γὰρ τῆς ἁμαρτίας καὶ ὕβρις ἐστὶ μεγίστη καὶ παραφροσύνη. καὶ ἐξουδένωσις θείων λογίων· ὅθεν διπλῆ γένοιτ' ἂν καὶ ἡ κόλασις. Εἰ μέλλεις τοίνυν, εἰς μάρτυρας παραγενόμενος, μετὰ τὴν ἐντεῦθεν ἀναχώρησιν μεθύειν, βέλτιον οἴκοι μένειν, καὶ μὴ ἀσχημονεῖν, μηδὲ ὑβρίζειν τῶν μαρτύρων τὴν ἑορτὴν, μηδὲ σκανδαλίζειν τὸν πλησίον, μηδὲ πολιορκεῖν τὴν διάνοιαν, μηδὲ ἁμαρτήματα προστιθέναι. Ἦλθες ἰδεῖν ἀνθρώπους ξεομένους, αἵματι περιῤῥεομένους, τραυμάτων χορῷ καλλωπιζομένους, τὴν παροῦσαν ἀποδυσαμένους ζωὴν, πρὸς τὴν μέλλουσαν ἱπταμένους· γενοῦ τῶν ἀγωνιστῶν ἄξιος. Κατεφρόνησαν ἐκεῖνοι ζωῆς, καταφρόνησον σὺ τρυφῆς· ἀπεδύσαντο ἐκεῖνοι τὸν παρόντα βίον, ἀπόδυσαι σὺ τῆς μέθης τὸν πόθον.

Ἀλλὰ βούλει τρυφᾷν; παράμενε [e] τῷ τάφῳ τοῦ μάρτυρος, ἔχεε πηγὰς δακρύων ἐκεῖ, σύντριψον τὴν διάνοιαν, ἄρον εὐλογίαν ἀπὸ τοῦ τάφου· λαβὼν αὐτὴν συνήγορον ἐν ταῖς εὐχαῖς, ἐνδιάτριβε ἀεὶ τοῖς διηγήμασι τῶν παλαισμάτων ἐκείνου· περιπλάκητι τὴν σορὸν, προσηλώθητι τῇ λάρνακι· οὐχὶ τὰ ὀστᾶ μόνον τῶν μαρτύρων, ἀλλὰ καὶ οἱ τάφοι αὐτῶν, καὶ αἱ λάρνακες πολλὴν βρύουσιν εὐλογίαν. Λάβε ἔλαιον ἅγιον, καὶ [f] κατάχρισόν σου ὅλον τὸ σῶμα, τὴν γλῶτταν, τὰ χείλη, τὸν τράχηλον, τοὺς ὀφθαλμοὺς, καὶ οὐδέποτε ἐμπεσῇ εἰς τὸ ναυάγιον τῆς μέθης. Τὸ γὰρ ἔλαιον διὰ τῆς [670] εὐωδίας ἀναμιμνήσκει σε τῶν ἄθλων τῶν μαρτύρων, καὶ πᾶσαν ἀκολασίαν χαλινοῖ, καὶ κατέχει

[a] Coislin. ἑορτὴν ἐπετέλεσας.
[b] Coislin. ἔστιν ἄζυμα παρὰ Ἰουδαίοις, οὐ παρ' ἡμῶν (sic).
[c] Sic etiam Coislin., sed legendum κώμους.
[d] Coislin. τοῖς παριοῦσιν.
[e] Coislin. περίμενε. Infra idem σπᾶσον.
[f] Coislin. λάβε ἔλαιον τοῖς ὁμηλίκοις καί. Lectio observatu digna.

ἐν πολλῇ καρτερίᾳ, καὶ περιγίνεται τῶν τῆς ψυχῆς νοσημάτων. Ἀλλὰ κήποις ἐνδιατρίψαι βούλει, καὶ λειμῶσι καὶ παραδείσοις; Μὴ νῦν, ὅτε δῆμος τοσοῦτος, ἀλλ' ἐν ἑτέρᾳ ἡμέρᾳ· σήμερον γὰρ παλαισμάτων καιρὸς, σήμερον θεωρία ἀγωνισμάτων, οὐ τρυφῆς, οὐδὲ ἀνέσεως. Ἦλθες ἐνταῦθα, οὐχ ἵνα εἰς ῥᾳστώνην δώσῃς σεαυτὸν, ἀλλ' ἵνα μάθῃς ἀγωνίζεσθαι, παγκρατιάζειν, καὶ ἄνθρωπος ὢν τῶν ἀοράτων δαιμόνων συγκόπτειν τὴν ἰσχύν. Οὐδεὶς γὰρ εἰς παλαίστραν ἐλθὼν τρυφᾷ, οὐδὲ εἰς καιρὸν παλαισμάτων παραγενόμενος ὡραΐζεται, οὐδὲ ἐν καιρῷ παρατάξεως τραπέζας ἐπιζητεῖ. Μὴ τοίνυν καὶ σὺ ψυχῆς ἀνδρείαν καὶ γνώμης εὐτονίαν ἐλθὼν θεάσασθαι, καὶ τρόπαιον καινὸν καὶ παράδοξον, καὶ μάχην τινὰ ἐξηλλαγμένην, καὶ τραύματα καὶ πολέμους, καὶ παγκράτιον ἀνθρώπου, πράξεις δαιμονικὰς εἰσαγάγῃς, μετὰ τὴν ξένην καὶ φρικτὴν ταύτην θεωρίαν μέθῃ καὶ τρυφῇ ἑαυτὸν ἐκδοὺς, ἀλλὰ τὰ κέρδη τῆς ψυχῆς συναγαγών, οὕτως εἴσαδε ἄπιθι, διὰ τῆς ὄψεως πᾶσιν ἐνδεικνύμενος, ὅτι μάρτυρας θεωρήσας ἀνεχώρησας. Ὥσπερ γὰρ οἱ ἀπὸ τῶν θεάτρων κατιόντες, δῆλοι πᾶσίν εἰσι συντεταραγμένοι, συγκεχυμένοι, μαλακιζόμενοι, τὰ εἴδωλα πάντων τῶν ἐκεῖ γεγενημένων φέροντες· οὕτω καὶ τὸν ἀπὸ θεωρίας μαρτύρων ἐπανιόντα πᾶσι γνώριμον εἶναι χρὴ, τῷ βλέμματι, τῷ σχήματι, τῇ βαδίσει, τῇ κατανύξει, τῇ συναγωγῇ τῆς διανοίας· πῦρ πνέοντα, συνεσταλμένον, συντετριμμένον, νήφοντα, ἐγρηγορότα, διὰ τῶν κινημάτων τοῦ σώματος τὴν ἔνδοθεν ἀνακηρύττοντα φιλοσοφίαν. Οὕτω τοίνυν εἰς τὴν πόλιν ἐπανίωμεν, μετὰ τῆς προσηκούσης εὐταξίας, μετὰ εὐτάκτου βαδίσεως, μετὰ συνέσεως καὶ σωφροσύνης, μετὰ ἡμέρου καὶ γαληνοῦ βλέμματος. *Στολισμὸς γὰρ ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀπαγγελεῖ τὰ περὶ αὐτοῦ.* Οὕτως ἀεὶ ἀπὸ μαρτύρων ἐπανίωμεν, ἀπὸ μύρων πνευματικῶν, ἀπὸ λειμώνων οὐρανίων, ἀπὸ θεαμάτων καινῶν καὶ παραδόξων, ἵνα καὶ αὐτοὶ πολλὴν καρπωσώμεθα τὴν εὐκολίαν, καὶ ἑτέροις ἐλευθερίας πρόξενοι γενησώμεθα, καὶ τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

MONITUM

Hanc homiliam Antiochiæ habitam fuisse exploratum est, tum ex iis quæ de Daphnes suburbio deque comessationibus atque tripudiis ibidem haberi solitis commemorat Chrysostomus; tum etiam, quia ejusdem sancti reliquiæ Antiochiam translatæ fuerant: eratque eadem in urbe ecclesia, ejusdem sancti nomine [671] consecrata, quæ in historia Ecclesiastica non infrequenter celebratur. De anno quo hanc concionem habuit Chrysostomus ne γρῦ quidem expiscari possumus. Porro diem quo passus est Julianus assignat Martyrologium Romanum decimam sextam Martii; Menologium vero Græcorum vicesimam primam Junii. Hac autem de re audiendus Fronto Ducæus.

‹ Plures commemorat Julianos Martyrologium Romanum, sed hunc esse illum cujus historiam paucis perstringit 16 Martii, constat ex Menologio Græcorum Venetiis Græce tantum edito, quod ad 21 Junii passionem ejus refert. Narrat ergo eum natum fuisse Anazarbi in Cilicia, patre qui dignitate senator, matre quæ religione Christiana erat: a qua cum in Christi fide fuisset institutus, et sacrarum Litterarum se studiis excoluisset, annum agens 18, apud Martianum præsidem accusatus, cum sacrificare nollet idolis, in diversis partibus corporis cæsus est. Tum in carcerem conjectus, consilio matris obsequutus, cum in

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΙΟΥΛΙΑΝΟΝ.

α'. Εἰ ἐν τῇ γῇ τοιαῦται τοῖς μάρτυσιν αἱ τιμαὶ, μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ποταποὶ πλέκονται ἐν οὐρανῷ οἱ στέφανοι ταῖς ἁγίαις αὐτῶν κεφαλαῖς; εἰ πρὸ τῆς ἀναστάσεως τοσαύτη ἡ δόξα, πόση μετὰ τὴν ἀνάστασιν ἡ λαμπρότης; εἰ παρὰ τῶν συνδούλων τοσαύτης θεραπείας ἀπολαύουσι, πόσης τεύξονται

lasciviam refrenat, atque in multa detinet patientia, animique morbos expugnat. Verumenimvero in hortis versari cupis, in pratis, et viridariis? Ne jam id facias, cum tantus adstat populus, sed alio die : hodie namque luctarum tempus est, hodie spectaculum est certaminum, non deliciarum aut voluptatum. Venisti huc, non ut teipsum pigritiæ dedas, sed ut certare discas, pancratio vincere, et homo cum sis, dæmonum invisibilium vires infringere. Nemo quippe venit ad palæstram, ut deliciis vacet, neque cum tempore luctarum ingressus fuerit, formam suam excolit, aut cum acies ordinanda est, mensas exquirit. Ne igitur tu quoque cum ad animæ fortitudinem ac mentis vigorem spectandum adveneris, ad tropæum novum et admirabile, pugnam inusitatam, ad vulnera et prælia, et pancratium hominis, ne dæmonum actiones introducas, et post mirum et tremendum hoc spectaculum ebrietati ac deliciis teipsum addicas, sed collectis animæ lucris domum deinde revertere, atque ipso tui conspectu testare omnibus a martyrum te spectaculo redire. Nam quemadmodum qui a theatris descendunt, facile omnibus innotescunt, perturbati, confusi, emolliti, et eorum quæ illic facta sunt simulacra gestantes : ita et eum qui a spectaculo martyrum revertatur, facile ab omnibus oportet agnosci ex aspectu, ex habitu, ex incessu, ex compunctione, ex mentis collectæ attentione ; ignem spirantem, modestum, contritum, sobrium, vigilantem, et interiorem temperantiam ac philosophiam corporis moribus propalantem. Sic igitur ad urbem revertamur, cum ea qua par est modestia, cum incessu composito, cum prudentia et continentia, cum placido tranquilloque aspectu. *Amictus enim viri, et risus dentium, et ingressus hominis enuntiabit de illo* (*Eccli.* 19. 27). Ita semper a martyribus revertamur, ab unguentis spiritualibus, a cælestibus pratis, a novis mirisque spectaculis, ut et ipsi multam facilitatem experiamur, et cæteris libertatem conciliemus, ac futura bona consequamur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri simulque Spiritui Sancto gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

AD HOMILIAM IN SANCTUM JULIANUM MARTYREM.

confessione Christi se ad extremum usque spiritum perseveraturum diceret, in saccum arena et venenatis reptilibus refertum inclusus, in mare projectus est, et martyrii coronam adeptus. Postremo additur : Τοῦτον ὁ μέγας Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. *Hunc magnus Chrysostomus laudibus exornavit.* In Catalogo Augustano tractatus hic est ordine septuagesimus tertius, εἰς τὸν μάρτυρα Ἰουλιανόν. Ei ἐν τῇ γῇ. Codex Mediceus præfixum habuit diem μ' Ἰουνίῳ κα'. In Horologio quoque Græcorum apud Usuardi Martyrologium a Molano editum, 21 Junii, *Sacrosancti Martyris Juliani Tarsi.* Diversus est hic ab illo Juliano, cujus fit mentio in Menologio vulgato Antiquæ Lectionis T. VIII. Neque enim in Ægypto, sed in Cilicia passus est : ita ut quod ille a Chrysostomo laudatus dicitur, ab hoc nostro ad illum perperam translatum fuisse videatur. In Codice Regio Henrici II, et Bavarico sic inscribebatur hic tractatus : Εἰς τὸν ἅγιον μεγαλομάρτυρα Ἰουλιανόν. » Plura vide in Actis Sanctorum Bollandi ad decimam sextam Martii diem.

Interpretatio Latina est Frontonis Ducæi.

LAUDATIO SANCTI MARTYRIS JULIANI [a].

1. Si tales in terris honores martyribus deferuntur, postquam excesserint ex hac vita, quales coronæ sanctis eorum capitibus in cælis nectuntur? si tanta est ante resurrectionem gloria, quantus post resurrectionem erit splendor? si tanto eos conservi cultu

(a) Contulimus cum Mss. Regiis 1970, 2029, et 2342.

dignantur, quanto eos Dominus benevolentia complectetur? si nos mali conservos, qui recte se gesserunt, sic honoribus afficere novimus ac suspicere, quia pro Christo decertarunt, quanto magis Pater noster cælestis innumera bona dabit iis, qui pro ipso labores exantlarunt? Est enim munificus et benignus; verum non ob hoc ipsum modo ingentes eos honores manent, sed quoniam debitor est ipsorum. Pro nobis martyres mactati non sunt, tamen in honorem illorum convenimus: quod si nos pro quibus mactati non sunt, convenimus, Christus, pro quo sua capita devoverunt, quid non præstabit? si quibus nihil debebat tanta bona dedit, hos, quibus debitor est, quibus donis non remunerabitur? Nihil antea terrarum orbi debebat: *Omnes enim peccaverunt*, ait Paulus, *et egent gloria Dei* (*Rom.* 3. 23): imo vero pœnam ac supplicium debebat; veruntamen cum pœnam nobis ac supplicium deberet, vitam æternam largitus est. Si quibus igitur supplicium debebat, his regnum dedit: quibus vitam æternam debet, quid non dabit? quibus non eos honoribus cumulabit? si pro illis, qui ipsum oderant, crucifixus est, et sanguinem fudit: pro illis, qui sanguinem pro ejus confessione fuderunt, quid non perficiet? si aversantes ac resilientes ita dilexit ut pro ipsis moreretur, eos qui mensura ipsum maxima dilexerunt; *Majorem enim hac dilectionem nemo habet, ut animam suam ponat quis pro amicis suis* (*Joan.* 15. 13), quanta suscipiet benevolentia? quibus officiis prosequetur? Athletæ quidem certaminum externorum eodem in scammate decertant, et vincunt, victores renuntiantur, et coronantur: at isti pietatis athletæ non ita; sed in præsenti quidem sæculo decertant, in futuro autem coronantur: pugnarunt hic cum diabolo atque vicerunt, illic autem victores renuntiantur. Et ut esse verum istud intelligatis, nec illos hic coronis donari, verum illic ipsos omnia manere dona, Paulum dicentem audite, *Bonum certamen certavi, cursum consummavi, fidem servavi: in reliquo reposita est mihi corona justitiæ* (2. *Tim.* 4. 7. 8): ubi et quando? *Quam reddet mihi Dominus in illa die, justus judex.* Hic cucurrit, illic coronatur; hic vicit, illic victor renuntiatur. Audistis ipsum hodie quoque clamantem ac dicentem: *Juxta fidem defuncti sunt omnes isti, non acceptis repromissionibus, sed a longe eas aspicientes et salutantes* (*Hebr.* 11. 13). Cur igitur externis quidem ac profanis athletis simul obveniunt et victoriæ et coronæ, pietatis autem athletis non simul et victoriæ et coronæ, sed tantum post temporis intervallum? Sudarunt, labores hic exantlarunt, sexcenta vulnera exceperunt, nec statim eis obveniunt coronæ? Nequaquam, inquit: non enim vitæ præsentis natura magnitudinem honoris illius capit: caducum est sæculum præsens, ac breve; infinitum illud, immortale et æternum.

Temporanei labores coronas referunt immortales.— Propterea labores quidem cum brevi ac temporario sæculo isto connexuit, coronas autem æterno atque immortali reservavit, ut et laborum molestia præcidatur, quæ cum temporis brevitate dissolvatur, et perennis ac perpetuus coronarum usus permaneat, qui una cum infinitorum sæculorum illorum immortalitate perduret. Quod igitur majoribus eos honoribus ornare vellet, munus distulit: nec ideo tantum, sed ut pura deinceps voluptate perfundantur. Nam quemadmodum is, qui prius deliciis ac voluptatibus fruitur, ac deinde vexandus est, præsentes delicias ob futurorum malorum exspectationem minime sentit: sic ille qui prius pugnat ac decertat, et sexcenta mala tolerat, deinde vero coronatur, præsentium malorum sensum non capit, dum futurorum bonorum spe recreatur. Neque vero labore tantum eos præsenti per hanc futurorum spem levavit, sed etiam quod effecerit, ut ordine prior voluptate esset afflictio: ne vehementer a præsentibus malis, dum ad illa respiciunt torqueantur. Sic illi etiam, qui pugilatum certant, alacriter vulnera excipiunt, non dolores, sed coronam spectantes; sic et nautæ sexcenta pericula subeuntes, tempestates, et infestum quoddam bellum, ac sævis se belluis, et grassantibus in mari prædonibus objicientes, nihil horum mente versant, sed ad portus ac divitias ex negotiatione colligendas respiciunt: ita et martyres sexcenta mala tolerantes, corpore variis tormentis conciso, nihil istorum spectabant, sed cælo et bonis, quæ inde sperantur, inhiabant. Atque ut intelligatis ea, quæ natura sua gravia sunt et intoleranda, spe futurorum levia reddi ac facillima, præfectum talium bonorum dicentem audite: *Id enim quod in præsenti est momentaneum et leve tribulationis nostræ, supra modum in sublimitate æternum gloriæ pondus operatur nobis* (2. *Cor.* 4. 17). Quo tandem pacto quæso? *Non contemplantibus nobis quæ videntur, sed quæ non videntur* (*Ib. v.* 18).

2. Hæc autem non abs re dicta sunt a me, sed propter vos, ut cum aliquem in hac vita deliciis ac voluptatibus perfruentem videritis, sed illic postea puniendum, non eum propter præsentes delicias beatum, sed propter futurum supplicium miserum prædicetis. Rursum ubi quempiam eorum, qui multo illic honore decorandi sunt, afflictione ac tribulatione, atque innumeris malis in hac temporali vita videritis obsideri, ne propter præsentia mala deploretis, sed felicem judicetis ac beatum propter repositas ipsi in infinitis illis sæculis coronas censeatis. Hunc itaque sanctum Cilicum natio tulit, quæ Paulum etiam tulit: civis enim illius fuit, et uterque nobis inde minister Ecclesiæ prodiit.

Diuturnum Juliani martyrium.— Postquam autem pietatis apertum est stadium, et ad certamina tempus ipsum vocavit, in sævam incidit belluam, quæ tum judicium exercebat. Ac videte commentum: cum enim eum forti animo præditum videret, neque posse supplicii vehementia rigidum illud animi robur infringi, in procrastinationes illum conjicit ac dilationes, introducens identidem et educens. Non enim uno die, cum audisset, illi caput abscidit, ne supplicii brevitas faciliorem illi cursum redderet; sed diebus singulis

παρὰ τοῦ Δεσπότου τῆς εὐνοίας; εἰ ἡμεῖς οἱ πονηροὶ οἴδαμεν τοὺς κατορθοῦντας τῶν συνδούλων οὕτω τιμᾶν καὶ ἐκπλήττεσθαι, ἐπειδὴ ὑπὲρ Χριστοῦ ἠγωνίσαντο· πόσῳ μᾶλλον ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος δώσει μυρία ἀγαθὰ τοῖς ὑπὲρ αὐτοῦ πεπονηκόσι; Καὶ γὰρ μεγαλόδωρός ἐστι καὶ φιλάνθρωπος· ἀλλ' οὐ δι' αὐτὸ τοῦτο μένουσιν αὐτοὺς μεγάλαι αἱ τιμαὶ, ἀλλ' ὅτι καὶ ὀφειλέτης ἐστὶν αὐτῶν. Οὐκ ἐσφάγησαν ὑπὲρ ἡμῶν οἱ μάρτυρες, καὶ ὅμως συντρέχομεν εἰς τὴν ἐκείνων τιμήν. Εἰ δὲ ἡμεῖς, ὑπὲρ ὧν οὐκ ἐσφάγησαν, συντρέχομεν, ὁ Χριστὸς, ὑπὲρ οὗ τὰς κεφαλὰς ἀπέθεντο, τί οὐ ποιήσει; εἰ οἷς μηδὲν ὤφειλε, τοσαῦτα ἔδωκεν ἀγαθὰ, τούτους, οἷς ὀφειλέτης ἐστὶ, πόσαις οὐκ ἀμείψεται δωρεαῖς; Οὐδὲν ὤφειλε πρὸ τούτου τῇ οἰκουμένῃ· *Πάντες γὰρ ἥμαρτον*, φησὶ Παῦλος, *καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ*· μᾶλλον δὲ ὤφειλε κόλασιν καὶ τιμωρίαν· ἀλλ' ὅμως κόλασιν ἡμῖν ὀφειλων καὶ τιμωρίαν, ζωὴν αἰώνιον ἐχαρίσατο. Εἰ τοίνυν οἷς κόλασιν ὤφειλε, τούτοις βασιλείαν ἔδωκεν· οἷς ζωὴν αἰώνιον ὀφείλει, τί οὐ δώσει; καὶ πόσαις αὐτοὺς οὐ τιμήσει τιμαῖς; εἰ ὑπὲρ τῶν μισούντων αὐτὸν ἐσταυρώθη, καὶ τὸ αἷμα ἐξέχεεν, ὑπὲρ τῶν τὸ αἷμα ἐκχεάντων [672] διὰ τὴν εἰς αὐτὸν ὁμολογίαν, τί οὐκ ἐργάσεται; εἰ τοὺς ἀποστρεφομένους καὶ ἀποπηδῶντας οὕτως ἠγάπησεν, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτῶν, τοὺς ἀγαπήσαντας αὐτὸν μέτρῳ μεγίστῳ (*Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ*) [a], πόσῃ δέξεται εὐνοίᾳ καὶ θεραπείᾳ; Οἱ μὲν οὖν ἀθληταὶ τῶν ἔξωθεν ἀγώνων ἐν τῷ αὐτῷ σκάμματι καὶ παλαίουσι, καὶ νικῶσι, καὶ ἀνακηρύττονται· οὗτοι δὲ οἱ ἀθληταὶ τῆς εὐσεβείας οὐχ οὕτως· ἀλλ' ἐπάλαισαν μὲν ἐν τῷ παρόντι αἰῶνι, στεφανοῦνται δὲ ἐν ἐκείνῳ τῷ μέλλοντι· ἐπύκτευσαν ἐνταῦθα τῷ διαβόλῳ καὶ περιεγένοντο, ἀνακηρύττονται δὲ ἐκεῖ. Καὶ ἵνα μάθητε, ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ οὐκ ἐνταῦθα αὐτοῖς οἱ στέφανοι δίδονται, ἀλλ' ἐκεῖ πᾶσαι αὐτοὺς ἀναμένουσιν αἱ δωρεαὶ, ἀκούσατε τοῦ Παύλου λέγοντος, *Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος*· ποῦ καὶ πότε; *Ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής*. Ἐνταῦθα ἔδραμεν, ἐκεῖ στεφανοῦται· ἐνταῦθα ἐνίκησε, κἀκεῖ ἀναγορεύεται. Ἠκούσατε αὐτοῦ καὶ σήμερον βοῶντος καὶ λέγοντος, *Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι*. Τίνος οὖν ἕνεκεν τοῖς μὲν ἀθληταῖς τοῖς ἔξωθεν ὁμοῦ καὶ αἱ νῖκαι, καὶ οἱ στέφανοι, τοῖς δὲ ἀθληταῖς τῆς εὐσεβείας οὐχ ὁμοῦ καὶ αἱ νῖκαι, καὶ οἱ στέφανοι, ἀλλὰ μετὰ τοσοῦτον τὸ διάστημα τοῦ χρόνου; Ἴδρωσαν, ἐπόνεσαν ἐνταῦθα, μυρία ὑπέμειναν τραύματα, καὶ οὐκ εὐθέως αὐτοὺς στεφανοῖ; Οὐχὶ, φησίν· οὐ γὰρ δέχεται ἡ φύσις τοῦ παρόντος βίου τὸ μεγέθος ἐκείνης τῆς τιμῆς· ἐπίκηρος ὁ παρὼν αἰὼν ἐστι· καὶ βραχὺς, ἄπειρος ἐκεῖνος, καὶ ἀθάνατος, καὶ ἀτελεύτητος.

Διὰ τοῦτο τοὺς μὲν πόνους συνεκλήρωσε τῷ βραχεῖ καὶ προσκαίρῳ αἰῶνι, τοὺς δὲ στεφάνους ἐταμιεύσατο τῷ ἀγήρῳ καὶ ἀθανάτῳ, ἵνα καὶ τῶν πόνων τὸ φορτικὸν ὑποτέμνηται, τῇ ὀλιγότητι τοῦ χρόνου συγκαταλυόμενον, καὶ τῶν στεφάνων ἡ ἀπόλαυσις μένῃ διαρκὴς καὶ ἀτελεύτητος, τῇ τῶν ἀπείρων αἰώνων ἐκείνων ἀθανασίᾳ συμπαρεκτεινομένη. Μειζόνως τοίνυν αὐτοὺς τιμῆσαι βουλόμενος ἀνεβάλετο τὴν δωρεάν· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα καὶ καθαρὰν λοιπὸν ἔχωσι τὴν ἡδονήν. Ὥσπερ γὰρ ὁ πρότερον τρυφῶν καὶ ἀνέσεως ἀπολαύων, μετὰ δὲ ταῦτα θλιβόμενος, οὐκ αἰσθάνεται τῆς παρούσης τρυφῆς τῇ προσδοκίᾳ τῶν μελλόντων δεινῶν· οὕτως ὁ πρότερον πυκτεύων, καὶ ἀθλῶν, καὶ μυρία ὑπομένων κακὰ, μετὰ δὲ ταῦτα στεφανούμενος, οὐκ αἰσθάνεται τῶν παρόντων δεινῶν, τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν ἀνανεούμενος. Οὐ τοῦ παρόντος δὲ μόνον ἐκούφισεν αὐτοὺς πόνου τῇ μελλούσῃ ἐλπίδι, ἀλλὰ καὶ τῇ τάξει προτέραν τῆς ἀνέσεως κατασκευάσας γίνεσθαι τὴν θλῖψιν, ἵνα μὴ σφόδρα ὑπὸ τῶν παρόντων δεινῶν κατατείνωνται πρὸς ἐκεῖνα βλέποντες. Οὕτω καὶ οἱ πυκτεύοντες δέχονται τὰ τραύματα προθύμως, οὐ πρὸς τὰς ἀλγηδόνας, ἀλλὰ πρὸς τὸν στέφανον [673] βλέποντες· οὕτω καὶ ναῦται μυρίους ὑπομένοντες κινδύνους, χειμῶνας, καὶ πόλεμόν τινα χαλεπὸν, καὶ πρὸς θηρία ἄγρια, καὶ πρὸς τοὺς ἐν τῇ θαλάττῃ κακούργους ἀντιπαρατατόμενοι, οὐδὲν τούτων λογίζονται, ἀλλὰ πρὸς τοὺς λιμένας, καὶ τὸν ἀπὸ τῆς ἐμπορίας πλοῦτον ὁρῶσιν· οὕτω καὶ οἱ μάρτυρες μυρία πάσχοντες δεινὰ, καὶ τὸ σῶμα διαφόροις βασάνοις κατατεμνόμενοι, πρὸς οὐδὲν τούτων ἑώρων, ἀλλὰ πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐκεῖθεν κεχήνασιν ἀγαθά. Καὶ ἵνα μάθητε ὅτι τὰ φύσει φορτικὰ καὶ ἀφόρητα, ταῦτα τῇ ἐλπίδι τῶν μελλόντων κοῦφα καὶ ῥᾴστα γίνεται, ἀκούσατε τοῦ πρωτοστάτου τῶν τοιούτων ἀγαθῶν λέγοντος· *Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν*. Πῶς, εἰπέ μοι; *Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα*.

β'. Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ δι' ὑμᾶς, ἵνα ὅταν ἴδητέ τινα τρυφῶντα καὶ ἀνέσεως ἀπολαύοντα ἐν τῷ βίῳ τούτῳ, μέλλοντα δὲ ἐκεῖ κολάζεσθαι, μὴ μακαρίζητε αὐτὸν διὰ τὴν παροῦσαν τρυφὴν, ἀλλὰ ταλανίζητε διὰ τὴν μέλλουσαν κόλασιν. Καὶ πάλιν ὅταν ἴδητέ τινα τῶν μελλόντων ἐκεῖ πολλῆς ἀπολαύειν τιμῆς ἐν θλίψει καὶ στενοχωρίᾳ, καὶ μυρίοις ὄντα κακοῖς ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ, μὴ δακρύητε διὰ τὰ παρόντα δεινὰ, ἀλλὰ μακαρίζητε, καὶ ζηλωτὸν εἶναι νομίζητε διὰ τοὺς ἀποκειμένους αὐτῷ στεφάνους ἐν τοῖς ἀπείροις αἰῶσιν ἐκείνοις. Ἤνεγκε μὲν οὖν τὸν ἅγιον τοῦτον τὸ τῶν Κιλίκων ἔθνος, ὃ καὶ τὸν Παῦλον ἤνεγκε· συμπολίτης γὰρ ἦν ἐκείνου, καὶ ἀμφότεροι ὑπουργοὶ τῆς Ἐκκλησίας ἐκεῖθεν ἡμῖν προεβλήθησαν.

Ἐπειδὴ δὲ τὸ στάδιον ἀνέῳγε τῆς εὐσεβείας, καὶ πρὸς τοὺς ἄθλους αὐτὸν ὁ καιρὸς ἐκάλει, περιπίπτει χαλεπῷ θηρίῳ τῷ τότε δικάζοντι. Καὶ σκοπεῖτε τὴν μηχανήν. Ἰδὼν γὰρ αὐτοῦ τὸ φρόνημα στερρὸν, καὶ ὡς οὐ δυνατὸν τῇ σφοδρότητι τῆς τιμωρίας ὑπεκλῦσαι τὸ εὔτονον τῆς προθυμίας, εἰς μελλήσεις αὐτὸν ἐμβάλλει καὶ ἀναβολὰς, εἰσάγων καὶ ἐξάγων συνεχῶς. Οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ ἀκούσας ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν, ἵνα μὴ τὸ σύντομον τῆς τιμωρίας εὐκολώτερον αὐτῷ ποιήσῃ τὸν δρόμον, ἀλλὰ καθ' ἑκάστην

[a] Savil. et unus Reg. ὑπὲρ αὐτῶν. Διὸ καὶ λέγει· « Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ· » τοὺς ἀγαπήσαντας αὐτὸν μέτρῳ τῷ ἴσῳ, καὶ ἑαυτοὺς ὑπὲρ αὐτοῦ ἐκδόντας εἰς θάνατον.

ἡμέραν εἰσῆγεν, ἐξῆγεν. πεύσεις προσῆγε, βασάνους μυρίας ἠπείλει, λόγοις κολακευτικοῖς ἐδελέαζε, πᾶσαν ἐκίνει μηχανὴν τὸν ἄσειστον θεμέλιον ἐπιχειρῶν διασαλεύειν· καὶ περιῆγεν αὐτὸν ἐνιαυτὸν ὁλόκληρον πανταχοῦ τῆς Κιλικίας καταισχύνων, μᾶλλον δὲ, ὡς οὐκ ἦρετο, λαμπρότερον ἀποφαίνων· ὁ δὲ μάρτυς ἐβόα [a] καὶ αὐτὸς συνῳδὰ τῷ Παύλῳ, *Χάρις τῷ Θεῷ τῷ θριαμβεύοντι ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ.* Καθάπερ γὰρ μυρον ἕως μὲν ἐν ἑνὶ τόπῳ κεῖται, ἐκεῖνον μόνον ἀναχρίννυσι τὸν ἀέρα τῆς εὐωδίας, ἐπειδὰν δὲ εἰς πολλὰ προενεχθῇ χωρία, πάντα ἐμπίπλησι τῆς οἰκείας ἀρετῆς [b]· οὕτω δὴ καὶ ἐπὶ τοῦ μάρτυρος συνέβαινε τότε. Περιήγετο μὲν γὰρ ὡς [674] μέλλων καταισχύνεσθαι, τὸ δὲ ἐναντίον ἐξέβαινε· λαμπρότερος ὁ ἀθλητὴς διὰ τῆς πομπῆς ἐκείνης ἐγίγνετο, καὶ πάντας τοὺς τὴν Κιλίκων χώραν οἰκοῦντας τῆς οἰκείας ἐποίει ζηλωτὰς ἀρετῆς. Περιήγετο πανταχοῦ, ἵνα μὴ μόνον ἐξ ἀκοῆς μάθωσι τὰ παλαίσματα, ἀλλὰ καὶ αὐτὸν βλέπωσι τὸν στεφανίτην οἱ θεαταί· καὶ ὅσῳ μακροτέρους αὐτῷ ἐποίει τοὺς διαύλους, τοσούτῳ λαμπρότεροι οἱ δρόμοι πάντες ἐγίγνοντο· ὅσῳ μείζονα ἐτίθει τὰ σκάμματα, τοσούτῳ θαυμαστότερα ἀπέφαινε τὰ παλαίσματα· ὅσῳ τὴν θλῖψιν ἐπέτεινεν εἰς χρόνου μῆκος, τοσούτῳ τὴν ὑπομονὴν αὐτοῦ δοκιμωτέραν εἰργάζετο. Καὶ γὰρ χρυσίον πλείονα χρόνον τῇ τοῦ πυρὸς ὁμιλοῦν φύσει, καθαρώτερον γίνεται· καθάπερ τότε καὶ ἡ τοῦ ἁγίου ψυχὴ βασανιζομένη τῷ χρόνῳ μᾶλλον ἀπέλαμπε, καὶ οὐδὲν ἕτερον, ἀλλ' ἢ τρόπαιον καθ' ἑαυτοῦ καὶ τοῦ διαβόλου, τὸν μάρτυρα περιέφερεν, ἔλεγχον τῆς τῶν Ἑλλήνων ὠμότητος, ἀπόδειξιν τῆς τῶν Χριστιανῶν εὐσεβείας, μέγιστον τεκμήριον τῆς τοῦ Χριστοῦ δυνάμεως, παραίνεσιν καὶ συμβουλὴν τοῖς πιστοῖς, ὥστε προθύμως τοῖς αὐτοῖς ἐγκαρτερεῖν ἀγῶσι, κήρυκα τῆς τοῦ Θεοῦ δόξης, διδάσκαλον τῆς τῶν τοιούτων παλαισμάτων ἐπιστήμης. Παρεκάλει γὰρ ἅπαντας πρὸς τὸν οἰκεῖον ζῆλον μεταναστῆναι, οὐχὶ διὰ τῆς φωνῆς μόνον συμβουλεύων, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων σάλπιγγος λαμπροτέραν ἀφιεὶς φωνήν. Καὶ καθάπερ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, οὐχὶ φωνὴν ἀφιέντες, ἀλλὰ τῇ λαμπρότητι τῆς ὄψεως τὸν θεατὴν πρὸς τὸ θαῦμα τοῦ δημιουργοῦ παραπέμποντες· οὕτω δὴ καὶ ὁ μάρτυς ἐκεῖνος διηγεῖτο τότε δόξαν Θεοῦ, οὐρανὸς ὢν καὶ αὐτὸς, καὶ πολὺ τοῦ φαινομένου τούτου φαιδρότερος [c]. Οὐ γὰρ οὕτω τὸν οὐρανὸν λαμπρὸν ἀποφαίνουσιν οἱ τῶν ἄστρων χοροὶ, ὡς τὸ τοῦ μάρτυρος σῶμα λαμπρότερον ἀπέφηναν οἱ τῶν τραυμάτων ἰχῶρες. Καὶ ἵνα μάθητε ὅτι τὰ τραύματα τοῦ μάρτυρος τῶν ἐν οὐρανῷ πεπηγότων ἄστρων λαμπρότερα, σκοπεῖτε.

Πρὸς ἐκεῖνον μὲν τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας καὶ ἄνθρωποι καὶ δαίμονες βλέπουσι, πρὸς δὲ τὰ τραύματα τούτου ἄνθρωποι μὲν βλέπουσιν οἱ πιστοὶ, δαίμονες δὲ ἀντιβλέψαι οὐ τολμῶσιν, ἀλλὰ κἂν ἐπιχειρήσωσιν ἰδεῖν, εὐθέως ἀποτυφλοῦνται τὰς ὄψεις, τὴν ἐκεῖθεν ἐκπηδῶσαν μαρμαρυγὴν [d] οὐ δυνάμενοι φέρειν. Καὶ τοῦτο οὐκ ἀπὸ τῶν πάλαι συμβεβηκότων πιστώσομαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔτι καὶ νῦν γινομένων. Λαβών γάρ τινα δαιμονῶντα καὶ μαινόμενον εἰσάγαγε πρὸς τὸν ἅγιον τάφον ἐκεῖνον, ἔνθα τοῦ μάρτυρος τὰ λείψανα, καὶ ὄψει πάντως ἀποπηδῶντα καὶ φεύγοντα. Καθάπερ γὰρ ἀνθράκων μέλλων ἐπιβαίνειν, οὕτως ἐξ αὐτῶν εὐθέως ἐξάλλεται τῶν προθύρων, οὐδὲ πρὸς τὴν θήκην αὐτὴν ἀντιβλέψαι τολμῶν. Εἰ δὲ νῦν μετὰ τοσοῦτον χρόνον, ὅτε κόνις ἐγένετο καὶ τέφρα, οὐ τολμῶσιν ἀναβλέψαι πρὸς τὸ μνῆμα, οὐδὲ πρὸς τὰ γυμνὰ ὀστᾶ τοῦ ἁγίου, εὔδηλον ὅτι καὶ τότε, ὅτε ἐώρων αὐτὸν αἵματι φοινισσόμενον πάντοθεν, τραύμασιν ἀποστίλβοντα μᾶλλον, ἢ τὸν ἥλιον ταῖς ἀκτῖσι, κατεπλάγησαν, καὶ πληγέντες τὰς ὄψεις ἀνεχώρησαν.

γ'. Εἶδες πῶς τῶν οὐρανίων ἀστέρων τὰ τῶν μαρτύρων τραύματα φαιδρότερα καὶ θαυμαστότερα, καὶ μείζονα ἔχει τὴν ἰσχύν; Ἤγετο τοίνυν εἰς μέσον ὁ ἅγιος, καὶ [675] πικραὶ πανταχόθεν περιειστήκεισαν κολάσεις, φόβος τῶν μελλόντων, πόνος τῶν παρόντων, ὀδύνη τῶν ἐπελθόντων, ἀγωνία τῶν προσδοκωμένων. Καθάπερ γάρ τινες θῆρες ἄγριοι οἱ δήμιοι περιστάντες αὐτοῦ τὸ σῶμα διώρυττον τὰς πλευρὰς, κατέξαινον τὰς σάρκας, ἀπεγύμνουν ὀστᾶ, πρὸς αὐτὰ τὰ εἴσω τῶν σπλάγχνων ἐβάδιζον. Ἀλλ' ὅμως καὶ πάντα διερευνώμενοι τὸν θησαυρὸν τῆς πίστεως ἀποσυλῆσαι οὐκ ἴσχυσαν. Ἐπὶ μὲν οὖν τῶν ταμείων τῶν βασιλικῶν, ἔνθα χρυσίον ἀπόκειται καὶ πλοῦτος ἕτερος ἄφατος, ἂν τοὺς τοίχους διέλῃς μόνον, ἂν τὰς θύρας ἀνοίξῃς, εὐθέως ὁρᾷς τὸν θησαυρὸν προκείμενον· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἁγίου καὶ χριστοφόρου τούτου ναοῦ τὸ ἐναντίον ἐγίγνετο. Διεῖλον τοὺς τοίχους οἱ δήμιοι, καὶ τὰ στέρνα ἀνέῤῥηξαν, καὶ τὸν πλοῦτον τὸν ἐναποκείμενον οὔτε ἔβλεπον, οὔτε λαβεῖν ἠδύναντο· ἀλλ' ὅπερ ἔπασχον οἱ ἐν Σοδόμοις, παρ' αὐτῇ μὲν τῇ θύρᾳ ἑστῶτες τῆς τοῦ Λὼτ οἰκίας, τὴν δὲ εἴσοδον οὐχ εὑρίσκοντες· οὕτω δὴ καὶ οὗτοι διηρεύνων [e] πανταχόθεν τὸ σῶμα τοῦ μάρτυρος, ἐπιλαβέσθαι δὲ τοῦ θησαυροῦ, καὶ κενῶσαι τὸν πλοῦτον τῆς πίστεως οὐκ ἴσχυον. Τοιαῦτα τῆς ψυχῆς τῶν ἁγίων τὰ κατορθώματα, ἀναφαίρετα καὶ ἀκαταγώνιστα, καθάπερ ἐν ἀσύλῳ τινὶ χωρίῳ τῇ τῆς ψυχῆς ἀνδρείᾳ ἐναποκείμενα, καὶ οὔτε τυράννων αὐτὰ βλέπουσιν ὀφθαλμοὶ, οὔτε δημίων ἁρπάσαι δύνανται χεῖρες, ἀλλὰ κἂν αὐτὴν διέλωσι τὴν καρδίαν, ἢ μάλιστα τῆς ψυχῆς τὴν ἀνδρείαν πεπίστευται, κἂν εἰς μικρὰ κατατέμωσι μέρη, οὐδὲ οὕτω κενοῦσι τὸν πλοῦτον, ἀλλὰ καὶ πλείω τοῦτον ἐργάζονται. Τὸ δὲ αἴτιον Θεός ἐστιν ὁ ταῖς τοιαύταις ἐνοικῶν ψυχαῖς· τὸν δὲ Θεῷ πολεμοῦντα ἀμήχανον νικῆσαί ποτε, ἀλλ' ἀνάγκη καταγελασθέντα καὶ αἰσχρῶς ἡττηθέντα ἀπελθεῖν. Διὰ τοῦτο καὶ τότε τὰ ἐναντία τῶν εἰωθότων ἐγίγνετο. Πανταχοῦ μὲν γὰρ τὰ πράγματα ῥημάτων κρατεῖ· τότε δὲ λόγοι πράξεων ἐκράτησαν· πῶς; Προσῆγον αὐτοὶ πῦρ καὶ σίδηρον καὶ βασάνους· προσῆγον κολάσεις, τιμωρίας, μάστιγας· διώρυττον πάντοθεν [f] τὰς πλευρὰς, καὶ ὁ πάσχων ἀνάλωτος ἔμενεν· ἐκεῖνος ἐφθέγγετο μόνον, καὶ ψιλὴν ἠφίει φωνὴν, καὶ λόγος ἔργων ἐκράτησεν. Ἐξήλλετο γὰρ ἡ ἁγία φωνὴ τοῦ μαρτυρικοῦ στόματος, καὶ ἐφείλκετο μεθ' ἑαυτῆς φῶς φαιδρότερον τῆς ἡλιακῆς ἀκτῖνος. Ταύτης τοσοῦτον τὸ φῶς ἐστιν, ὅσον τὸ διάστημα ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν· μᾶλλον δὲ οὐδὲ τοῦτο ὅλον δύναται διαβῆναι, ὅταν ἡ στέγη, ἢ τοῖχος, ἢ νέφος, ἢ ἄλλο τι σῶμα μεταξὺ παρεμπέσῃ, ἀλλὰ

[a] Morel. λαμπρότερον ἀποφαίνων, ὁ δὲ μάρτυς ἐβόα. Unus Reg. λαμπρότερον ἀπέφηνε καὶ ἐβόα. Ibid. Savil. et alius Reg. ὁ δὲ μάρτυς περιαγόμενος ἐβόα.

[b] Alii τῆς οἰκείας δυνάμεως.

[c] Unus Reg. τούτου λαμπρότερος.

[d] Alii ἐκπηδῶσαν ἀστραπήν.

[e] Alii διερευνῶντες.

[f] Hic et infra in Morel. quædam deerant, quæ ex Savil. et ex mss. supplentur. Mox post φωνήν addit Savil. τῶν βασάνων ὑπερορῶν, καὶ τῶν μαστιζόντων περιεγένετο. Οὕτως λόγος ἔργων ἐκράτησε.

introducebat, educebat, interrogationes adhibebat, mille tormenta minitabatur, adulatoriis verbis allicie-bat, omnes machinas admovebat, et immotum illud fundamentum concutere nitebatur; anno integro per universam illum Ciliciam circumducebat, ignominia-que afficiebat : imo vero, quod minime arbitrabatur, illustriorem reddebat martyrem; martyr autem et ipse vociferabatur concinebatque cum Paulo, *Deo autem gratias qui triumphat nos in Christo, et odorem notitiæ suæ manifestat per nos in omni loco* (2. *Cor.* 2. 14). Ut enim unguentum, quamdiu quidem uno in loco situm est, solum illum aerem odore inficit; cum autem in multa fuerit loca dispersum, omnia sua virtute complet : ita nimirum et in martyre accidit. Circum-agebatur enim tum temporis ut inurendus ignominia, sed contrarium eveniebat : illustrior illa transvectione fiebat athleta, cunctosque Cilicum regionis incolas suæ virtutis æmulatores reddebat. Circumagebatur quoquoversus, ut ejus certamina non ex fama solum discerent, sed et ipsum coronatum victorem contue-rentur spectatores; quantoque longiores illi circuitus stadii curriculaque reddebat, tanto illustriores cursus omnes fiebant : quanto majora illi scammata propo-nebat, tanto mirabiliora certamina efficiebat : quanto afflictionem temporis diuturnitate protendebat, tanto probatiorem patientiam ejus reddebat. Nam et aurum, quo diutius cum ignis natura versatur, purius evadit : quemadmodum et tum sancti anima tempore exami-nata magis refulgebat, nec aliud quiddam, quam tropæum adversus seipsum ac diabolum, martyrem circumferebat, crudelitatis gentilium argumentum, Christianorum pietatis indicium, virtutis Christi maxi-mum signum, incitamentum et consilium fidelibus, ut alacri animo in iisdem certaminibus perseverarent, divinæ gloriæ præconem, talium certaminum disciplinæ magistrum. Cunctos enim ad imitationem sui non voce tantum suadens, sed factis ipsis tuba clariorem mittens vocem, cohortabatur. Et quemadmodum cæli non emissa voce Dei gloriam enarrant (*Psal.* 18. 1), sed dum aspectus sui splendore spectatorem in ad-mirationem conditoris traducunt : ita nimirum et martyr ille Dei gloriam tunc enarrabat, cum cælum esset ipse quoque multo isto lucidius, quod videmus. Non enim ita cælum astrorum chori splendidum reddunt, ut martyris corpus splendidius vulnerum sanies reddidit. Atque ut martyris vulnera cælo infixis astris splendidiora esse discatis, advertite.

Dæmones Martyrum sepulcra formidant. — Ad illud quidem cælum ac stellas cum homines respiciunt, tum dæmones; sed ad hujus etiam vulnera homines quidem respiciunt fideles, dæmones autem oculos contra non audent attollere; quin etiam si spectare conentur, continuo luminibus orbantur, nec possunt exsilientem inde fulgorem sustinere. Hoc ego non ex iis tantum quæ olim acciderunt, sed ex iis etiam, quæ hodieque fiunt, comprobabo. Sume enim quempiam a dæmone correptum ac furentem, et ad sanctum illud sepulcrum deduc, quo reliquæ martyris conti-nentur, tum resilientem plane atque fugientem vide-bis. Ut enim si per prunas incessurus esset, sic ab ipso vestibulo statim exsilit, et ne oculos quidem adversus ipsam thecam audet attollere. Quod si nunc tanto post tempore, cum pulvis et cinis est factus, suspicere in monumentum non audent, nec in nuda sancti ossa, minime dubium est, quin tum quoque, cum illum sanguine purpuratum videbant, vulneribus undique amplius quam solem radiis refulgentem, perculsi fuerint, et oculis læsi recesserint.

3. Vides ut astris cælestibus martyrum vulnera splendidiora sint ac mirabiliora, majorique virtute pol-leant? Sanctus itaque in medium producebatur, et acerba undique supplicia circumstabant, metus futuro-rum, labor præsentium, dolor ingruentium, eorum quæ exspectabantur formido : tamquam enim belluæ quæ-dam immanes carnifices corpus ejus circumsidentes latera effodiebant, carnem deradebant, ossa denuda-bant, viscera ipsa interiora pervadebant. Attamen cum cuncta pervestigarent, thesaurum fidei deprædari mi-nime valuerunt. Enimvero in regum ærariis, ubi au-rum aliæque copiosæ sunt opes reconditæ, si parietes solum perfoderis, si fores reseraveris, continuo thesau-rum objectum vides; at hic in sancto isto Christum-que continenti templo contrarium accidebat. Perfo-diebant muros carnifices, pectoraque disrumpebant, et reconditas opes nec cernebant, nec rapere pote-rant; sed quod evenit Sodomitis, ut ad domus Lot januam quidem ipsam starent, aditum vero non in-venirent (*Gen.* 19. 10. *sqq.*) : sic nimirum et isti, cum corpus martyris undiquaque scrutarentur, the-saurum tamen deprehendere fideique divitias exhau-rire non valebant. Talia sunt animæ sanctorum recte facta, quæ nec auferri nec vinci possunt, in animæ fortitudine tamquam in asylo quodam et sacro loco recondita, ut nec oculi tyrannorum ea cernant, nec manus carnificum rapere possint; sed licet ipsum cor dissecent, cui præcipue credita est animæ forti-tudo, licet in minuta frusta concidant, ne sic quidem opes exhauriunt, sed eas ampliores etiam reddunt. Hujus rei causa Deus est, qui animas tales inhabitat; qui vero Deo bellum inferat, fieri nequit umquam, ut victor evadat, sed necesse est, ut ludibrio habitus turpi-terque superatus abscedat. Propterea tum quoque contra, quam usu venire soleat, accidebat : ubique siquidem a factis verba superantur, tum vero sermo-nes actionibus prævalebant : quomodo? Admovebant ignem illi et ferrum et tormenta; admovebant pœnas, supplicia, flagella; perfodiebant undique [1] latera : et qui patiebatur inexpugnabilis manebat; loquebatur ille tantum, simplicemque vocem emittebat, et opera sermo vincebat [2]. Exsiliebat ex martyris ore vox sancta, simulque cum ipsa lumen radio solari splen-didius eliciebatur. Hujus tantum est lumen, quantum inter cælum et terram interjacet intervallum; imo vero ne hoc quidem integrum potest pervadere, si-

[1] Hic et infra in Morel. quædam decrant, quæ ex Savil. et ex Mss. supplentur.

[2] In Savil. post, *emittebat*, sic legitur, *tormenta despi-ciens, et flagellantes superavit. Sic opera sermo vincebat.*

quando tectum, vel murus, vel nubes, vel aliud quoddam corpus intercesserit, sed obstruitur ac discluditur septis ejusmodi, ne ulterius feratur : vox autem martyris ex illa sancta lingua prosiliens in cælum subsiliit. Prætervecta est cælum cæli ; viderunt eam angeli, locoque cesserunt, archangeli, et viam dederunt; Cherubim et aliæ virtutes sursum ipsam deduxerunt; nec prius recesserunt, quam ad ipsum thronum regium adduxissent.

Mors martyrum est victoria. S. Julianus in mare projectus. — Post hanc autem vocem cum vidisset is, qui tum judicium exercebat, se temere cuncta et incassum esse machinatum, seque contra stimulum calcitrare, atque adamantem percutere, quid facit? Eo tendit deinceps, ut victas manus dare videatur, et martyrem ex hac vita subducit : mors enim martyrum eorum, qui ipsos enecant, est aperta clades; eorum autem, qui necantur, clara victoria. Tu vero mihi considera, quo pacto sævum quoddam et acerbum genus mortis ejus excogitaverit, quod et tyranni crudelitatem et martyris fortitudinem demonstrare posset. Quodnam igitur illud supplicii genus? Allato sacco, et arena completo, cum in eum scorpiones, viperas et dracones injecisset, cum illis et sanctum injecit, et in mare demisit. Erat ergo martyr cum bestiis ,et rursus cum bestiis conclusus erat vir justus : rursus autem dixi, ut veterem vobis in memoriam revocarem de Daniele narrationem. Illum quidem in lacum incluserunt, hunc autem in saccum injecerunt : illi tum lapidem imposuerunt, hic saccum consuit, et justo carcerem angustiorem effecit. At ubique sanctorum corpora bestiæ reverentur, in eorum ignominiam et condemnationem, qui cum ratione sint ornati et humanæ naturæ conditione digni habiti, feritatem illorum summa sua immanitate superant : qualem hunc quoque tyrannum fuisse conjicere possumus. Videre erat stupendum miraculum, nec eo minus, quod in Daniele contigit. Nam sicut cum post multos dies e lacu leonum ascendentem illum vidissent, tum mirati sunt Babylonii (*Dan.* 7) : sic et animam Juliani, cum e sacco et fluctibus ascendentem in cælum viderent angeli, mirati sunt. Daniel binos leones subegit ac vicit, sed sensibiles : hic leonem unum, sed spiritualem subegit ac vicit. Hostis quippe noster diabolus tamquam leo rugiens circuit, quærens quem devoret (1. *Pet.* 5. 8) : at fortitudine martyris superatus est, venenum siquidem peccati deposuerat ; quapropter hunc minime devoravit; idcirco nec leonem, nec iram bestiarum reformidavit.

4. Vultis et aliam quamdam veterem referam narrationem, ubi et justus et bestiæ? Diluvii Noe atque arcæ recordamini : tum enim quoque justus et bestiæ simul fuerunt. At Noe quidem ingressus homo est, et egressus est homo; Julianus autem ingressus quidem est homo, sed angelus est egressus : ille de terra ingressus est, et in terram est rursus egressus; hic de terra in saccum ingressus est, et de sacco in cælum est profectus. Accepit eum mare, non ut occideret, sed ut coronaret, et post coronam nobis sanctam istam arcam martyris corpus reddidit : hanc in hunc usque diem retinemus, quæ sexcentorum bonorum est thesaurus. Etenim martyres nobiscum Deus partitus est : cum animas sibi sumpsisset, corpora nobis quodammodo largitus est, ut perpetuæ virtutis monumenta sancta horum ossa teneamus. Nam si bellatoris arma cruentata quis cernens, clypeum, hastam, et loricam, licet omnium sit ignavissimus, statim exsilit, exardescit, et ad bellum promptus exit, atque a conspectu armorum sumit animum, ut easdem actiones aggrediatur : nos qui non arma, sed corpus ipsum cernimus sancti, quod dignum habitum est, ut ob Christi confessionem cruentaretur, licet omnium simus timidissimi, qui possumus non prompto esse animo, cum hic aspectus velut ignis quidam in mentem nostram incidat, et ad idem nos certamen invitet? Propterea sanctorum corpora usque ad tempus resurrectionis apud nos deposuit Deus, ut maximæ philosophiæ materiam haberemus. Verumenimvero ne martyris laudes linguæ nostræ imbecillitate minuantur, sed agonothetam Deum exspectent : qui eos coronat, ille et collaudabit. Laus enim eorum non ex hominibus est, sed ex Deo; nam et hæc ipsa, quæ diximus, non ut illustriorem redderemus martyrem, diximus, sed ut vos promptiores efficeremus.

Moralis exhortatio. — Nos vero, laudibus omissis, omnem ad vos orationem convertamus : quin potius martyrum laudes non possunt omitti, cum in ecclesia quis de rebus utilibus verba facit. Sed animum advertite : pravam enim et inveteratam consuetudinem exscindere statui hodierno die, ut non solum ad martyres accedamus, sed etiam martyres imitemur. Honos quippe martyrum est, non si ad eos tantum procedamus, sed præ hoc si fortitudinem ipsorum æmulemur. Quamobrem prius exponenda est prava ista consuetudo : nam ignoto morbo facile non est adhibere medicinam : ideo vulnus prius detego, deinde medicamentum appono. Quænam igitur illa est prava consuetudo? Nonnulli eorum, qui hic hodie congregati sunt (absit enim ut totam Ecclesiam crimine tali condemnem), præ socordia quadam ac simplicitate die crastino, derelictis nobis, Daphnen (*a*) properant, ut quæ collegimus hodie, eras effundant, et quæ ædificavimus, destruant. Ne igitur absque fructu huic concioni interfuerint, ubi de his pauca disseruerimus, orationi finem imponemus. Quid quæso properas ad suburbium civitatis? Ecce suburbium Jerusalem illius, quæ sursum est; ecce Daphne spiritualis : illic fontes aquarum, hic fontes sunt martyrum : illic cupressi arbores infructu sæ, hic reliquiæ sanctorum sunt ac radices in terra plantatæ, quæ ramos in cælum protendunt. Visne ramorum etiam istorum fructum intueri? Aperi oculos fidei, tum subito mirabilium tibi fructuum naturam ostendam. Non enim pomorum, aut nucum, nec aliud quiddam eorum quæ corrumpuntur et pereunt, ramorum est fructus :

(*a*) Daphne in agro Antiochiæ suburbano.

ἀποφράττεται καὶ διατειχίζεται τοῖς τοιούτοις καλύμμασιν ἡ εἰς τὸ πρόσω φορά· ἡ δὲ τοῦ μάρτυρος φωνὴ ἐκπηδήσασα ἀπὸ τῆς ἁγίας γλώττης ἐκείνης ἀνεπήδησεν εἰς τὸν οὐρανόν. Παρῆλθε τὸν οὐρανὸν τοῦ οὐρανοῦ· εἶδον αὐτὴν ἄγγελοι, καὶ παρεχώρησαν, ἀρχάγγελοι, καὶ ὑπεξέστησαν· τὰ χερουβὶμ καὶ αἱ ἄλλαι δυνάμεις αὐτὴν ὡδήγησαν ἄνω, καὶ οὐ πρότερον ἀπέστησαν, ἕως οὗ πρὸς αὐτὸν ἤγαγον τὸν θρόνον [676] τὸν βασιλικόν.

Μετὰ δὲ τὴν φωνὴν ταύτην, ἐπειδὴ εἶδεν ὁ τότε δικάζων, ὅτι πάντα εἰκῇ καὶ μάτην μεμηχάνηται, καὶ πρὸς κέντρα λακτίζει, καὶ ἀδάμαντα παίει, τί ποιεῖ; Πρὸς τὴν ὡμολογημένην ἦτταν βαδίζει λοιπόν, καὶ τοῦ παρόντος ὑπεξάγει τὸν μάρτυρα βίου· θάνατος γὰρ μαρτύρων τῶν μὲν ἀποκτεινυόντων ἦττα σαφὴς, τῶν δὲ ἀναιρουμένων νίκη λαμπρά. Σὺ δέ μοι σκόπει πῶς αὐτοῦ τῆς τελευτῆς τὸν τρόπον χαλεπόν τινα καὶ πικρὸν ἐπενόησεν, ἱκανὸν ἐνδείξασθαι ὄντα κἀκείνου τὴν ὠμότητα, καὶ τοῦ μάρτυρος τὴν ἀνδρείαν. Τίς οὖν ὁ τρόπος τῆς τιμωρίας; Σάκκον κομίσας, καὶ ἐμπλήσας ἄμμου, καὶ σκορπίους, καὶ ὄφεις, καὶ ἔχεις, καὶ δράκοντας ἐμβαλὼν, ἐνέβαλε μετ' ἐκείνων καὶ τὸν ἅγιον, καὶ ῥίπτει εἰς τὸ πέλαγος. Καὶ ἦν μετὰ θηρίων ὁ μάρτυς, καὶ συναπεκλείετο θηρίοις πάλιν δίκαιος ἄνθρωπος· πάλιν δὲ εἶπον, ἵνα ἀναμνήσθητέ μοι παλαιοῦ διηγήματος τοῦ κατὰ τὸν Δανιήλ. Ἐκεῖνον μὲν εἰς λάκκον ἀπέκλεισαν, τοῦτον δὲ εἰς σάκκον ἐνέβαλον· ἐκεῖνοι λίθον ἐπέθηκαν τότε, οὗτος τὸν σάκκον ἔῤῥαψε, στενότερον ποιῶν τῷ δικαίῳ τὸ δεσμωτήριον. Ἀλλὰ πανταχοῦ αἰδοῦνται τὰ σώματα τῶν ἁγίων οἱ θῆρες, εἰς αἰσχύνην καὶ κατηγορίαν τῶν λόγῳ τετιμημένων, καὶ ἀνθρώπων μὲν εἶναι καταξιωθέντων, τὴν δὲ ἐκείνων ἀγριότητα τῇ τῆς οἰκείας ὑπερβολῇ θηριωδίας ἀπικρυπτόντων· οἷον εἰκὸς εἶναι καὶ τοῦτον τὸν τύραννον. Καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον, οὐκ ἔλαττον ἢ ἐπὶ τοῦ Δανιήλ. Καθάπερ γὰρ ἐκεῖνον τότε μεθ' ἡμέρας πολλὰς ἀπὸ τοῦ λάκκου τῶν λεόντων ἀναβάντα ἐθαύμασαν ἰδόντες οἱ Βαβυλώνιοι, οὕτω καὶ τὴν Ἰουλιανοῦ ψυχὴν ἀπὸ τοῦ σάκκου καὶ τῶν κυμάτων ἀναβαίνουσαν εἰς τὸν οὐρανὸν ἐθαύμασαν ὁρῶντες οἱ ἄγγελοι. Ὁ Δανιὴλ κατηγωνίσατο καὶ ἐνίκησε δύο λέοντας, ἀλλ' αἰσθητούς· οὗτος κατηγωνίσατο καὶ ἐνίκησεν ἕνα λέοντα, ἀλλὰ νοητόν. Ὁ γὰρ ἐχθρὸς, φησὶν, ἡμῶν διάβολος περιέρχεται ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ· ἀλλ' ἡττήθη τῇ ἀνδρείᾳ τοῦ μάρτυρος· ἀπέθετο γὰρ τὸν ἰὸν τῆς ἁμαρτίας· διόπερ οὐ κατέπιε τοῦτον· διὰ τοῦτο οὐκ ἔδεισεν οὔτε λέοντα, οὔτε τὸν θυμὸν τῶν θηρίων.

δ'. Βούλεσθε καὶ ἄλλο τι εἴπω παλαιὸν διήγημα, ἔνθα δίκαιος καὶ θηρία, Ἀναμνήσθητε τοῦ κατακλυσμοῦ τοῦ ἐπὶ Νῶε καὶ τῆς κιβωτοῦ· καὶ γὰρ καὶ τότε δίκαιος ὁμοῦ καὶ θηρία· ἀλλ' ὁ μὲν Νῶε εἰσῆλθεν ἄνθρωπος, καὶ ἐξῆλθεν ἄνθρωπος· Ἰουλιανὸς δὲ εἰσῆλθε μὲν ἄνθρωπος, ἐξῆλθε δὲ ἄγγελος· ἐκεῖνος εἰσῆλθεν ἀπὸ τῆς γῆς, καὶ ἐξῆλθεν εἰς τὴν γῆν πάλιν· οὗτος εἰσῆλθεν ἀπὸ τῆς γῆς εἰς σάκκον, καὶ ἀπὸ τοῦ σάκκου εἰς τὸν οὐρανὸν ἁπῇει. Ἔλαβεν αὐτὸν τὸ πέλαγος, οὐχ ἵνα ἀποκτείνῃ, ἀλλ' ἵνα στεφανώσῃ, καὶ μετὰ τὸν στέφανον ἀπέδωκεν ἡμῖν τὴν ἁγίαν ταύτην κιβωτὸν τὸ σῶμα τοῦ μάρτυρος· ταύτην κατέχομεν μέχρι τῆς παρούσης ἡμέρας μυρίων οὖσαν ἀγαθῶν θησαυρόν. Καὶ γὰρ ἐμερίσατο ὁ Θεὸς πρὸς ἡμᾶς τοὺς μάρτυρας, τὰς ψυχὰς λαβὼν αὐτὸς, τὰ σώματά πως ἡμῖν ἔδωκεν, ἵνα ἔχωμεν ὑπόμνησιν ἀρετῆς διηνεκῶς τὰ ἅγια τούτων ὀστέα. Εἰ γὰρ ὅπλα τις ἀγωνιστοῦ βλέπων ἡμαγμένα, [677] ἀσπίδα, καὶ δόρυ, καὶ θώρακα, κἂν ἁπάντων νωθρότατος ᾖ, εὐθέως ἐξάλλεται, καὶ θερμότερος γίνεται, καὶ πρὸς τὸν πόλεμον ἐκπηδᾷ, ἀπὸ τῆς ὄψεως τῶν ὅπλων λαβὼν παράκλησιν πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν· ἡμεῖς οὐχ ὅπλα ὁρῶντες, ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ ἁγίου τὸ καταξιωθὲν αἱμαχθῆναι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, κἂν ἁπάντων ὦμεν δειλότεροι, πῶς οὐ πολλὴν ἔξομεν προθυμίαν, ὥσπερ τινὸς πυρὶ, τῆς ὄψεως ταύτης εἰς τὴν διάνοιαν ἡμῶν ἐμπιπτούσης, καὶ πρὸς τὸν αὐτὸν ἀγῶνα καλούσης ἡμᾶς; Διὰ τοῦτο παρακατέθετο ἡμῖν τὰ σώματα τῶν ἁγίων ὁ Θεὸς ἕως τοῦ καιροῦ τῆς ἀναστάσεως, ἵνα ἔχωμεν ὑπόθεσιν φιλοσοφίας μεγίστης. Ἀλλ' οἱ μὲν τοῦ μάρτυρος ἔπαινοι μὴ ἐλαττούσθωσαν τῇ ἀσθενείᾳ τῆς ἡμετέρας γλώττης ἀλλὰ μενέτωσαν τὸν ἀγωνοθέτην Θεόν. Ὁ στεφανῶν [a] αὐτοὺς, ἐκεῖνος καὶ ἐπαινέσει· ὁ γὰρ ἔπαινος αὐτῶν οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ· καὶ γὰρ καὶ ταῦτα ἅπερ εἰρήκαμεν, οὐχ ἵνα τὸν μάρτυρα λαμπρότερον δείξωμεν, εἴπομεν, ἀλλ' ἵνα ὑμᾶς προθυμοτέρους ἐργασώμεθα. Ἡμεῖς δὲ, ἀφέντες τὰ ἐγκώμια, πρὸς ὑμᾶς τὸν λόγον τρέψωμεν ἅπαντα· μᾶλλον δὲ οὐκ ἔνι ἀφεῖναι ἐγκώμια μαρτύρων, ὅταν ἐν ἐκκλησίᾳ τις διαλέγηται περὶ τῶν συμφερόντων. Ἀλλὰ προσέχετε· καὶ γὰρ πονηρὸν ἔθος καὶ παλαιὸν βούλομαι ἐκκόψαι σήμερον, ἵνα μὴ μόνον παραγινώμεθα πρὸς τοὺς μάρτυρας, ἀλλὰ καὶ μιμώμεθα μάρτυρας. Τιμὴ γὰρ μαρτύρων οὐ τὸ παραγενέσθαι πρὸς αὐτοὺς μόνον, ἀλλὰ καὶ πρὸ τούτου τὸ ζηλῶσαι τὴν ἀνδρείαν αὐτῶν. Διὸ δεῖ πρῶτον εἰπεῖν τὸ πονηρὸν ἔθος· τοῦ γὰρ νοσήματος ἀγνοουμένου οὐδὲ ἰατρείαν προσάγειν ῥᾴδιον· διὰ τοῦτο ἀποκαλύπτω τὸ τραῦμα πρῶτον, καὶ τότε τὸ φάρμακον ἐπιτίθημι. Τί οὖν ἐστι τὸ πονηρὸν ἔθος; Τινὲς τῶν ἐνταῦθα συλλεγομένων τήμερον (μὴ γάρ μοι γένοιτο πάσης καταγνῶναι τῆς Ἐκκλησίας τοιαύτην κατάγνωσιν) ὑπὸ ῥᾳθυμίας τινὸς καὶ ἀφελείας τὴν αὔριον ἡμᾶς ἐγκαταλιμπάνοντες, πρὸς τὴν Δάφνην ἀποπηδῶσι, ἅπερ συνελέξαμεν σήμερον, αὔριον ἐχχέοντες, καὶ ἅπερ ᾠκοδομήσαμεν καθαιροῦντες. Ἵν' οὖν μὴ ἄχαρπος αὐτοῖς γένηται ἡ ἐνταῦθα παρουσία, ὀλίγα περὶ τούτων διαλεχθέντες καταπαύσομεν τὸν λόγον. Τί σπεύδεις ἐπὶ τὸ προάστειον τῆς πόλεως, εἰπέ μοι; Ἰδοὺ τὸ προάστειον τῆς ἄνω Ἱερουσαλήμ· ἰδοὺ Δάφνη [b] πνευματική· ἐκεῖ πηγαὶ ὑδάτων, ἐνταῦθα πηγαὶ μαρτύρων· ἐκεῖ κυπάρισσοι, δένδρα ἄκαρπα, ἐνταῦθα λείψανα ἁγίων καὶ ῥίζαι κάτω πεφυτευμέναι, καὶ τοὺς κλάδους εἰς τὸν οὐρανὸν ἀνατείνουσαι. Βούλει καὶ τῶν κλάδων τούτων τὸν καρπὸν ἰδεῖν; Ἄνοιξον ἡμῖν τοὺς τῆς πίστεως ὀφθαλμοὺς, καὶ εὐθέως ἐπιδείξω σοι φύσιν καρπῶν θαυμαστῶν. Οὐ γὰρ ὀπωρῶν, καὶ ἀκροδρύων, οὐδὲ ἄλλο τι τῶν φθειρομένων καὶ ἀπολλυμένων τούτων τῶν κλάδων ὁ καρπὸς, ἀλλὰ σωμάτων πεπυρωμένων ἴασις,

[a] Alii ὁ στεφανώσων.
[b] Reg. unus male φάτνη.

καὶ ἁμαρτημάτων συγχώρησις, κακίας ἀναίρεσις, νοσημάτων ψυχῆς θεραπεία, εὐχὴ ἐκτενὴς, παῤῥησία πρὸς Θεὸν, πάντα πνευματικὰ, καὶ οὐρανίων γέμοντα ἀγαθῶν. Οὗτοι οἱ καρποὶ ἀεὶ τρυγώμενοι ἀεὶ βρύουσι, καὶ οὐδέποτε [678] ἀπολιμπάνουσι τοὺς οἰκείους αὐτῶν γεωργούς. Καὶ τὰ μὲν ἐπὶ γῆς φυόμενα δένδρα ἅπαξ τοῦ ἐνιαυτοῦ δίδωσι τὴν φοράν, κἂν μὴ τρυγήσῃς, ἐπιστάσης τῆς ὥρας τοῦ χειμῶνος ἀπόλλυσι τὴν οἰκείαν εὐπρέπειαν, φθειρομένου τοῦ καρποῦ καὶ καταῤῥέοντος· ταῦτα δὲ οὐ χειμῶνα οἶδεν, οὐ θέρος, οὐκ ἀνάγκῃ καιρῶν ὑπόκειται, οὐδὲ ἔστι γυμνὰ τῶν καρπῶν αὐτὰ τῶν οἰκείων ἰδεῖν, ἀλλὰ διὰ παντὸς ἐπὶ τῆς αὐτῆς ἕστηκεν εὐπρεπείας· οὐχ ἅπτεται αὐτῶν φθορὰ, οὐδὲ μεταβολὴ καιρῶν. Πόσοι γοῦν, ἐξ οὗ τὸ σῶμα ἐφυτεύθη τοῦτο ἐν τῇ γῇ, μυρίας ἐτρύγησαν ἰάσεις ἀπὸ τῆς ἁγίας ταύτης θήκης, καὶ οὐκ ἐπέλιπεν ὁ καρπός· ἐθέρισαν τὰ λήϊα, καὶ οὐκ ἐδαπανήθησαν οἱ στάχυες· ἤντλησαν τὰς πηγὰς, καὶ οὐκ ἐκενώθη τὰ νάματα, ἀλλὰ συνεχής τίς ἐστιν ἡ ἐπιῤῥοὴ, οὐδέποτε ἐπιλιμπάνουσα, ἀλλὰ τοῦ κενουμένου πλέον ἀεὶ παρέχουσα τὸ ἀναβλύζον θαῦμα. Οὐ θαύματα δὲ μόνον ἐργάζεται, ἀλλὰ καὶ φιλοσοφεῖν πείθει. Ἂν τε γὰρ πλούσιος ᾖς, καὶ μεγαλοφρονῇς, καὶ φλεγμαίνουσαν ἔχῃς τὴν ψυχὴν, ἐλθὼν ἐνταῦθα, καὶ ἰδὼν τὸν μάρτυρα, καὶ τὸ μέσον λογισάμενος τοῦ σοῦ πλούτου, καὶ τῆς τούτου περιουσίας, καταστελεῖς εὐθέως τὸ φύσημα, καὶ τὴν φλεγμονὴν ἀποθέμενος ἀπελεύσῃ πολλὴν ἔχων ὑγίειαν ἐν τῇ ψυχῇ· ἂν τε πένης καὶ εὐκαταφρόνητος εἶναι νομίσῃς, ἐλθὼν καὶ ἰδὼν τὸν πλοῦτον τοῦ μάρτυρος, καὶ καταγελάσας τῶν χρημάτων τῶν ἔξωθεν, οὕτως ἀναχωρήσεις πολλῆς σαυτὸν ἐμπλήσας φιλοσοφίας, κἂν ἐπήρειαι, κἂν ζημίαι, κἂν μάστιγες ἐπενεχθῶσιν· ἰδὼν, ὅτι οὐδέπω τοσαῦτα ἔπαθες, ὅσα ὁ μάρτυς οὗτος ὁ ἅγιος, ἱκανὴν πάλιν λήψῃ παραμυθίαν ἐντεῦθεν. Εἶδες οἷοι οἱ καρποὶ τῶν ῥιζῶν τούτων; πῶς ἀνάλωτοι; πῶς πνευματικοί; πῶς αὐτῆς ἅπτονται τῆς ψυχῆς; Οὐ κωλύω ἀπελθεῖν εἰς τὸ προάστειον, ἀλλ' αὔριον κωλύω· τίνος ἕνεκεν; Ἵνα ἡ τέρψις μὴ ἔχῃ κατάγνωσιν, ἵνα καθαρὰ ᾖ ἡ ἡδονὴ, μὴ ὑπεισέλθῃ [a] δὲ ἡ κατάγνωσις· καὶ γάρ ἔξεστιν ἐν ἄλλῃ ἡμέρᾳ καὶ τῇ τέρψει χαρίσασθαι, καὶ τῆς ἁμαρτίας ἀπαλλαγῆναι. Εἰ δὲ βούλει καὶ νῦν τέρψεως ἀπολαῦσαι, τί τερπνότερον τοῦ συλλόγου τούτου; τί χαριέστερον τοῦ θεάτρου τοῦ πνευματικοῦ; τῶν μελῶν τῶν σῶν; τῆς τῶν ἀδελφῶν συνουσίας; Ἀλλὰ καὶ σωματικῆς θέλεις τραπέζης μετασχεῖν; ἐνταῦθα ἔξεστι μετὰ τὸ λυθῆναι τὸν σύλλογον, τοῦ μαρτυρίου πλησίον ὑπὸ συκῆν καὶ ἄμπελον καταλύσαντι, καὶ τῷ σώματι χαρίσασθαι τὴν ἄνεσιν, καὶ τὸ συνειδὸς ἀπαλλάξαι καταγνώσεως. Ὁ γὰρ μάρτυς ἐγγύθεν ὁρώμενος καὶ πλησίον ὢν καὶ παρεστηκὼς αὐτῇ τῇ τραπέζῃ, οὐκ ἀφίησι τὴν ἡδονὴν εἰς ἁμαρτίαν ἐκχυθῆναι, ἀλλ' ὥσπερ τις παιδαγωγὸς, ἢ πατὴρ ἄριστος τοῖς τῆς πίστεως ὁρώμενος ὀφθαλμοῖς καταστέλλει τὸν γέλωτα, περικόπτει τὰς ἡδονὰς τὰς ἀτόπους, τὰ σκιρτήματα τῆς σαρκὸς ἅπαντα ἀναιρεῖ, ἅπερ ἐκεῖ οὐκ ἔστι διαφυγεῖν. Τίνος ἕνεκεν; Ὅτι χοροὶ ἀνδρῶν αὔριον τὸ προάστειον καταλαμβάνουσιν· ἡ δὲ τῶν τοιούτων ὄψις καὶ τὸν βουλόμενον σωφρονεῖν ἄκοντα ὑπεξάγει πολλάκις πρὸς τὴν τῆς αὐτῆς ἀσχημοσύνης [679] μίμησιν, καὶ μάλιστα ὅταν καὶ ὁ διάβολος μέσος ἐκείνοις παρῇ· καὶ γὰρ πάρεστιν ὑπὸ τῶν πορνικῶν ᾀσμάτων, ὑπὸ τῶν αἰσχρῶν ῥημάτων, ὑπὸ τῆς δαιμονικῆς πομπῆς καλούμενος. Σὺ δὲ ἀπετάξω πάσῃ ταύτῃ τῇ πομπῇ, καὶ τῇ τοῦ Χριστοῦ λατρείᾳ συνετάξω κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν τῶν ἱερῶν κατηξιώθης μυστηρίων. Ἀναμνήσθητι τοίνυν τῶν ῥημάτων ἐκείνων καὶ τῆς συνθήκης, καὶ φύγε τὴν παράβασιν.

ε'. Βούλομαι δὲ καὶ πρὸς τοὺς παρόντας καὶ μὴ ἀνιόντας διαλεχθῆναι, καὶ τούτοις ἐγχειρίσαι τὴν ἐκείνων σωτηρίαν. Καὶ γὰρ ἰατρὸς πρὸς τὸν κάμνοντα εἰσελθὼν ὀλίγα τῷ κειμένῳ διαλέγεται· τὰ δὲ περὶ φαρμάκων καὶ σιτίων καὶ τῆς ἄλλης θεραπείας, καλέσας τοὺς αὐτῷ προσήκοντας, ἐκείνοις ἅπαντα ἐπισκήπτει. Τί δήποτε; Ὅτι ὁ μὲν κάμνων οὐ δέχεται εὐθέως τὴν παραίνεσιν, ὁ δὲ ὑγιαίνων μετὰ πολλῆς προθυμίας προσέχει τοῖς λεγομένοις· διὰ τοῦτο μετὰ τούτων καὶ ὑμῖν βούλομαι διαλεχθῆναι. Προκαταλάβωμεν αὔριον τὰς πύλας, ἐφεδρεύσωμεν ταῖς ὁδοῖς, ἄνδρες τοὺς ἄνδρας, γυναῖκες τὰς γυναῖκας κατασπάσωμεν ἀπὸ τῶν ὑποζυγίων· ἐπαναγάγωμεν ἐνταῦθα [b], μὴ ἐπαισχυνθῶμεν· ἔνθα σωτηρία ἀδελφοῦ, οὐκ ἔστιν αἰσχύνη. Εἰ ἐκεῖνοι οὐκ αἰσχύνονται πρὸς τὴν παράνομον πομπὴν ἀνιόντες, πολλῷ μᾶλλον ἡμᾶς αἰσχύνεσθαι οὐ χρὴ πρὸς τὴν ἱερὰν ταύτην πανήγυριν μέλλοντας αὐτοὺς ἐπαναγαγεῖν. Ὅταν ἀδελφοῦ σωτηρία προκέηται, μηδὲν παραιτώμεθα. Εἰ γὰρ ὁ Χριστὸς ἀπέθανε δι' ἡμᾶς, ἅπαντα ὑπομένειν δι' αὐτοὺς ἡμᾶς χρή· κἂν πληγὰς ἐντείνονται, κἂν λοιδορήσωνται, κάτασχε, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν αὐτοὺς ἐπαναγάγῃς πρὸς τὸν ἅγιον μάρτυρα· κἂν δικαστήριον δέῃ καθίσαι ἐκ τῶν παριόντων, οἱ βουλόμενοι ἀκουέτωσαν· ἀδελφὸν, εἰπὲ, βούλομαι σῶσαι, ὁρῶ ψυχὴν ἀπολλυμένην, καὶ οὐκ ἀνέχομαι περιιδεῖν τὴν συγγένειαν· ὁ βουλόμενος ἐγκαλείτω, ὁ βουλόμενος κατηγορείτω· μᾶλλον δὲ οὐδεὶς ἐγκαλέσει, ἀλλὰ καὶ πάντες ἐπαινέσονται, πάντες ἀσπάσονται. Οὐ γὰρ ὑπὲρ χρημάτων, οὐδὲ δι' οἰκείαν ἀπέχθειαν ἀμυνόμενος, οὐδὲ ὑπὲρ ἄλλου τινὸς τῶν βιωτικῶν φιλονεικῶ καὶ μάχομαι, ἀλλ' ὑπὲρ ἀδελφοῦ σωτηρίας· ταῦτα τίς οὐκ ἀποδέξεται; τίς οὐ θαυμάσεται; Οὐδὲν ἡμᾶς προσήκοντας ἀλλήλοις κατὰ συγγένειαν σαρκικὴν ἡ πνευματικὴ συγγένεια πατρῶν φιλοστοργοτέρους ἐποίησεν. Εἰ βούλεσθε, καὶ τὸν μάρτυρα λάβωμεν μεθ' ἑαυτῶν· οὐκ ἐπαισχύνεται γὰρ ἐλθεῖν καὶ σῶσαι τοὺς ἀδελφούς. Ἐπιστήσωμεν αὐτοῖς ἐκείνων ὀφθαλμοῖς, φοβηθῶσι παρόντα, αἰδεσθῶσι παρακαλοῦντα καὶ δεόμενον· οὐ γὰρ αἰσχύνεται καὶ παρακαλέσαι. Εἰ γὰρ ὁ Δεσπότης αὐτοῦ παρακαλεῖ τὴν ἡμετέραν φύσιν· *Ὑπὲρ Χριστοῦ πρεσβεύομεν*, φησὶν ὁ Παῦλος, *ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, Καταλλάγητε τῷ Θεῷ* [c]· πολλῷ μᾶλλον ὁ δοῦλος τοῦτο ποιήσει· ἓν αὐτὸν λυπεῖ μόνον, ἡ ἀπώλεια ἡ ἡμετέρα· ἓν εὐφραίνει, ἡ σωτηρία ἡ ἡμετέρα, καὶ διὰ τοῦτο οὐ παραιτήσεται οὐδὲν ὑπὲρ αὐτῆς ποιῆσαι. Μὴ τοίνυν μηδὲ ἡμεῖς ἐπαισχυνθῶμεν, μηδὲ περιττὸν εἶναι νομίσωμεν. Εἰ γὰρ ἄνθρωποι θηραταὶ κρημνοὺς καὶ ὄρη καὶ βάραθρα καὶ πᾶν ἄβατον ἀπέρχονται χωρίον, εἴτε λαγωὸν, [680] ἢ δορκάδα, ἢ ἄλλο τι τῶν τοιούτων, ἢ καὶ ὄρνιθας πολλάκις ταύτας τὰς ἀγρίας θηρεῦσαι βουλόμενοι· σὺ μέλλων οὐκ ἄλογον εὐτελὲς, ἀλλ' ἀδελφὸν πνευματικὸν, δι' ὃν ὁ Χριστὸς ἀπέθανεν, ἐπαναγαγεῖν ἐξ ἀπωλείας, καὶ οὐκ ὄρη καὶ νάπας, ἀλλὰ τὴν πύλην ἐξελθεῖν,

[a] Alii ἐπεισέλθῃ.

[b] Sic Savil. et duo mss. Regii. In Morel. ἐνταῦθα deest.
[c] Savil. et unus ms. καταλλαγῆναι τῷ Θεῷ.

sed corporum mutilatorum sanatio, et peccatorum remissio, abolitio vitii, morborum animæ curatio, oratio continua, fiducia apud Deum, spiritualia cuncta, bonisque cælestibus redundantia. Hi fructus semper decerpti, semper pullulant, nec umquam suos cultores deficiunt. Atque arbores quidem, quæ nascuntur in terra, semel in anno fructum ferunt; quod si non decerpseris, adventante hyemis tempore corrupto ac dilabente fructu proprium decorem amittunt : hæ vero hyemis nesciæ sunt et æstatis, non temporum subjacent necessitati, nec suis fructibus nudatæ possunt videri, sed eumdem perpetuo decorem obtinent; non eas umquam corruptio vel mutatio tempestatum attingit. Quam multi siquidem, ex quo plantatum est corpus istud in terra, sexcentas sanationes ex hoc sancto loculo decerpserant, nec fructus defecit; messuerunt segetem, nec consumptæ sunt spicæ; e fontibus hauserunt, nec exinaniti sunt latices, sed perennis est quædam scaturigo, numquam deficiens, sed eo, quod haustum est, copiosius semper miraculum manans effundit. Neque vero tantum miracula operatur, sed philosophari etiam suadet. Sive enim dives sis ac superbias et elato sis animo, cum huc veneris ac martyrem intuitus fueris, quantumque sit inter divitias tuas et hujus opulentiam discrimen, tecum ipse reputaveris : elatos animos subito deprimes, et deposito fastu ac tumore, multa cum animæ sanitate discedes; sive pauper ac despectus tibi esse videaris, cum huc veneris et divitias martyris videris, contemptis et irrisis sæcularium divitiis, multa instructus philosophia recedes, etsi contumeliæ, etsi damna, etsi verbera infligantur; cum te nondum tanta passum esse, quanta sanctus hic martyr pertulit, videris, magnam hinc capies consolationem. Vides cujusmodi radicum istarum sint fructus? ut consumi nequeant? ut spirituales sint? ut ad animam ipsam pertingant? Non prohibeo, ne quis in suburbium abeat, sed ne crastino die, prohibeo : quam tandem ob causam? Ne damnationi sit obnoxia delectatio; ut voluptas sit pura, damnatio vero non subrepat. Licet enim alio die et voluptati indulgere et eximi peccato. Quod si nunc etiam placeat voluptate perfundi, quid jucundius hoc conventu? quid theatro spirituali gratius, membris tuis, tuorum fratrum congressu? At etiam corporalis mensæ vis fieri particeps? hic soluto conventu licet juxta martyrium (*a*) sub ficu vel vite diversanti, etiam corpori recreationem indulgere, et condemnatione conscientiam liberare. Martyr enim e propinquo spectatus, et cum sit vicinus, ipsique mensæ adstet, voluptatem in peccatum effundi non sinit; sed tamquam pædagogus aut pater optimus oculis fidei conspectus risum comprimit, indecoras voluptates circumcidit, lascivos omnes insultus carnis tollit, quos illic non licet evadere. Quid ita? Quia nimirum saltantium virorum chori die crastino suburbium occupabunt : at ejusmodi hominum conspectus sæpenumero illum etiam, qui temperanter gerere se voluerit, sensim ad ejusdem turpitudinis imitationem impellit; ac tum maxime cum in medio illorum diabolus adfuerit : adest enim a meretriciis cantilenis, a verbis obscœnis, a diabolica pompa vocatus. At tu hujusmodi pompæ nuntium remisisti, teque Christi cultui mancipasti die illo, quo sacris mysteriis dignus habitus es. Recordare itaque verborum illorum et pacti conventi, et ne illud violes cave.

5. *Fratr..a nostrorum curanda salus.* — Libet autem et ad eos, qui adsunt nec illuc abierunt, verba facere, atque his salutem illorum commendare; siquidem medicus ad ægrotum ingressus, pauca cum jacente colloquitur; quæ vero pertinent ad medicamenta et alimenta reliquamque curationem, vocatis ejus propinquis, omnia illis injungit. Cur id tandem? Quia nimirum æger quidem non protinus admonitionem admittit; sanus autem magna cum diligentia iis quæ dicuntur attendit : idcirco et cum istis vobis etiam colloqui statui. Præoccupemus crastino die portas, obsideamus vias, viri viros, feminæ feminas de jumentis detrahamus; reducamus huc, neque erubescamus : ubi salus est fratris, pudor non est. Si illos non pudet ad iniquam illam pompam prodire, multo minus pudere nos debet illos ad sacram istam solemnitatem revocare. Cum de salute fratris agitur, nihil recusemus. Quando enim Christus propter nos mortuus est, nos propter illos oportet cuncta tolerare : licet alapas impingant, licet maledictis incessant, retineto, nec prius desistito, quam ad sanctum martyrem eos reduxeris; licet ad prætereuntium judicium provocandum sit, audiant, qui volent : dic, Salvum facere volo fratrem, pereuntem animam cerno, neque cognatione junctos possum contemnere : reprehendat qui volet, accuset qui volet, imo vero nemo reprehendet; omnes laudabunt, omnes amplectentur. Non enim pecuniarum causa, nec ut propter odium privatum me ulciscar, nec ob aliam rem quampiam sæcularem contendo pugnoque, sed fraternæ salutis gratia : quis hæc non approbabit? quis non laudabit? Nulla carnis cognatione junctos nos propinquorum amantiores, quam patres, cognatio spiritualis effecit. Si velitis, etiam martyrem nobiscum assumamus : non enim erubescit venire ad fratrum salutem. Objiciamus eum ipsorum oculis : reformident præsentem, revereantur rogantem et obsecrantem : non enim erubescit etiam rogare. Nam si Dominus ejus naturam nostram rogat : *Pro Christo*, inquit Paulus, *legatione fungimur tamquam Deo rogante per nos, Reconciliamini Deo* (2.*Cor.* 5. 20), multo magis servus hoc faciet : unum ipsum contristat solum, perditio nostra; unum exhilarat, salus nostra, et idcirco nihil ejus gratia suscipere recusat. Neque nos igitur erubescamus, neque supervacaneum esse ducamus. Si enim venatores loca prærupta, montes et barathra, et invia quæque loca pervadunt, seu leporem, aut capream, aut aliud quidpiam ejusmodi, seu volucres etiam istas plerumque sylvestres venari velint; tu qui non bestiam vilem, sed fratrem spiritualem, propter quem mortuus est Christus, a perditione revocaturus es, non jam montes et saltus, sed portam solum egredi

(*a*) Martyrium sive ecclesia SS. Martyrum, qua de re non semel superius actum est.

refugis et erubescis? quam tandem quæso, veniam, obtinebis? non audis sapientem quemdam monentem, ac dicentem, *Est confusio adducens peccatum* (*Eccli.* 4. 25)? Sed ne reprehendat quispiam, times? Transfer in me culpam, qui dixi; dic ita jussisse doctorem: ego paratus sum cum illis, qui reprehendunt, disceptare ac rationem reddere: imo vero neque vos, neque nos quispiam reprehendet, tametsi valde sit impudens; sed laudabunt omnes, ac nos curæ studiique nomine commendabunt, non in patria tantum nostra, sed et ii qui vicinas habitant urbes, quod apud nos sit tanta vis caritatis, tantus ardor amoris in fratres. Sed quid ego homines dico? ipse angelorum nos Dominus collaudabit. Cum itaque propositam mercedem noverimus, ne venationem negligamus, neque soli die crastino revertamur, sed unusquisque prædam secum habens adveniat. Si illa tantum hora veneris, qua quisque domo egressus in viam se dat, eumque ad hujus loci visitationem traduxeris, nulla deinceps erit difficultas; sed post lapsum temporis multam ille quoque tibi gratiam habebit, et vos cæteri omnes laudabunt et efferent; quodque omnium maximum est, multa vobis ob isthæc cælorum Dominus conferet præmia, et lucrum istud et laudem augebit. Quæstum igitur animo versantes, quem inde colligimus, ante urbem omnes effusi comprehensos fratres nostros huc reducamus, ut crastino etiam die plenum nobis theatrum reddatur, ac conventus sit perfectus; ut propter hoc studium nostrum ac diligentiam hic adhibitam in æterna tabernacula sanctus martyr multa cum fiducia nos recipiat; quam utinam consequi nobis omnibus contingat, per gratiam et benignitatem Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, una cum sancto et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

ADMONITIO

Ut notat Fronto Ducæus, in Menologio Græcorum quodam manuscripto ad diem 16 Novembris annuntiatur festum S. Barlaami martyris, quemadmodum et in Martyrologio Romano. Alia vero Græcorum Menologia hoc festum ad decimam nonam Novembris referunt. Sed longe alia tempestate ea solemnitas tempore Chrysostomi celebrabatur. Nam in homilia in illud Apostoli dictum, *Nolo vos ignorare, Fratres, quod Patres nostri omnes sub nube fuerunt*, etc., quæ homilia die festum S. Barlaami [681] insequente habita est, ut ibidem ait Chrysostomus, diserte dicit S. doctor hyemem jam præteriisse æstatemque advenisse: *Liberati sumus*, inquit, *hyeme, et æstate perfruimur, blande afflante zephyro.* Quæ cum ad Novembrem mensem minime quadrare valeant, hinc sane consequitur longe diverso anni tempore celebratum tunc

LAUDATIO SANCTI MARTYRIS BARLAAM [a].

1. *Omnis potestas impatiens consortis est.* — Ad sacram istam solemnitatem festumque beatus nos Barlaam convocavit, non ut ipsum laudemus, sed ut ipsum æmulemur; non ut laudum simus auditores, sed ut præclarorum ejus facinorum fiamus imitatores. In sæcularibus quidem rebus, qui ad magistratus summos provehuntur, haud alios umquam ejusdem honoris prærogativæ consortes vellent cernere: livor enim illic et invidia dividunt caritatem: in spiritualibus vero non ita, sed contrarium penitus evenit: tunc enim maxime honoris proprii sensum capiunt martyres, cum suos conservos ad bonorum suorum consortium viderint pervenisse. Itaque si quis martyres laudare velit, martyres imitetur: si quis religionis athletas celebrare præconiis velit, illorum labores æmuletur. hoc nihilo minorem, quam propria recte facta, martyribus afferet voluptatem. Atque ut intelligas tunc eos præcipue sua bona sentire, cum in tuto nos viderint collocatos, remque illam maximo sibi honori ducere, Paulum dicentem audi: *Nunc vivimus, si vos statis in Domino* (1. *Thess.* 3. 8). Et vero Moyses ante hunc Deo dicebat, *Si quidem dimittis eis peccatum, dimitte: sin autem, dele me de libro quem scripsisti* (*Exod.* 32. 31. 32): cælestem honorem non sentio propter istorum calamitatem: corporis quædam connexio est et structura cœtus fidelium: quid

(a) Collata cum mss. Regiis 1559, et 2345.

μόνον ἀναδύῃ καὶ ἐρυθριᾷς; καὶ ποίαν ἕξεις, εἰπέ μοι, συγγνώμην; οὐκ ἀκούεις σοφοῦ τινος παραινοῦντος καὶ λέγοντος· *Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν*; Ἀλλὰ δέδοικας μή τις ἐγκαλέσῃ; Μετάγαγε τὴν αἰτίαν ἐπ' ἐμὲ τὸν εἰρηκότα· εἰπὲ ὅτι ὁ διδάσκαλος οὕτως ἐκέλευσεν· ἕτοιμος ἐγὼ δικάζεσθαι τοῖς ἐγκαλοῦσι καὶ παρασχεῖν εὐθύνας· μᾶλλον δὲ οὔτε ὑμῖν, οὔτε ἡμῖν ἐγκαλέσει τις, κἂν σφόδρα ἀναίσχυντος ᾖ, ἀλλ' ἀποδέξονται πάντες, καὶ θαυμάσονται τῆς κηδεμονίας ἡμᾶς, οὐχὶ οἱ ἐν τῇ πατρίδι τῇ ἡμετέρᾳ μόνον, ἀλλὰ καὶ οἱ τὰς γειτονας πόλεις οἰκοῦντες, ὅτι τοσαύτη παρ' ἡμῖν ἀγάπης τυραννὶς, τοσοῦτος φιλοστοργίας ζῆλος. Ἀλλὰ τί λέγω τοὺς ἀνθρώπους; αὐτὸς ὁ τῶν ἀγγέλων ἡμᾶς ἀποδέξεται Δεσπότης. Εἰδότες οὖν τὸν μισθὸν, μὴ καταφρονήσωμεν τῆς θήρας, μηδὲ ἐπανέλθωμεν μόνοι αὖριον, ἀλλ' ἕκαστος τὴν ἄγραν ἔχων μεθ' ἑαυτοῦ οὕτω παραγενέσθω. Ἂν τὴν ὥραν ἐκείνην παραγένῃ μόνον, καθ' ἣν τῆς οἰκίας ἐξιὼν ἅπτεται τῆς ὁδοῦ, καὶ μεταστήσῃς αὐτὸν πρὸς τὴν ἐνταῦθα ἄφιξιν, οὐδεμία λοιπὸν ἔσται δυσκολία, ἀλλὰ τοῦ καιροῦ παρελθόντος πολλὴν εἴσεταί σοι κἀκεῖνος τὴν χάριν, καὶ οἱ ἄλλοι πάντες ἐπαινέσουσιν ὑμᾶς, καὶ θαυμάσουσι· καὶ ὃ πάντων μεῖζόν ἐστιν, ὁ τῶν οὐρανῶν Δεσπότης πολλοὺς ὑμῖν ὑπὲρ τούτων παρασχήσει τοὺς μισθοὺς, καὶ τὴν ἐμπορίαν ταύτην καὶ τὸν ἔπαινον πλεονάσει. Ἐννοοῦντες τοίνυν τὸ κέρδος τὸ ἐκεῖθεν ἡμῖν προσγινόμενον, πρὸ τῆς πόλεως ἐκχυθέντες ἅπαντες, καὶ συλλαβόντες τοὺς ἡμετέρους ἀδελφοὺς ἐπαναγάγωμεν ἐνταῦθα, ἵνα καὶ αὔριον ἡμῖν πλῆρες τὸ θέατρον γένηται, καὶ οὕτω ἀπηρτισμένη ἡ πανήγυρις· ἵν' ὑπὲρ τῆς ἐνταῦθα σπουδῆς εἰς τὰς αἰωνίους ἡμᾶς δέξηται σκηνὰς ὁ ἅγιος μάρτυς μετὰ παῤῥησίας πολλῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD HOMILIAM IN S. BARLAAMUM MARTYREM.

fuisse Antiochiæ S. Barlaami martyris festum. Antiochiæ dixi : nam ea in urbe concio illa habita est : in cujus agris, ut ibidem dicitur, frequentia martyrum sepulcra exstabant, quo confluere solebant quotquot ex civibus eorumdem martyrum memoriam recolere, ipsorumque præsidii consortes esse volebant : quod sane Antiochiæ competere nemo negaverit. Ad hæc vero ad calcem ejusdem supra memoratæ homiliæ, τῶν προέδρων ἁπάντων preces postulat : at Constantinopoli πρόεδρον nullum Chrysostomus noverat, ipse supremus omnium præses. Annum vero, quo hanc habuit homiliam, ne conjectura quidem assignare possumus.

Interpretatio Latina est Frontonis Ducæi.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΒΑΡΛΑΑΜ

α'. Συνεκάλεσεν ἡμᾶς εἰς τὴν ἱερὰν ταύτην ἑορτὴν καὶ πανήγυριν ὁ μακάριος Βαρλαὰμ, οὐχ ἵνα αὐτὸν ἐπαινέσωμεν, ἀλλ' ἵνα αὐτὸν ζηλώσωμεν· οὐχ ἵνα ἀκροαταὶ γενώμεθα τῶν ἐγκωμίων, ἀλλ' ἵνα μιμηταὶ γενώμεθα τῶν αὐτοῦ κατορθωμάτων. Ἐπὶ μὲν οὖν τῶν βιωτικῶν πραγμάτων, οὐκ ἂν ἔλοιντό ποτε οἱ πρὸς τὰς μεγάλας ἀναβαίνοντες ἀρχὰς ἑτέρους κοινωνοὺς τῆς αὐτῆς προεδρίας ἰδεῖν· φθόνος γὰρ ἐκεῖ καὶ βασκανία διακόπτουσι τὴν ἀγάπην· ἐπὶ δὲ τῶν πνευματικῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· τότε γὰρ μάλιστα τῆς οἰκείας τιμῆς αἴσθησιν λαμβάνουσιν οἱ μάρτυρες, ὅταν τοὺς συνδούλους τοὺς ἑαυτῶν πρὸς τὴν τῶν ἰδίων ἀγαθῶν κοινωνίαν φθάσαντας ἴδωσιν. Ὥστε εἴ τις βούλεται ἐπαινεῖν μάρτυρας, μιμείσθω μάρτυρας· εἴ τις βούλεται ἐγκωμιάζειν τοὺς ἀθλητὰς τῆς εὐσεβείας, ζηλούτω τὸν ἐκείνων πόνον· τοῦτο τοῖς μάρτυσιν οὐκ ἐλάττω τῶν οἰκείων κατορθωμάτων οἴσει τὴν ἡδονήν. Καὶ ἵνα μάθῃς ὅτι τότε μάλιστα αἰσθάνονται τῶν οἰκείων ἀγαθῶν, ὅταν ἡμᾶς ἴδωσιν ἐν ἀσφαλείᾳ ὄντας, καὶ μεγίστην τιμὴν τὸ πρᾶγμα ἡγοῦνται, ἄκουσον τοῦ Παύλου λέγοντος· *Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ*. Καὶ ὁ Μωϋσῆς δὲ πρὸ τούτου πρὸς τὸν Θεὸν ἔλεγεν· *Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας*· οὐκ αἰσθάνομαι τῆς ἄνω τιμῆς διὰ τὴν τούτων δυσπραγίαν, φησί· σώματος γάρ ἐστιν ἀκολουθία τῶν πιστῶν τὸ πλήρωμα· τί τοίνυν ὄφελος τὴν κεφαλὴν στεφανοῦσθαι, τῶν ποδῶν κολαζομένων;

Καὶ πῶς δυνατὸν, φησὶ, μιμήσασθαι μάρτυρας νῦν; οὐδὲ γάρ ἐστι διωγμοῦ καιρός. Οἶδα κἀγώ· διωγμοῦ μὲν καιρὸς οὐκ ἔστιν, ἀλλὰ μαρτυρίου καιρός ἐστι· παλαισμάτων τοιούτων οὐκ ἔστι καιρὸς, ἀλλὰ στεφάνων καιρός ἐστι· οὐ διώκουσιν ἄνθρωποι, ἀλλὰ διώκουσι δαίμονες· οὐκ ἐλαύνει τύραννος, ἀλλ' ἐλαύνει διάβολος, τυράννων πάντων χαλεπώτερος· οὐχ ὁρᾷς ἄνθρακας προκειμένους, ἀλλ' ὁρᾷς φλόγα ἐπιθυμίας ἀναπτομένην. Κατεπάτησαν ἐκεῖνοι τοὺς ἄνθρακας, καταπάτησον σὺ τῆς φύσεως τὴν πυράν· ἐπύκτευσαν ἐκεῖνοι πρὸς θηρία, χαλίνωσον σὺ τὸν θυμὸν, τὸ ἀνήμερον καὶ ἀτίθασσον θηρίον· ἔστησαν ἐκεῖνοι πρὸς ὀδύνας ἀφορήτους, περιγενοῦ σὺ τῶν ἀτόπων καὶ πονηρῶν λογισμῶν τῶν βρυόντων ἐν τῇ καρδίᾳ σου· οὕτω μιμήσῃ μάρτυρας. [682] *Νῦν γὰρ οὐκ ἔστιν ἡμῖν ἡ πάλη* [a] *πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας.* Πῦρ ἐστιν ἡ ἐπιθυμία τῆς φύσεως, πῦρ ἄσβεστον καὶ διηνεκές· κύων ἐστὶ λυττῶν καὶ μεμηνὼς, κἂν μυριάκις αὐτὸν διακρούσῃ, μυριάκις ἐπιπηδᾷ, καὶ οὐκ ἀφίσταται· χαλεπὴ [b] μὲν ἡ τῶν ἀνθράκων φλὸξ, ἀλλ' αὕτη δεινοτέρα, ἡ τῆς ἐπιθυμίας· οὐδέποτε ἔχομεν ἐκεχειρίαν τοῦ πολέμου τούτου, οὐδέποτε ἔχομεν ἀνακωχὴν κατὰ τὸν παρόντα βίον, ἀλλὰ διηνεκὴς ὁ ἀγὼν, ἵνα καὶ λαμπρὸς ὁ στέφανος γένηται. Διὰ τοῦτο ἡμᾶς ἀεὶ Παῦλος καθοπλίζει, ἐπειδὴ ἀεὶ πολέμου καιρὸς, ἐπειδὴ ἀεὶ γρηγορεῖ ὁ ἐχθρός. Βούλει μαθεῖν, ὅτι πυρὸς οὐκ ἔλαττον ἡ ἐπιθυμία καίει; Ἄκουσον τοῦ Σολομῶντος λέγοντος, *Περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσερχόμενος εἰς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, καὶ πᾶς ὁ ἁπτόμενος αὐτῆς, οὐκ ἀθωωθήσεται.* Ὁρᾷς ὅτι φύσις ἐπιθυμίας ἀμιλλᾶται φύσει πυρός; Ὥσπερ γὰρ ἀδύνατον πυρὸς ἁπτόμενον μὴ δέξασθαι ἐμπρησμὸν, οὕτω πυρὸς ὀξύτερον τῶν εὐμόρφων ὄψεων ἡ θεωρία τῆς ἀκολάστως βλεπούσης ἐπιλαμβάνεται ψυχῆς· καὶ καθάπερ ὕλη τις εὔπρηστος [c], οὕτω τὰ λαμπρὰ τῶν σωμάτων τοῖς τῶν ἀσελγῶν ὑπόκειται ὀφθαλμοῖς. Διὸ χρὴ μὴ παρέχειν τῷ πυρὶ τῆς ἐπιθυμίας τροφὴν τὴν ἔξωθεν θεωρίαν, ἀλλὰ περιστέλλειν αὐτὸ πανταχόθεν καὶ κατασβεννύναι λογισμοῖς εὐσεβέσι, χαλινοῦντας πρόσω φερόμενον τὸν ἐμπρησμὸν, καὶ μὴ συγχωροῦντας αὐτῷ περιτρέπειν τὸ στερρὸν τῆς διανοίας τῆς ἡμετέρας. Καὶ πᾶσα δὲ ἡδονὴ ἐν τῷ καιρῷ τῆς ἐπικρατήσεως τῶν παθῶν πυρὸς σφοδρότερον καίειν εἴωθε τὴν διάνοιαν, εἰ μή τις γενναίως μεθ' ὑπομονῆς καὶ πίστεως ἀνταγωνίζοιτο πρὸς ἕκαστον τῶν παθῶν· ὃν τρόπον ὁ μακάριος καὶ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ Βαρλαὰμ ἐποίησεν ἐπὶ τῆς ἑαυτοῦ χειρὸς, ὁλόκληρον ἐν τῇ δεξιᾷ πυρὰν βαστάζων, καὶ πρὸς τὴν ὀδύνην οὐκ ἐνδιδοὺς, ἀλλὰ τῶν ἀνδριάντων ἀπαθέστερον διακείμενος, μᾶλλον δὲ ἤλγει μὲν, καὶ ἔπασχε· σῶμα γὰρ ἦν τὸ ὑποκείμενον, καὶ οὐ σίδηρος· ἀλγῶν δὲ καὶ πάσχων τὴν τῶν ἀσωμάτων δυνάμεων ἐν σώματι θνητῷ φιλοσοφίαν ἐπεδείκνυτο.

β'. Ἀλλὰ γὰρ ἄνωθεν αὐτοῦ τὸ μαρτύριον διηγήσομαι ὥστε σαφεστέραν γενέσθαι τὴν ἱστορίαν· σὺ δέ μοι σκόπει τοῦ διαβόλου τὴν κακουργίαν. Τῶν ἁγίων τοὺς μὲν ἤγαγεν ἐπὶ τήγανα, τοὺς δὲ εἰς λέβητας ἐνέβαλε τοῦ πυρὸς σφοδρότερον ζέοντας· καὶ τῶν μὲν τὰς πλευρὰς κατέξαινε, τοὺς δὲ εἰς πέλαγος κατεπόντισεν, ἄλλους θηρίοις παρέδωκεν, ἑτέρους εἰς κάμινον εἰσήγαγε, καὶ τῶν μὲν ἐξεμόχλευσε τὰ ἄρθρα, τῶν δὲ τὰς δορὰς ἔτι ζώντων ἀπέσυρεν [d], ἑτέρων τοῖς σώμασιν ἠμαγμένοις ὑπέθηκεν ἄνθρακας, καὶ οἱ σπινθῆρες ἐπεπήδων τοῖς ἕλκεσι, θηρίου παντὸς δριμύτερον τὰ τραύματα δάκνοντες· ἄλλοις ἄλλας ἐπενόει χαλεπωτέρας τιμωρίας. Ἐπεὶ οὖν εἶδεν ἅπαντα ταῦτα καταγελασθέντα, καὶ τοὺς ταῦτα παθόντας [683] μετὰ πολλῆς τῆς περιουσίας κρατήσαντας, καὶ τοῖς μετ' αὐτοὺς ἐρχομένοις ἐπὶ τὰ αὐτὰ παλαίσματα μεγίστην τοῦ θαρρεῖν ὑπόθεσιν γενομένους, τί ποιεῖ; Καινὸν ἐπινοεῖ τρόπον ἐπιβουλῆς, ἵνα τὸ ἀμελέτητον καὶ ἄηθες τῆς τιμωρίας καταβάλῃ τὸ φρόνημα τοῦ μάρτυρος. Τὸ μὲν γὰρ ἀκουσθὲν καὶ νοηθὲν, κἂν ἄφορητον ᾖ, τῇ προσδοκίᾳ μελετηθὲν εὐκαταφρόνητον γίνεται· τὸ δὲ ἀμελέτητον, κἂν κοῦφον ᾖ, πάντων ἐστὶν ἀφορητότερον. Ἔστω τοίνυν καινὸς ὁ ἀγὼν, ἔστω ξένον τὸ μηχάνημα, ἵνα τὸ καινὸν καὶ παράδοξον θορυβῆσαν τὸν ἀθλητὴν ὑποσκελίσῃ ῥᾳδίως. Τί οὖν ποιεῖ; Ἐξάγει τὸν ἅγιον ἀπὸ τοῦ δεσμωτηρίου δεδεμένον. Καὶ γὰρ καὶ τοῦτο τῆς ἐκείνου κακουργίας ἦν, τὸ μὴ εὐθέως ἐκ προοιμίων χαλεπὰ προσαγαγεῖν τὰ μηχανήματα, μηδὲ τὰς φρικτὰς ἐπαγαγεῖν τιμωρίας, ἀλλ' ἀπὸ τῶν ἐλαττόνων ἀκροβολίζεσθαι· τί δήποτε; Ἵνα ἂν μὲν ἡττηθῶσιν οἱ ἀγωνιζόμενοι, αἰσχρὰ αὐτῶν ἡ ἧττα γένηται, ὅτι μηδὲ πρὸς τὰ μικρὰ ἀντέστησαν· ἂν δὲ περιγένωνται καὶ νικήσωσιν, ἐν τοῖς ἐλάττοσι προκαταβληθείσης αὐτοῖς τῆς δυνάμεως εὐχείρωτοι γένωνται πρὸς τὰ μείζονα. Διὰ τοῦτο προσήγαγε τὰ ἐλάττονα πρότερον, ἵνα κἂν ἕλῃ, κἂν μὴ ἕλῃ, μὴ ἀποτύχῃ· ἂν μὲν γὰρ ἕλω, φησὶ, κατεγέλασα· ἂν δὲ μὴ ἕλω, ἀσθενεστέρους ἐποίησα πρὸς τὰ μέλλοντα. Ἐξάγει τοίνυν αὐτὸν ἀπὸ τοῦ δεσμωτηρίου· ὁ δὲ ἐξῄει καθάπερ ἀθλητὴς γενναῖος ἐν παλαίστρᾳ πολὺν γυμνασάμενος χρόνον· παλαίστρα γὰρ τῷ μάρτυρι τὸ δεσμωτήριον ἦν, κἀκεῖ κατ' ἰδίαν τῷ Θεῷ διαλεγόμενος παρ' ἐκείνου τὰ παλαίσματα ἐμάνθανεν ἅπαντα· ὅπου γὰρ δεσμὰ τοιαῦτα, ἐκεῖ καὶ ὁ Χριστὸς πάρεστιν.

Ἐξῄει τοίνυν ἰσχυρότερος γενόμενος τῇ μακροτέρᾳ τοῦ δεσμωτηρίου διατριβῇ· ἐξελθόντα δὲ αὐτὸν εἰς μέσον ἀγαγὼν ὁ διάβολος διὰ τῶν ὑπηρετουμένων αὐτοῦ τῇ παρανομίᾳ, οὐ προσέδησε τῷ ξύλῳ, οὐ περιέστησε δημίους· ἐώρα γὰρ αὐτὸν τούτων ἐπιθυμοῦντα, καὶ πάλαι αὐτὰ προμελετήσαντα· ἀλλὰ ξένον τι καὶ καινὸν, καὶ μηδέποτε ἐλπισθὲν μηχάνημα προσάγει τῷ πύργῳ, ῥᾳδίως ἐμποιεῖν δυνάμενον τὴν κατάπτωσιν· τοῦτο γάρ ἐστιν αὐτῷ τὸ σπουδαζόμενον ἐπὶ πάντων ὑποσκελίζειν μᾶλλον ἢ ὀδυνᾶν τοὺς ἁγίους. Τί τοίνυν ἐστὶ τὸ μηχάνημα; Τὴν χεῖρα κελεύσαντες ὑπτίαν ἐκτεῖναι ὑπεράνω τοῦ βωμοῦ, ἐπέθηκαν ἄνθρακας καὶ λιβανωτὸν τῇ χειρὶ, ἵνα ἐὰν ἀλγήσῃ, καὶ περιτρέψῃ τὴν χεῖρα, θυσίαν αὐτῷ καὶ παράβασιν τὸ πρᾶγμα λογίσωνται. Εἶδες πῶς κακοῦργος ὁ διάβολος, Ἀλλ' ὅρα πῶς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν ἄκυρα ἐποίησεν αὐτοῦ τὰ μηχανήματα,

[a] Hic addit Savil. φησὶν ὁ Παῦλος.
[b] Alii χαλεπωτέρα.
[c] Alii εὔθραυστος.

[d] Savil. et unus Reg. ἐπέσυρεν. Sic autem pergunt iidem et alter Regius : ἑτέροις τῶν σωμάτων ἡμαγμένων ὑπέθηκεν.

ergo caput coronari prodest, dum pedes torquentur?

Martyres quo pacto imitandi. — Et qui fieri potest, dicet aliquis, ut martyres imitemur? non enim persequutionis est tempus. Equidem id etiam scio : persequutionis quidem tempus non est, at martyrii est tempus : luctarum ejusmodi tempus non est, at coronarum est tempus : non persequuntur homines, at persequuntur dæmones : non vexat tyrannus, at vexat diabolus tyrannorum omnium sævissimus ; non objectas prunas conspicis, at cupiditatis conspicis flammam accensam : illi prunas calcarunt, tu naturæ pyram calca : illi cum bestiis pugnarunt, tu iram immitem et indomitam belluam frena : illi adversus intolerabiles dolores steterunt, tu absurdas pravasque cogitationes, quæ in corde tuo pullulant, vince : ita martyres imitabere. *Nunc enim nobis non est colluctatio adversus carnem et sanguinem ; sed adversus principes, adversus potestates, adversus mundi rectores tenebrarum harum, contra spiritualia nequitiæ* (*Ephes.* 6. 12). Ignis est cupiditas naturæ, ignis inexstinctus ac perennis, canis est rabidus et insanus : licet millies eum propellas, millies impetum facit, nec absistit : sæva quidem prunarum est flamma, verum hæc vehementior est flamma cupiditatis : numquam inducias belli hujus obtinemus, numquam pugnæ cessationem obtinemus dum in hac vita versamur, sed perpetuum est certamen, ut et splendida fiat corona. Propterea Paulus nos semper armat, quia belli est tempus, quia vigilat semper hostis. Visne intelligere cupiditatem non minus quam ignem urere? Audi Salomonem dicentem, *Ambulabit quis super prunas ignis, et pedes non comburet? sic qui intrat ad mulierem proximi sui, et qui tangit eam, non erit innoxius* (*Prov.* 6. 28. 29). Vides ut natura cupiditatis naturam ignis æmuletur? Sicut enim fieri nequit, ut qui tangit ignem, non uratur : ita formosorum vultuum aspectus igne celerius lascive intuentem animam corripit; et velut accensu facilis quædam materies, ita corpora speciosa lascivorum oculis sunt objecta. Quamobrem aspectum exteriorem cupiditatis igni non oportet in alimentum offerre, sed omni ex parte cohibere illum, cogitationibus piis exstinguere, atque ulterius grassantem deflagrationem refrenare, nec animi nostri constantiam sinere supplantari. Sane quidem voluptas omnis, quo tempore perturbationes prævaluerint, solet animum igne vehementius inflammare, nisi quis fortiter cum tolerantia fideque adversus singulas perturbationes decertet : quo pacto beatus atque generosus athleta Christi Barlaam fecit, dum manus ipsius torquetur, integram in dextera pyram gestans, nec dolori cedens, sed ita affectus, ut minus quam statua doloribus obnoxius esset. Imo vero dolebat ille quidem, ac patiebatur; corpus enim erat, quod subjacebat, non ferrum : sed dolens ac patiens incorporearum virtutum in mortali corpore philosophiam præ se ferebat.

2. *Narrationem de martyrio Barlaam orditur.*—Verumenimvero martyrium ejus altius exorsus narrabo, ut manifestior fiat historia : tu vero malitiam diaboli considera. Quosdam quidem sanctorum in sartagines impulit, quosdam autem in lebetes immisit igne vehementius bullientes; et horum quidem latera laniavit, illos autem in mare demersit : alios bestiis objecit, alios in fornacem injecit; et horum compages membrorum divulsit, illorum adhuc viventium pelles detraxit : aliorum cruentatis corporibus prunas subjecit, unde scintillæ prosiliebant in ulcera, fera quavis acerbius vulnera mordentes : aliis alia graviora supplicia excogitabat. Postquam igitur hæc omnia derisa vidit, et eos qui passi hæc fuerant, cum ea multa facilitate ac præstantiori virtute superassent, cæteris qui sequuturi eos essent et in certamina eadem descensuri, magnam confidentiæ occasionem attulisse : quid agit? Novum insidiarum genus excogitat, ut incogitatum et insolitum supplicium dejiciat martyris animum atque percellat. Quod enim auditum est et cognitum, licet intolerabile sit, exspectatione meditatum facile in contemptum venit : quod autem est inopinatum, licet leve sit, id præ cæteris omnibus est intolerandum. Esto igitur novum certamen, inusitatum machinamentum, ut nova et inusitata ejus species perturbatum facile athletam supplantet. Quid ergo facit? Sanctum e carcere vinctum educit. Etenim hoc quoque malitiæ illius fuit, quod statim a principio graves machinas non admoverit, nec horrenda supplicia intulerit, sed a minoribus pugnam iniverit; quid ita? Ut si quidem ii, qui depugnabant, vincerentur, turpis fieret eorum clades, quod ne exiguis quidem restitissent; sin autem superiores essent ac vincerent, cum in minoribus prius eorum afflictæ vires essent, a majoribus expugnari facile possent. Idcirco minora prius adhibuit, ut sive expugnaverit, sive non expugnaverit, res præter votum non succedat : Sive enim expugnavero, inquit, ipsos derisero; si autem non expugnavero, infirmiores ad futura reddidero. E carcere igitur ipsum educit; ille vero tamquam generosus athleta multo tempore in palæstra exercitatus exibat : palæstra siquidem martyri carcer erat; ibique seorsum cum Deo colloquens ab illo cuncta luctationis artificia discebat : ubi enim talia vincula, ibi et Christus adest.

Imponuntur manui ejus prunæ ardentes; eleganti similitudine factum exornat. — Itaque egrediebatur longiori carceris habitatione robustior factus; egressum autem illum cum in medium diabolus per eos, qui ipsius improbitati famulabantur, adduxisset, non ad equuleum alligavit, non carnificibus cinxit : hæc enim eum percupere, ac præmeditatum esse jampridem videbat; sed insolens quoddam ac novum, nec umquam formidatum machinamentum admovet turri, quo facile possit deturbari : hoc enim est, quod in omnibus studet maxime, ut supplantet potius, quam ut dolore torqueat sanctos. Quodnam igitur illud est machinamentum? Cum super aram extendere manum supinam jussissent, prunas et thus manui imposuerunt, ut si doleat ac manum invertat, perinde illi factum imputent, ac si sacrificaverit atque transgressus lapsus fuerit. Vides quam versutus sit diabolus? At vide, quo pacto is, qui comprehendit sapientes in

astutia eorum (*Job* 5. 13), irrita illius machinamenta reddiderit, et insidiarum diligentiam malitiæque vafritiem in auctarium et cumulum gloriæ martyris amplioris verterit. Nam cum innumeris rebus malitiose perpetratis, adversarius deinde victus abscesserit, tum illustrior evadit athleta pietatis : id quod etiam hic evenit. Beatus enim Barlaam nec inclinatam nec inversam manum tenens permansit, quasi ex ferro conflatam haberet : quamvis si conversa foret manus, ne sic quidem martyris id crimen fuisset.

3. Hic mihi diligenter animum omnes advertite, ut intelligatis, tametsi dextera fuisset inversa, non tamen idcirco victum eum existimandum fuisse : quid ita ? Quia nimirum, ut de illis, quibus latera deraduntur, aut qui alia quapiam ratione torquentur, judicamus, ita hic quoque judicium ferendum est. Nam si quidem cesserint ac sacrificarint, tum in imbecillitatem illorum culpa transfertur, quod cum dolores minime ferrent, sacrificarint; si vero, cum in tormentis perseverassent, doluerint illi quidem ob ea, quæ patiebantur, at religionem non prodiderint, nullum eis a quoquam propter hos dolores crimen impingitur : quin potius amplius eos ideirco efferimus ac laudamus, quod doloribus affecti toleraverint, nec abnegarint. Et hic igitur, siquidem, cum uri se non ferret, beatus Barlaam sacrificaturum se promisisset, victus esset; si vero non cedente illo manus inversa fuisset, non jam hoc martyris animi crimen esset : non enim ex voluntatis infirmitate, sed naturæ nervorum suo vigore destitutæ, quod inviti etiam sancti manus ab igne fuisset inflexa, istud contigisset. Quemadmodum enim iis, quibus deraduntur latera, non criminii vertimus, quod eorum caro dissecetur : imo ut propius exemplum adducam, sicut eos, qui febri aut spasmo laborant, nemo accusaverit, quod illis manus incurventur : non enim id eorum ignaviæ culpa fit, sed quod humorem ardore morbi depascente præter naturam compago nervorum contrahatur : ita nec sanctum hunc, si conversa manus esset, accusare quis potuisset. Si enim febris invito etiam ægroto membra contrahere natura sua consuevit ac distorquere, multo magis hoc impositæ dexteræ prunæ, etiam martyre non cedente, præstare potuerunt : veruntamen non præstiterunt, ut ex abundanti cognoscas gratiam Dei fuisse, quæ simul aderat, et corroborabat athletam, ac naturæ defectum corrigebat : nec in hoc ipsa quidquam sua conditione et infirmitate dignum passa est, sed quasi ex adamante concreta esset, manus illa permanebat immota. Quis tum id cernens non obstupuisset ? quis non cohorruisset ? Spectabant cælitus angeli, contemplabantur archangeli : præclarum erat spectaculum, quod et humanam plane naturam excedebat. Quis enim videre non optasset hominem decertantem, nec ea, quæ sunt hominum, patientem ? qui altare idem, et victima, et sacerdos factus esset ? Quapropter et duplex fumus ascendebat, hic quidem thuris incensi, ille vero liquefactæ carnis : atque hic erat illo suavior fumus, et hæc ipsa præstantior illa fragrantia. Et accidebat idem quod et in rubo (*Exod.* 3. *init.*) : sicut enim rubus ille ardebat, et non comburebatur, sic et hic ardebat quidem dextera, sed anima non incendebatur : conficiebatur corpus, at fides non consumebatur : caro fatiscebat, at alacritas animi non fatiscebat. Et prunæ quidem cum volam manus perforassent, deorsum cadebant, at animæ fortitudo non concidebat; sed manus quidem consumpta est et diffluxit, caro siquidem erat, non adamas; anima vero rursus alteram manum requirebat, ut et in illa tolerantiam exhiberet. Et quemadmodum generosus miles in hostes impressionem faciens, cum adversantium sibi phalangem conciderit, gladiumque continuorum vulnerum crebritate confregerit, deinde conversus alterum requirit, quod eum nondum cædis hostium satietas ceperit : sic nimirum et beati Barlaam anima cum dæmonum phalanges concidendo manum consumpsisset, alteram dexteram requirebat, ut in illa quoque animi alacritatem ostenderet. Noli enim mihi dicere unam illum exposuisse manum tantum; sed hoc potius, quam illud cogita, qui manum tradidit, eum caput etiam exposuisse, ac latera dedisse, et igni, bestiis, mari, præcipitiis, cruci, rotæ, atque omnibus, quæ unquam fando sunt audita, suppliciis objecisse, cunctaque perpessum esse, si minus experimento, animi quidem certe proposito. Nam nec ad certas se ac definitas pœnas offerunt martyres, sed ad incerta supplicia se accingunt : non enim est in eorum potestate animus tyrannorum, neque terminum illis modumque præscribunt, sed quibuscumque malis eos afficere inhumanus ac belluinus eorum animus desiderarit, tot tantaque illi prodeunt perpessuri : nisi forte interim fatiscens corpus inexpletam in medio tyrannorum cupiditatem reliquerit. Tabefiebat ergo caro, at animi propositum alacrius fiebat, quod splendore carbones ipsos superabat et multo amplius emicabat : spiritualis siquidem intus ignis accensus erat multo ardentior igne isto, ideirco flammam externam ille minime sentiebat, quod fervidus illum et ardens Christi caritatis ignis intus inflammaret.

4. *Moralis exhortatio.* — Hæc ne audiamus tantum, dilectissimi, sed et imitemur : quod enim a principio dicebam, nunc etiam dico : ne hac tantum hora, qua hic versamur, celebretur martyr, sed et domum abiens unusquisque sanctum deducat, et in ædes suas vel in cor suum potius per eorum, quæ dicta sunt, recordationem introducat. Suscipe illum, ut ante dictum est, et in corde illum tuo protensam manum habentem siste : suscipe victorem coronatum, nec unquam ex mente tua exire permitte. Ideirco vos etiam ad ipsos sanctorum martyrum loculos adduximus, ut ipse vos conspectus ad virtutem quodammodo incitet, et ad eumdem vos zelum accingatis. Nam militem quidem præstantissimi cujuspiam bellatoris excitat etiam fama; multo autem vehementius intuitus et aspectus, ac præsertim si ipsum fortissimi bellatoris tentorium ingressus, sanguinolentum ensem viderit, caput hostis

καὶ τὸ τῆς ἐπιβουλῆς ἐπιτεταμένον καὶ τὸ τῆς κακουργίας ποικίλον προσθήκην καὶ πλεονασμὸν πλείονος δόξης παρεσκεύασε γενέσθαι τῷ μάρτυρι. Ὅταν γὰρ μυρία κακουργήσας ὁ ἀνταγωνιστὴς, εἶτα ἡττηθεὶς ἀπέλθῃ, τότε λαμπρότερος γίνεται τῆς εὐσεβείας ὁ ἀθλητής· ὅπερ καὶ ἐνταῦθα συνέβαινεν. Ἔμενε γὰρ ὁ μακάριος Βαρλαὰμ ἀκλινῆ καὶ ἀπερίτρεπτον τηρῶν τὴν χεῖρα, καθάπερ ἀπὸ σιδήρου συγκειμένην ἔχων· καίτοι εἰ [684] παρετράπη ἡ χεὶρ, οὐδ' οὕτως ἦν ἔγκλημα τοῦ μάρτυρος.

γ'. Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε πάντες, ἵνα μάθητε, ὅτι εἰ καὶ περιετράπη ἡ δεξιὰ, οὐκ ἦν ἧττα τὸ γενόμενον· τί δήποτε; Ὅτι καθάπερ ἐπὶ τῶν τὰς πλευρὰς καταξαινομένων ἢ καὶ ἑτέρως πως βασανιζομένων κρίνομεν, οὕτω καὶ ἐνταῦθα δικάζειν χρή. Ἂν μὲν γὰρ ἐνδῶσι καὶ θύσωσι, τὸ ἔγκλημα τῆς ἀσθενείας αὐτῶν γίνεται, ὅτι τὰς ὀδύνας οὐκ ἐνεγκόντες ἔθυσαν· ἂν δὲ ἐγκαρτερήσαντες ταῖς βασάνοις ἀλγήσωσι μὲν ἐφ' οἷς πάσχωσι, μὴ προδῶσι δὲ τὴν εὐσέβειαν, οὐδεὶς αὐτοὺς ὑπὲρ τῶν ἀλγηδόνων αἰτιᾶται τούτων, ἀλλὰ διὰ τοῦτο μειζόνως αὐτοὺς ἀποδεχόμεθα, καὶ θαυμάζομεν, ὅτι καὶ ὀδυνηθέντες ὑπέμειναν, καὶ οὐκ ἠρνήσαντο. Καὶ ἐνταῦθα τοίνυν, εἰ μὲν οὐκ ἐνεγκὼν ὁ μακάριος Βαρλαὰμ τὸ καίεσθαι ὑπέσχετο θύειν, ἡττήθη· εἰ δὲ αὐτοῦ μὴ ἐνδιδόντος περιετράπη ἡ χεὶρ, οὐκ ἔστιν ἔγκλημα τοῦτο τῆς γνώμης τοῦ μάρτυρος· οὐ γὰρ τῆς προαιρέσεως ἀσθενούσης, ἀλλὰ τῆς τῶν νεύρων φύσεως κατὰ τὸν ἴδιον τόνον, καὶ ἄκοντος τῆς χειρὸς τοῦ ἁγίου καμπτομένης, ὑπὸ τοῦ πυρὸς τοῦτο συνέβαινεν. Ὥσπερ γὰρ τοῖς [a] ξαινομένοις τὰς πλευρὰς οὐκ ἐγκαλοῦμεν, ὅτι διασχίζεται αὐτῶν ἡ σάρξ· μᾶλλον δὲ ἵνα ἐγγύτερον ἀγάγω τὸ παράδειγμα· ὥσπερ τοῖς πυρέττουσι καὶ σπωμένοις οὐδεὶς ἂν μέμφοιτο καμπτομένων αὐτοῖς τῶν χειρῶν· οὐ γὰρ τῆς ἐκείνων βλακείας ἐστὶ τὸ γινόμενον, ἀλλὰ τῆς φλογὸς τοῦ νοσήματος τὴν νοτίδα ἀναλισκούσης καὶ συνελκούσης παρὰ φύσιν λοιπὸν τῶν [b] νεύρων τὴν ἀκολουθίαν· οὕτως οὐδὲ τὸν ἅγιον τοῦτον ἄν τις ἐμέμψατο τῆς χειρὸς περιτραπείσης. Εἰ γὰρ πυρετὸς καὶ ἄκοντος τοῦ κάμνοντος συνέλκειν τὰ μέλη πέφυκε καὶ διαστρέφειν, πολλῷ μᾶλλον ἄνθρακες ἐπικείμενοι δεξιᾷ, καὶ μὴ ἐνδίντος τοῦ μάρτυρος τοῦτο ἂν εἰργάσαντο. Ἀλλ' ὅμως οὐκ εἰργάσαντο, ἵνα ἐκ περιουσίας μάθῃς, ὅτι Θεοῦ χάρις ἦν ἡ συμπαροῦσα καὶ ἀλείφουσα τὸν ἀθλητὴν, καὶ τὸ τῆς φύσεως ἐλάττωμα διορθουμένη· οὔτε αὐτὴ τὰ ἑαυτῆς ἔπαθε κατὰ τοῦτο, ἀλλ' ὡς ἐξ [c] ἀδάμαντος πεπηγυῖα ἡ χεὶρ ἐκείνη, οὕτως ἀπερίτρεπτος ἔμενεν. Τίς τότε ὁρῶν οὐκ ἂν ἐθαύμασε; τίς οὐκ ἂν ἔφριξε; Διέκυπτον ἄνωθεν ἄγγελοι, ἐθεώρουν ἀρχάγγελοι· λαμπρὸν ἦν τὸ θέατρον, καὶ ὑπερβαῖνον ὄντως τὴν ἀνθρωπίνην φύσιν. Τίς γὰρ οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν ἄνθρωπον ἀγωνιζόμενον, καὶ οὐ πάσχοντα τὰ τῶν ἀνθρώπων; τὸν αὐτὸν θυσιαστήριον, καὶ ἱερεῖον, καὶ ἱερέα γινόμενον; Διὸ καὶ διπλοῦς ὁ καπνὸς ἀνῄει, ὁ μὲν τοῦ λιβανωτοῦ ἁπτομένου [d], ὁ δὲ τῆς σαρκὸς τηκομένης· καὶ ἦν ὁ καπνὸς οὗτος ἐκείνου προσηνέστερος [e], αὕτη δὲ ἡ εὐωδία ἐκείνης βελτίων. Καὶ ταυτὸ συνέβαινεν ὅπερ καὶ ἐπὶ τῆς βάτου· καθάπερ γὰρ ἐκείνη ἡ βάτος ἐκαίετο, καὶ οὐ κατεκαίετο, οὕτω καὶ ἐνταῦθα ἐκαίετο μὲν ἡ δεξιὰ, [685] οὐ κατεφλέγετο δὲ ἡ ψυχή· ἐδαπανᾶτο τὸ σῶμα, καὶ οὐκ ἀνηλοῦτο ἡ πίστις· ἀπηγόρευεν ἡ σὰρξ, καὶ οὐκ ἀπηγόρευεν ἡ προθυμία· καὶ οἱ μὲν ἄνθρακες τὸ μέσον τῆς χειρὸς διατρήσαντες ἐξέπιπτον κάτω, ἡ δὲ ἀνδρεία τῆς ψυχῆς οὐ διέπιπτεν· ἀλλ' ἡ μὲν χεὶρ ἀνήλωτο καὶ ἐρρύη· σὰρξ γὰρ ἦν, καὶ οὐκ ἀδάμας· ἡ δὲ ψυχὴ ἑτέραν ἐπεζήτει χεῖρα πάλιν, ὥστε καὶ ἐν ἐκείνῃ τὴν καρτερίαν ἐπιδείξασθαι. Καὶ καθάπερ στρατιώτης γενναῖος εἰς πολεμίους εἰσελθὼν, καὶ κατακόψας τὴν φάλαγγα τῶν ἀνταγωνιζομένων αὐτῷ, διακλάσας τὸ ξίφος τῇ πυκνότητι τῶν ἐπαλλήλων πληγῶν, εἶτα ἐπιστραφεὶς ἕτερον ἐπιζητεῖ, διὰ τὸ μηδέπω κόρον εἰληφέναι τῆς τῶν πολεμίων σφαγῆς· οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου Βαρλαὰμ τὴν χεῖρα ἀναλώσασα ἐν τῷ κατακόπτειν τὰς φάλαγγας τῶν δαιμόνων, ἑτέραν ἐπεζήτει δεξιὰν πάλιν, ὥστε καὶ ἐν ἐκείνῃ τὴν προθυμίαν ἐπιδείξασθαι. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι μίαν ἐξέδωκε χεῖρα μόνον· ἀλλὰ τοῦτο πρὸ ἐκείνου ἐννόει, ὅτι ὁ τὴν χεῖρα προδοὺς, οὗτος καὶ τὴν κεφαλὴν ἐξέδωκεν ἄν, καὶ τὰς πλευρὰς προῦθηκε, καὶ πυρὶ, καὶ θηρίοις, καὶ πελάγει, καὶ χρημνῷ, καὶ σταυρῷ, καὶ τροχῷ, καὶ πρὸς πάσας τὰς ἀκουσθείσας ποτὲ τιμωρίας παρετάξατο, καὶ πάντα ἔπαθεν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ προθέσει. Οὐ γὰρ πρὸς ὡρισμένας κολάσεις ἀπαντῶσιν οἱ μάρτυρες, ἀλλὰ πρὸς ἀορίστους ἀποδύονται τιμωρίας· οὐ γάρ εἰσι κύριοι τῆς γνώμης τῶν τυράννων, οὐδὲ ὅρους αὐτοῖς καὶ μέτρα τιμωριῶν τιθέασιν· ἀλλ' ὅσα ἂν αὐτοὺς ἡ ἀπάνθρωπος καὶ θηριώδης ἐκείνων γνώμη διαθεῖναι ἐπιθυμήσῃ κακὰ, τοσαῦτα εἰσέρχονται πεισόμενοι· πλὴν ἂν μὴ μεταξὺ τὸ σῶμα ἀπαγορεῦσαν ἀπλήρωτον ἐν τῷ μέσῳ καταλίπῃ τὴν τῶν τυράννων ἐπιθυμίαν. Ἐμαραίνετο τοίνυν ἡ σὰρξ, καὶ ἡ προαίρεσις προθυμοτέρα ἐγίνετο, αὐτοὺς τοὺς ἄνθρακας παρερχομένη τῇ λαμπρότητι, καὶ μᾶλλον αὐτῶν ἀποστίλβουσα· πνευματικὸν γὰρ ἔνδον ἀνεκαίετο πῦρ πολὺ τοῦ πυρὸς τούτου φλογωδέστερον. Διὰ τοῦτο ἐκεῖνος τῆς ἔξωθεν οὐκ ἠσθάνετο φλογὸς, ἐπειδὴ τὸ ἔνδον αὐτὸν ἔκαιε πῦρ τὸ διάπυρον καὶ διακαὲς τῆς ἀγάπης τοῦ Χριστοῦ.

δ'. Ταῦτα μὴ μόνον ἀκούωμεν, ἀγαπητοὶ, ἀλλὰ καὶ μιμώμεθα [f]. Ὅπερ γὰρ ἐξ ἀρχῆς ἔλεγον, καὶ νῦν λέγω· μὴ μέχρι τῆς παρούσης ὥρας θαυμαζέσθω ὁ μάρτυς μόνον, ἀλλὰ καὶ οἴκαδε ἀπιὼν ἕκαστος ἐπαγέσθω τὸν ἅγιον, καὶ εἰς τὴν οἰκίαν εἰσαγέτω τὴν ἑαυτοῦ, μᾶλλον δὲ εἰς τὴν ἑαυτοῦ καρδίαν διὰ τῆς τῶν εἰρημένων μνήμης. Ὑπόδεξαι αὐτὸν, ὡς προείρηται, καὶ στῆσον ἐπὶ τῆς καρδίας τῆς σῆς τὴν χεῖρα ἔχοντα ἐκτεταμένην· ὑπόδεξαι τὸν στεφανίτην, καὶ μηδέποτε ἀφῇς ἐξελθεῖν τῆς διανοίας τῆς σῆς. Διὰ τοῦτο ὑμᾶς καὶ παρὰ τὰς θήκας τῶν ἁγίων μαρτύρων ἠγάγομεν, ἵνα καὶ ἀπὸ τῆς ὄψεως λάβητέ τινα παράκλησιν ἀρετῆς [g], καὶ πρὸς τὸν αὐτὸν ἐπαποδύσησθε ζῆλον. Καὶ γὰρ στρατιώτην ἀνίστησι μὲν καὶ ἀκοὴ ἀριστέως· πολλῷ δὲ πλέον ὄψις καὶ θεωρία, καὶ μάλιστα ὅταν εἰς αὐτὴν τοῦ ἀριστέως τὴν σκηνὴν εἰσελθὼν ἴδῃ τὸ ξίφος πεπαγμένον, [686] τὴν κεφαλὴν τοῦ πολεμίου κειμένην,

[a] Alii ὥσπερ οὖν τοῖς.
[b] Unus Reg. παρὰ φύσιν λυπεῖ τῶν. Infra δεξιᾷ post ἐπικείμενοι deest in quibusdam mss.
[c] Savil. διορθουμένη· οὐδὲν γάρ τι τῶν ἑαυτῆς κατὰ τοῦτο ἐδείκνυ. Ἀλλ' ὡς ἐξ. Reg. unus διορθουμένη· οὐδὲν γάρ τι τῶν αὐτῆς κατὰ τοῦτο· ἀλλ' ὡς.
[d] Sic correximus e Savilio; legebatur ὀπτωμένου. Edit.
[e] Sic Morel. et unus Reg. Alius Reg. πενέστερος, Savil. θυμηρέστερος.
[f] Haec, ἀλλὰ καὶ μιμώμεθα, desunt in Savil. et in Regio uno.
[g] Ἀρετῆς deest in Savil. et in uno Regio.

τὰ λάφυρα ἄνω κρεμάμενα, τὸ αἷμα νεαρὸν τῶν χειρῶν ἀποστάζον παρὰ τοῦ τὸ τρόπαιον στήσαντος, πανταχοῦ δόρατα καὶ ἀσπίδας καὶ τόξα καὶ τὴν ἄλλην ἅπασαν παντευχίαν κειμένην. Διὰ τοῦτο καὶ ἡμεῖς ἐνταῦθα συνεληλύθαμεν. Σκηνὴ γάρ ἐστι στρατιωτικὴ τῶν μαρτύρων ὁ τάφος· κἂν ἀνοίξῃς τοὺς τῆς πίστεως ὀφθαλμούς, ὄψει τὸν θώρακα τῆς δικαιοσύνης ἐνταῦθα κείμενον, τὸν θυρεὸν τῆς πίστεως, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὴν κνημῖδα τοῦ Εὐαγγελίου, τὴν μάχαιραν τοῦ Πνεύματος, αὐτὴν τοῦ διαβόλου τὴν κεφαλὴν ἀπερριμμένην χαμαί. Ὅταν γὰρ ἴδῃς δαιμονῶντα ἄνθρωπον παρὰ τὸν τάφον τοῦ μάρτυρος κείμενον ὕπτιον, καὶ σπαράσσοντα ἑαυτὸν πολλάκις, οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν κεφαλὴν τοῦ Πονηροῦ τετμημένην ὁρᾷς. Ἔτι γὰρ καὶ νῦν παράκειται ταῦτα τὰ ὅπλα τοῖς τοῦ Χριστοῦ στρατιώταις, καὶ καθάπερ τοὺς ἀριστέας μετὰ τῶν ὅπλων θάπτουσιν οἱ βασιλεῖς, οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, καὶ μετὰ τῶν ὅπλων αὐτοὺς ἔθαψεν, ἵνα καὶ πρὸ τῆς ἀναστάσεως δείξῃ πᾶσαν τὴν δόξαν, καὶ τὴν δύναμιν τῶν ἁγίων. Μάθε τοίνυν τὴν παντευχίαν αὐτῶν τὴν πνευματικήν, καὶ μέγιστα κερδάνας ἀναχωρήσεις ἐντεῦθεν. Πολὺς καὶ σοὶ πόλεμος πρὸς τὸν διάβολον, ἀγαπητὲ, πολὺς, καὶ μέγας, καὶ διηνεκής.

Μάθε τοίνυν τὰ παλαίσματα, ἵνα μιμήσῃ τὰς νίκας· καταγέλασον πλούτου, καὶ χρημάτων, καὶ τῆς ἄλλης ἁπάσης τοῦ βίου φαντασίας· μὴ μακαρίσῃς τοὺς πλουτοῦντας, ἀλλὰ μακάρισον τοὺς μαρτυροῦντας, μὴ τοὺς ἐν τρυφῇ, ἀλλὰ τοὺς ἐν τηγάνοις· μὴ τοὺς ἐν τραπέζῃ πολυτελεῖ, ἀλλὰ τοὺς ἐν λέβητι ζέοντι [a]· μὴ τοὺς ἐν βαλανείοις καθημερινοῖς, ἀλλὰ τοὺς ἐν καμίνοις χαλεπαῖς· μὴ τοὺς μύρων ὄζοντας, ἀλλὰ τοὺς καπνὸν καὶ κνίσσαν ἀπὸ τῆς σαρκὸς ὀπτωμένης ἀφιέντας. Αὕτη ἡ εὐωδία ἐκείνης βελτίων καὶ λυσιτελεστέρα· ἐκείνη μὲν γὰρ ἐπὶ κόλασιν ἀπάγει τοὺς κεχρημένους αὐτῇ, αὕτη δὲ ἐπὶ βραβεῖα καὶ στεφάνους τοὺς ἄνω. Καὶ ἵνα μάθῃς, ὅτι πονηρὸν ἡ τρυφὴ, καὶ μύρων ἀλοιφὴ, καὶ μέθη, καὶ οἶνος ἀμετρίαν ἔχων, καὶ πολυτελὴς τράπεζα, ἄκουσον τί φησιν ὁ προφήτης· *Οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ βουκολίων γαλαθηνά· οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι.* Εἰ δὲ ἐπὶ τῆς παλαιᾶς διαθήκης ταῦτα ἀπηγόρευτο, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος, ἔνθα πλείων ἡ φιλοσοφία. Ταῦτά μοι καὶ πρὸς ἄνδρας, καὶ πρὸς γυναῖκας εἴρηται· κοινὸν γὰρ τὸ στάδιον· οὐ διῄρηται τὸ στρατόπεδον τοῦ Χριστοῦ διὰ τὴν φύσιν, ἀλλ' εἷς ἐστιν ὁ σύλλογος· δύνανται καὶ γυναῖκες ἐνδύσασθαι θώρακα, καὶ ἀσπίδα προβαλέσθαι, καὶ βέλος ἀφεῖναι, καὶ ἐν μαρτυρίου καιρῷ, καὶ ἐν ἑτέρῳ δὲ τοιούτῳ πολλὴν ἀπαιτοῦντι παῤῥησίαν. Καὶ καθάπερ τοξότης ἄριστος εὐστόχως τὸ βέλος ἀπὸ τῆς νευρᾶς ἀφιεὶς, ἅπασαν συνταράττει τῶν πολεμίων τὴν τάξιν, οὕτω καὶ οἱ ἅγιοι μάρτυρες, καὶ πάντες δὲ οἱ τῆς ἀληθείας ἀγωνισταὶ, οἱ ἀνταγωνιζόμενοι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, ὥσπερ ἀπό τινος νευρᾶς τῆς γλώττης τὰ ῥήματα ἀφιᾶσιν εὐστόχως· καὶ ταῦτα [687] ὥσπερ βέλη πετόμενα διὰ τοῦ ἀέρος, εἰς τὰς ἀοράτους τῶν δαιμόνων ἐμπίπτοντα φάλαγγας, πᾶσαν αὐτῶν συνταράττει τὴν παράταξιν· ὅπερ οὖν καὶ ἐπὶ τοῦ μακαρίου Βαρλαὰμ τούτου γέγονεν· ἀπὸ ψιλῶν γὰρ ῥημάτων ὥσπερ ἀπὸ βελῶν πετομένων συνέχεε τὸ τοῦ διαβόλου στρατόπεδον. Ταύτην καὶ ἡμεῖς μιμησώμεθα τὴν εὐστοχίαν. Οὐχ ὁρᾶτε τοὺς ἀπὸ τῶν θεάτρων καταβαίνοντας μαλακωτέρους γινομένους; τὸ δὲ αἴτιον, ὅτι μετὰ σπουδῆς τοῖς ἐκεῖ γινομένοις προσέχουσι· καὶ γὰρ ὀφθαλμῶν περιστροφὰς, καὶ χειρῶν περιδονήσεις, καὶ ποδῶν κύκλους, καὶ πάντων τῶν ἐν τῇ διαστροφῇ τοῦ λυγισθέντος σώματος φανέντων εἰδώλων τοὺς τύπους ἐναποθέμενοι ταῖς ψυχαῖς οὕτως ἀπέρχονται. Πῶς οὖν οὐκ ἄτοπον ἐκείνους μὲν ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς τοσαύτην ἐπιδείκνυσθαι πρόνοιαν, καὶ μνήμην ἐνδιάθετον ἔχειν τῶν ἐκεῖ γινομένων· ἡμᾶς δὲ ἀπὸ τῆς ἐνταῦθα μιμήσεως μέλλοντας τοῖς ἀγγέλοις παρισοῦσθαι, μηδὲ τὴν ἴσην ἐκείνοις συνεισφέρειν σπουδὴν περὶ τὴν τῶν εἰρημένων φυλακήν; Μὴ, δέομαι καὶ ἀντιβολῶ, μὴ οὕτω τῆς οἰκείας καταμελῶμεν σωτηρίας, ἀλλ' ἐναποθώμεθα τοὺς μάρτυρας ἅπαντες ταῖς ἑαυτῶν διανοίαις, μετὰ τῶν τηγάνων, μετὰ τῶν λεβήτων, μετὰ τῶν ἄλλων τιμωριῶν· καὶ καθάπερ οἱ ζωγράφοι τὴν εἰκόνα πολλάκις καπνῷ καὶ αἰθάλῃ καὶ χρόνῳ μακρῷ γενομένην ἀμαυροτέραν ἀποσμήχουσιν· βούτω καὶ σὺ ποίησον, ἀγαπητὲ, τὴν μνήμην τῶν ἁγίων μαρτύρων· ἐπειδὰν εἰσιοῦσαι βιωτικαὶ φροντίδες ἀμαυρώσωσι τὴν διάνοιάν σου, ἀπόσμηξον διὰ τῆς τῶν μαρτύρων μνήμης. Ἂν γὰρ ταύτην ἔχῃς ἐν τῇ ψυχῇ σου τὴν μνήμην, οὐ θαυμάσεις πλοῦτον, οὐ πενίαν δακρύσεις, οὐκ ἐπαινέσεις δόξαν καὶ δυναστείαν, οὐδὲν ὅλως τῶν ἀνθρωπίνων, οὐ τῶν φαιδρῶν μέγα τι ὑπολάβῃς εἶναι, οὐ τῶν λυπηρῶν ἀφόρητον· ἀλλὰ πάντων ἐκείνων ἀνώτερος γενόμενος, ἕξεις διδασκαλίαν ἀρετῆς διηνεκῆ τῆς εἰκόνος ταύτης τὴν θεωρίαν. Ὁ γὰρ στρατιώτας ὁρῶν καθ' ἑκάστην ἡμέραν ἐν πολέμοις καὶ μάχαις ἀνδριζομένους [b], οὐκ ἐπιθυμήσει τρυφῆς ποτε, οὐ θαυμάσεται τὸν ὑγρὸν καὶ διαλελυμένον βίον, ἀλλὰ τὸν σκληρὸν, καὶ εὔτονον, καὶ ἐναγώνιον. Ποία γὰρ κοινωνία μέθῃ καὶ μάχῃ; γαστρίζεσθαι καὶ ἀνδρίζεσθαι; μύροις καὶ ὅπλοις; πολέμῳ καὶ κώμοις; Στρατιώτης εἶ τοῦ Χριστοῦ, ἀγαπητὲ, ὁπλίζου, μὴ καλλωπίζου· ἀθλητὴς εἶ γενναῖος, ἀνδρίζου, μὴ ὡραΐζου. Οὕτω μιμησώμεθα τοὺς ἁγίους τούτους, οὕτω τιμήσωμεν τοὺς ἀριστέας, τοὺς στεφανίτας, τοὺς Θεοῦ φίλους, καὶ βαδίσαντες τὴν αὐτὴν αὐτοῖς ὁδὸν τῶν αὐτῶν αὐτοῖς στεφάνων ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Savil. in marg. et unus Reg. ζέοντας, mox μεθημερινοῖς, et paulo post κνίσσαν ὀπτωμένους.

[b] Savil. et unus Reg. ἀνδραγαθιζόμενος.

jacens, spolia sublime pendentia, recentem cruorem ex manibus ejus stillantem, qui tropæum erexit, ubique lanceas et clypeos, et arcus, et omnem aliam armaturam jacentem. Idcirco nos etiam hic convenimus : tentorium enim est militare martyrum tumulus : ac si fidei oculos aperueris, hic justitiæ loricam jacentem intuebere, scutum fidei, galeam salutis, ocreas Evangelii, gladium Spiritus (*Ephes.* 6. 11-17), ipsum diaboli caput in terram projectum. Cum enim hominem correptum a dæmone juxta martyris sepulcrum videris supinum jacentem, ac seipsum persæpe laniantem, nihil aliud nisi mali caput amputatum vides. Namque Christi militibus hæc arma nunc etiam adjacent : et quemadmodum beliatores fortissimos cum suis sepeliunt armis Imperatores, ita fecit et Christus : cum suis eos armis sepelivit, ut etiam ante resurrectionem gloriam omnem virtutemque sanctorum ostenderet. Cognosce igitur spiritualem ipsorum armaturam ; et maximis perceptis utilitatibus hinc discedes. Multum et tibi cum diabolo bellum est, dilectissime, multum inquam, magnum et perenne.

Invehitur in delicias et luxum, et in eos qui theatrorum spectacula frequenter adeunt.—Disce igitur luctationes, ut victorias imiteris : aspernare divitias ac pecunias, et omnem reliquam sæculi pompam : ne beatos judices eos, qui divites sunt, sed beatos eos judica, qui martyrium patiuntur : non eos qui in deliciis, sed qui in sartaginibus versantur : non eos, qui opiparæ mensæ assident, sed eos, qui in lebete torrentur : non eos, qui diurnis in balneis, sed eos, qui in diris sunt fornacibus : non eos, qui olent unguenta, sed eos, qui fumum ac nidorem usti emittunt : hic multo illo præstantior et utilior est odor; siquidem ille ad supplicium illos qui eo fruuntur, hic autem ad præmia coronasque cælestes abducit. Atque ut intelligas malam rem esse delicias, usumque unguentorum, et ebrietatem, et vinum immodice sumptum, et opiparam mensam, audi quid dicat propheta : *Væ dormientes in lectis eburneis, affluentes deliciis in stratis suis, et comedentes hædos de gregibus, et lactentes vitulos de armentis; qui bibunt vinum defæcatum, et primis unguentis unguntur* (*Amos* 6. 4-6). Quod si hæc veteris Testamenti tempore prohibebantur, multo magis tempore gratiæ, ubi major est philosophia. Hæc cum ad viros, tum ad mulieres a me sunt dicta : commune siquidem est stadium ; non propter sexus diversitatem divisus est Christi exercitus, sed unus est cœtus. Possunt et feminæ loricam induere, ac clypeum opponere, telumque jaculari, cum martyrii tempore, tum etiam alio, quod fiduciam ingentem requirat. Et sicut optimus sagittarius, qui recte collimans a chorda sagittam emiserit, omnem hostium conturbat aciem : sic et sancti martyres atque adeo cuncti veritatis bellatores, qui adversus insidias diaboli fraudesque depugnant, tamquam a chorda quadam, a lingua verba bene collimantes emittunt, eaque tamquam tela per aerem volantia, cum invisibiles dæmonum in phalanges inciderint, omnem eorum aciem conturbant : quod utique et beato Barlaam evenit : nudis enim verbis tamquam volantibus sagittis emissis, totum diaboli exercitum perturbavit. Hanc et nos jaculandi solertiam imitemur. Nonne illos, qui a theatris descendunt, videtis molliores effectos? id vero in causa est, quod iis studiose, quæ ibi fiunt, attendant : nam cum oculorum inversiones, manuumque contorsiones, ac pedum gyros, et omnium simulacrorum, quæ in distorsione circumacti corporis apparent, imagines in mentibus suis defixerint, deinde discedunt. Annon igitur indignum est, ut illi tantam in animæ suæ pernicie procuranda sollicitudinem exhibeant, ac perennem eorum, quæ illic sunt gesta, memoriam conservent, nos autem, quos isthæc imitatio pares angelis redditura est, ne æquale quidem illis studium ad ea, quæ dicta sunt, conservanda conferamus? Ne, oro, obtestorque vos, ne salutem nostram ita negligamus, sed mentibus nostris omnes martyres conditos teneamus, una cum lebetibus, una cum aliis suppliciis, et sicut pictores imaginem sæpe fumo ac fuligine longoque tempore inobscuratam detergunt ac mundant, sic tu sanctorum martyrum utere memoria, dilectissime : cum obrepentes sæculares curæ tuam mentem obscurarint, eam per martyrum memoriam deterge. Si enim hanc in anima tua memoriam conservaris, non opes suspicies, non paupertatem deplorabis, non gloriam et potentiam laudabis, nihil denique ex rebus humanis, nihil eorum, quæ splendida sunt, magnum esse quiddam arbitrabere, nihil eorum, quæ molesta sunt, intolerandum ; sed cum his omnibus superior evaseris, perpetuum ex imaginis hujus contemplatione capies documentum. Nam qui milites in bellis ac præliis strenue se gerentes quotidie spectat, non deliciarum umquam cupiditate tenebitur, non delicatam et mollem vivendi rationem in pretio habebit, sed asperam et rigidam atque ad certamen compositam. Quæ enim societas est ebrietati cum pugna? curæ abdominis cum studio fortitudinis? urguentis cum armis, bello et comessationibus? Miles Christi es, dilectissime ; armare, non comere : athleta es generosus ; viriliter age, non concilia venustatem. Ita sanctos istos imitemur ; ita fortes bellatores, coronatos athletas, Dei amicos honoribus prosequamur ; et cum per eamdem cum illis viam incesserimus, easdem cum illis coronas consequemur : quas nobis omnibus utinam obtinere contingat, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri gloria, una cum Spiritu sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

AD HOMILIAM IN SANCTAM DROSIDEM MARTYREM.

[688] Hanc homiliam in agro Antiocheno habuit Chrysostomus, cum arrepta serenæ diei occasione populum Antiochenum eo deduxit Flavianus Episcopus, ut numero 2 dicitur. Hujus porro S. martyris pauca admodum supersunt monumenta : vixque aliud quidpiam circa martyrium certaminaque ejus novimus, quam quod ait S. doctor eam, in rogum conjectam fuisse. Neque solum S. Drosidem, sed et alios etiam pluri-

LAUDATIO

MAGNÆ ET SANCTÆ MARTYRIS DROSIDIS, ET DE MEMORIA MORTIS.

1. *SS. Reliquiarum utilitas.* — Diligentes pastores, ubi per longam hyemem viderint radios solis affulsisse, demque calidiorem reddidisse , pecudes e caulis excitas ad pascua consueta deducunt: hos imitatus et bonus iste pastor sacrum hunc gregem ac spirituale Christi ovile ad hæc spiritualia pascua sanctorum eduxit. Nam exsaliantur quidem et pecudes, dum ad præsepia stant: verum ubi fuerint e caulis egressæ, multo majorem ex campis utilitatem percipiunt, dum in terram pronæ multa cum voluptate dentibus gramen detondent, aerem purum respirant, et claros splendidosque radios solis spectant, et juxta lacus, fontes, et flumina saltitant; neque vero mediocriter eas terra delectat, floribus omni ex parte decorata. Sed non illis tantum, verum etiam nobis hoc multam utilitatem parit : licet enim intus spiritualibus cibis referta proposita nobis esset mensa, tamen hæc ad sanctos istos egressio nescio quo recreat nos solatio, et utilitatem nihilo recreatione minorem parit, non quod purum aerem respiremus, sed quod ad præclara generosorum istorum virorum facinora oculos convertamus; non quod juxta fluminum fluenta, sed quod juxta Spiritus sancti donorum fluenta saltemus ; non quod in terram proni dentibus herbam tondeamus, sed quod virtutes martyrum decerpamus ; non quod ornatam floribus terram cernamus, sed quod corpora donis spiritualibus affluentia contemplemur. Ac singulæ quidem martyrum ecclesiæ lucrum non exiguum præbent iis, qui apud eas congregantur, sed præ cæteris omnibus ista : simul enim atque vestibulum quis ingressus est, et confestim in oculos undique multitudo sepulcrorum incurrit, et quocumque respexerit, capsulas, memorias et thecas defunctorum intuetur. Neque vero mediocriter nobis prodest ad inserendam animis nostris modestiam ac philosophiam hoc spectaculum tumulorum. Animus enim sive segnis sit, hoc aspectu commotus, statim percellitur : sive diligens sit et excitatus, diligentior redditur : sive paupertatem quis lamentetur, ex hoc statim aspectu consolationem percipit : sive divitiis intumescat, humilis fit et contrahitur. Hic enim aspectus sepulcrorum unumquemque spectatorum cogit invitum de sua morte philosophari, utque nihil in hoc mundo stabile esse censeat, persuadet, seu molestum sit, seu jucundum : porro is cui persuasum hoc fuerit, non facile peccati laqueo capietur. Propterea sapiens admonet quispiam dicens : *In omnibus sermonibus tuis memorare novissima tua, et in æternum non peccabis* (*Eccli.* 7. 40) : et alter quispiam his consona loquitur, dum ita consulit : *Præpara in exitum opera tua, et præpara te ad iter* (*Prov.* 24. 27) : non quod de sensibus subjecto itinere verba faciat, sed de discessu ex hac vita. Nam si perpetuo ac singulis diebus, quam incertus sit obitus, præmeditemur, haud facile peccata committemus : sed neque rebus hujus vitæ splendidis atque magnificis intumescere, neque molestis deprimi poterimus aut turbari, cum incertus utrarumque sit finis. Sæpe namque qui hodie vivit, ne ad vesperam quidem est superstes. Itaque si in urbe remansissemus, non admodum verisimile est nos talia meditaturos ac philosophaturos fuisse; at extra pomœrium egressos, et ad hæc sepulcra venientes, atque hanc defunctorum multitudinem spectantes necesse plane fuit, vellemus nollemus, hoc conspectu admonitos has cogitationes animo volvere, ac sublimiores fieri, dum illas volvimus, omnemque erga res sæculares affectum exuere. Neque vero tantum ejusmodi cogitationes animum nostrum subibunt, sed et sufficienti cohortatione concitabimur, ut ad æternam patriam nostram festinemus, ad eamque nos comparemus, et omnia nobis ad illam profectionem necessaria præparemus, cum sciamus, quamcumque rerum nostrarum hic reliquerimus, eam nobis detrimentum allaturam. Nam quemadmodum qui longum iter viator conficit, et in patriam suam redire festinat, quodcumque reliquerit in hospitio, plane amittit, ejusque jacturam facit : sic nimirum et nos quascumque res nostras hic dimittentes abierimus, earum omnium jacturam facie-

MONITUM.

mos martyres, quorum ossa eodem loco deposita erant, laudibus commendat Chrysostomus, eorumque in dæmonas et in morbos quoslibet potestatem deprædicat; ac quantam ex eorum aditu utilitatem decerpere liceat, pluribus expouit. De anno quo hæc homilia pronuntiata fuit nihil prorsus habemus.

Interpretatio Latina est Frontonis Ducæi.

[688] ΕΓΚΩΜΙΟΝ

Εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Δροσίδα, καὶ εἰς τὸ μεμνῆσθαι θανάτου.

α'. Οἱ φιλόπονοι τῶν ποιμένων, ἐπειδὰν διὰ μακροῦ χειμῶνος ἴδωσι λαμπρὰν ἀκτῖνα, καὶ θερμοτέραν γενομένην ἡμέραν, τῆς μάνδρας ἐξαγαγόντες τὰ πρόβατα, πρὸς τὰς συνήθεις ἄγουσι νομάς· τούτους καὶ ὁ καλὸς ποιμὴν οὗτος μιμούμενος, τὴν ἱερὰν ταύτην ἀγέλην, καὶ τὴν πνευματικὴν τοῦ Χριστοῦ ποίμνην πρὸς τὰς τῶν ἁγίων νομὰς ἦγαγε ταύτας τὰς πνευματικάς. Κορέννυνται μὲν ἐπὶ τῆς φάτνης ἑστῶτα τὰ πρόβατα· ἀλλ' ἐπειδὰν ἔξω γένηται τῶν σηκῶν, πλείονα ἀπὸ τῶν πεδίων καρποῦνται τὴν ὠφέλειαν, μετὰ πολλῆς τῆς τέρψεως κατακύπτοντα, καὶ τὴν πόαν διὰ τῶν ὀδόντων ἀποκείροντα, καθαρόν τε ἀέρα ἀναπνέοντα, καὶ πρὸς ἀκτῖνα βλέποντα διειδῆ καὶ φαιδρὰν, παρὰ λίμνας καὶ πηγὰς σκιρτῶντα καὶ ποταμούς· φέρει δὲ αὐτοῖς καὶ ἡ γῆ τινα τέρψιν τοῖς ἄνθεσι καλλωπιζομένη πάντοθεν. Οὐκ ἐπ' ἐκείνων δὲ μόνον, ἀλλὰ καὶ ἐφ' ἡμῶν τοῦτο πολλὴν ἔχει τὴν ὠφέλειαν. Πλήρης μὲν γὰρ ἡμῖν καὶ ἔνδον ἡ τράπεζα τῶν πνευματικῶν ἐδεσμάτων παρέκειτο, ἀλλ' ἡ πρὸς τοὺς ἁγίους ἔξοδος τούτους ἔχει τινὰ καὶ ψυχαγωγίαν καὶ κέρδος τῆς ψυχαγωγίας οὐκ ἔλαττον, οὐκ ἐπειδὴ καθαρὸν τὸν ἀέρα ἀναπνέομεν, ἀλλ' ἐπειδὴ πρὸς τὰ τῶν γενναίων τούτων κατορθώματα βλέπομεν· οὐ παρὰ ποταμοὺς ὑδάτων, ἀλλὰ παρὰ ποταμοὺς χαρισμάτων σκιρτῶντες· οὐ κατακύπτοντες, καὶ πόαν κείροντες τοῖς ὀδοῦσιν, ἀλλὰ μαρτύρων ἀρετὰς ἀναλεγόμενοι· οὐχὶ γῆν ὁρῶντες καλλωπιζομένην ἄνθεσιν, ἀλλὰ σώματα βλέποντες χαρίσμασι βρύοντα πνευματικοῖς. Ἕκαστον μὲν οὖν τῶν μαρτυρίων παρέχει τοῖς συλλεγομένοις κέρδος οὐ μικρὸν, μάλιστα δὲ ἁπάντων τοῦτο· ὁμοῦ τε γὰρ ἐπέβη τις τῶν προθύρων, καὶ πλῆθος εὐθέως τάφων πανταχόθεν προσπίπτει τοῖς ὀφθαλμοῖς, καὶ ὅπου ἂν ἴδῃ, λάρνακας καὶ μνήματα καὶ θήκας ὁρᾷ τῶν κατοιχομένων. Οὐ μικρὸν δὴ ἡμῖν εἰς [689] φιλοσοφίας μέρος αὕτη συντελεῖ τῶν τάφων ἡ θεωρία. Ἡ γὰρ ψυχὴ διὰ τῆς ὄψεως ταύτης, κἂν ῥᾴθυμος ᾖ, ταχέως συστέλλεται, κἂν σπουδαία καὶ διεγηγερμένη, σπουδαιοτέρα γίνεται· κἂν ἀποδύρηταί τις πενίαν, ἀπὸ τῆς ὄψεως ταύτης εὐθέως παραμυθίαν δέχεται, κἂν ἐπὶ πλούτῳ μέγα φρονῇ, ταπεινοῦται καὶ καταστέλλεται. Ἡ γὰρ τῶν τάφων ὄψις ἕκαστον τῶν ὁρώντων τὰ περὶ τῆς τελευτῆς τῆς ἑαυτοῦ καὶ ἄκοντα φιλοσοφεῖν ἀναγκάζει, καὶ πείθει μηδὲν τῶν παρόντων νομίζειν εἶναι βέβαιον, μὴ λυπηρὸν, μὴ χρηστόν· ὁ δὲ ταῦτα πεισθεὶς οὐ ῥᾳδίως ἁλώσεται τῇ τῆς ἁμαρτίας παγίδι. Διὰ τοῦτο καὶ σοφός τις παραινεῖ λέγων· *Ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα μὴ ἁμάρτῃς·* καὶ ἕτερος δέ τις συνῳδὰ τούτῳ φθέγγεται συμβουλεύων οὕτως· *Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου πρὸς τὴν ὁδόν·* οὐ περὶ τῆς αἰσθητῆς ὁδοῦ διαλεγόμενος, ἀλλὰ περὶ τῆς ἐντεῦθεν ἀποδημίας. Ἂν γὰρ διηνεκῶς καὶ καθ' ἑκάστην ἡμέραν τὸ τῆς τελευτῆς προβλέπωμεν ἄδηλον, οὐ ταχέως ἁμαρτησόμεθα· οὔτε γὰρ τὰ λαμπρὰ τοῦ βίου φυσῆσαι, οὔτε τὰ λυπηρὰ καθελεῖν ἡμᾶς καὶ θορυβῆσαι δυνήσεται ἄδηλον ἑκάτερα τὸ τέλος ἔχοντα. Καὶ γὰρ πολλάκις ὁ σήμερον ζῶν οὐδὲ μέχρι τῆς ἑσπέρας μένει. Ἔνδον μὲν οὖν ἐν τῇ πόλει ἐνδιατρίβοντας οὐ σφόδρα εἰκὸς τὰ τοιαῦτα μελετᾷν καὶ φιλοσοφεῖν· ἐξελθόντας ἔξω τειχῶν, καὶ πρὸς τοὺς τάφους τούτους ἐλθόντας, καὶ τὸ πλῆθος τῶν κατοιχομένων θεασαμένους, ἀνάγκη πᾶσα καὶ ἑκόντας καὶ ἄκοντας τούτους ἀπὸ τῆς ὄψεως δέξασθαι τοὺς λογισμοὺς, καὶ δεξαμένους ὑψηλοτέρους γενέσθαι, καὶ τῆς πρὸς τὰ βιωτικὰ πράγματα συμπαθείας ἀπαλλαγῆναι. Οὐ μόνον δὲ λογισμοὺς τοιούτους δεξόμεθα, ἀλλὰ καὶ πρὸς τὴν αἰώνιον ἡμῶν πατρίδα σπεύδειν καὶ παρασκευάζεσθαι ἀρκοῦσαν παράκλησιν ἕξομεν, καὶ πάντα πρὸς τὴν ἀποδημίαν τὴν ἐκεῖ τὰ καθ' ἡμᾶς εὐτρεπίζειν, εἰδότας ὅπερ ἂν ἐνταῦθα τῶν ἡμετέρων καταλίπωμεν, ζημίαν ἡμῖν οἴσειν καταλειφθέν. Καθάπερ γὰρ ὁδοιπόρος μακρὰν ὁδεύων ὁδὸν καὶ πρὸς τὴν πατρίδα ἐπειγόμενος τὴν ἑαυτοῦ, ὅπερ ἂν ἐν τῷ πανδοχείῳ καταλίπῃ, πάντως ἀπώλεσε, καὶ ἐζημίωται· οὕτω δὴ καὶ ἡμεῖς ὅσα ἐνταῦθα τῶν ἡμετέρων ἀφέντες ἀπέλθωμεν, ἐζημιώμεθα πάντα· διὸ χρὴ τὰ μὲν μεθ' ἑαυτῶν, τὰ δὲ

πρὸ ἑαυτῶν παραπέμπειν ἐκεῖ. Ὁδὸς γὰρ ὁ παρὼν βίος ἐστὶ, καὶ οὐδὲν στάσιμον ἔχει, ἀλλὰ καὶ τὰ λυπηρὰ αὐτοῦ καὶ τὰ χρηστὰ παροδεύομεν. Διὰ δὴ τοῦτο μάλιστα πάντων τουτὶ φιλῶ τὸ χωρίον, ὅτι οὐκ ἐν συνάξει μόνον, ἀλλὰ καὶ συνάξεως χωρὶς πολλάκις ἐνταῦθα ἀφικνούμενος, τούτων συνεχῶς ἐμνήσθην τῶν λόγων, τῶν ὀφθαλμῶν μου τοὺς τάφους ἐν ἐρημίᾳ πολλῇ μεθ' ἡσυχίας περισκοπούντων, καὶ τὴν ψυχὴν πρὸς τοὺς κατοιχομένους καὶ τὴν ἐκεῖ παραπεμπόντων κατάστασιν.

[690] β'. Διὰ δὴ ταῦτα καὶ τὸν γενναῖον τοῦτον θαυμάζω πατέρα, ὅτι γαληνῆς ἡμέρας ἐπιλαβόμενος ἐνταῦθα ἡμᾶς ἐξήγαγε, προηγουμένης δὲ καὶ ὁδηγούσης τῆς μακαρίας Δροσίδος, ἧς τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ γὰρ πρὸς τοῖς εἰρημένοις ἕτερόν τι μεῖζον ἀπὸ τοῦ τόπου κέρδος ἐστὶ καρπώσασθαι. Ὅταν γὰρ τὰς ἄλλας παραδραμόντες λάρνακας ἐπὶ τὰς τῶν μαρτύρων θήκας ἔλθωμεν, ὑψηλότερον ἡμῖν τὸ φρόνημα γίνεται, εὐτονωτέρα ἡ ψυχὴ, μείζων ἡ προθυμία, θερμοτέρα ἡ πίστις.

Ἐπειδὰν οὖν τοὺς πόνους καὶ τοὺς ἀγῶνας καὶ τὰ ἔπαθλα καὶ τὰ βραβεῖα καὶ τοὺς στεφάνους τῶν ἁγίων ἀναλογισώμεθα τούτων, πάλιν ἑτέραν μείζονα πρόφασιν ταπεινοφροσύνης εὑρίσκομεν. Κἂν γὰρ μεγάλα τις ᾖ κατωρθωκὼς, οὐδὲν ἡγήσεται μέγα πεποιηκέναι, αὐτοῦ τὴν ἀρετὴν τοῖς ἐκείνων παλαίσμασι· κἂν μηδὲν ᾖ μέγα καὶ ἀγαθὸν εἰργασμένος, οὐκ ἀπογνώσεται τῆς ἑαυτοῦ σωτηρίας, πρὸς ἀρετῆς μεταβολὴν ἀπὸ τῆς ἀνδρείας τούτων λαβὼν παράκλησιν, καὶ πρὸς ἑαυτὸν ἐννοήσας, ὅτι συμβήσεταί ποτε καὶ αὐτὸν ἴσως τῆς τοῦ Θεοῦ φιλανθρωπίας καταξιούσης, τοιαῦτα ἅλλεσθαι ἅλματα, καὶ ἀθρόον πρὸς τὸν οὐρανὸν ἀναβῆναι, καὶ τῆς μεγίστης ἐκείνης παῤῥησίας ἐπιτυχεῖν· καὶ ταῦτα καὶ ἕτερα πολλῷ πλείονα τούτων ἐντεῦθεν ἔστι φιλοσοφήσαντας ἀπελθεῖν. Μαρτύρων γὰρ θάνατος, πιστῶν ἐστι παῤῥάκλησις, Ἐκκλησιῶν παῤῥησία, Χριστιανισμοῦ σύστασις, θανάτου κατάλυσις, ἀναστάσεως ἀπόδειξις, δαιμόνων γέλως, διαβόλου κατηγορία, φιλοσοφίας διδασκαλία, παραίνεσις τῆς ὑπεροψίας τῶν παρόντων πραγμάτων, καὶ τῆς τῶν μελλόντων ἐπιθυμίας ὁδὸς, παραμυθία τῶν κατεχόντων ἡμᾶς δεινῶν, καὶ ὑπομονῆς πρόφασις, καρτερίας ἀφορμὴ, καὶ πάντων τῶν ἀγαθῶν ῥίζα, καὶ πηγὴ, καὶ μήτηρ· καὶ εἰ βούλεσθε τούτων ἕκαστον ἀποδείξομεν, καὶ ἐροῦμεν πῶς ἐστι πιστῶν παράκλησις, Ἐκκλησιῶν παῤῥησία, ἀναστάσεως ἀπόδειξις, καὶ τὰ λοιπὰ ἅπαντα, ἅπερ εἶπον νῦν. Ὅταν οὖν πρὸς Ἕλληνας ἡμῖν ἀγῶνες κινῶνται καὶ μάχαι περὶ δογμάτων, καὶ διαβάλλωσιν ἡμῶν τὴν πίστιν, μετὰ τῶν ἄλλων καὶ τοῦτο προβαλλώμεθα πρὸς ἐκείνους, τῶν μαρτύρων φημὶ τὸν θάνατον, λέγοντες· Τίς τούτους ἔπεισε τῆς παρούσης καταφρονῆσαι ζωῆς; Εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς καὶ οὐκ ἀνέστη, τίς τὰ ὑπὲρ φύσιν ταῦτα κατώρθωσεν; Ὅτι γὰρ οὐκ ἀνθρωπίνης δυνάμεως μυριάδας τοσαύτας ἐκ τοσούτου χρόνου οὐκ ἀνδρῶν μόνον, ἀλλὰ καὶ γυναικῶν καὶ παρθένων ἀπειρογάμων καὶ παιδίων μικρῶν πεῖθειν ὑπεροραν τῆς παρούσης ζωῆς, καὶ κατατολμᾶν θηρίων, καταγελᾶν πυρὸς, καταπατεῖν ἅπαν εἶδος κολάσεως καὶ τιμωρίας, καὶ πρὸς τὴν μέλλουσαν ἐπείγεσθαι ζωὴν, οὐδὲ τῶν ἡμετέρων ἐλέγχων δεήσονται, ἀλλ' ἑαυτοὺς ἐροῦνται, καὶ ἱκανὴν ἀπόδειξιν λήψονται τῶν λεγομένων. Ἐξ οὗ γὰρ ὁ Χριστὸς παρεγένετο, γεγόνασι μὲν ἄπιστοι βασιλεῖς, γεγόνασι δὲ καὶ πιστοὶ, ἀλλὰ τῶν μὲν ἀπίστων οἱ πλείους ἐπὶ βάραθρα, καὶ πυρὰς, καὶ [691] κρημνοὺς, καὶ πελάγη, καὶ θηρίων μανίαν, καὶ πολυτρόπους κολάσεις, καὶ τιμωρίας τοὺς πιστοὺς ἦγον, παντὶ τρόπῳ τὴν πίστιν ἀναμοχλεύοντες τῆς ἐκείνων ψυχῆς, καὶ οὐδὲν ἤνυσαν, ἀλλὰ καταγελασθέντες ἀπῆλθον, τῶν μὲν πιστευόντων παντὶ τρόπῳ κοπτομένων, τῆς πίστεως δὲ αὐξομένης μειζόνως. Εὐσεβὴς δὲ βασιλεὺς οὐδεὶς οὐδέποτε ἄνδρα ἄπιστον κολάσαι καὶ τιμωρήσασθαι εἵλετο, καταναγκάζων ἀποστῆναι τῆς πλάνης. Ἀλλ' ὅμως καὶ οὕτως αὐτομάτως καταῤῥεῖ καὶ ἀπόλλυται, ἵνα μάθῃς καὶ τῆς ἀληθείας τὴν ἰσχὺν, καὶ τοῦ ψεύδους τὴν ἀσθένειαν, τοῦ μὲν αὐτομάτως καὶ μηδενὸς ἐνοχλοῦντος ἀπολλυμένου, τῆς δὲ διὰ τῶν κωλυόντων αὐξομένης καὶ πρὸς ὕψος αἰρομένης ἄφατον· τὸ δὲ αἴτιον, ὅτι καὶ ζῇ καὶ ἐνεργεῖ ταῖς τῶν μαρτύρων ψυχαῖς ὁ Χριστός. Ὅταν οὖν λέγωσιν, ὅτι οὐκ ἀνέστη, ταῦτα αὐτοὺς ἐρωτῶμεν· Καὶ τίς ταῦτα κατώρθωτεν; ὁ νεκρὸς, εἰπέ μοι; Ἀλλὰ τοσοῦτοι γεγόνασι νεκροὶ, καὶ οὐδεὶς τοιαῦτα εἰργάσατο. Ἀλλὰ μάγος καὶ γόης ἦν; Ἀλλὰ πολλοὶ καὶ μάγοι καὶ γόητες καὶ πλάνοι γεγένηνται, καὶ πάντες σεσίγηνται, καὶ λείψανον αὐτῶν οὐκ ἔστιν οὐδαμοῦ, ἀλλὰ συναπεσβέσθη τῇ ζωῇ καὶ τὰ τῆς μαγγανείας αὐτοῖς· τὰ δὲ τοῦ Χριστοῦ καθ' ἑκάστην αὔξεται τὴν ἡμέραν, καὶ μάλα εἰκότως· οὐ γὰρ γοητείᾳ ἐγίνετο τὰ γινόμενα, ἀλλὰ θείᾳ δυνάμει, διὰ τοῦτο οὐδὲ καταλύεται. Μᾶλλον δὲ οὐκ ἀπὸ τούτου τῆς δυνάμεως ἀπόδειξιν ποιοῦμαι μόνον ὅτι αὔξεται, ἀλλ' ὅτι καὶ ἐπ' ἀγαθῷ, καὶ τῇ τῆς ἡμετέρας ζωῆς σωτηρίᾳ. Μετὰ γὰρ τὴν ἐκείνου παρουσίαν ἐκ θηρίων ἄνθρωποι γεγόνασιν οἱ τὴν γῆν οἰκοῦντες, μᾶλλον δὲ ἐξ ἀνθρώπων ἄγγελοι πάντες, οἱ μετ' ἀληθείας αὐτῷ προστέχοντες. Ἀλλ' ἠπατήθησαν καὶ παρελογίσθησαν οἱ μάρτυρες, φησὶ, καὶ διὰ τοῦτο τῆς παρούσης κατεφρόνησαν ζωῆς. Εἶτα οἱ πρότεροι τοὺς δευτέρους οὐκ ἀνέπεισαν, οὐδὲ οἱ δεύτεροι τοὺς τρίτους, ἀλλ' ὅσῳ προῇει τὰ τῶν διωγμῶν, τοσούτῳ καὶ τοῦτο ἐπεδίδου τὸ κατόρθωμα, καὶ οὐδεὶς, ἐν οὕτω μακρῷ χρόνῳ, τὴν ἀπάτην συνεῖδε. Καὶ ποῦ ταῦτα λόγον ἂν ἔχοι;

Εἰ δὲ ἠπάτηντο, πῶς τὴν κόνιν αὐτῶν δεδοίκασιν οἱ δαίμονες; πῶς καὶ τοὺς τάφους φεύγουσιν; οὐδὲ γὰρ ἐπειδὴ νεκροὺς φοβοῦνται δαίμονες, τοῦτο πάσχουσιν. Ἰδοὺ γὰρ μυρίοι νεκροὶ πανταχοῦ τῆς γῆς, κἀκείνοις μὲν προσεδρεύουσι, καὶ πολλοὺς ἂν ἴδῃ τις δαιμονῶντας ἐν ἐρημίαις διατρίβοντας καὶ τάφοις· ἔνθα δὲ τῶν μαρτύρων ὀστᾶ κατορώρυκται, ὡς ἀπὸ πυρός τινος καὶ κολάσεως ἀφορήτου φεύγουσι, τὴν ἔνδον μαστίζουσαν αὐτοὺς δύναμιν μετὰ λαμπρᾶς ἀναχηρύττοντες φωνῆς.

mus : quam ob causam nobiscum ferre quasdam oportet, quasdam ante nos illuc transmittere. Est enim via præsens vita, neque stabile quidquam habet, sed res ejus molestas et jucundas pertransimus. Quam ob causam hunc præ cæteris omnibus locum diligo, quod non tempore collectæ solum, sed et absque collecta huc venienti horum mihi verborum memoria refricetur, dum semotis arbitris multa cum tranquillitate oculos meos per hæc sepulcra circumfero, quorum conspectu animus meus ad defunctos et ad illorum statum traducitur.

2. Propterea nimirum et generosum hunc patrem (*a*) laudo, quod arrepta serenæ diei occasione nos huc eduxerit, præcedente nos viamque nobis monstrante beata Droside, cujus memoriam celebramus. Nam præter ea, quæ dicta sunt, majorem ex loco possumus fructum decerpere. Cum enim aliis capsulis prætermissis ad martyrum thecas venimus, sublimius efferuntur nobis animi, fortior fit anima, major alacritas, fides ardentior.

Altera occasio humilitatis ex aspectu Reliquiarum. Martyres resurrectionem Christi probant.— Cum igitur labores, certamina, præmia, palmas, coronasque sanctorum istorum nobiscum reputamus, altera nobis humilitatis occasio rursus occurrit. Sive enim ab aliquo præclara facinora sint patrata, nihil se magnum gessisse arbitrabitur, si suam virtutem cum illorum certaminibus comparaverit : sive nihil magnum bonumve præstiterit, nequaquam de sua salute desperabit, cum a fortitudinis istorum exemplo sibi sentiat cohortationem adhiberi, ut ad studium virtutis se traducat, secumque cogitet, accidere aliquando posse, ut et ipse fortasse Dei benignitate adjutus tales aliquos saltus edat, et in cælum confestim ascendat, summamque apud Deum fiduciam et gratiam obtineat : ac de his aliisque multo pluribus philosophantes possumus hinc discedere. Martyrum quippe mors fidelium est exhortatio, Ecclesiarum fiducia, Christianismi confirmatio, mortis destructio, resurrectionis demonstratio, dæmonum ignominia, diaboli accusatio, philosophiæ doctrina, ad res sæculi hujus spernendas adhortatio, et ad futuras desiderandas via, solatium in malis, quibus obsidemur, occasio patientiæ, materia tolerantiæ, bonorum omnium radix, fons et parens : ac si placet horum singula demonstrabimus, dicemusque, qua ratione fidelium sit exhortatio, Ecclesiarum fiducia, demonstratio resurrectionis, et reliqua omnia, quæ nunc dixi. Cum igitur ineunda sunt nobis certamina cum gentilibus ac de dogmatibus pugnæ, nostramque illi fidem accusant, cum cæteris hoc etiam illis objiciamus, martyrum, inquam, mortem, dicentes, Quis persuasit istis, ut præsentem vitam contemnerent? Nam si mortuus est Christus, nec resurrexit, quis hæc supra naturam præclara gessit facinora? Ut enim probent humanæ virtutis hoc non esse, tot millibus a tam longo tempore non virorum tantum, sed et mulierum, et virginum innuptarum, et puerorum parvorum persuadere, ut vitam præsentem negligant, et audacter se bestiis offerant, ignem aspernentur, omne pœnarum ac suppliciorum genus despiciant, atque ad futuram vitam festinent, nihil argumentis nostris indigebunt, sed seipsos interrogabunt, et sufficientem ex iis quæ dicta sunt demonstrationem assument. Nam ex quo tempore Christus advenit, infideles fuerunt Imperatores, fuerunt et fideles, sed infideles plerique ad barathra, et rogos, et prærupta loca, et maria, et bestiarum furorem, ac varia suppliciorum et pœnarum genera fideles abducebant, et omnibus modis fidem ex illorum animis evellere conabantur, et nihil perfecerunt, sed irrisi abierunt, dum fideles quidem omnibus modis vexarentur, at fides amplius cresceret. Nullus autem ex piis Imperatoribus umquam adductus est, ut virum infidelem torqueret, ac suppliciis cogeret ab errore discedere. Nihilominus tamen sponte diffluit ac perit, ut veritatis robur agnoscas, et mendacii imbecillitatem, cum hoc sponte ac nullo insultante pereat, hæc autem per eos, a quibus impeditur, augeatur, atque in immensam sublimitatem attollatur. Hujus autem rei causa est, quod vivat Christus, et in martyrum animabus operetur. Si quando igitur dixerint, ipsum minime resurrexisse, hæc ex illis sciscitemur, Et quis ista perfecerit? num quæso mortuus aliquis? Atqui tam multi fuere mortui, nec ullus talia præstitit. At enim magus et præstigiator erat? Atqui multi magi et præstigiatores fuerunt, et omnes silentio involvuntur, nec ullæ ipsorum uspiam reliquiæ restant, sed una cum ipsorum vita illorum quoque præstigiæ sunt exstinctæ : Christi vero religio singulis diebus augetur, ac merito sane. Non enim magicis artibus fiebant, sed virtute divina, quæ gerebantur, ideoque non pereunt. Imo vero non ex hoc tantum argumenta duco potentiæ ejus, quod augeatur, sed quod in bonum et ad salutem vitæ nostræ : siquidem post ejus adventum ex belluis homines facti sunt terrarum incolæ, vel potius ex hominibus angeli, omnes qui cum veritate illi adhæserunt. At decepti sunt et seducti martyres, inquit, atque idcirco vitam præsentem neglexerunt. Deinde priores non persuaserunt secundis, neque secundi tertiis, sed quanto magis progrediebantur persequutiones, tanto etiam majora præclarum illud facinus incrementa capiebat : nec ullus tanto tempore fraudem agnovit. Quis hæc rationi consentanea judicet?

Sanctorum Reliquiæ timentur a dæmonibus.— Quod si decepti sunt, qui fit, ut eorum pulverem dæmones pertimescant? qui fit, ut eorum etiam tumulos fugiant? neque enim id eis accidit, quod mortuos dæmones reformident. Ecce namque mortui sunt ubique terrarum innumeri, ei illis assident, ac multos videre possumus a dæmone correptos, qui in desertis ac sepulcris degunt : ubi vero martyrum defossa sunt ossa, inde tamquam ab igne quodam et intolerando supplicio resiliunt, ac virtutem ipsos intus flagellantem clara voce divulgant.

(*a*) De Flaviano loquitur Episcopo.

3. Atque hinc quidem ostensum est, indicium esse dæmonum infirmitatis mortem martyrum : porro stuporem ac pervicaciam illorum hac eadem re maxime revinci, inde constabit. Cum enim isti, nempe martyres, corpori ac naturalibus obnoxii necessitatibus atque ingenti dolorum ac molestiarum multitudine circumsessi caducam vitam agentes, et in terris degentes, ita præsentem vitàm spernere videantur, propter suam in Deum, a quo creati sunt, caritatem; illi vero et carnis expertes, et ab omni hoc dolore molestiaque immunes, ita contumeliosi fuisse atque in suum benefactorem ingrati cernuntur : quam excusationem habebunt? quam veniam? Nullam plane, cum istorum virtus illorum nequitiam summopere condemnet. Non enim homines tantum homines, et qui diligentiores sunt, negligentiores condemnant, sed etiam ipsos dæmones diligentia istorum damnat. Atque hoc declarabat Paulus, cum diceret : *Nescitis quoniam angelos judicabimus? quanto magis sæcularia* (1 *Cor.* 6. 3)? Quibus verbis angelos diaboli significat desertores. Et quomodo illos judicabimus? quæret aliquis. Non quidem sedentes, et rationem ab eis exigentes, sed diligentia nostra illorum socordiam condemnantes. Quod quidem et ipse indicans dicebat : *Et si in vobis judicatur mundus* (*Ibid* v. 2). Non dixit coram vobis, sed per vos. Quemadmodum cum dicit, Viri Ninivitæ surgent, et condemnabunt generationem istam (*Luc.* 11. 32), non hoc dicitur, quasi Ninivitæ rationem exigant a Judæis, qui tum increduli fuerunt, sed quod ab illorum fide istorum incredulitas condemnetur. Possumus etiam non mediocriter a martyribus ad virtutem ac rerum hujus sæculi contemptum acquirendum adjuvari. Nam cum istos videris vitam omnem aspernari, quamvis omnium sis stupidissimus ac negligentissimus, majores animos concipies, ac delicias contemnes, pecuniam despicies, et in cælis versari concupisces. Quod si morbo sis detentus, maximam tibi patientiæ occasionem præbebunt martyrum passiones : quod si paupertate premaris, sive aliis quibusvis ærumnis vexeris, quoties oculos ad acerbitatem tormentorum, quæ illi sustinuere, convertes, sufficientem malorum omnium, quibuscumque vexeris, consolationem percipies. Propterea maxime commemorationes diligo martyrum, diligo et amplector, atque omnes quidem, sed tum præcipue, cum mulierum certamina proponuntur. Quanto enim infirmius est vas (1 *Pet.* 3. 7), tanto major est gratia, tanto illustrius est tropæum, tanto insignior victoria, non ob imbecillitatem sexus athletarum, sed quod per ea, quibus vicerat inimicus, nunc etiam vincatur. Per virginem olim Adamàm diabolus interemit, per virginem deinde Christus diabolum superavit : et ille gladius, quem ipse in nos exacuerat, caput draconis amputavit, quod in Davidis quoque duello contigit (1. *Reg.* 17). Nam quemadmodum Goliathi caput ense barbarico justus ille currens abscidit, ita nunc etiam fit : per mulierem vicit, per mulierem superatus est. Hoc illius antea telum erat, hoc illius nunc cædis factum est instrumentum, hoc vas apparuit insuperabile. Peccavit illa prior, et mortua est; ista mortua est, ne peccaret : illa tum futilis promissi spe inflata Dei leges violavit, hæc vitam præsentem contempsit, ne fidem in suum benefactorem ejuraret. Quam igitur deinceps sperare poterunt excusationem viri, si molles sint et ignavi, quam vero veniàm, cum fortiter ac viriliter se gerant mulieres? cum adeo se generose ad certamina pietatis accingant? Nam neque sexus, nec ætas neque aliud quidquam potest impedimentum objicere, si adsit alacritas animi, et zelus, et ardens fides; hisque omnibus Dei nobis gratiam conciliemus, quod beata nimirum ista præstitit. Fuit enim illi corpus imbecillum, et obnoxius sexus injuriæ, et junior ætas; verumtamen horum omnium imbecillitatem adveniens gratia occultavit, ubi generosam animi alacritatem offendit, et constantem fidem, et animam ad subeunda pericula præparatam.

4. *S. Drosidi propositus rogus. Comparat rogum cum fonte et fornace.* — Nihil enim est, nihil plane potentius est eo, qui magno cum studio Dei timorem habeat in mente defixum, sed quamvis ignes, quamvis ferrum, quamvis bestias, quamvis aliud quidvis minentur hostes, omnia nullo negotio contemnit, quod utique beata ista Drosis etiam fecit. Postquam enim rogum tyrannus accendit : neque enim in barathrum illam præcipitem egit, neque capite truncavit, ne supplicii brevitas facilius illi certamen redderet; sed animo ejus cupiens terrorem incutere, atque indomitam ejus mentem rogi aspectu superare, in medium illam protulit. Cum igitur rogum accendisset, ac fornacem inflammasset, atque in summam altitudinem attolleretur, hæc cum cerneret beata martyr, inflammabatur ipsa quoque atque amore Christi ardebat, triumque puerorum memor, secum ipsa reputabat, se in societatem certaminum illorum venire, sibique easdem cum illis coronas imponi. Et quemadmodum furiosi nihil eorum, quæ cernuntur, prout est vident, sed sive exacutum gladium viderint, in ipsum facile præcipites irruunt, sive rogum, sive barathrum, sive præcipitium, sive pelagus, sive aliud quidvis, intrepide se in cuncta projiciunt : sic et ista furore non tali correpta, absit, sed alio quavis prudentia honestiori, Christique amore correpta, nihil eorum quæ sunt oculis subjecta spectabat, sed in cælum translata, illucque jam mente commigrans omnia mala contemnebat, et ignem non ignem, sed rorem esse ducebat. Quamobrem rogum illum ego et fontem aquarum limpidissimum, et tincturam quamdam eximiam, et fornacem conflatoriam appello. Nam quemadmodum in fornace aurum, sic et illius beata anima per rogum illum purior reddebatur. Liquefiebant enim carnes ejus, et ossa torrebantur, exurebantur nervi, et corporis sanies undique defluebat : at animæ fides firmior et splendidior fiebat. Atque illi quidem hæc videntes ipsam perire censebant : hæc vero amplius expurgabatur, et quemadmodum aurum, imperitus qui adstat, et liquefieri videt ac diffluere, cumque cinere com-

γ'. Ἀλλ' ἐντεῦθεν μέν, ὅτι τῆς ἀσθενείας τῶν δαιμόνων ἔλεγχος ὁ τῶν μαρτύρων ἐστὶ θάνατος, ἀποδέδεικται· ὅτι δὲ καὶ τῆς ἀναισθησίας αὐτῶν ἐστι κατηγορία τὸ πρᾶγμα, δῆλον ἐκεῖθεν. Ὅταν γὰρ οὗτοι μὲν, οἱ μάρτυρες λέγω, σώματι καὶ φυσικαῖς ἀνάγκαις ὑποκείμενοι, καὶ πολὺν ὀδυνῶν ὄχλον καὶ ἀλγηδόνων ἔχοντες περιεστῶτα, καὶ τὸν ἐπίκηρον ζῶντες βίον, καὶ διατρίβοντες ἐπὶ γῆς, οὕτω φαίνωνται τῆς παρούσης ὑπερορῶντες ζωῆς διὰ τὴν περὶ τὸν [692] πεποιημένα αὐτοῖς Θεὸν ἀγάπην· ἐκεῖνοι δὲ καὶ σαρκὸς ἀπηλλαγμένοι καὶ πάσης ταύτης ὀδύνης καὶ ἀλγηδόνος οὕτω φαίνωνται ἐξυβρικότες, καὶ ἀγνώμονες περὶ τὸν εὐεργέτην γεγενημένοι, ποίαν ἕξουσιν ἀπολογίαν; τίνα συγγνώμην; Οὐδεμίαν οὐδαμόθεν, τῆς τούτων ἀρετῆς τὴν ἐκείνων κακίαν ἐκ πολλοῦ τοῦ περιόντος κατακρινούσης. Οὐ γὰρ δὴ μόνον ἀνθρώπους ἄνθρωποι, οἱ σπουδαιότεροι τοὺς ῥᾳθυμοτέρους κατακρίνουσιν, ἀλλ' ἤδη καὶ αὐτοὺς τοὺς δαίμονας ἡ τούτων καταδικάζει σπουδή. Καὶ ταῦτα Παῦλος ἐδήλωσε λέγων· Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά; τοὺς τοῦ διαβόλου λέγων ἀγγέλους, τοὺς ἀποστάτας. Καὶ πῶς κρινοῦμεν αὐτοὺς, φησίν; Οὐχὶ καθήμενοι καὶ εὐθύνας αὐτοὺς ἀπαιτοῦντες, ἀλλὰ δι' ἡμετέρας σπουδῆς τὴν ἐκείνων κατακρίνοντες ῥᾳθυμίαν. Ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε· *Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος*· οὐκ εἶπεν ἐφ' ὑμῶν, ἀλλὰ δι' ὑμῶν. Ὥσπερ ὅταν λέγῃ· Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, οὐχ ὡς τῶν Νινευϊτῶν λόγον ἀπαιτούντων τοὺς τότε ἀπιστοῦντας τῶν Ἰουδαίων, ἀλλ' ὡς τῆς ἐκείνων πίστεως τὴν τούτων ἀπιστίαν καταδικαζούσης. Ἔστι καὶ εἰς ἀρετὴν μέγιστα ἀπόνασθαι καὶ εἰς ὑπεροψίαν τῶν παρόντων πραγμάτων ἀπὸ τῶν μαρτύρων. Ὅταν γὰρ ἴδῃς τούτους ἁπάσης καταφρονοῦντας τῆς ζωῆς, κἂν ἁπάντων ἀναισθητότερος ᾖς καὶ νωθρότατος, ὑψηλότατον δέξῃ φρόνημα, καὶ καταγελάσῃ τρυφῆς, ὑπερόψει χρημάτων, καὶ ἐπιθυμήσεις τῆς ἐκεῖ διατριβῆς· κἂν ἐν ἀῤῥωστίαις ᾖς, εἰς ὑπομονὴν ἀφορμὴν λήψῃ μεγίστην, τὰ τῶν μαρτύρων παθήματα· κἂν πενίᾳ πιέζῃ, κἂν ὁτιοῦν ἕτερον τῶν χαλεπωτάτων, πρὸς τὸ μέγεθος τῶν ἐκείνοις ἐπαχθεισῶν βασάνων βλέπων ἀρκοῦσαν ἕξεις παραμυθίαν τῶν κατειληφότων ἁπάντων δεινῶν. Διὰ τοῦτο μάλιστα φιλῶ τῶν μαρτύρων τὰς μνήμας, καὶ φιλῶ καὶ ἀσπάζομαι, πάσας μὲν, μάλιστα δὲ ὅταν γυναῖκες ἀγωνιζόμεναι τύχωσιν. Ὅσῳ γὰρ τὸ σκεῦος ἀσθενέστερον, τοσούτῳ μείζων ἡ χάρις, τοσούτῳ λαμπρότερον τὸ τρόπαιον, τοσούτῳ περιφανεστέρα ἡ νίκη, οὐ διὰ τὴν ἀσθένειαν τῆς φύσεως τῶν ἀθλητῶν, ἀλλ' ὅτι καὶ οἷς ἐκράτησεν ὁ ἐχθρὸς, τούτοις ἐάλω νῦν. Διὰ παρθένου γοῦν ἀπέκτεινε πρώην τὸν Ἀδὰμ ὁ διάβολος, διὰ παρθένου μετὰ ταῦτα κατηγωνίσατο τὸν διάβολον ὁ Χριστὸς, καὶ τὸ ξίφος ὅπερ ἦν ἠκονημένον αὐτῷ καθ' ἡμῶν, τοῦτο τὴν τοῦ δράκοντος ἀπέτεμε κεφαλὴν, ὅπερ καὶ ἐπὶ τοῦ Δαυῒδ γέγονε. Καθάπερ γὰρ τότε τοῦ Γολιὰθ τὴν κεφαλὴν ὁ δίκαιος ἐκεῖνος αὐτῷ τῷ βαρβαρικῷ ξίφει δραμὼν ἀπέκοψεν, οὕτω δὴ καὶ νῦν· διὰ γυναικὸς ἐκράτησε, διὰ γυναικὸς ἥττηται. Τοῦτο ὅπλον ἦν αὐτῷ πρότερον, τοῦτο νῦν γέγονεν αὐτῷ σφαγῆς ὄργανον, τοῦτο σκεῦος ἀκαταγώνιστον. Ἥμαρτεν ἡ πρωτέρα καὶ ἀπέθανεν, ἀπέθανεν αὕτη, ἵνα μὴ ἁμάρτῃ· ἐκείνη τότε ψυχρᾶς ὑποσχέσεως ἐλπίδι φυσηθεῖσα τοὺς τοῦ Θεοῦ νόμους κατεπάτησεν· αὕτη καὶ τῆς παρούσης κατεφρόνησε ζωῆς, ὥστε μὴ τὴν εἰς τὸν εὐεργέτην ἐξομόσασθαι πίστιν. Τίς οὖν [693] ἂν γένοιτο λοιπὸν ἀνδράσι μαλακιζομένοις ἀπολογία, τίς δὲ συγγνώμη, ὅταν γυναῖκες ἀνδρίζωνται; ὅταν οὕτω γενναίως πρὸς τοὺς τῆς εὐσεβείας ἀγῶνας ἀποδύωνται; Οὔτε γὰρ φύσις, οὔτε ἡλικία, οὔτε ἄλλο οὐδὲν ἐμποδίσαι δύναιτ' ἄν, ὅταν προθυμία παρῇ, καὶ ζῆλος, καὶ πεπυρωμένη πίστις· καὶ διὰ τούτων ἁπάντων τὴν τοῦ Θεοῦ χάριν ἐπισπασώμεθα, ὃ δὴ καὶ ἐπὶ τῆς μακαρίας ταύτης γέγονε. Καὶ γὰρ ἀσθενὴς ἦν αὐτῇ τὸ σῶμα, καὶ εὐεπηρέαστος ἡ φύσις, καὶ ἀτελεστέρα ἡ ἡλικία, ἀλλὰ πάντων τούτων τὴν ἀσθένειαν ἐπελθοῦσα ἡ χάρις ἀπέκρυψεν, ἐπειδὴ προθυμίαν εὗρεν αὕτη γενναίαν, καὶ πίστιν ἀδιάκριτον, καὶ ψυχὴν πρὸς κινδύνους παρεσκευασμένην.

δ'. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν δυνατώτερον τοῦ μετὰ σπουδῆς πολλῆς τὸν φόβον τοῦ Θεοῦ ἔχοντος ἐῤῥιζωμένον, ἀλλὰ κἂν πῦρ, κἂν σίδηρος, κἂν θηρία, κἂν ὁτιοῦν ἕτερον ἀπειλῆται, πάντων ὑπερορᾷ μετὰ πολλῆς τῆς εὐκολίας, καθάπερ οὖν καὶ ἡ μακαρία αὕτη Δροσίς. Ἐπειδὴ γὰρ ἧψε τὴν πυρὰν ὁ τύραννος· οὐδὲ γὰρ ἐπὶ βάραθρον αὐτὴν ἤγαγεν, οὐδὲ τὴν κεφαλὴν ἀπέτεμεν, ἵνα μὴ τὸ σύντομον τῆς τιμωρίας εὐκολώτερον αὐτῇ ποιήσῃ τὸν ἆθλον, ἀλλὰ τὸ φρόνημα αὐτῆς καταπλῆξαι βουλόμενος, καὶ τὴν ἀδούλωτον ψυχὴν χειρώσασθαι τῇ τῆς πυρᾶς ἅψει, εἰς μέσον ταύτην ἐνέβαλεν· ἐπειδὴ τοίνυν τὴν πυρὰν ἀνῆψε, καὶ ἡ κάμινος ἀνεκαίετο, καὶ πρὸς ὕψος ἤρετο μέγα, ταῦτα βλέπουσα ἡ μακαρία μάρτυς ἀνήπτετο καὶ αὐτὴ τῇ προθυμίᾳ, καὶ ἀνέζει τῷ πυρὶ τοῦ Χριστοῦ πόθου, τῶν τριῶν ἀναμνησθεῖσα παίδων, καὶ λογισαμένη πρὸς ἑαυτὴν, ὅτι κοινωνεῖ τοῖς ἄθλοις ἐκείνοις, καὶ τοὺς αὐτοὺς ἐπιφέρεται στεφάνους αὐτοῖς. Καὶ καθάπερ οἱ μεμηνότες οὐδὲν τῶν ὁρωμένων βλέπουσιν ὡς ἔστιν, ἀλλὰ κἂν ξίφος ἠκονημένον ἴδωσι, κυδιστῶσιν εὐκόλως, κἂν πυρὰν, κἂν βάραθρον, κἂν κρημνὸν, κἂν πέλαγος, κἂν ὁτιοῦν ἕτερον, ἀδεῶς κατὰ πάντων ἑαυτοὺς ἀφιᾶσιν· οὕτω δὴ καὶ αὕτη μανεῖσα μανίαν οὐχὶ τοιαύτην, μὴ γένοιτο! ἀλλ' ἑτέραν πάσης σωφροσύνης σεμνοτέραν, καὶ τῷ τοῦ Χριστοῦ βαφεῖσα πόθῳ οὐδὲν τῶν ὁρωμένων ἐώρα, ἀλλὰ πρὸς τὸν οὐρανὸν μεταταξαμένη καὶ τὴν ψυχὴν ἐκεῖ μεταθεῖσα πάντων κατεγέλα τῶν δεινῶν, καὶ τὸ πῦρ οὐχὶ πῦρ, ἀλλὰ δρόσον εἶναι ἐνόμιζε. Διὰ τοῦτο ἐγὼ τὴν πυρὰν ἐκείνην, καὶ πηγὴν ὑδάτων καθαρωτάτην, καὶ βαφήν τινα θαυμασίαν, καὶ χωνευτήριον καλῶ. Καὶ γὰρ καθάπερ ἐν χωνευτηρίῳ χρυσὸς, οὕτω καὶ τῆς μακαρίας ἐκείνης ἡ ψυχὴ διὰ τῆς πυρᾶς ταύτης καθαρωτέρα ἐγίνετο. Κατετήκοντο μὲν γὰρ σάρκες, καὶ ὀστᾶ συνεφρύγετο, καὶ κατεκαίετο νεῦρα, καὶ ὁ τοῦ σώματος ἰχὼρ πανταχόθεν κατέῤῥει· τῆς ψυχῆς δὲ ἡ πίστις στερροτέρα καὶ φαιδροτέρα ἐγίνετο. Κἀκεῖνοι μὲν ταῦτα ὁρῶντες ἐνόμιζον αὐτὴν ἀπόλλυσθαι, αὐτὴ δὲ ἐξεκαθαίρετο μᾶλλον, καὶ καθάπερ τὸ χρυσίον ὁ μὲν ἰδιώτης ἐστὼς καὶ ὁρῶν τηκόμενον καὶ καταῤῥέον καὶ ἀναμιγνύμενον τῇ τέφρᾳ, ἀπολωλέναι καὶ διεφθάρθαι νομίζει, ὁ δὲ τεχνίτης καὶ ἀκριβῶς ταῦτα ἐπιστάμενος οἶδεν ὅτι ταύτῃ

καθαρώτερον γίνεται, καὶ μετὰ πύρωσιν αὐτὸ πάντοθεν [694] ἀνασπᾷ λαμπρὸν συλλέγων· οὕτω δὴ καὶ ἐπ' ἐκείνης οἱ μὲν ἄπιστοι τηκομένην αὐτῆς τὴν σάρκα ὁρῶντες καὶ καταῤῥέουσαν, ἐνόμιζον τέφραν γίνεσθαι καὶ κόνιν, οἱ δὲ πιστοὶ σφόδρα ἀκριβῶς ἤδεσαν, ὅτι τηκομένη πᾶσαν ἀποτίθεται κηλῖδα, καὶ λαμπροτέρα ἄνετσιν ἀφθαρσίαν ἀπολαβοῦσα. Καὶ ἐν αὐτῇ τῇ πυρᾷ, πρὸ τῆς ἀναστάσεως, οὐχ ὡς ἔτυχεν ἐκράτει τῶν ἀντικειμένων δυνάμεων· αἱ γὰρ σάρκες λυθεῖσαι τῷ πυρὶ, καὶ ψόφον ἀποτελοῦσαι, μετὰ πολλῆς αὐτὰς τῆς περιουσίας ἐτρέποντο. Καὶ καθάπερ στρατιώτης γενναῖος ὅπλα χαλκᾶ περιθεὶς ἑαυτῷ, καὶ αὐτῷ τῷ ψόφῳ τῶν ὅπλων τοὺς δειλοτέρους καταπλήττει τῶν ἀντιπάλων· οὕτω δὴ καὶ τότε ἡ μακαρία Δροσὶς τῷ ψόφῳ τοῦ δέρματος τὰς δυνάμεις ἐκείνας ἐφυγάδευε, καὶ οὐ τούτῳ μόνῳ τῷ τρόπῳ, ἀλλὰ καὶ ἑτέρῳ πάλιν οὐκ ἐλάττονι τούτου. Ὁμοῦ τε γὰρ ἐπέβαινε τῆς πυρᾶς, καὶ καπνὸς ἀνελθὼν εἰς ὕψος καὶ τὸν ἀέρα κατασχὼν, τοὺς κατὰ ἀέρα δαίμονας πετομένους ἀπέπνιγεν ἅπαντας, τὸν διάβολον ἀπήλαυνεν, αὐτοῦ τοῦ ἀέρος τὴν φύσιν ἀπέσμηχεν. Ἐπειδὴ γὰρ ἐμολύνετο καπνῷ τῷ τῶν εἰδώλων, *ἀντανίη καπνὸς ἕτερος τὴν ἐξ ἐκείνων ἐγγινομένην αὐτῷ κηλῖδα καθαίρων. Καὶ ἡ πηγῆς δὲ εἰκὼν ἁρμόσειεν ἂν ἐκείνῃ τῇ πυρᾷ. Καθάπερ γὰρ ἐν τῇ πηγῇ ἱμάτιον ἀποδυσαμένη, καὶ τὸ σῶμα φαιδρύνουσα, οὕτως ἐν ἐκείνῃ τῇ φλογὶ τὴν σάρκα τὴν ἑαυτῆς ἱματίου παντὸς εὐκολώτερον ἀποθεμένη καὶ τὴν ψυχὴν λαμπρύνουσα, πρὸς τὸν νυμφίον ἠπείγετο δᾳδουχούντων ἀγγέλων αὐτήν. Εἰ γὰρ τὸν Λάζαρον ἐκεῖνον τὸν ἡλκωμένον ἄγγελοι πρὸς τοὺς κόλπους ἀπήγαγον τοῦ Ἀβραὰμ, πολλῷ μᾶλλον ταύτην δορυφοροῦντες ἀπῆγεσαν καθάπερ ἔκ τινος ἱερᾶς παστάδος καὶ νυμφικοῦ θαλάμου τῆς καμίνου παραλαβόντες αὐτὴν, καὶ πρὸς τὸν ἄνω νυμφῶνα ἀνάγοντες. Τίνος δὲ ἕνεκεν καὶ βαφὴν ἐκείνην ἐκάλεσα τὴν πυράν; Ὅτι καθάπερ ἐν βαφῇ τινὶ θαυμαστῇ πορφύρα γενομένη βασιλικὴ πρὸς τὸν ἄνω βασιλέα ἐπέμπετο, καὶ μετὰ πολλῆς τῆς παῤῥησίας τῶν οὐρανίων ἀψίδων ἐπέβαινεν, αὐτοῦ τοῦ Χριστοῦ ἀοράτῳ χειρὶ τὴν ἁγίαν τῆς μάρτυρος κατέχοντος κεφαλὴν, καὶ καθάπερ ἐν ὕδατι βαπτίζοντος αὐτὴν τῷ πυρί. Ὦ θαυμαστῆς πυρᾶς! οἷον εἶχεν ἔνδον θησαυρὸν τὴν κόνιν ἐκείνην καὶ τὴν τέφραν παντὸς χρυσίου τιμιωτέραν, πάντων μύρων εὐωδεστέραν, πάντων λίθων τιμαλφεστέραν! Ὅσα γὰρ οὐκ ἰσχύει πλοῦτος καὶ χρυσίον, τοσαῦτα ἰσχύει μαρτύρων λείψανα. Χρυσίον μὲν γὰρ οὔτε νόσον ἀπήλασε πώποτε, οὔτε θάνατον ἐφυγάδευσε, μαρτύρων δὲ ὀστᾶ ἀμφότερα ταῦτα εἰργάσατο, τὰ μὲν ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων, τὰ δὲ καὶ ἐφ' ἡμῶν. Καὶ ταῦτα οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ γενόμενοι δίκαιοι μετὰ ἀκριβείας ἴσασι φιλοσοφεῖν, ὅτε πάντων ἐξελθόντων Αἰγύπτου, καὶ τῶν μὲν χρυσίον, τῶν δὲ ἀργύριον ἐπιφερομένων, ὁ Μωσῆς ἀντὶ πλούτου παντὸς τὰ τοῦ Ἰωσὴφ ὀστᾶ λαβὼν ἐπεφέρετο, θησαυρὸν μέγιστον καὶ μυρίων γέμοντα ἀγαθῶν μεθ' ἑαυτοῦ κομίζων αἴχαδε.

[695] ε'. Ἀλλ' ἴσως εἴποι τις ἂν Καὶ τίνος ἕνεκεν ἐξ Αἰγύπτου μετεφέρετο εἰς Παλαιστίνην; ἐν γὰρ μαρτύρων μνήμῃ τὰ τοιαῦτα μάλιστα ἐξετάζειν ἀνάγκη. Καὶ γὰρ πολλοὶ περὶ ταφῆς ἀκριβολογούμενοι, καὶ τοῖς προσήκουσιν ἐπισκήπτοντες, ὅπως κἂν ἀλλαχοῦ τύχωσι τελευτήσαντες, οἴκοι κομίσαντες ἐκεῖνοι αὐτοὺς κατορύξωσιν, εἶτα ἐπὶ μικροψυχίᾳ διὰ τοῦτο παρ' ἡμῶν σκωπτόμενοι, ταύτην ἡμῖν προεβάλλοντο τὴν ἱστορίαν, καὶ λεγόντων ἡμῶν ὅτι οὐδὲν διαφέρει, ἄν τε οἴκοι τις, ἄν τε ἐπὶ τῆς ἀλλοτρίας τύχῃ ταφῆς, ἔλεγον· Οὐκοῦν τίνος ἕνεκεν, εἰ μηδὲν διαφέρει, ἀπὸ τῆς Αἰγύπτου τὰ ὀστᾶ λαβὼν τοῦ Ἰωσὴφ εἰς τὴν Παλαιστίνην ἐκόμισεν ὁ Μωσῆς; Ἐγὼ δὲ καὶ μεῖζον ἐρῶ, ὅτι οὐ μόνον ὁ Μωσῆς ἔλαβεν, ἀλλ' ὅτι κἀκεῖνος τελευτῶν ἐνετείλατο. Τὸ γὰρ δὴ μεῖζον τοῦτό ἐστιν· *Ἐπισκοπῇ* γὰρ, φησὶν, *ἐπισκέψαι ὑμᾶς ὁ Θεὸς, καὶ ἀνοίσετε τὰ ὀστᾶ μου.* Τίνος οὖν ἕνεκεν κἀκεῖνος εἶπε, καὶ οὗτος ἐπήκουσε; καὶ γὰρ ἄξιον ζητήσεως τὸ λεγόμενον. Τί λέγεις; ὁ πατριάρχης ὁ καταφρονήσας καὶ τῆς παρούσης ζωῆς καὶ πάντων ὑπεριδὼν, οὗ οὐκ ἦν ἄξιος ὁ κόσμος, ὁ ξένος καὶ παρεπίδημος, ὁ τὰ ἐν οὐρανοῖς καθ' ἑκάστην φανταζόμενος τὴν ἡμέραν, ὁ πρὸς τὴν ἄνω βλέπων Ἱερουσαλὴμ, οὗτος ἡνίκα μὲν ἔζη διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τῆς πατρίδος καὶ τῆς ἐλευθερίας ἐξέπεσε, καὶ δεσμωτήριον ᾤκησε, καὶ οὐκ ἐπεστράφη πρὸς τὰς ἐπιβουλὰς ἐκείνας· ἐπειδὴ δὲ ἔμελλε τελευτᾷν, οὕτω μικρολογεῖται, ὡς τοσαύτην ποιήσασθαι σπουδὴν ὑπὲρ τῆς τῶν ὀστῶν μετακομιδῆς, καὶ ἐκ τοσούτου διαστήματος κελεύει τὰ λείψανα ἀνάγεσθαι; Καὶ τίς ἂν ταῦτα εἴποι; τί γὰρ τὸ κέρδος ἦν, ἢ ποῖον τὸ ὄφελος τῷ κατοιχομένῳ ἀπὸ τῆς τῶν ὀστῶν μεταθέσεως; Τίνος οὖν ἕνεκεν ἐπέσκηψεν; Οὐχὶ τῶν ὀστῶν φροντίζων, ἀλλ' ἔστι μὲν εἰπεῖν, ὅτι καὶ τῶν Αἰγυπτίων τὴν ἀσέβειαν δεδοικώς. Ἐπειδὴ γὰρ πολλὰ καὶ μεγάλα εἰργάσατο ἀγαθὰ, καὶ τροφεὺς αὐτῶν καὶ προστάτης ἐγένετο, καὶ τοῦ λιμοῦ παραμυθίαν εὗρε μεγίστην, καὶ ἃ μηδενὶ γέγονε δῆλα, ταῦτα πρῶτος καὶ μόνος ἀνέπτυξε, καὶ εἰς μέσον ἤγαγε, καὶ τὰ ὀνείρατα διαλύσας οὐ μόνον προεδήλωσε τὸν λιμὸν, ἀλλὰ καὶ φάρμακον ἱκανὸν αὐτῷ προαπέθετο, οὕτω καὶ τὰ τα μεῖα τῆς Αἰγύπτου πληρώσας, ὡς μηδένα αὐτοῦ τῆς παρουσίας αἰσθέσθαι· ἵν' οὖν μὴ θεὸς νομίζηται μετὰ τελευτὴν διὰ τὸ τῆς εὐεργεσίας μέγεθος, τῶν βαρβάρων ἐκείνων εὐκόλως ἐξ ἀνθρώπων ποιούντων θεοὺς, πάσης ἀσεβείας ἀναιρῶν ὑπόθεσιν, ἐκέλευσεν ἀπενεχθῆναι οἴκαδε τὰ ὀστᾶ. Μία μὲν οὖν αὕτη πρόφασις· ἔστι δὲ καὶ ἑτέραν εἰπεῖν ἀναμφισβήτητον· καὶ γὰρ ἀπὸ τῶν Γραφῶν αὐτὴν πιστώσασθαι ἔγι. Ποίαν δὴ ταύτην; Ἤδει παρὰ τοῦ πατρὸς ἀκούσας, ἐκείνου παρὰ τοῦ πάππου λόγον εἰς αὐτὸν κατενεχθέντα μαθόντος, ὅτι πολλὰ ἔτη δουλώσονται καὶ κακώσουσιν αὐτοὺς οἱ Αἰγύπτιοι. *Ἔσται γὰρ τὸ σπέρμα σου πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσιν ἔτη τετρακόσια,* ὁ Θεὸς [696] πρὸς τὸν Ἀβραὰμ ἔλεγεν. Ἵν' οὖν μὴ πρὸς τὸ μῆκος ἀπαγορεύσαντες τοῦ χρόνου, καὶ τὴν ταλαιπωρίαν οὐ φέροντες ἀπογνῶσι πρὸς τὴν ἐπάνοδον, καὶ ἀναπέσωσι, μέγιστον αὐτοῖς ἐνέχυρον ἐλπίδος διδοὺς προεῖπεν περὶ τῆς ἀνακομιδῆς τῶν ὀστῶν, ἵν' ἐκεῖνοι πρὸς ἑαυτοὺς λογιζόμενοι, ὅτι εἰ μὴ σφόδρα καὶ μετὰ

misceri, perire existimat et corrumpi; artifex autem, et qui probe ista novit, hac ratione purius scit illud effici, ac post exustionem ipsum omni ex parte splendidum extrahit et componit: sic nimirum et isti evenit: infideles quidem cum liquefieri ac diffluere carnem ejus viderent, in cinerem illam et pulverem abire censebant; at fideles exacte noverant eam ita liquefactam sordes omnes deponere, atque immortalitatem adeptam splendidiorem ascendere. Imo in ipso rogo ante resurrectionem miro quodam modo vincebat adversarias potestates: siquidem igne resolutæ carnes cum strepitum ederent, illas quam facillime in fugam vertebant. Et quemadmodum generosus miles æreis armis circumdatus ipso etiam armorum stridore timidioribus terrorem incutit adversariis: sic nimirum et tunc beata Drosis pellis stridore potestates illas fugabat: neque vero hac ratione tantum, sed et alia rursus nihilo ista minori. Nam simul atque rogum ingressa est, et fumus in altum ascendens aerem occupavit, dæmones per aerem volantes suffocabat omnes, diabolum abigebat, et ipsam naturam aeris abstergebat. Cum enim fumo idolorum inquinatus fuisset, in locum illius fumus alter ascendebat, ut illatas ab illis sordes abstergeret. Sane quidem fontis comparatio præclare convenit illi rogo. Nam quemadmodum si in fonte vestem exuisset, et corpus abluisset, ita corpus suum in illa flamma facilius quam vestem quamvis exuens, et animam nitidam reddens ad sponsum suum ab angelis stipata properabat. Si enim Lazarum illum ulceribus plenum angeli ad sinum Abrahæ abduxerunt: multo magis istam abeuntem stipabant, et tamquam ex sacro quodam conclavi ac thalamo nuptiali assumptam, ex fornace ad cælestem sponsum deducebant. Qua vero de causa tincturam etiam rogum illum appellavi? Quod nimirum tamquam mirabili quadam infecta tinctura, cum purpura regia facta esset, ad cælestem Regem mitteretur, ac multa cum fiducia sedes illas cælestes intraret, quod fiebat, cum invisibili manu sua Christus sanctum martyris caput teneret, et tamquam aquis illam flammis immergeret. O mirabilem rogum! qualem intus thesaurum habebat, pulverem illum ac cinerem auro quovis pretiosiorem, et quibusvis unguentis fragrantiorem, gemmis quibusvis cariorem. Quod enim nec divitiæ nec aurum præstare queunt, hoc reliquiæ martyrum præstant: siquidem aurum neque morbos umquam depulit, neque mortem abegit; ossa vero martyrum utrumque perfecerunt, illud quidem nostrorum majorum ætate, hoc vero nostra etiam contigit. Ac de his ita non solum nos, sed justi etiam, qui ante Christi adventum vixerunt, exacte philosophari noverunt, quo tempore cunctis ex Ægypto excedentibus, et aliis quidem aurum, aliis vero argentum evehentibus, Moyses opum quarumvis loco Joseph ossa sumens ea detulit (*Exod.* 13. 19) ac thesaurum maximum et innumeris bonis redundantem secum domum vexit.

5. Sed dicet fortasse quispiam: Qua vero de causa ex Ægypto in Palæstinam transferebat? siquidem dum martyrum memoria celebratur, talia præsertim examinentur necesse est. Multi enim sepulturæ suæ diligenter providentes, cum propinquis suis mandent, ut si forte alibi eos mori contingat, in patriam suam translatos illi sepeliant; deinde cum illorum idcirco pusillanimitatem irriserimus, hanc nobis historiam objiciunt: cumque nos dixerimus nihil interesse sive domi quis, sive peregre sepulturæ mandetur, respondent: Cur igitur, si nihil interest, assumpta Joseph ossa in Palæstinam transtulit Moyses? Ego vero majus aliquid dicam: non solum Moyses accepit, sed ille etiam moriens hoc præcepit: hoc enim profecto est majus. *Visitatione* enim, inquit, *visitet vos Deus, et asportabitis ossa mea* (*Gen.* 50. 24). Cur igitur et ille dixit, et iste paruit? siquidem res est disquisitione digna.

Cur Joseph reliquias suas transferri velit. — Quid ais? ergone patriarcha, qui vitam præsentem aspernabatur, et omnia contemnebat, quo dignus non erat mundus, qui peregrinus et inquilinus erat, qui cælestia quotidie mente versabat, qui supernam Jerusalem spectabat, ille dum viveret quidem, ob Dei timorem et patria et libertate privatus est, et in carcerem est conjectus, nec illis insidiis est inflexus; postquam autem jam jam moriturus erat, ita de minutis rebus istis erat sollicitus, ut istius suorum ossium translationis tantam curam gereret, ac tanto ante tempore reliquias suas advehi jubebat? Quis hoc asseverare tandem audeat? quod enim lucrum, aut quæ utilitas obveniebat ex hac ossium transvectione defuncto? Cur ergo mandavit? Non quod de ossibus esset sollicitus, sed hoc dicere possumus, eum sibi ab Ægyptiorum impietate timuisse. Nam quoniam multis magnisque illos affecerat beneficiis, atque illos aluerat adjuverat, adversus famem solatium illis attulerat maximum, et quæ nemini umquam innotuerant, ipse primus ac solus patefecerat, et in medium protulerat, atque somniorum interpretatione non solum famem prædixerat, sed etiam sufficiens adversus illam remedium præparaverat, ita repletis Ægypti horreis, ut nemo illius adventu se premi sentiret: ne igitur propter beneficiorum magnitudinem deus post obitum censeretur, cum illi barbari facile ex hominibus deos facerent: omnem ut occasionem impietatis auferret, domum transferri ossa præcepit. Hæc igitur una est occasio; sed et alteram possumus indubitatam afferre: siquidem ex sacris illam Scripturis etiam confirmare licet. Quæ tandem illa est? Sciebat ille, quod audiverat a patre, cum ab avo transmissum ad se sermonem ille didicisset, futurum, ut ad multos annos servituti subjicerentur, et affligerentur ab Ægyptiis, *Erit* enim *semen tuum peregrinum in terra aliena, et servituti subjicient illud, et affligent quadringentis annis* (*Gen.* 15. 13), aiebat Deus ad Abraham. Ne igitur tam longi eos temporis tæderet, et ærumnas minime ferentes de reditu desperarent, animisque concidcrent, maximo illis tradito spei pignore prædixit fore, ut ossa revehercntur, ut illi cum animis suis reputarent, nisi certe et sine ulla dubitatione sibi persuasis-

set justus futurum, ut omnes revertamur, nequaquam de suis ossibus præcepisset, atque ita demonstrationem haberent certissimam, spemque firmissimam suæ in patriam reversionis. Atque hoc verum esse, et idcirco de suis ossibus prædixisse illum, non quod de sepultura sollicitus esset, at quod illorum impietati remedium vellet adhibere, audi quibus verbis Paulus testetur : *Fide Joseph moriens de egressione filiorum Israel meminit, et de ossibus suis mandavit* (*Hebr.* 11. 22). Quid est hoc, *Fide?* Quasi diceret, quæ post multos annos erant eventura, prævidebat, ac fore, ut posteri patriam suam recuperarent. Ut igitur hoc significaret, utrumque prædixit, ac videre erat rem miram et incredibilem, cum ossa in egressione transferrentur. Nam qui effecerat Joseph, ut in Ægyptum descenderent, ipse rursus eos redeuntes antecedebat, et ad patientiam ac spem futurorum instruebat. Cum enim reliquias ante oculos positas cernerent, omnisque illius historiæ hoc pacto recordarentur, atque apud se cogitarent ipsum a fratribus insidias esse passum, in lacum missum, et capitis discrimen adiisse, carcere conclusum fuisse, atque alia cuncta, quæ illi contigerant; deinde vero post illa omnia regem illum esse factum, ac principem totius Ægypti, tantæque ditioni curatorem ac præfectum fuisse præpositum : in spem certissimam erigebantur fore, ut a malis, quibus semper opprimi solebant, liberarentur, cum ab ossibus justi docerentur neminem umquam fuisse derelictum, qui in Deum credidisset, et ipsius auxilium exspectasset.

Promissa Dei certa. Mors metuenda non est. — Licet enim res adversæ quædam et contra votum interim acciderint, dum ejus promissa sperantur, et intervenerint, tamen optato fine sperantes fraudare non poterunt, sed eveniet illud omnino ex sententia divina quod prædictum fuit, et illustriores reddet eos, qui patienter exspectant omnia, quæ a Deo fuerint constituta. Propterea de ossibus suis mandavit.

6. Ne igitur adeo de nostra in patria sepultura simus solliciti, neque mortem metuamus, sed peccatum. Neque enim mors peccatum peperit, sed peccatum mortem nobis procreavit; mors autem in remedium peccati conversa est. Mortem enim non esse metuendam, sed peccatum, audi quibus verbis doceat propheta : *Pretiosa in conspectu Domini mors sanctorum ejus* (*Psal.* 115. 15); et alibi, *Mors peccatorum pessima* (*Psal.* 33. 22). Vides eos qui ad res suas attenti sunt, maximam etiam ex ea posse utilitatem percipere; qui vero desides sunt et inertes, eis rem illam in partem supplicii obvenire? Neque vero sine causa hunc instituo sermonem, sed quoniam multos audio sæpenumero de mortis generibus verba facientes, et quædam, quæ ignominiosa non sunt, sibi probro ducere, quædam crimine digna non vituperare : propterea controversiam hanc statui hodierno die disceptare. Est enim opportunus hic philosophandi modus, et mirifice cum martyrum convenit solemnitate. Multos enim dicentes audivi, Ille peregre mortuus est ignominiosius quam canis, nullo ex propinquis præsente, neque sepulcro condente; sed vix paucis vicinis se mutuo invitantibus ex pecunia quadam corrogata obvolutus sepulturæ mandatus est. Ne igitur hæc nobis negotium facessant, operæ pretium fuerit opinionem istam corrigere. Non enim hoc est cane miserius mori, mi homo, sed cane miserius mori est in peccato mori, non peregre vitam finire. Noli enim mihi commemorare hominem, qui in deaurato lecto gestetur, qui prosequente tota civitate, qui populis collaudantibus, cui sericæ vestes et auro intertextæ liberaliter admodum insternantur : hoc enim aliud nihil est, quam lautiorem vermibus mensam apponere. Ne igitur hunc mihi ostendas, sed hunc ipsum qui tanto cum honore deducitur, illo die mihi velim ostendas, quo in excelso tribunali Christus sedebit, cum ille judicio sistetur, vocabitur, rationem reddet eorum quæ dixerit, quæ fecerit, quæ cogitaverit. Tunc enim illi nullus ex hac multitudine patrocinabitur, neque supplicio illum ac pœnis eximet, neque auxiliabuntur ei clamores ac laudes istæ, sed vultu in terram demisso, trepidus et pudore suffusus propter objecta sibi crimina abducetur, et a malignis spiritibus ad æterna tormenta cum gravissimo dentium stridore, frustra lamentans, et propter intolerabiles dolores plangens trahetur.

Etiam in hac vita peccator punitur. — Ac taliâ quidem erunt, quæ illis in altera vita contingent, sed neque toleranda sunt, quæ in hac geruntur. Siquidem post laudes illas publicas, aut pretio comparatas, aut a timore aliquo profectas, omnes audiet accusantes, et in triviis, in foro, in ædibus, in popinis, in aliis officinis, in via, in agris, et ubique singulos viatores proximis cum timore narrantes ac dicentes, qualia passurus sit mala, quibus suppliciis muletabitur, quibus nunc erit subjiciendus tormentis. Quid illi profuit hæc vita? quem fructum ex avaritia collegit? Aliis pecunias suas relinquens abiit, at ipse secum assumptis peccatis sepultus est, ac multi undique accusatores compatiuntur illis quos ille affecit injuria, licet ab eo læsi non fuerint. Nam quemadmodum, cum aliqui beneficiis afficiuntur, etiam illi quibus nihil confertur, gratulantur illis, et benefactorem collaudant : ita cum infertur quibusdam injuria, illi etiam, qui nihil læsi sunt, compatiuntur afflictis, eumque vituperant, qui injuriam intulit. Idcirco dixit : *Mors peccatorum pessima*, cum propter hujus vitæ obtrectationes, tum propter alterius tormenta. Hic igitur ille est, qui cane miserius moritur : at justis ita non evenit; sed licet in deserto, licet nemine obvolvente, licet nemine præsente vitam finiat, sufficientes exsequias ex hac vita discedens habet, fiduciam apud Deum; et admodum honorifice præsentibus angelis, ejusque animam deducentibus effertur, quemadmodum ex Lazaro ante demonstravi, atque innumeros vitæ suæ laudatores relinquens : quod si liberos reliquerit, omnes qui civitatem incolunt illis succurrent, et eorum curam gerent, ut paternæ benevolentiæ gratiam illis rependant. Qui vero peccatis et rapinis obstrictus defunctus est, sive relictis liberis

ἀκριβείας ἑαυτὸν ὁ δίκαιος πεπεικὼς ἦν, ὅτι Πάντες ἐπανήξομεν, οὐκ ἂν περὶ τῶν ὀστῶν ἐνετείλατο, ἀναμφισβήτητον ἔχωσιν ἀπόδειξιν καὶ ἐλπίδα βεβαίαν τῆς εἰς τὴν ἐνεγκοῦσαν ἐπανόδου. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ διὰ τοῦτο προεῖπε περὶ τῶν ὀστῶν αὐτοῦ, οὐχ ὑπὲρ ταφῆς φροντίζων, ἀλλὰ τὴν ἀπιστίαν αὐτῶν διορθούμενος, ἄκουσον τί φησιν ὁ Παῦλος· *Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.* Τί ἐστι, *Πίστει*; Ἀντὶ τοῦ προεώρα τὰ μακροῖς ὕστερον συμβησόμενα χρόνοις, καὶ ὅτι πάντως οἱ ἔγγονοι ἀπολήψονται τὴν οἰκείαν. Ἵν' οὖν τοῦτο ἐνδείξηται, ἀμφότερα ταῦτα προεῖπε, καὶ ἦν ἰδεῖν θαυμαστὸν καὶ παράδοξον ἐπὶ τῆς ἐξόδου πρᾶγμα τῶν ὀστῶν ἐπιφερομένων. Ὁ γὰρ καταγαγὼν αὐτοὺς εἰς Αἴγυπτον Ἰωσὴφ, αὐτὸς αὐτῶν καὶ ἀνιόντων προηγεῖτο πάλιν, εἰς ὑπομονὴν ἀλείφων καὶ τὴν τῶν μελλόντων ἐλπίδα. Ὁρῶντες γὰρ ἐκεῖνοι τὰ λείψανα πρὸ τῶν ὀφθαλμῶν, εἶτα ἐντεῦθεν ἀναμιμνησκόμενοι τῆς ἱστορίας ἁπάσης ἐκείνης, καὶ ἀναλογιζόμενοι πρὸς ἑαυτοὺς, ὅτι παρὰ τῶν ἀδελφῶν ἐπεβουλεύθη, ὅτι εἰς λάκκον ἐρρίφη, ὅτι περὶ τῶν ἐσχάτων ἐκινδύνευσεν, ὅτι δεσμωτήριον ᾤκησε, καὶ τὰ ἄλλα δὴ πάντα τὰ συμβεβηκότα αὐτῷ· εἶτα, ὅτι μετ' ἐκεῖνα πάντα βασιλεὺς ἐγένετο καὶ τῆς Αἰγύπτου πρῶτος, καὶ τοσούτων κηδεμὼν καὶ προστάτης, ἱκανὰς εἶχον ἐλπίδας ὑπὲρ τῆς ἀπαλλαγῆς τῶν ἀεὶ καταλαμβανόντων αὐτοὺς δεινῶν, παιδευόμενοι διὰ τῶν ὀστῶν τοῦ δικαίου, ὅτι οὐδεὶς τῶν ἐπὶ τὸν Θεὸν πιστευσάντων, καὶ τὴν παρ' ἐκείνου συμμαχίαν ἀναμεινάντων ἐγκατελείφθη ποτέ.

Κἂν γὰρ λυπηρά τινα καὶ ἀβούλητα μεσολαβῇ τὰς ὑποσχέσεις, καὶ μεταξὺ παρεμπίπτῃ, τοῦ τε τέλους οὐδέποτε ἐκκρουσαι δυνήσεται τοὺς ἐλπίζοντας, ἀλλ' ἐκβήσεται πάντως ἐκεῖνο τὸ προῤῥηθὲν κατὰ τὴν ἄνωθεν ψῆφον, λαμπροτέρους ποιοῦν τοὺς μεθ' ὑπομονῆς ἀναμένοντας τὰ παρὰ τοῦ Θεοῦ θεσπισθέντα ἅπαντα. Διὰ ταῦτα περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο.

ς'. Μὴ τοίνυν ἐπὶ τοσοῦτον ὑπὲρ τῆς οἴκοι ταφῆς ἀκριβολογώμεθα, μηδὲ θάνατον τρέμωμεν, ἀλλὰ ἁμαρτίαν. Οὐ γὰρ θάνατος ἁμαρτίαν ἔτεκεν, ἀλλὰ ἁμαρτία θάνατον ἡμῖν ἐγέννησε· θάνατος δὲ ἁμαρτίας γέγονε φάρμακον. Ὅτι γὰρ οὐ χρὴ θάνατον δεδοικέναι, ἀλλὰ ἁμαρτίαν, ἄκουσον τί φησιν ὁ προφήτης· *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ*· καὶ ἀλλαχοῦ, *Θάνατος ἁμαρτωλῶν πονηρός*. Ὁρᾷς ὅτι οἱ μὲν προσέχοντες ἑαυτοῖς καὶ καρπώσασθαι τὰ μέγιστα ἀπ' αὐτοῦ δύνανται, οἱ δὲ ἠμεληκότες καὶ ῥᾳθυμοῦντες, οὗτοί εἰσιν οἱ τὸ πρᾶγμα ἐν τάξει καταδίκης δεχόμενοι; Οὐχ ἁπλῶς δὲ οὐδὲ τοῦτον κινῶ τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλῶν πολλάκις ἀκούω λεγόντων περὶ θανάτου τρόπων, καὶ τοὺς μὲν οὐκ ὄντας ἐπονειδίστους αἰσχυνομένων, τοὺς δὲ [697] μεγίστης ὄντας κατηγορίας ἀξίους οὐ διαβαλλόντων, τούτου χάριν καὶ τοῦτον βούλομαι διευκρινῆσαι τὸν λόγον τήμερον. Εὔκαιρος γὰρ καὶ οὗτος ἐν μαρτύρων ἡμέρᾳ τῆς φιλοσοφίας ὁ τρόπος. Πολλῶν γὰρ ἤκουσα λεγόντων, κυνὸς ἀτιμότερον ὁ δεῖνα τετελεύτηκεν ἐπ' ἀλλοτρίας, οὐδενὸς τῶν ἐπιτηδείων παρόντος, οὔτε τῇ γῇ παραδιδόντος, ἀλλὰ μόλις ὀλίγων γειτόνων ἀλλήλους συγκαλούντων, ἐξ ἐράνου τινὸς περισταλείς, οὕτω παρεδόθη ταφῇ. Ἵν' οὖν μὴ ταῦτα ἡμᾶς λυπῇ, ἀναγκαῖον καὶ τοῦτην διορθώσασθαι τὴν ὑπόνοιαν. Οὐ γάρ ἐστι τοῦτο κυνὸς ἀθλιώτερον ἀποθανεῖν, ἄνθρωπε, ἀλλὰ κυνὸς ἀθλιώτερον ἀποθανεῖν ἐστι τὸ ἐν ἁμαρτίᾳ ἀποθανεῖν, οὐ τὸ ἐπ' ἀλλοτρίας καταλῦσαι τὸν βίον. Μὴ γάρ μοι τοῦτον εἴπῃς τὸν ἐπὶ τῆς κλίνης τῆς διαχρύσου φερόμενον, τὸν τῆς πόλεως προπεμπούσης ἁπάσης, τὸν τῶν δήμων εὐφημούντων, τὸν ἱμάτια σηρικὰ καὶ διάχρυσα μετὰ πολλῆς ἔχοντα ἐπεστοιβασμένα τῆς ἀφθονίας· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστι, ἀλλ' ἢ δαψιλεστέραν τῷ σκώληκι παραθεῖναι τράπεζαν. Μὴ τοίνυν τοῦτόν μοι δείξῃς, ἀλλὰ δεῖξόν μοι τοῦτον αὐτὸν τὸν μετὰ τοσαύτης προπεμπόμενον τιμῆς κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ὁ Χριστὸς ἐφ' ὑψηλοῦ προκαθέζηται τοῦ βήματος, εἰσαγόμενον, καλούμενον, εὐθύνας ἀπαιτούμενον, ὧν εἶπεν, ὧν ἔπραξεν, ὧν ἐνενόησε. Τότε γὰρ οὐδεὶς αὐτῷ τούτου τοῦ πλήθους παραστήσεται, οὐδὲ ἐξαιρήσεται τῆς κολάσεως αὐτὸν καὶ τῆς τιμωρίας, οὐδὲ παραστήσονται αἱ βοαὶ αὗται καὶ αἱ εὐφημίαι, ἀλλὰ κάτω κύπτων, ἀπαρρήσιαστος, αἰσχυνόμενος ἐπὶ ταῖς τῶν πραγμάτων κατηγορίαις ἀπαχθήσεται ἑλκόμενος ὑπὸ τῶν πονηρῶν δυνάμεων ἐπὶ τὰς ἀθανάτους κολάσεις μετὰ τοῦ χαλεπωτάτου τῶν ὀδόντων βρυγμοῦ, ἀνόνητα λοιπὸν θρηνῶν καὶ κοπτόμενος ἐκ τῶν ἀφορήτων ὀδυνῶν.

Καὶ τὰ μὲν ἐκεῖ τοιαῦτα, οὐ μὴν οὐδὲ τὰ ἐνταῦθα ἀνεκτά. Μετὰ γὰρ τὰς εὐφημίας τὰς ἐν τῷ μέσῳ τὰς ὠνητὰς ἐκείνας, ἢ ἐκ φόβου τινὸς γινομένας, πάντων ἀκούσει κατηγορούντων καὶ ἐν ἀμφόδοις καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ καὶ ἐν καπηλείοις, καὶ ἐν ἑτέροις ἐργαστηρίοις, καὶ ἐν ὁδῷ καὶ ἐν χώρᾳ, καὶ πανταχοῦ τῶν ὀδευόντων ἑκάστου πρὸς τὸν πλησίον μετὰ πολλοῦ τοῦ φόβου διηγουμένου καὶ λέγοντος, οἷα αὐτὸν διαδέξεται κακὰ, οἷαι ἀπαντήσονται τιμωρίαι, οἷαι νῦν ἀναμένουσι βάσανοι. Τί τὸ κέρδος αὐτῷ γέγονε τῆς παρούσης ζωῆς; τί τὸ πλέον ἀπὸ τῆς πλεονεξίας ἐκαρπώσατο; Ἑτέροις τὰ χρήματα καταλιπὼν ἀπῆλθεν, αὐτὸς δὲ τὰ ἁμαρτήματα λαβὼν κατορώρυκται, καὶ πολλοὶ πανταχόθεν κατήγοροι τοῖς ἠδικημένοις συναλγοῦντες, καὶ οἱ μηδὲν πεπονθότες δεινόν. Ὥσπερ γὰρ καὶ ἐπὶ τῶν εὐεργετουμένων, καὶ οἱ μηδὲν παθόντες συνήδονται τοῖς παθοῦσι, καὶ τὸν εὖ ποιήσαντα ἐπαινοῦσιν· οὕτως ἐπὶ τῶν ἐπηρεαζομένων καὶ οἱ μηδὲν ἠδικημένοι συναλγοῦσι τοῖς κακῶς πεπονθόσι, καὶ τὸν ποιήσαντα κακίζουσι. Διὰ τοῦτό φησι· *Θάνατος ἁμαρτωλῶν πονηρός*, καὶ διὰ τὰς ἐνταῦθα κατηγορίας, καὶ διὰ τὰς ἐκεῖ κολάσεις. Οὗτος τοίνυν ἐστὶν ὁ κυνὸς ἀτιμότερον τελευτῶν, ἀλλ' ἐπὶ τῶν δικαίων οὐχ οὕτως· ἀλλὰ κἂν ἐν ἐρημίᾳ, κἂν μηδενὸς περιστέλλοντος, [698] κἂν μηδενὸς παρόντος καταλύσῃ τὴν ζωὴν, ἱκανὸν ἐντάφιον λαβὼν ἅπεισι, τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν· θαυμαστὴν ἔχει τὴν ἐκφοράν, ἀγγέλων παρόντων, καὶ ψυχὴν ὁδηγούντων, καθάπερ οὖν ἔφθην ἀποδείξας ἐπὶ τοῦ Λαζάρου, μυρίους ἐπαινέτας καταλιμπάνων τῆς ἑαυτοῦ ζωῆς· κἂν παῖδας καταλίπῃ, πάντες οἱ τὴν πόλιν οἰκοῦντες προστάται καὶ κηδεμόνες αὐτῶν ἔσονται, τῆς πρὸς τὸν πατέρα εὐνοίας αὐτοὺς ἀμειβόμενοι. Ὁ δὲ ἐν ἁμαρτίαις καὶ πλεονεξίαις τετελευτηκὼς, κἂν ἀφῇς παῖδας ἀπέλθῃ, κληρονόμους τῆς οἰκείας ἀπεχθείας

εἴασε, καὶ μεταξὺ πολεμίων ἀφῆκε· κἂν ἅπαις τελευτήσῃ τὸν βίον, διὰ τῶν οἰκοδομημάτων, διὰ τῶν ἄλλων κτημάτων, ἅπερ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ἔσχεν, ἀθάνατον ἑαυτοῦ καταλιμπάνει τὴν κατηγορίαν. Ἀλλ' οὐχ ὁ δίκαιος οὕτως, ἀλλὰ καὶ ἀπελθὼν κερδαίνει τὰ μέγιστα, τῇ τῆς οἰκείας ἀρετῆς μνήμῃ τοὺς ζῶντας ἅπαντας ὠφελῶν. καὶ βελτίους ποιῶν, ὥσπερ οὖν ὁ πονηρὸς καὶ ταύτῃ κολάζεται. Οὐδὲ γὰρ ζῶντες μόνον, ἀλλὰ καὶ ἀποθανόντες πολλοὺς παραβλάπτουσι τῆς οἰκείας πλεονεξίας ἐλέγχους πανταχοῦ καταλιμπάνοντες. Ταῦτ' οὖν εἰδότες, μὴ τοὺς ἐν ἀλλοτρίᾳ, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις τελευτῶντας ταλανίζωμεν, μηδὲ τοὺς ἐπὶ τῆς οἰκίας, καὶ τοὺς ἐπὶ τῆς κλίνης, ἀλλὰ τοὺς μετ' ἀρετῆς ἀπιόντας μακαρίζωμεν, καὶ ἀρετῆς μὲν ἐπιμελώμεθα, κακίαν δὲ φεύγωμεν. Ἡ μὲν γὰρ καὶ ζῶντας καὶ ἀπελθόντας ὠφελεῖ, αὕτη δὲ ἑκατέρωθεν παραβλάπτει, καταισχύνουσά τε τούτους καὶ εἰς τιμωρίας ἀπάγουσα ἀθανάτους. Ὁ δὲ Θεὸς ὁ καὶ τὴν μακαρίαν ταύτην τὴν σήμερον ἡμᾶς συναγαγοῦσαν καὶ ἀποδύσασθαι καὶ παλαῖσαι καὶ νικῆσαι καὶ στεφανωθῆναι καταξιώσας, καταξιώσειε καὶ ἡμᾶς κοινῇ πάντας καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸν παρόντα βίον ἐξανύσαντας μετὰ τῶν αὐτοῦ προσταγμάτων καὶ νόμων δυνηθῆναι παρὰ τὰς σκηνὰς τῆς ἁγίας ταύτης ἐλθεῖν, καὶ τῶν ἀθανάτων ἀγαθῶν ἀπολαῦσαι· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

AD HOMILIAM IN MARTYRES ÆGYPTIOS

Num Antiochiæ, num Constantinopoli habita fuerit hæc homilia, haud certis notis indiciisque expiscari possumus. Constantinopoli habitam auguratur Tillemontius, hac conjectura ductus : occasione Reliquiarum ex Ægypto eam in urbem, in qua hæc concionatus est Chrysostomus, translatarum, dicta fuit hæc homilia ; at hujusmodi translationes longe frequentius Constantinopolim, quam Antiochiam fieri solebant :

[699] ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΜΑΡΤΥΡΑΣ ΑΙΓΥΠΤΙΟΥΣ.

α'. Εὐλογητὸς ὁ Θεὸς, ὅτι καὶ ἐξ Αἰγύπτου μάρτυρες, Αἰγύπτου τῆς θεομάχου καὶ μανεκωτάτης, καὶ ὅθεν τὰ ἄθεα στόματα, ὅθεν αἱ βλάσφημοι γλῶσσαι, ἐξ Αἰγύπτου μάρτυρες, οὐκ ἐν Αἰγύπτῳ δὲ μόνον, οὐδὲ ἐν τῇ παρσίκῳ [a] καὶ γείτονι χώρᾳ, ἀλλὰ καὶ παντα-χοῦ τῆς οἰκουμένης. Καὶ καθάπερ ἐπὶ τῆς τῶν ὠνίων εὐετηρίας, ὅταν ἴδωσιν οἱ τὰς πόλεις οἰκοῦντες πλείω τῆς χρείας τῶν οἰκούντων γενομένην τὴν φορὰν, καὶ πρὸς τὰς ἔξω διαπέμπουσι πόλεις, ἅμοῦ τε τὴν παρ' ἑαυτῶν ἐπιδεικνύμενοι φιλοφροσύνην, καὶ πρὸς τῇ τούτων περιουσίᾳ μετ' εὐκολίας ὧν ἂν δέωνται πάλιν ἀντωνούμενοι παρ' ἐκείνων· οὕτω καὶ οἱ Αἰγύπτιοι πεποιήκασιν ἐπὶ τῶν τῆς εὐσεβείας ἀθλητῶν. Ἰδόντες τῇ τοῦ Θεοῦ χάριτι πολλὴν παρ' ἑαυτοῖς γενομένην τὴν φορὰν, οὐ κατέκλεισαν ἐν τῇ πόλει τὸ μέγα τοῦτο τοῦ Θεοῦ δῶρον· ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξέπεμψαν τοὺς τῶν ἀγαθῶν θησαυροὺς, τήν τε αὐτῶν φιλαδελφίαν ἐπιδεικνύμενοι, καὶ τὸν κοινὸν πάντων Δεσπότην δοξάζοντες, καὶ τὴν αὐτῶν παρὰ πᾶσι κοσμοῦντες πόλιν, καὶ μητρόπολιν τῆς οἰκουμένης ἁπάσης ἀποφαίνοντες. Εἰ γὰρ ψυχραὶ καὶ εὐτελεῖς ἀφορμαὶ, καὶ πρὸς τὸν παρόντα βίον ἡμῖν συντελοῦσαι χάριτες μόνον, ἴσχυσαν τοῦτο τὸ γέρας πολλαῖς τῶν πόλεων παρασχεῖν· τὴν οὐδὲν τούτων τῶν ἐπικήρων καὶ φθαρτῶν χαριζομένην, ἀλλ' ἄνδρας πολλὴν ταῖς κληρωθείσαις αὐτοῖς πόλεσι καὶ μετὰ τελευτὴν κεκτημένους ἀσφάλειαν, πῶς οὐ δίκαιον μάλιστα πασῶν ταύτης παρ' αὐτῶν τῆς προεδρίας τυχεῖν; Τὰ γὰρ τῶν ἁγίων σώματα τούτων τείχους παντὸς ἀδάμαντος καὶ ἀῤῥαγοῦς ἀσφαλέστερον ἡμῖν τειχίζει τὴν πόλιν· καὶ καθάπερ σκόπελοί τινες ὑψηλοὶ προβεβλημένοι πανταχόθεν, οὐχὶ τὰς τῶν αἰσθητῶν τούτων καὶ ὁρωμένων ἐχθρῶν προσβολὰς ἀποκρούονται μόνον, ἀλλὰ καὶ τὰς τῶν ἀοράτων δαιμόνων ἐπιβουλὰς, καὶ πᾶσαν τοῦ διαβόλου μεθοδείαν ἀνατρέπουσί τε καὶ διαλύουσιν οὕτως εὐκόλως, ὡς εἴ τις γενναῖος ἀνὴρ παίδων ἀθύρματα ἀνατρέψειε καὶ καταβάλοι. Καὶ τὰ μὲν ἄλλα τὰ παρὰ τῶν ἀνθρώπων γινόμενα μηχανήματα, οἷον τείχη, καὶ τάφροι, καὶ ὅπλα, καὶ στρατιωτῶν πλήθη, καὶ ὅσα πρὸς ἀσφάλειαν τῶν οἰκούντων ἐπινενόηται, δυνατὸν τοῖς ἐχθροῖς ἀποκρούεσθαι ἑτέραις πλείοσι καὶ μείζοσι μηχανῶν ὑπερβολαῖς ταῖς παρ' αὐτῶν· ὅταν δὲ ἁγίων σώμασι πόλις τειχίζηται, κἂν μυρία ἐκεῖνοι δαπανῶσι χρήματα, τοιοῦτόν τι ἀντιστῆσαι μηχάνημα ταῖς ἐχούσαις αὐτοὺς πόλεσιν οὐ δυνήσονται. Οὐ πρὸς ἀνθρώπων δὲ ἐπιβουλὰς μόνον, οὐδὲ πρὸς κακουργίας δαιμόνων τοῦτο ἡμῖν χρήσιμον τὸ κτῆμα, ἀγαπητέ· ἀλλὰ κἂν ὁ κοινὸς ἡμῖν ὀργίζηται Δεσπότης διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων, δυνησόμεθα ταῦτα

[a] Duo mss. et Savil. τῇ προσοίκῳ.

ex hac vita decesserit, inimicitiarum suarum heredes illos deseruit, et inter inimicos reliquit : sive sine liberis vitam finierit, ex ædificiis, ex aliis possessionibus, quas ex rapina et fraudibus acquisivit, æternam accusationis materiam derelinquit. At non ita justus, sed et cum moritur, maximam utilitatem percipit, cum ex propriæ virtutis recordatione de omnibus vivis bene mereatur, et meliores eos reddat, quemadmodum et improbus hac etiam ratione punitur. Non enim tantum, dum vivunt, sed etiam cum moriuntur, multos lædunt, cum avaritiæ suæ pignora et indicia ubique derelinquant. Quæ cum explorata nobis sint, non eos qui peregre, sed eos qui peccatorum rei moriuntur, miseros censeamus, neque eos qui domi atque in lecto, sed eos qui cum virtute ex hac vita discedunt, beatos prædicemus, ac virtutem sectemur, vitium fugiamus. Illa enim et viventibus et morientibus prodest : istud vero ex utraque parte lædit, dum et hos probro afficit, et ad supplicia abducit æterna. Deus autem, qui beatæ isti, quæ nos hodierno die congregavit, ut certamen iniret, et luctaretur, et vinceret, et ut ornaretur corona, concessit, nobis etiam simul omnibus in illo die, postquam hujus vitæ cursum absolverimus, ejusque mandata et leges observaverimus, ut in æterna possimus sanctæ hujus tabernacula intrare, concedat, et immortalibus bonis potiri, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri gloria, una cum Spiritu sancto, in sæcula. Amen.

MONITUM.

hinc vero sequitur probabilius esse habitam eam Constantinopoli, quam Antiochiæ fuisse. Non aliud suppetit argumentum : de firmitate hujusmodi conjecturæ judicent eruditi.

Interpretatio Latina est Frontonis Ducæi.

LAUDATIO MARTYRUM ÆGYPTIORUM [a].

1. *Laudantur Ægyptii quod reliquias ubique effunderent ; reliquiæ Sanctorum urbes custodiunt.* — Benedictus Deus, quando etiam ex Ægypto martyres, ex Ægypto illa cum Deo pugnante ac insanissima, et unde impia ora, unde linguæ blasphemæ, ex Ægypto martyres habentur, nec in Ægypto tantum, nec in finitima vicinaque regione, sed ubique terrarum. Et quemadmodum in annonæ summa ubertate cum viderint urbium incolæ majorem, quam usus habitatorum postulet, esse copiam, ad peregrinas etiam urbes transmittunt; cum ut suam comitatem ac liberalitatem ostendant, tum ut, præter horum abundantiam, cum facilitate res, quibus indigent, rursus ab illis sibi comparent : sic et Ægyptii, quod attinet ad religionis athletas, fecerunt : cum apud se multam eorum Dei benignitate copiam cernerent, non ingens Dei munus sua civitate concluserunt, sed in omnes terræ partes bonorum thesauros effuderunt ; cum ut suum in fratres amorem ostenderent, tum ut communem omnium Dominum honore afficerent, ac civitati suæ gloriam apud omnes compararent, totiusque orbis esse metropolim declararent. Nam si frivolæ quædam ac minimi pretii occasiones, quæque ad hanc tantum vitam nobis conferunt, largitiones hunc multis urbibus honorem aequirere potuerunt, nonne eam potius, quæ nihil ex caducis et corruptibilibus rebus largitur, sed viros, qui urbibus, quæ illis obvenerint, post obitum etiam præstant securitatem, præ omnibus æquum est hac honoris prærogativa donari ? Sanctorum enim horum corpora quovis adamantino et inexpugnabili muro tutius nobis urbem muniunt, et tamquam excelsi quidam scopuli undique prominentes, non horum, qui sub sensus cadunt et oculis cernuntur, hostium impetus propulsant tantum, sed etiam invisibilium dæmonum insidias, omnesque diaboli fraudes subvertunt ac dissipant, non minus facile, quam si fortis vir aliquis ludicra puerorum subverteret ac prosterneret. Ac cætera quidem quæ ab hominibus fiunt machinamenta, sicut muri, fossæ, arma, militum copiæ et quæcumque ad incolarum securitatem excogitantur, ab hostibus possunt pluribus aliis multoque majoribus machinis ipsorum repelli : cum vero sanctorum corporibus fuerit civitas communita, licet innumeras illi pecunias expendant, urbibus, quæ ipsos possideant, minime poterunt æquale quoddam machinamentum opponere. Neque vero tantum adversus hominum insidias, aut adversus fallacias dæmonum utilis nobis est hæc possessio, dilectissime ; sed etsi nobis communis Dominus ob peccato-

(a) Collata cum Codd. Regg. 1974, et 2343.

rum multitudinem irascatur, his objectis corporibus continuo poterimus eum propitium reddere civitati. Etenim si, qui multa præclare gesserant, majorum nostrorum ætate sanctorum virorum nomina prætendentes, atque ad Abraham, Isaac et Jacob appellationem confugientes (*Exod.* 32; *Baruch* 2), nonnihil solatii sunt assequuti, ac magnam ex horum nominum commemoratione utilitatem decerpserunt : multo magis nos non tantum nomina, sed ipsa, quæ decertarunt, corpora prætendentes, Deum propitium et benignum habere poterimus ac placatum. Atque ut ea, quæ dicimus, verborum fumum non esse constet, norunt multi cum indigenarum, tum eorum qui aliunde venerunt, quanta sanctorum istorum sit virtus, qui et testimonio suo quæ dicta sunt comprobant, ut qui quantam apud Deum fiduciam obtineant, experimento compererint : ac merito sane. Non enim vulgari modo pro veritate decertarunt, sed adeo fortiter strenueque violentos et intolerabiles impetus dæmonis repulerunt, ac si in saxeis ferreisque, non autem obnoxiis corruptioni mortalibusque corporibus decertarent : quasi jam ad illam passionis expertem, et immortalem naturam acerbis ac dolorem inurentibus corporis cruciatibus non cedentem, translati fuissent. Etenim tanquam sævæ quædam belluæ, crudeles, et immanes corpora circumstantes undique carnifices latera perfodiebant, carnes lacerabant, ossa detegebant ac denudabant, nec eos quidquam ab illa crudelitate atque immanitate revocabat ; sed et cum terga pervasissent ac viscera, et ad intima penetrassent, recondîtum in illis fidei thesaurum compilandum non invenerunt : quin idem potius illis accidit, quod aliquibus, qui cum urbem augustissimam, divitiis multis refertam, et copiosis thesauris opulentam obsederint, et eversis mœnibus ejus ad ipsa pecuniarum promptuaria devenerint, portas everterint, vectes sustulerint, pavimentum effoderint, omnia scrutati non potuerint ejus divitiis abreptis discedere. Talia namque sunt animæ bona : non corporis passionibus produntur, cum ea ipsa caute custodit : licet ipsum pectus effodias, et raptum cor minutatim concidas, thesaurum semel a fide sibi creditum non dimittet. Hoc autem divinæ gratiæ opus est, quæ cuncta dispensat et in infirmis corporibus mirabilia potest perficere. Atque hoc quidem admiratione dignius est : non enim modo, cum adeo insaniissent ac sæviissent, nihil ex thesauris reconditis subripuerunt, sed etiam effecerunt, ut eos majori cautione custodirent ; quin etiam illos eum illustriores, tum opulentiores reddiderunt. Non enim jam anima sola, sed et ipsum corpus majoris gratiæ factum est particeps : neque tantum quam habebat, non amisit, postquam dissecti sunt atque concisi persæpe, sed et copiosius sibi majusque subsidium comparavit. Quid hac victoria mirabilius fieri possit, cum eos, quos detinebant, et obnoxios habebant, ac vinctos imperiose cædebant, superare non potuerint, sed ab istis misere ac infeliciter vincerentur? Non enim bellum cum ipsis, sed cum habitatore ipsorum Deo gerebant : cum porro qui cum Deo bellum gerit, necessarium esse plane superiori potentia vinci, ac solius conatus luere pœnas ignorat nemo.

2. *Cum Deo bellum gerit qui Martyres torquet. Christiani ad metalla damnati.* — Hujusmodi sunt sanctorum victoriæ. Quod si certamina et luctæ sunt adeo mirabiles ac stupendæ, quid de præmiis coronisque dicemus, quæ ipsorum tolerantiæ reservantur? Non enim intra ista tormenta constiterunt, nec cursum hic suum interruperunt; sed ulterius illorum scammata protendebantur : quod improbus quidem dæmon accessione pœnarum athletas se supplantaturum speraret, Deus autem benignus permitteret, nec impediret, ut et infidelium insania manifestior omnibus appareret, et splendidiores istis coronæ multoque plures necterentur. Et quemadmodum in Jobe venit : hic quidem plures adversus eum pœnas a Deo postulabat, ac se malorum accumulatione generosum pietatis athletam superaturum sperabat : ille vero sinebat, ac pravis petitionibus pravi dæmonis indulgebat, et athletam suum illustriorem reddebat : ita nimirum hic accidit. Postquam enim ipsorum corpus quavis fera crudelius omni ex parte depastus est et exedit, linguamque et os cruentavit, tametsi non cruore sanctorum, sed inhumanis et crudelibus illis sententiis, ab illorum patientia victus et inhumano illo convivio affatim expletus et exsaturatus abscessit. Ac vide quanta fuerit patientia sanctorum, quæ tantum furorem suis cruciatibus exsatiaverit. Invasit rursus, cum furore certamen instaurans, ac feras omnes alia crudelitate superare contendens : siquidem illæ naturæ necessitate impulsæ ad hoc convivium feruntur, et satiatæ recedunt, et si vel sexcenta viderint corpora, nullum ex illis attingunt : hic vero ex animi pravitate ad escam istam pergebat, et eorum carnibus expletus, alteram adversus illos machinam fabricatur, ac sanctos longissimæ acerbissimæque morti addicit : in metallis enim illos opus facere perpetuo jussit. O amentiam singularem! cum ita manifestum experimentum cepisset fortitudinis ipsorum ac tolerantiæ, hac ratione se superaturum confidebat. Cum feris igitur habitabant sancti, contubernales angelorum, ac cælorum cives, et supernæ Jerusalem deinceps adscripti : tum vero sanctius erat postea quavis urbe desertum. Atque in urbibus quidem hæc iniqua et tyrannica diebus singulis mandata conficiebantur, desertum autem inhumani ministerii illius immunitate gaudebat ; tribunalia quidem plena nefariis facinoribus redundabant, injustisque mandatis ; deserta vero mortalium cunctorum justissimos cives habebant, qui ex hominibus angeli facti erant : cum cælo desertum certabat, saltem ob virtutem civium, a quibus habitabatur. Ac natura quidem sua gravissima erat pœna, sed ab eorum alacritate animi, qui decertabant, proclivis ac levis et facilis reddebatur : multiplicatam se lucem intueri tunc arbitrabantur, et quod dictum est apud prophetam, *Luna erit ut sol, sol autem septuplex* (*Isai.* 30. 26), hanc sibi obtigisse lucem putabant. Non enim est, non est, inquam, anima quidquam hi-

προβαλλόμενοι τὰ σώματα, ταχέως αὐτὸν ἵλεων ποιῆσαι τῇ πόλει. Εἰ γὰρ οἱ τὰ μεγάλα κατωρθωκότες ἐπὶ [700] τῶν προγόνων τῶν ἡμετέρων, ὀνόματα προβαλλόμενοι ἁγίων ἀνδρῶν, καὶ ἐπὶ τὴν προσηγορίαν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καταφεύγοντες, ἔτυχόν τινος παραμυθίας, καὶ μεγάλην ἀπὸ τῆς μνήμης τῶν ὀνομάτων τούτων ἐκαρποῦντο τὴν ὠφέλειαν, πολλῷ μᾶλλον ἡμεῖς, ὅταν μὴ ὀνόματα μόνον προβαλλόμενοι, ἀλλὰ καὶ αὐτὰ τὰ ἀθλήσαντα σώματα, δυνησόμεθα τὸν Θεὸν ἵλεων ἔχειν καὶ ἥμερον καὶ προσηνῆ. Καὶ ὅτι οὐ κόμπος τὰ παρ' ἡμῶν λεγόμενα, ἴσασι πολλοὶ καὶ τῶν ἐγχωρίων, καὶ τῶν ἐτέρωθεν ἐληλυθότων, ὅση τῶν ἁγίων τούτων ἡ δύναμις, οἳ καὶ μαρτυροῦσι τοῖς λεγομένοις, διὰ τῆς πείρας αὐτῆς μαθόντες αὐτῶν τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν· καὶ μάλα εἰκότως. Οὐ γὰρ ὡς ἔτυχεν ὑπὲρ τῆς ἀληθείας ἠγωνίσαντο, ἀλλ' οὕτω καρτερῶς καὶ εὐτόνως ἐνέστησαν πρὸς τὴν ῥαγδαίαν καὶ ἀφόρητον τοῦ διαβόλου βίαν, ὡς ἐν λιθίνοις καὶ σιδηροῖς, ἀλλ' οὐκ ἐν φθαρτοῖς καὶ θνητοῖς ἀγωνιζόμενοι σώμασιν, ὡς ἤδη πρὸς τὴν ἀπαθῆ καὶ ἀθάνατον μεταστάντες φύσιν, τὴν οὐκ εἰκουσαν ταῖς πικραῖς καὶ ὀδυνηραῖς τοῦ σώματος ἀνάγκαις. Καθάπερ γάρ τινες ἄγριοι θῆρες καὶ ὠμοὶ καὶ ἀνήμεροι τὰ σώματα κυκλώσαντες πανταχόθεν οἱ δήμιοι διώρυττον τὰς πλευράς, κατέξαινον τὰς σάρκας, ἐξεκάλυπτον ὀστᾶ καὶ παρεγύμνουν, καὶ οὐδὲν αὐτοὺς τῆς ὠμότητος ἴστησι καὶ τῆς ἀπανθρωπίας ἐκείνης· ἀλλὰ καὶ νώτων ἁψάμενοι καὶ σπλάγχνων, καὶ εἰς τὰ ἐνδότατα εἰσελθόντες, τὸν ἐναποκείμενον αὐτοῖς τῆς πίστεως οὐχ εὗρον συλῆσαι θησαυρὸν, ἀλλὰ ταυτὸν ἔπαθον, οἷον εἴ τινες πόλιν βασιλικωτάτην, καὶ πολλοῦ γέμουσαν πλούτου, καὶ ἱκανοὺς ἔχουσαν θησαυροὺς πολιορκοῦντες, καὶ καθελόντες αὐτῆς τὰ τείχη, καὶ πρὸς αὐτὰ τὰ ταμιεῖα τῶν χρημάτων ἐλθόντες, ἀνατρέψαιεν θύρας, κατθέλοιεν μοχλοὺς, ἀνορύξαιεν ἔδαφος, πάντα διερευνησάμενοι, μὴ δυνηθεῖεν τὸν πλοῦτον αὐτῆς ἁφαρπάσαντες ἀπελθεῖν. Τοιαῦτα γάρ ἐστι τῆς ψυχῆς τὰ κτήματα· οὐ προδίδοται τοῖς τοῦ σώματος πάθεσιν, ὅταν αὐτὰ κατέχῃ μετὰ ἀσφαλείας, ἀλλὰ κἂν αὐτά τις ἀναῤῥήξῃ [a] τὰ στέρνα, καὶ κατὰ μικρὸν τὴν καρδίαν διέλοι λαβών, οὐ προήσεται τὸν ἅπαξ αὐτῇ παρὰ τῆς πίστεως ἐμπιστευθέντα θησαυρόν. Τοῦτο δὲ τῆς τοῦ Θεοῦ χάριτος γέγονε τῆς πάντα οἰκονομούσης, καὶ ἐν ἀσθενοῦσι σώμασι δυναμένης παράδοξα ἐπιτελεῖν. Καὶ τὸ δὴ θαυμαστότερον· οὐ γὰρ μόνον οὐδὲν ὑφείλοντο τοσαῦτα μανέντες τῶν ἐναποκειμένων αὐτοῖς θησαυρῶν, ἀλλὰ καὶ μετὰ πλείονος αὐτοὺς τῆς ἀσφαλείας φυλάττεσθαι ἐποίησαν, λαμπροτέρους τε αὐτοὺς καὶ εὐπορωτέρους εἰργάσαντο. Οὐκ ἔτι γὰρ ἡ ψυχὴ μόνη, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα πλείονος μετέλαβε τῆς χάριτος, καὶ οὐ μόνον οὐκ ἀπέβαλεν, ἣν εἶχε, μετὰ τὸ διατμηθῆναι καὶ κατακοπῆναι πολλάκις, ἀλλὰ καὶ ἐπεσπάσατο πλείονα καὶ μείζω τὴν ῥοπήν. Τί ταύτης γένοιτ' ἂν τῆς νίκης θαυμαστότερον, ὅτι οὓς κατεῖχον καὶ εἶχον ὑποχειρίους, καὶ δήσαντες ξαίνον μετὰ ἐξουσίας, τούτους νικῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὑπὸ τούτων [701] ἡττῶντο ἐλεεινῶς καὶ ἀθλίως; Οὐ γὰρ πρὸς αὐτοὺς ἐπολέμουν, ἀλλὰ πρὸς τὸν ἔνοικον αὐτῶν Θεόν· τὸν δὲ Θεῷ πολεμοῦντα ὅτι πᾶσα ἀνάγκη μετὰ πολλῆς ἡττᾶσθαι τῆς περιουσίας, δίκην διδόντα τῆς ἐπιχειρήσεως μόνης, παντί που δῆλόν ἐστι.

[a] Regii κἂν μέσα ἀναῤῥήξῃ.

β'. Τοιαῦται τῶν ἁγίων αἱ νῖκαι. Εἰ δὲ τὰ ἀγωνίσματα καὶ τὰ παλαίσματα οὕτω θαυμαστὰ καὶ παράδοξα, τί ἂν εἴποιμεν περὶ τῶν ἐπάθλων καὶ στεφάνων τῶν ὑπὲρ τῆς αὐτῶν καρτερίας ἀποκειμένων αὐτοῖς; Οὐ γὰρ δὴ μέχρι τῶν βασάνων τούτων ἔστησαν, οὐδὲ ἐνταῦθα τὸν δρόμον κατέλυσαν, ἀλλὰ περαιτέρω τὰ σκάμματα αὐτοῖς ἐξετείνετο, τοῦ μὲν πονηροῦ δαίμονος τῇ προσθήκῃ τῶν τιμωριῶν προσδοκοῦντος ὑποσκελίζειν τοὺς ἀθλητὰς, τοῦ δὲ φιλανθρώπου Θεοῦ συγχωροῦντος καὶ οὐ κωλύοντος· ὥστε καὶ τὴν τῶν ἀπίστων μανίαν σαφεστέραν πᾶσιν ἐπιδειχθῆναι, καὶ τούτοις λαμπροτέρους καὶ πλείους πλαχῆναι τοὺς στεφάνους. Καὶ καθάπερ ἐπὶ τοῦ Ἰὼβ γέγονεν καὶ τοῦ διαβόλου· ὁ μὲν πλείους ᾔτει κατ' αὐτοῦ παρὰ τοῦ Θεοῦ τιμωρίας, προσδοκῶν περιέσεσθαι τῇ προσθήκῃ τῶν δεινῶν τοῦ γενναίου τῆς εὐσεβείας ἀθλητοῦ· ὁ δὲ συνεχώρει, καὶ ἐχαρίζετο ταῖς πονηραῖς αἰτήσεσι τοῦ πονηροῦ δαίμονος, ἐπιφανέστερον τὸν αὐτοῦ πυιῶν ἀθλητήν· οὕτω δὴ καὶ ἐνταῦθα ἐγένετο. Ἐπειδὴ γὰρ θηρίου παντὸς χαλεπώτερον τὸ σῶμα αὐτῶν πανταχόθεν διεμασήσατο, καὶ τὴν γλῶτταν καὶ τὸ στόμα ἤμαξεν, εἰ καὶ μὴ τοῖς αἵμασι τῶν ἁγίων, ἀλλὰ ταῖς ἀπανθρώπις καὶ ὠμαῖς ψήφοις ἐκείναις, ἡττηθεὶς ὑπὸ τῆς καρτερίας αὐτῶν, καὶ ἐμφορηθεὶς ἱκανῶς τῆς ἀπανθρώπου θοίνης ἐκείνης, καὶ κόρον λαβὼν ἀπῆλθεν. Ὅρα γὰρ πόση τῶν ἁγίων ἡ ὑπομονὴ, ἣ τοσαύτην μανίαν τοῖς οἰκείοις ἐκόρεσε πάθεσιν. Ἐπῆει πάλιν ἐπαγωνιζόμενος τῇ μανίᾳ, καὶ πάντα τὰ θηρία δι' ἄλλης ὠμότητος ἐκνικῆσαι φιλονεικῶν. Ἐκεῖνα γὰρ ἀνάγκῃ φύσεως πρὸς τὴν θοίνην ἔρχεται ταύτην, καὶ κορεσθέντα ἄπεισι, κἂν μυρία ἴδῃ σώματα, οὐδενὸς ἐκείνων ἐφάπτεται· οὗτος δὲ καὶ πονηρίᾳ προαιρέσεως ἐπὶ τὴν βορὰν ᾔει ταύτην, καὶ τῶν σαρκῶν αὐτῶν ἐμπλησθεὶς, ἑτέραν πλέκει κατ' αὐτῶν μηχανὴν, μακροτάτῳ καὶ χαλεπωτάτῳ θανάτῳ τοὺς ἁγίους παραδούς· προσέταξε γὰρ ἐν τοῖς μετάλλοις αὐτοὺς ἐργάζεσθαι διηνεκῶς. Ὢ τῆς ἀπονοίας! πεῖραν οὕτω σαφῆ λαβὼν τῆς ἀνδρείας αὐτῶν, καὶ τῆς ὑπομονῆς, ταύτῃ προσεδόκησε περιέσεσθαι. Καὶ δὴ θηρίοις συνῴκουν οἱ ἅγιοι, οἱ τῶν ἀγγέλων σύνοικοι, καὶ τῶν οὐρανῶν πολῖται, καὶ εἰς τὴν ἄνω λοιπὸν γραφέντες Ἱερουσαλὴμ, καὶ ἣν πάσης πόλεως λοιπὸν ἡ ἔρημος ἁγιωτέρα. Ἐν μὲν γὰρ ταῖς πόλεσι τὰ παράνομα ταῦτα καὶ τυραννικὰ ἐτολμᾶτο καθ' ἑκάστην ἡμέραν ἐπιτάγματα· ἡ δὲ ἔρημος ἀτέλειαν εἶχε τῆς ἀπανθρώπου λειτουργίας· καὶ τὰ μὲν δικαστήρια ἀνοσίας πράξεως ἔγεμε καὶ ἀθέσμων ἐπιταγμάτων· αἱ δὲ ἐρημίαι τοὺς πάντων ἀνθρώπων εὐνομωτέρους εἶχον πολίτας, τοὺς ἐξ ἀνθρώπων ἀγγέλους γεγενημένους, καὶ πρὸς τὸν οὐρανὸν ἡ ἔρημος ἡμιλλᾶτο, τό γε ἐκ τῆς ἀρετῆς τῶν οἰκούντων πολιτῶν. Καὶ φύσει μὲν ἦν ἡ τιμωρία χαλεπωτάτη, τῇ δὲ προθυμίᾳ τῶν ἀγωνιζομένων ἐγένετο ῥᾳδία καὶ κούφη καὶ εὔπορος. Πολλαπλάσιον τότε ἐνόμιζον ὁρᾶν τὸ φῶς, καὶ τὸ εἰρημένον παρὰ τῷ [702] προφήτῃ, ὅτι *Ἡ σελήνη ἔσται ὡς ὁ ἥλιος, ὁ δὲ ἥλιος ἑπταπλασίων*, τοῦτο ἀπειληφέναι τὸ φῶς ἤδη ἐνόμιζον. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι ψυχῆς εὐθυμότερον καταξιουμένης ὑπὲρ Χριστοῦ παθεῖν τι τῶν

δεινῶν καὶ ἀφορήτων εἶναι δοκούντων ἡμῖν. Ἤδη πρὸς τὸν οὐρανὸν μεθεστάναι καὶ μετ' ἀγγέλων χορεύειν ἐνόμιζον. Τί γὰρ μᾶλλον αὐτοῖς οὐρανοῦ καὶ ἀγγέλων ἔδει, τοῦ τῶν ἀγγέλων Δεσπότου μετ' αὐτῶν ὄντος Ἰησοῦ ἐπὶ τῆς ἐρήμου; Εἰ γὰρ, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν, πολλῷ μᾶλλον ἐν μέσῳ ἐκείνων ἦν τότε συνειλεγμένων, οὐχ ὡς εἰς τὸ ὄνομα, ἀλλ' ὑπὲρ τοῦ ὀνόματος κολαζομένων διηνεκῶς. Ἴστε γὰρ, ἴστε σαφῶς, ὅτι τῆς τιμωρίας ταύτης οὐκ ἔστιν ἑτέρα χαλεπωτέρα, καὶ ὅτι μυρίους θανάτους ἄλλους ἂν εἵλοντο ὑπομεῖναι οἱ ταύτῃ τῇ ψήφῳ καταδικαζόμενοι, ἢ τῆς ὀδύνης ἀνέχεσθαι τῆς ἐκεῖθεν γενομένης. Παρεδόθησαν μετάλλοις, ἔνθα χαλκὸν ἀνορύττειν ἔδει, πολλάκις αὐτοὶ μετάλλου χρυσίου ὄντες τιμιώτεροι καὶ ἀύλου χρυσίου [a], οὐ καταδίκων ἀνορυττομένου χερσὶν, ἀλλὰ πιστῶν ἀνδρῶν προθυμίᾳ εὐρεθέντος· εἰργάζοντο μέταλλα οἱ μυρίων γέμοντες θησαυρῶν. Τί τῆς ζωῆς ἐκείνης πικρότερον καὶ ὀδυνηρότερον; Ἐώρων καὶ εἰς ἑαυτοὺς ἐκβαίνοντα τὰ περὶ τῶν μεγάλων ἐκείνων ἀνδρῶν διηγήματα, ἃ περὶ τῶν ἁγίων διέξεισι λέγων ὁ Παῦλος· *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος* [ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Ταῦτα καὶ ἐπὶ τῆς γενεᾶς ἐγένετο τῆς ἡμετέρας].

Ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς, ἀγαπητοὶ, ὅτι καὶ νῦν καὶ πάλαι, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἅπαντες οἱ τῷ Θεῷ φίλοι τῷ στυγνῷ καὶ ἐπιμόχθῳ καὶ μυρίων γέμοντι δεινῶν ἐκληρώθησαν βίῳ, μὴ τὸν ὑγρὸν καὶ διαλελυμένον καὶ τὸν ἀνέσεως γέμοντα διώκωμεν βίον, ἀλλὰ τὸν ἐπίμοχθον, τὸν ἐπίπονον, τὸν θλίψεις ἔχοντα καὶ ταλαιπωρίας. Ὥσπερ γὰρ οὐκ ἔστι τὸν ἀγωνιζόμενον δι' ὕπνου καὶ ῥᾳθυμίας καὶ τρυφῆς τῶν στεφάνων ἐπιτυχεῖν, οὐδὲ τὸν στρατιώτην τῶν τροπαίων, οὐδὲ τὸν κυβερνήτην τοῦ λιμένος, οὐδὲ τὸν γηπόνον τῆς ἅλω πεπληρωμένης· οὕτως οὐδὲ τὸν πιστὸν διὰ ῥᾳθυμίας τὸν ἑαυτοῦ βίον διαγαγόντα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν. Πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς ἅπασι τοὺς πόνους προκεῖσθαι πρὸ τῆς ἡδονῆς, καὶ τοὺς κινδύνους πρὸ τῆς ἀσφαλείας, καὶ ταῦτα εὐτελοῦς καὶ μικρᾶς τῆς ἀπὸ τῶν πόνων ἐκείνων προσδοκίας μενούσης· ὅταν δὲ οὐρανὸς προκείμενος ᾖ, καὶ ἀγγέλων τιμαὶ, καὶ ζωὴ πέρας οὐκ ἔχουσα, καὶ ἡ μετ' ἀγγέλων διατριβὴ, καὶ τὰ ἀγαθὰ, ἃ μηδὲ ἐννοῆσαι ἢ εἰπεῖν δυνατὸν, προσδοκᾷν διὰ ῥᾳθυμίας καὶ ῥᾳστώνης καὶ διαλελυμένης ψυχῆς αὐτῶν ἐπιτεύξεσθαι, καὶ μὴ τῆς αὐτῆς αὐτὰ τοῖς βιωτικοῖς σπουδῆς ἀξιοῦν; Μὴ, παρακαλῶ, μὴ οὕτω κακῶς περὶ ἑαυτῶν καὶ τῆς ἑαυτῶν βουλευώμεθα σωτηρίας, ἀλλ' εἰς τοὺς ἁγίους τούτους ὁρῶντες, τοὺς γενναίους καὶ καρτερικοὺς ἀθλητὰς, τοὺς ἀντὶ φωστήρων δεδομένους ἡμῖν, πρὸς τὴν τούτων καρτερίαν καὶ τὴν ὑπομονὴν τὸν ἑαυτῶν διευθύνωμεν βίον, [703] ἵνα ταῖς εὐχαῖς αὐτῶν δυνηθῶμεν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἰδεῖν τε αὐτοὺς καὶ ἀσπάσασθαι, καὶ πρὸς τὰς οὐρανίους αὐτῶν καταταχθῆναι σκηνάς· ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Reg. καὶ ἀσύλου χρυσίου. Utraque lectio quadrat.

AD HOMILIAM IN S. MARTYREM PHOCAM

Miror Frontonem Ducæum dubitasse Constantinopoline an Antiochiæ habita fuerit hæc concio, cum ipsa luce clarius sit Constantinopoli dictam fuisse : nam præter ea quæ dicuntur initio, nimirum ex Ponto hesterna die advenisse S. Martyrem, ad Imperatoriam scilicet urbem : quid ad Constantinopolim indicandam significantius his verbis : *Exhauriamus urbem, et nos ad sepulcrum martyris conferamus : nam et Imperatores una nobiscum choreas ducunt. Quamnam igitur veniam meretur privatus, cum regia palatia deserant Imperatores, et martyris sepulcro assideant?* Constantinopoli igitur hæc haud dubie conciouatus est Chrysostomus. Ac postquam de S. martyre Phoca pauca præmisit, Anomæos adoritur : quibuscum non Antiochiæ modo, sed etiam Constantinopoli certamen habuit. Hic omnia Chrysostomum sapiunt, stylus, arguendi modus, tropi, similitudines : quamobrem mirari subit Savilium περὶ γνησιότητος hæsitare; sed cum nullam hæsitandi causam proferat, et vere nulla poterat proferri, haud temere dicam ipsum perfunctorie judicium tulisse, neque rem ad trutinam vocasse. De anno, quo hanc dixit orationem, non ita certo loqui possumus. Nonnihil indicii præbere videntur hæc Chrysostomi verba : *Sic igitur ego quoque, si cum hæreticis bellum gessero, non cum hominibus bellum habere, sed errorem expellere volo, ac putredinem expurgare. Mihi consuetum est persequutionem pati, non persequi : vexari, non vexare.* Id si notet ejus priorem persequutionem, qua in exsilium pulsus, paulo post sedem repetiit, hæc homilia in finem anni 403, vel insequentis 404 initium referenda erit. Certe non aliam antehac persequutionem passus est Chrysostomus : unde sequitur probabiliter posse in hoc tempus hanc homiliam conferri.

De sancto Phoca martyre hæc disserit Fronto Ducæus : « Phocæ martyris meminit S. Gregorius Naz. ad Vitalianum, eique prope Trapezuntem dicatum fuisse templum Chalcondylus scribit. In Catalogo Bibliothecæ Augustanæ fit mentio Andreæ Chartophylacis, cujus in ea Ms. servatur Encomium in S. martyrem

larius, quæ digna est habita pro Christo pati quidpiam eorum, quæ nobis gravia et intolerabilia videntur. Jam se translatos in cælum esse, ac cum angelis ducere choreas putabant. Quid enim amplius illis cælo et angelis opus erat, cum in deserto cum illis angelorum Dominus Jesus esset? Nam si, ubi sunt duo vel tres congregati in nomine ejus, ibi est in medio eorum (*Matth.* 18, 20), multo magis in medio illorum tunc erat, qui congregati tum fuerant non ut in nomine, sed ut pro nomine ejus perpetuo torquerentur. Nostis enim, nostis aperte hoc supplicio gravius esse nullum, eosque, qui sententia sunt illa damnati, sexcentas alias mortes malle tolerare, quam eos, qui illic inuruntur, dolores sustinere. Metallis addicti fuerunt, ubi æs effodiendum erat plerumque ab ipsis, qui auri metallo erant pretiosiores, et auro, quod materia non constat, quod non damnatorum effoditur manibus, sed fidelium virorum studio reperitur : in metallis opus faciebant, qui thesauris innumeris abundabant. Quid erat gravius et acerbius illa vita? Et in seipsis evenisse narrationes et historias de viris illis magnis cernebant, quas de sanctis refert Paulus dicens : *Circuierunt in melotis, in pellibus caprinis, egentes, angustiati, afflicti, quibus dignus non erat mundus* (*Hebr.* 11. 37. 38).

Moralis exhortatio. — Hæc itaque cum sciamus, et nunc et olim, ex quo nati sunt homines, ærumnosam et laboriosam ac innumeris refertam malis Dei amicos omnes vitam esse sortitos : ne delicatam ac dissolutam et voluptatibus affluentem vitam consectemur, sed laboriosum atque ærumnosum vitæ genus afflictionis et miseriæ plenum. Ut enim fieri nequit, ut is, qui in agone contendit, per somnum et torporem ac delicias coronas etiam consequatur, neque miles tropæa, neque portum gubernator, nec aream repletam agricola : sic nec ut fidelis, qui vitam suam in pigritia ac remissione traduxerit, bona promissa consequatur. Annon igitur absurdum est in omnibus quidem rebus sæculi hujus ante voluptatem labores esse propositos, et ante securitatem pericula, idque cum vilium et exiguarum rerum post labores illos exspectatio relinquatur; cum vero cælum sit propositum, angelorum honores, vita quæ nullo fine terminatur, cum angelis conversatio, et bona quæ nec intelligere nec effari quisquam potest : sperare nos fore, ut per desidiam et inertiam animique remissionem ea consequamur, nec eamdem illis dignari diligentiam quam sæcularibus rebus impendere? Ne, obsecro, ne adeo male de nobis, deque nostra ipsorum salute statuamus; sed oculis nostris ad sanctos istos conversis, ad generosos atque tolerantes athletas, qui nobis, ut quasi faces præluceant, dati sunt, ad horum tolerantiam atque patientiam vitam nostram componamus, ut eorum precibus, postquam hinc excesserimus, cum illos videre, tum amplecti possimus, atque in illis cælestibus tabernaculis collocari. Quo nos omnes utinam consequamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri et Spiritui sancto gloria in sæcula sæculorum. Amen.

MONITUM.

Phocam Thaumaturgum. Et in Martyrologio Romano legimus 5 Martii ex Gregorio Turonensi De gloria Mårtyrum : *Natalis S. Phocæ apud Antiochiam.* Itemque 14 Julii : *Sinope in Ponto S. Phocæ martyris ejusdem civitatis Episcopi,* cujus reliquias Viennam Galliæ translatas Ado testatur in Chronico; in Horologio Græcorum 22 Junii notatur, ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ, quod apud Usuardum a Molano editum sic legitur, *Reportatio Lipsani sancti Hieromartyris Phocæ :* in Calendario vero Græcorum, interprete Genebrardo, *Translatio Reliquiarum Phocæ martyris;* rursus 22 Septembris, τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ. In Menologio græce Venetiis edito duplicis Phocæ passio breviter eodem die 22 Septembris perstringitur; ac prioris quidem; τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ, qui fuisse Pamphili et Mariæ filius perhibetur, Sinope in Ponto natus, atque a teneris unguiculis miraculorum gloria claruisse eique martyrium hoc signo prænuntiatum est : insidens capiti ejus columba coronam imposuit humana ejusmodi voce missa : Mistus est calix, teque bibere illum oportet. Quod et ipsi Dei munere concessum est : nam Imperatore Trajano martyrium gladio pariter et igne consummavit, post mortem clarus miraculis. Posterior vero Phocas ibidem hortulanus fuisse dicitur, Sinope quoque oriundus, qui satellites, a quibus ad necem quærebatur, hospitio excepit, ac seipsum illis prodidit, uti narrat apud Lipomanum Asterius, et amputato capite grata Deo victima oblatus fuit. Ex his duobus priorem, qui Episcopus fuit, suspicor hac oratione laudari, quod ἱερομάρτυς in inscriptione tractatus dicatur, quo titulo sæpius in Menologio [704] Episcopos aut Presbyteros martyrio exornatos a Græcis insigniri video, ut Ignatium, Dionysium et Blasium, ut et ἱερομονάχους appellant monachos, qui presbyteri creati, et in ecclesiasticam hierarchiam sunt allecti. »

Interpretatio Latina est Frontonis Ducæi.

DE S. HIEROMARTYRE PHOCA,

ET CONTRA HÆRETICOS,

Atque in Psalmum CXLI, « *Voce mea ad Dominum clamavi : voce mea ad Deum deprecatus sum* (*a*). »

1. Splendida nobis hesterno die facta est civitas, splendida et illustris, non quia columnas, sed quia martyrem habuit cum pompa incedentem, qui ad nos ex Ponto advenit. Vidit vestram hospitalitatem, et vos benedictione cumulavit; laudavit animi vestri alacritatem, et eos qui advenerant, benedixit. Beatos illos, qui convenerant, prædicavi, quique suavis ejus odoris participes fuerant, et eos qui aberant, miseros appellavi : verumtamen, ne damnum eorum fiat irreparabile, rursus ipsum altera die prædicamus, ut et ii qui ob negligentiam abfuerunt, a martyre impertitam duplicent diligentia benedictionem. Etenim quod sæpenumero dixi, hoc quoque dicere non cessabo : non pœnas peccatorum repeto, sed ægrotantibus medicinam paro. Abfuisti heri? saltem hodie adesto, ut eum in proprium videas locum deduci. Vidisti eum per forum ductum? cerne jam ipsum per mare navigantem, ut elementum utrumque ejus benedictione repleatur.

Imperatores colunt Martyres. — Nemo ab hac sacra solemnitate absit : non virgo domi remaneat, non mulier ædibus se contineat : exhauriamus urbem, et nos ad sepulcrum martyris conferamus; nam et Imperatores una nobiscum choreas ducunt. Quamnam igitur veniam meretur privatus, cum regia palatia deserant Imperatores, et martyris sepulcro assideant? Talis nimirum est virtus martyrum, ut non modo privatos, sed eos etiam qui diademata gestant, sagena concludat : hæc gentilium est ignominia, hæc erroris ipsorum opprobrium, hæc dæmonum perditio, hæc nostra nobilitas, et Ecclesiæ corona. Exsulto cum martyribus, et præ lætitia tripudio, dum pratorum loco tropæum ipsorum intueor, quoniam pro fontibus sanguinem effuderunt : illorum ossa consumpta sunt, at illorum memoria in dies fit recentior. Ut enim fieri nequit ut sol exstinguatur, ita neque ut martyrum memoria pereat : ipse enim Christus pronuntiavit, *Cælum et terra transibunt, verba autem mea non præteribunt* (*Matth.* 24. 35). Verum martyris quidem laudes ad conveniens usque tempus exspectemus : nam et de illis satis multa dicta sunt propter eorum studium, qui congregari debuerant et festivitatis diem celebrem reddere. Quod enim hesterno die dixi, etiam hodie rursus dico : martyri quidem gloria nulla ex multorum præsentia comparabitur, vos autem benedictionem lucrifacietis ex eo quod ad martyrem accesseritis. Quemadmodum enim is, qui oculos in solem convertit, astrum ille quidem splendidius minime reddit, sed oculos suos illuminat : ita nimirum et is, qui martyri honorem defert, clariorem illum non efficit, sed ipse ab illo sibi benedictionem lucis accersit.

Lampades in supplicationibus Christianorum. Non hæreticum, sed hæresim persequitur. — Iterum mare ecclesiam efficiamus cum lampadibus illuc prodeuntes, et ignem humectantes, et aquam igne complentes : nemo pelagus reformidet; mortem martyr non reformidavit, et tu aquam pertimescis? Sed in hanc quidem sententiam satis multa jam diximus : age ergo ex his etiam quæ hodie recitata sunt, consuetam mensam vobis apponamus : licet enim corpora vestra coarctentur, tamen animus alis erigatur : neque enim vestram coarctationem, sed animi vestri alacritatem specto. Gubernatori quoque mare fluctibus agitatum jucundum est, et doctori ecclesia turbis undans : non enim in aquis est istis salsugo, non scopulus, neque belluæ, sed mare ac pelagus odore suavi redundans : hic navigia, quæ non a terra in terram, sed a terra in cælum trajiciunt; quæ non pecunias gerunt, non aurum, non argentum, sed fidem, et caritatem, et zelum, et sapientiam.

2. Age itaque navem diligenter emittamus, quæ numquam perit, numquam naufragium patitur. Sed .is, quæ dicuntur, attendite diligenter; psalmus siquidem hodie in aciem contra hæreticos nos educit, non ut illos stantes prosternamus, sed ut jacentes eri-

(*a*) Collata cum uno Regio Ms. qui non variat.

[1704] ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΦΩΚΑΝ,

ΚΑΙ ΚΑΤΑ ΑΙΡΕΤΙΚΩΝ

Καὶ εἰς τὸν ρμα' ψαλμὸν, « Φωνῇ μου πρὸς τὸν Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην. »

—

α'. Λαμπρὰ γέγονεν ἡμῖν χθὲς ἡ πόλις, λαμπρὰ καὶ περιφανὴς, οὐκ ἐπειδὴ κίονας εἶχεν, ἀλλ' ἐπειδὴ μάρτυρα πομπεύοντα ἀπὸ Πόντου πρὸς ἡμᾶς παραγενόμενον. Εἶδεν ὑμῶν τὴν φιλοξενίαν, καὶ ἐνέπλησεν ὑμᾶς τῆς εὐλογίας· ἐπῆνεσεν ὑμῶν τὴν προθυμίαν, καὶ εὐλόγησε τοὺς παραγενομένους. Ἐμακάρισα τοὺς συνελθόντας καὶ μετασχόντας αὐτοῦ τῆς εὐωδίας, καὶ ἐταλάνισα τοὺς ἀπολειφθέντας· ἀλλ' ἵνα μὴ ἡ ζημία αὐτῶν ἀνίατος γένηται, πάλιν ἐν ἑτέρᾳ ἡμέρᾳ ἀναχηρύττομεν αὐτὸν, ἵνα καὶ οἱ ἀπολειφθέντες διὰ ῥᾳθυμίαν διπλασιάσωσι τῇ σπουδῇ τὴν εὐλογίαν τὴν παρὰ τοῦ μάρτυρος. Ὁ μὲν γὰρ πολλάκις εἶπον, τοῦτο καὶ λέγων οὐ παύσομαι· οὐκ εὐθύνας ἀπαιτῶ ἁμαρτημάτων, ἀλλὰ τοῖς ἀσθενοῦσι φάρμακα κατασκευάζω. Ἀπελείφθης χθές; παραγενοῦ κἂν σήμερον, ἵνα ἴδῃς αὐτὸν εἰς τὸν οἰκεῖον χῶρον ἀπαγόμενον. Εἶδες αὐτὸν διὰ τῆς ἀγορᾶς ἀγόμενον; βλέπε αὐτὸν καὶ διὰ τοῦ πελάγους πλέοντα, ἵνα ἑκάτερα τὰ στοιχεῖα τῆς παρ' αὐτοῦ εὐλογίας ἐμπλησθῇ.

Μηδεὶς ἀπολιμπανέσθω τῆς ἱερᾶς ταύτης πανηγύρεως· μὴ παρθένος οἴκοι μενέτω, μὴ γυνὴ τὴν οἰκίαν κατεχέτω, κενώσωμεν τὴν πόλιν, καὶ πρὸς τὸν τάφον τοῦ μάρτυρος μεθορμίσωμεν· καὶ γὰρ καὶ βασιλεῖς κοινῇ μεθ' ἡμῶν χορεύουσι. Ποίαν οὖν συγγνώμην ἔχει ὁ ἰδιώτης, βασιλέων τὰς βασιλικὰς αὐλὰς καταλιμπανόντων, καὶ τῷ τάφῳ τοῦ μάρτυρος παρακαθημένων; Τοιαύτη γὰρ τῶν μαρτύρων ἡ δύναμις, ὡς μὴ μόνον τοὺς ἰδιώτας, ἀλλὰ καὶ τοὺς τὰ διαδήματα φοροῦντας σαγηνεύειν· αὕτη τῶν Ἑλλήνων ἡ αἰσχύνη, αὕτη τῆς πλάνης αὐτῶν τὸ ὄνειδος, αὕτη τῶν δαιμόνων ἡ ἐξολόθρευσις· αὕτη ἡμῶν ἡ εὐγένεια, καὶ τῆς Ἐκκλησίας ὁ στέφανος. Χορεύω μετὰ μαρτύρων, καὶ σκιρτῶ, ἀντὶ λειμώνων βλέπων αὐτῶν τὸ τρόπαιον, ὅτι ἀντὶ πηγῶν αἷμα ἔῤῥεον· τὰ ὀστᾶ αὐτῶν ἐδαπανήθη, καὶ ἡ μνήμη αὐτῶν καθ' ἑκάστην ἡμέραν νεαρωτέρα γίνεται. Ὥσπερ γὰρ τὸν ἥλιον ἀμήχανον σβεσθῆναι, οὕτω καὶ μνήμην μαρτύρων· αὐτὸς γὰρ ὁ Χριστὸς ἀπεφήνατο· *Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.* Ἀλλὰ τοῦ μὲν μάρτυρος τὰ ἐγκώμια εἰς τὸν προσήκοντα καιρὸν ἀναμείνωμεν· καὶ γὰρ καὶ ταῦτα ἀρκούντως εἴρηται διὰ τὴν σπουδὴν τῶν ὀφειλόντων συναχθῆναι, καὶ περιφανῆ ποιῆσαι τὴν ἡμέραν τῆς ἑορτῆς. [705] Ὃ μὲν γὰρ καὶ χθὲς ἔλεγον, καὶ σήμερον πάλιν λέγω, τῷ μὲν μάρτυρι οὐδεμία δόξα ἀπὸ τῆς τῶν πολλῶν παρουσίας γενήσεται, ὑμῖν δὲ πλείων ἔσται ἡ εὐλογία ἀπὸ τοῦ παραγενέσθαι πρὸς τὸν μάρτυρα. Ὥσπερ γὰρ ὁ πρὸς τὸν ἥλιον βλέπων τὸ μὲν ἄστρον φαιδρότερον οὐ ποιεῖ, τὰ δὲ οἰκεῖα ὄμματα καταυγάζει· οὕτω δὴ καὶ ὁ μάρτυρα τιμῶν, ἐκεῖνον λαμπρότερον οὐ ποιεῖ, ἀλλ' αὐτὸς παρ' ἐκείνου τὴν εὐλογίαν τοῦ φωτὸς ἐπισπᾶται.

Ποιήσωμεν πάλιν τὴν θάλατταν ἐκκλησίαν μετὰ λαμπάδων ἐξιόντες ἐκεῖσε, καὶ τὸ πῦρ ἐνυγραίνοντες, καὶ τὸ ὕδωρ ἐμπιμπλῶντες πυρός. Μηδεὶς φοβείσθω τὸ πέλαγος· ὁ μάρτυς θάνατον οὐκ ἐφοβήθη, καὶ σὺ τὸ ὕδωρ δέδοικας; Ἀλλὰ τοῦτον μὲν αὐτάρκως τὸν λόγον εἰρήκαμεν· φέρε δὴ καὶ ἐκ τῶν σήμερον εἰρημένων τὴν εἰωθυῖαν ὑμῖν παραθῶμεν τράπεζαν. Εἰ γὰρ καὶ στενοχωρεῖται ἡμῶν τὰ σώματα, ἀλλ' ἀναπτερούσθω ἡ διάνοια· οὐδὲ γὰρ τὴν στενοχωρίαν ὑμῶν, ἀλλὰ τὴν προθυμίαν βλέπω. Ἠδὺ καὶ κυβερνήτῃ θάλαττα κυματουμένη, καὶ διδασκάλῳ ἐκκλησία πελαγιζομένη· οὐ γάρ ἐστιν ἐν τοῖς ὕδασι τούτοις οὔτε ἄλμη, οὔτε σκόπελος, οὔτε θηρία, ἀλλὰ θάλαττα καὶ πέλαγος γέμον εὐωδίας· ἐνταῦθα πλοῖα οὐκ ἀπὸ γῆς εἰς γῆν, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανὸν μεθορμιζόμενα, οὐ χρήματα ἔχοντα, οὐ χρυσὸν, οὐδὲ ἄργυρον, ἀλλὰ πίστιν, καὶ ἀγάπην, καὶ ζῆλον, καὶ σοφίαν.

β'. Φέρε δὴ τοίνυν μετὰ ἀκριβείας ἐφίεμεν τὸ πλοῖον μηδέποτε ἀπολλύμενον, μηδὲ ναυάγιον ὑπομένον. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας τοῖς λεγομένοις· ὁ γὰρ ψαλμὸς ἡμᾶς σήμερον εἰς παράταξιν ἐξάγει τῶν αἱρετικῶν, οὐχ ἵνα αὐτοὺς ἑστῶτας βάλλωμεν, ἀλλ'

ἵνα κειμένους ἀναστήσωμεν· τοιοῦτος γὰρ ἡμῶν ὁ πόλεμος· οὐκ ἀπὸ ζώντων νεκροὺς ἐργάζεται, ἀλλ' ἀπὸ νεκρῶν ζῶντας κατασκευάζει, ἡμερότητος γέμων καὶ πολλῆς τῆς ἐπιεικείας. Οὐ γὰρ ἐλαύνω πράγματι. ἀλλὰ τῷ λόγῳ διώκω, οὐ τὸν αἱρετικόν, ἀλλὰ τὴν αἵρεσιν, οὐ τὸν ἄνθρωπον ἀποστρέφομαι, ἀλλὰ τὴν πλάνην μισῶ, καὶ ἐπισπάσασθαι βούλομαι· οὐκ ἔχω πόλεμον πρὸς οὐσίαν· Θεοῦ γὰρ ἔργον ἡ οὐσία· ἀλλὰ τὴν γνώμην διορθώσασθαι βούλομαι, ἣν διέφθειρεν ὁ διάβολος. Οὕτω καὶ ἰατρὸς ἄῤῥωστον θεραπεύων, οὐ τῷ σώματι πολεμεῖ, ἀλλὰ τοῦ σώματος τὴν κακίαν ἀναιρεῖ. Κἀγὼ τοίνυν ἐὰν πολεμήσω αἱρετικοῖς, οὐκ αὐτοῖς τοῖς ἀνθρώποις πολεμῶ, ἀλλὰ τὴν πλάνην ἐκβαλεῖν βούλομαι, καὶ τὴν σηπεδόνα ἐκκαθᾶραι. Ἐμοὶ ἔθος ἐστὶ διώκεσθαι καὶ μὴ διώκειν, ἐλαύνεσθαι καὶ μὴ ἐλαύνειν. Οὕτω καὶ ὁ Χριστὸς περιεγένετο, οὐ σταυρώσας, ἀλλὰ σταυρωθείς, οὐ ῥαπίσας, ἀλλὰ ῥαπισθείς. *Εἰ μὲν κακῶς ἐλάλησα, φησὶ, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* Ὁ Δεσπότης τῆς οἰκουμένης τῷ δούλῳ τοῦ ἀρχιερέως ἀπολογεῖται, καὶ ῥαπισθεὶς τὸ στόμα, ὅθεν ἐξῆλθε ῥῆμα, καὶ τὴν θάλατταν ἐχαλίνωσε, καὶ τετραήμερον Λάζαρον ἐκ νεκρῶν ἤγειρεν· ὅθεν κακία ἐδραπέτευσεν, ὅθεν νοσήματα καὶ ἁμαρτήματα ἐλύετο· τοῦτο τοῦ σταυρωθέντος τὸ θαῦμα. Καὶ γὰρ δυνάμενος κεραυνὸν ἀφεῖναι, καὶ τὴν γῆν σεῖσαι, καὶ [706] τὴν χεῖρα τοῦ δούλου ξηρᾶναι, οὐδὲν τούτων ἐποίησεν, ἀλλὰ καὶ ἀπολογεῖται, καὶ πραότητι περιγίνεται, σὲ παιδεύων ἄνθρωπον ὄντα μηδέποτε ἀγανακτεῖν· κἂν σταυρωθῇς, κἂν ῥάπισμα λάβῃς, τὰ αὐτὰ ἵνα λέγῃς ὡς ὁ Δεσπότης σου· *Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* Καὶ ὅρα αὐτοῦ τὴν φιλανθρωπίαν, πῶς τὰ μὲν τῶν δούλων ἐκδικεῖ, τὰ δὲ ἑαυτοῦ παρατρέχει. Ἐγένετό τίς ποτε προφήτης, καὶ βασιλέα ἀσεβοῦντα διήλεγχε, καὶ ἐλθὼν φησι· *Θυσιαστήριον, θυσιαστήριον, ἄκουσον.* Ἐπειδὴ γὰρ ὁ βασιλεὺς Ἱεροβοὰμ εἱστήκει τοῖς εἰδώλοις ἀναφέρων θυσίαν, ἐλθὼν ὁ προφήτης τῷ θυσιαστηρίῳ διαλέγεται. Τί ποιεῖς, ὦ προφῆτα; τὸν ἄνθρωπον ἀφῆκας, καὶ τῷ θυσιαστηρίῳ διαλέγῃ; Ναὶ, φησί. Διὰ τί; Ἐπειδὴ λίθου ἀναισθητότερος ὁ ἄνθρωπος ἐγένετο, ἐκεῖνον ἀφίημι, καὶ τούτῳ διαλέγομαι, ἵνα μάθῃς, ὅτι ὁ λίθος ἀκούει, καὶ ὁ ἄνθρωπος οὐκ ἀκούει. *Ἄκουσον, θυσιαστήριον, ἄκουσον*, καὶ εὐθέως ἐῤῥάγη τὸ θυσιαστήριον. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βασιλεὺς, πιάσαι τὸν προφήτην βουλόμενος, καὶ οὐκ ἠδύνατο συστεῖλαι αὐτήν. Ὁρᾷς ὅτι μᾶλλον τὸ θυσιαστήριον ἤκουσεν, ἢ ὁ βασιλεύς; ὁρᾷς ὅτι τὸν λογικὸν ἀφῆκε, καὶ τῷ ἀλόγῳ διαλέγεται, ἵνα διὰ τῆς τούτου ὑπακοῆς τὴν ἐκείνου ἀναισθησίαν καὶ κακίαν διορθώσηται; Ἐῤῥάγη τὸ θυσιαστήριον, καὶ ἡ κακία τοῦ βασιλέως οὐκ ἐῤῥάγη. Ἀλλ' ὅρα τὸ γεγενημένον· ἐξέτεινε τὴν χεῖρα ὁ βασιλεὺς λαβεῖν τὸν προφήτην, καὶ εὐθέως ἐξηράνθη ἡ χεὶρ αὐτοῦ. Ἐπειδὴ τῇ τιμωρίᾳ τοῦ θυσιαστηρίου οὐκ ἐγένετο βελτίων, τῇ οἰκείᾳ κολάσει παιδεύεται τοῦ Θεοῦ τὴν ὑπακοήν. Ἐγὼ μὲν γάρ σου φειδόμενος εἰς λίθον ἠθέλησα ἀφεῖναι τὴν ὀργήν· ἐπειδὴ δὲ οὐκ ἐγένετό σοι διδάσκαλος ὁ λίθος, λάμβανε σὺ τὴν τιμωρίαν. Καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ παραυτίκα ἐξηράνθη. Εἱστήκει λοιπὸν τὸ τρόπαιον τοῦ προφήτου, καὶ συστεῖλαι αὐτὴν ὁ βασιλεὺς οὐκ ἠδύνατο. Ποῦ τὸ διάδημα; ποῦ αἱ πορφυρίδες; ποῦ οἱ θώρακες; ποῦ αἱ ἀσπίδες; ποῦ τὸ στρατόπεδον; ποῦ τὰ δόρατα; Ὁ Θεὸς ἐκέλευσε, καὶ πάντα ἐκεῖνα ἀπώλετο· παρειστήκεισαν οἱ σατράπαι βοηθῆσαι μὲν οὐ δυνάμενοι, θεωροὶ δὲ τῆς πληγῆς γενόμενοι μόνον. Καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βασιλεὺς, καὶ ἐξηράνθη· ὅτε ἐγένετο ξηρὰ, τότε καρπὸν ἤνεγκε. Βλέπε μοι τὸ ὑπόδειγμα τὸ ἐπὶ τοῦ ξύλου τοῦ ἐν τῷ παραδείσῳ, καὶ τοῦ ξύλου τοῦ ἐν τῷ σταυρῷ. Ὥσπερ γὰρ τὸ ξύλον ἐκεῖνο χλωρὸν ὂν θάνατον ἔτεκε, τὸ δὲ ξύλον τοῦ σταυροῦ ξηρὸν ὂν ζωὴν ἐγέννησεν· οὕτω καὶ ἐπὶ τῆς χειρὸς τοῦ βασιλέως ἐγένετο, ὅτε χλωρὰ ἦν, τότε ἀσέβειαν ἔτεκεν, ὅτε ξηρὰ ἐγένετο, τότε τὴν ὑπακοὴν προσήγαγεν· ἴδε τοῦ Θεοῦ τὰ παράδοξα πράγματα.

Ἀλλ' ὅπερ ἔλεγον, ὅτε αὐτὸς ἐῤῥαπίζετο, οὐδὲν κακὸν τῷ ῥαπίζοντι ἐποίει· ὅτε δὲ ὁ δοῦλος ἔμελλεν ὑβρίζεσθαι, τὸν βασιλέα ἐκόλασε, σὲ παιδεύων τὰ μὲν τοῦ Θεοῦ ἐκδικεῖν, τὰ δὲ οἰκεῖα παρατρέχειν. Ὥσπερ γὰρ τὰ ἐμὰ παρατρέχω, τὰ δὲ σὰ ἐκδικῶ· οὕτω καὶ σὺ τὰ ἐμὰ ἐκδίκει, τὰ δὲ σὰ παράτρεχε. Ἀλλὰ συντείνατέ μοι τὴν ἀκοὴν (ἔνθα γὰρ ἀγώνων καιρὸς, ἀκροατῶν χρεία συντεταμένην ἐχόντων τὴν ἀκοὴν), ἵνα εἰδῆτε [707] μετὰ ἀκριβείας πῶς δεσμεύω, πῶς λύω τὰ τῶν ἀντιδίκων ἁμαρτήματα, πῶς παλαίω, πῶς ῥήσσω. Εἰ γὰρ οἱ ἐν τῷ θεάτρῳ καθήμενοι ἐπικύπτουσι δύο παλαιόντων, τὴν ὄψιν αὐτῶν καὶ τὴν ἡλικίαν ἐκτείνοντες, ἵνα ἴδωσι παλαίσματα αἰσχύνης γέμοντα, ἵνα ἴδωσι παλαίσματα, ἃ μιμήσασθαι αἰσχύνη, πολλῷ μᾶλλον ἡμᾶς προσέχειν δεῖ τῇ τῶν θείων Γραφῶν ἀκροάσει. Εἰ γὰρ ἐπαινεῖς τὸν ἀθλητὴν, διὰ τί οὐ γίνῃ ἀθλητής; εἰ δὲ αἰσχύνῃ γενέσθαι ἀθλητὴς, διὰ τί μιμῇ τούτων τὸν ἔπαινον; Ἀλλ' οὐκ ἔστιν ἐνταῦθα τοιαῦτα τὰ παλαίσματα, ἀλλὰ κοινὰ πᾶσι καὶ ὠφέλιμα καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι. Παλαίω γὰρ μετὰ τοῦ αἱρετικοῦ, ἵνα καὶ ὑμᾶς ἀθλητὰς ἀπεργάσωμαι, ἵνα μὴ μόνον ψάλλοντες, ἀλλὰ καὶ διαλεγόμενοι τὴν γλῶτταν αὐτῶν ἀπορράπτητε. Τί οὖν φησιν ὁ προφήτης; *Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην.* Πρόσχες· μὴ δοκεῖ ἔχειν ἀφορμὴν παλαισμάτων τὸ ῥηθέν; Ὅρα πῶς πλέκω τὸν στέφανον καὶ τῶν ἀγώνων τὴν ὑπόθεσιν. *Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην.* Ἐνταῦθά μοι τὸν αἱρετικὸν κάλει· ἐάν τε παρῇ, ἐάν τε μὴ παρῇ. Ἐάν τε γὰρ παρῇ, παρὰ τῆς ἡμετέρας φωνῆς παιδευέσθω· ἐάν τε μὴ παρῇ, διὰ τῆς ὑμετέρας ἀκροάσεως μανθανέτω. Ἀλλ' ὅπερ εἶπον, οὐκ ἐλαύνω αὐτὸν παρόντα, ἀλλὰ δέχομαι αὐτὸν ἐλαυνόμενον. οὐ παρ' ἡμῶν, ἀλλ' ἀπὸ τοῦ οἰκείου συνειδότος, κατὰ τὸν λέγοντα, *Φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος.* Ἡ Ἐκκλησία μήτηρ ἐστὶ τῶν οἰκείων τέκνων, καὶ τούτους δεχομένη, καὶ τοῖς ξένοις τοὺς κόλπους ἐφαπλοῦσα. Κοινὸν θέατρον ἡ κιβωτὸς ἡ τοῦ Νῶε ἦν, ἀλλ' ἡ Ἐκκλησία καὶ ταύτης βελτίων. Ἐκείνη μὲν γὰρ ἐλάμβανεν ἄλογα, καὶ ἐφύλαττεν ἄλογα· αὕτη δὲ λαμβάνει ἄλογα, καὶ μεταβάλλει. Οἷόν τι λέγω· Ἐὰν εἰσέλθῃ ἐνταῦθα ἀλώπηξ αἱρετικὸς, ποιῶ τοῦτον πρόβατον· ἐὰν εἰσέλθῃ λύκος, ποιῶ αὐτὸν ἀρνίον τὸ ἐμὸν μέρος· ἐὰν δὲ μὴ βούληται, οὐδὲν παρ' ἐμὲ, ἀλλὰ παρὰ τὴν

gamus : ejusmodi namque nostrum est bellum . non ex vivis mortuos reddit, sed ex mortuis vivos efficit, mansuetudine ac multa redundans benignitate. Non enim factis insector, sed verbis persequor, non hæreticum, sed hæresim, non hominem aversor, sed errorem odio prosequor et avellere conor: non est mihi bellum susceptum cum substantia ; Dei siquidem opus est substantia : sed corrigere mentem volo, quam diabolus corrupit. Sic et medicus dum ægrotum curat, non corpus oppugnat, sed corporis vitium tollit. Sic igitur ego quoque, si cum hæreticis bellum gessero, non cum hominibus bellum gero, sed errorem expellere volo, ac putredinem expurgare.

Christus patientiæ præbet exemplum. — Mihi consuetum est persequutionem pati, non persequi : vexari, non vexare. Sic et Christus vincebat, non cruci affigens, sed cruci affixus ; non alapis cædens, sed alapis cæsus. *Si male loquutus sum*, inquit, *testimonium perhibe de malo ; si autem bene, quid me cædis* (*Joan.* 18. 23)? Dominus orbis terrarum apud servum pontificis se purgat, etiam alapis in ore cæsus, unde prodiit verbum, et mare frenavit, et quatriduanum Lazarum a mortuis excitavit : unde malum fugiebat, unde ægritudines et peccata solvebantur : hoc est miraculum Crucifixi. Nam cum fulmina vibrare posset, ac terram concutere, servique manum arefacere, nihil horum fecit ; sed et se purgat, et superat benignitate, te erudiens, ut cum homo sis, numquam excandescas : licet cruci affigaris, licet alapam accipias, ut eadem dicas quæ Dominus tuus, *Si male loquutus sum, testimonium perhibe de malo ; si autem bene, quid me cædis?* Ac vide ipsius benignitatem, quo pacto quæ servorum quidem suorum sunt vindicet, quæ vero sua sunt, prætermittat. Propheta quondam fuit, qui regem impie agentem redarguebat ; et cum accessisset, dixit : *Altare, altare, audi* (3. *Reg.* 13. 2). Nam quoniam rex Jeroboam sacrificium idolis offerens stabat, tum veniens propheta cum altari colloquitur. Quid agis, o propheta ? hominem dimittis, et cum altari colloqueris? Ita est, inquit. Quare? Quandoquidem homo magis expers sensus ac stupidior lapide factus est, omitto illum et cum isto colloquor, ut intelligas audire lapidem, et hominem non audire. *Audi, altare, audi :* et subito ruptum est altare. Extendit manum suam rex, cum prophetam vellet corripere, neque potuit illam ad se reducere. Vides, ut altare potius, quam rex audierit? vides, ut omisso eo qui ratione præditus erat, id quod erat rationis expers sit alloquutus, ut per istius obedientiam illius stuporem malitiamque corrigeret? Fractum est altare, et regis malitia fracta non est. Ac vide, quid acciderit : extendit manum suam rex, ut prophetam comprehenderet, et continuo manus ejus exaruit. Quoniam altaris supplicio melior factus non est, propria pœna obedientiam Dei docetur. Ego quidem tibi parcens volui in lapidem iram effundere ; quando autem lapidis magisterio non es eruditus, tu supplicium excipe. Et extendit manum suam, et e vestigio exaruit (*Ib. v.* 4). Stabat deinceps tropæum prophetæ, et rex contrahere ipsam non poterat. Ubi diadema ? ubi vestes purpureæ ? ubi loricæ ? ubi clypei ? ubi exercitus ? ubi lanceæ ? Jussit Deus, et omnia illa perierunt : circumstabant satrapæ, qui succurrere minime poterant, at plagæ tantum spectatores erant redditi. Et extendit manum suam rex, et exaruit : quando arida facta est, tunc fructum tulit. Considera mihi exemplum, quod occurrit in ligno, quod in paradiso fuit, et in ligno, quod fuit in cruce. Sicut enim lignum illud, cum esset viride, mortem peperit, lignum vero crucis, cum aridum esset, vitam genuit : sic et in manu regis accidit : quando viridis erat, tunc impietatem peperit ; quando arida facta est, tunc obedientiam produxit : vide facta Dei mirabilia.

Deus servorum suorum ulciscitur injurias. — Sed quod dicebam, quando alapis ipse cædebatur, nihil mali cædenti inferebat : quando autem servus injuriam passurus erat, regem punivit, ut te doceat ea quidem quæ Dei sunt vindicare, quæ vero propria sunt prætermittere. Sicut enim ego mea prætermitto, tua vero vindico : sic et tu mea vindica, tua vero prætermitte. Verum arrigite mihi aures vestras : ubi enim certaminum tempus est, auditoribus est opus, quibus arrectæ sint aures et attentæ, ut diligenter advertatis, quo pacto ligem, quo pacto solvam adversariorum delicta, quo pacto lucter, quo pacto feriam. Nam si illi qui in theatro sedent duobus certantibus, oculos suos et corporis staturam extendentes, proni prospectant, ut certamina videant probri plena, ut certamina videant quæ imitari probrosum est : multo magis nos oportet audiendis Scripturis divinis aures attentas præbere. Si enim laudas athletam, cur non fis athleta? sin autem fieri athletam probrosum est, cur istorum laudes imitaris? At ejusmodi non sunt hic certamina, sed communia cunctis et utilia tum dicentibus, tum audientibus. Cum hæreticis namque decerto, ut et vos athletas effieiam, ut non modo dum psallitis, sed et dum colloquimini, linguam eorum compescatis. Quid igitur ait propheta? *Voce mea ad Dominum clamavi : voce mea ad Deum deprecatus sum* (*Psal.* 141. 2). Adverte : num certaminum occasionem præbere videtur, quod dictum est? Vide quo pacto nectam coronam et certaminum materiam parem. *Voce mea ad Dominum clamavi : voce mea ad Deum deprecatus sum* (*Ibid.*). Hic tu mihi hæreticum voca, sive adsit, sive non adsit. Si enim adsit, a voce nostra doceatur ; si vero non adsit, a vobis, qui audieritis, discat. Sed quod dicebam, non persequor ipsum præsentem, sed ipsum excipio persequutionem passum, non a me, sed a propria conscientia, juxta eum qui dixit : *Fugit impius nemine persequente* (*Prov.* 28. 1). Mater est filiorum suorum Ecclesia, quæ et istos excipit, et peregrinis sinum expandit. Commune theatrum erat arca Noe, sed Ecclesia melior est etiam quam ista. Nam bruta quidem animalia illa recipiebat, et bruta conservabat : hæc autem bruta recipit, et transmutat. Exempli gratia, si intraverit vulpes hæreticus, ipsum ovem efficio ; si intraverit lupus, ipsum agnum efficio, quantum in me situm est (*a*) ; sin autem noluerit, non

(*a*) Hæc confer cum orat. I de Laudibus Pauli et cum VIII de Pœnitentia num. 1.

id vitio meo fit, sed ex ipsius improbitate, quandoquidem Christus etiam duodecim discipulos habuit, et unus factus est proditor, verum non a Christo, sed ab animo suo vitiato : quandoquidem et Elisæus discipulum habuit avarum (4. *Reg.* 5), at non ab imbecillitate doctoris, sed a discipuli negligentia. Equidem semina jacio : si terra sis pinguis semen excipiens, etiam segetem reddis ; sin autem petra sis sterilis, nullo meo vitio id fit : sive audieris, sive non audieris, spirituale tibi carmen occinere, vulnera mitigare non desinam, ne in illo die audiam, *Serve male, oportuit te committere pecuniam meam numulariis* (*Matth.* 25. 26). *Voce mea ad Dominum clamavi ; voce mea ad Deum deprecatus sum* (*Psal.* 141. 2).

3. *Contra Anomœos agit ; a Scripturis petunt erroris ansam hæretici.* — Quid ais, hæretice? de quonam dicit hæc prophela, et quem Dominum ac Deum appellat? de una enim persona fit sermo. Illi siquidem in suum caput Scripturas adulterantes, ac perpetuo argumenta adversus salutem suam perquirentes, in perditionis barathrum seipsos detrudere se non animadvertunt. Filium enim Dei neque qui laudat, clariorem efficit ; neque qui blasphemiis et contumeliis afficit, lædit : non enim indiget laude nostra natura incorporea ; sed quemadmodum is qui splendidum solem dicit, lucem illi non addit, neque qui dicit tenebrosum, substantiam ejus imminuit, sed propriæ cæcitatis indicem profert sententiam : ita qui Filium Dei Filium non dicit, at creaturam, insaniæ suæ prodit argumentum ; qui vero substantiam ejus agnoscit, probitatem suam ostendit ; et nec iste beneficiis ipsum cumulat, nec ille quidquam ipsum lædit, sed hic quidem pro salute sua, ille vero adversus salutem suam dimicat. Verum, ut dicebam, Scripturas adulterantes, alia quidem prætervolant, quærunt autem, num alicubi argumentum aliquod offendant, quod ipsorum morbo suffragari ac favere videatur. Neque mihi tu dixeris in causa esse Scripturam : non Scriptura, sed ipsorum improbitas est in causa : quandoquidem mel quoque dulce est, at qui æger est, acerbum illud arbitratur ; verum non mellis culpa, sed infirmitatis est crimen. Ita qui furiosi sunt, quæ videntur, non cernunt ; at eorum quæ videntur culpa non est, sed mentis vitiatæ furiosi hominis. Cælum Deus creavit, ut opus contemplemur, et opificem adoremus, at gentiles opus Deum fecerunt ; verum non opus, sed illorum improbitas est in causa : et quemadmodum improbus a nemine juvatur, ita probus a se ipso etiam juvatur. Quid Christo par? at ab eo non adjutus est Judas. Quid diabolo nequius? at Job corona redimitus est ; et neque Judam Christus adjuvit, quia is erat improbus, neque Job diabolus nocuit, quia hic probus erat. Hæc ego dico, ut nemo Scripturas accuset, sed eorum improbitatem, qui ea, quæ recte dicta sunt, male interpretantur. Nam et diabolus ex Scripturis cum Christo disputabat.

Num hæ voces, Deus et Dominus, *Patri et Filio propriæ sint ; nomen* Dominus *non est minus quam nomen* Deus. — Atqui non est in causa Scriptura, sed ea mens, quæ recte dicta male interpretatur. Dum enim Filium Patre minorem esse volunt ostendere, inusitata nomina curiose perquirentes circumeunt, deque verbis illis (*Deus* et *Dominus*) aiunt, Deum Patrem esse, Filium Dominum, et nomina dividunt : vocem quidem *Deus* Patri, vocem autem *Dominus* Filio tribuunt, ut qui deitatis distributores sint, et tamquam hereditatis divisores. Scriptura Filio dicit *Dominus?* ain tu, hæc dicit? Numquid psalmum non audisti ad unam personam hodie dicentem : *Voce mea ad Dominum clamavi : voce mea ad Deum deprecatus sum* (*Psal.* 141. 2)? Itaque et Dominum et Deum ipsum appellat. Utrum Deum esse vis Filium, an Patrem? Plane Patrem dices hæc nomina indicare. Igitur Deus est Filius et Dominus Pater. Quid ergo nomina dividis, et hoc quidem illic adjicis, illud autem hic dividis? Et vero Paulus ait (utinam Paulum audires, et beatus esses) : *Nobis tamen unus Deus Pater, ex quo omnia : et unus Dominus Jesus Christus, per quem omnia* (1. *Cor.* 8. 6). Unum Filium Deum vocavit? quid ergo? Dominum. Cur enim, quæso, splendidius est nomen Deus, quam Dominus, aut Dominus minus quam Deus? Attendite, obsecro, diligenter. Si ergo unum esse illa, Dominus et Deus, ostendero, quid dices? Nomen Deus majus esse dicis, Dominus autem minus? Audi prophetam dicentem : *Iste Dominus, qui fecit cælum : iste Deus, qui terram condidit* (*Isai.* 45. 18). Dominus cælum, et Deus terram. Hic in eadem persona et nomen Dominus, et nomen Deus posuit. Et rursus, *Audi Israel, Dominus Deus tuus Dominus unus est* (*Deut.* 6. 4). Bis Dominus, et semel Deus : ac primum Dominus, et deinde Deus, et rursus Dominus : quod si hoc deterius esset, illud autem majus, non de magna substantia, majorique vocabulum minus posuisset primum, sed majori dicto contentus fuisset, neque minus attribuisset. Num ea, quæ dixi, intellexistis? Iterum doceo : non enim hoc spectaculum est ad ostentationem, sed doctrina ad compunctionem, non ut inermes abeatis, sed ut armati recedatis. Nomen Deus majus esse dicis, hæretice, et minus esse nomen Dominus? Ostendi tibi prophetam dicentem, *Dominus qui fecit cælum, Deus qui condidit terram.* Moysem tibi rursus ostendo dicentem, *Audi Israel, Dominus Deus tuus Dominus unus est.* Quomodo unus, si duo sunt nomina, hoc quidem minoris, illud vero substantiæ majoris? Non enim utique seipsa major et minor est substantia, sed æqualis et connexa. *Dominus Deus tuus Dominus unus est.* En ostendo tibi nomen Dominus hoc esse idem, quod Deus : in summa autem si Dominus minus, Deus autem majus, quodnam ejus esse nomen debuit? Dominus minus, an Deus majus? Si dicat : Quodnam est nomen meum? quid ais, hæretice? an nomen Dominus Filii, nomen autem Deus Patris est tanquam magis proprium? Si nomen Dominus, quod est minus, denotare ipsum ostendero, quid facies? *Cognoscant quia nomen tibi Dominus* (*Psal.* 82. 19), inquit propheta. Num dixit Deus? Tametsi cur, si majus est Deus, non dixit propheta, Cognoscant quia nomen tibi Deus : si enim hoc quidem ejus proprium ac peculiare Deus, illud vero

εἰκεῖαν ἀγνωμοσύνην· ἐπεὶ καὶ ὁ Χριστὸς δώδεκα εἶχε μαθητὰς, καὶ εἷς προδότης ἐγένετο, ἀλλ' οὐ παρὰ τὸν Χριστὸν, ἀλλὰ παρὰ τὴν διεφθαρμένην γνώμην ἐκείνου· ἐπεὶ καὶ ὁ Ἐλισσαῖος εἶχε μαθητὴν φιλάργυρον, ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τοῦ διδασκάλου, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τοῦ μαθητοῦ. Ἐγὼ καταβάλλω τὰ σπέρματα· ἐὰν γῆ λιπαρὰ ᾖς δεχομένη τὰ σπέρματα, καὶ τὸν στάχυν ἀποδίδως· ἐὰν δὲ ᾖς πέτρα ἄγονος, οὐδὲν παρ' ἐμέ· ἐάν τε ἀκούσῃς, ἐάν τε μὴ ἀκούσῃς, οὐ παύσομαί σοι ἐπάδων ᾠδὴν πνευματικὴν, καταντλῶν τὰ τραύματα, ἵνα μὴ ἀκούσω κατὰ τὴν ἡμέραν ἐκείνην· *Πονηρὲ δοῦλε, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην.*

γ'. Τί λέγεις, αἱρετικέ; περὶ τίνος λέγει ὁ προφήτης, καὶ τίνα καλεῖ Κύριον καὶ Θεόν; περὶ ἑνὸς γὰρ προσώπου ὁ λόγος. Ἐκεῖνοι γὰρ παραγραφόμενοι τὰς Γραφὰς κατὰ τῆς ἑαυτῶν κεφαλῆς, καὶ ζητοῦντες ἀεὶ λήμματα κατὰ τῆς ἑαυτῶν σωτηρίας, οὐκ αἰσθάνονται εἰς βαραθρον ἀπωλείας ἑαυτοὺς ὠθοῦντες· τὸν [708] γὰρ Υἱὸν τοῦ Θεοῦ οὔτε ὁ εὐφημῶν ἐνδοξότερον ποιεῖ, οὔτε ὁ βλασφημῶν βλάπτει· οὐ γὰρ χρείαν ἔχει ἡ ἀσώματος οὐσία τῆς ἡμετέρας εὐφημίας, ἀλλ' ὥσπερ ὁ τὸν ἥλιον λέγων φαιδρὸν, οὐ προστίθησιν αὐτοῦ τῷ φωτὶ, οὐδὲ ὁ σκοτεινὸν λέγων μειοῖ αὐτοῦ τὴν οὐσίαν, ἀλλὰ τῆς οἰκείας πηρώσεως ἐκφέρει δεῖγμα τὴν ψῆφον· οὕτως ὁ τὸν Υἱὸν τοῦ Θεοῦ μὴ λέγων Υἱὸν, ἀλλὰ κτίσμα, τῆς οἰκείας μανίας ἐκφέρει ἀπόδειξιν, ὁ δὲ ἐπιγινώσκων αὐτοῦ τὴν οὐσίαν, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται· καὶ οὔτε οὗτος αὐτὸν ὠφελεῖ, οὔτε ἐκεῖνος αὐτὸν βλάπτει, ἀλλ' ὁ μὲν κατὰ τῆς ἑαυτοῦ σωτηρίας, ὁ δὲ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ἀγωνίζεται. Ἀλλ' ὅπερ ἔλεγον, παραγραφόμενοι τὰς Γραφὰς, τὰ μὲν ἄλλα παρατρέχουσι, ζητοῦσι δὲ, εἴ που εὕροιεν λῆμμα δοκοῦν τι συντρέχειν αὐτῶν τῷ νοήματι. Καὶ μή μοι λέγε ὅτι ἡ Γραφὴ αἰτία· οὐχὶ ἡ Γραφὴ αἰτία, ἀλλ' ἡ ἀγνωμοσύνη αὐτῶν, ἐπεὶ καὶ τὸ μέλι γλυκύ ἐστιν, ἀλλ' ὁ νοσῶν πικρὸν αὐτὸ νομίζει· ἀλλ' οὐ τοῦ μέλιτος τὸ ἔγκλημα, ἀλλὰ τῆς ἀῤῥωστίας ἡ κατηγορία. Οὕτω καὶ οἱ μαινόμενοι τὰ ὁρώμενα οὐ βλέπουσιν, ἀλλ' οὐ τῶν ὁρωμένων τὸ ἔγκλημα, ἀλλὰ τοῦ μαινομένου ἡ διεφθαρμένη γνώμη. Ἐποίησε τὸν οὐρανὸν ὁ Θεὸς, ἵνα ἴδωμεν τὸ ἔργον, καὶ προσκυνήσωμεν τῷ Δημιουργῷ, ἀλλ' οἱ Ἕλληνες ἐθεοποίησαν τὸ ἔργον· ἀλλ' οὐ τὸ ἔργον αἴτιον, ἀλλ' ἡ ἐκείνων ἀγνωμοσύνη· καὶ ὥσπερ ὁ μὲν ἀγνώμων παρ' οὐδενὸς ὠφελεῖται, οὕτως ὁ εὐγνώμων καὶ παρ' ἑαυτοῦ ὠφελεῖται. Τί τοῦ Χριστοῦ ἴσον; καὶ οὐκ ὠφελήθη ὁ Ἰούδας. Τί τοῦ διαβόλου πονηρότερον; καὶ ἐστεφανώθη ὁ Ἰώβ· καὶ οὔτε τὸν Ἰούδαν ὠφέλησεν ὁ Χριστὸς, ἐπειδὴ ἀγνώμων ἦν, οὔτε τὸν Ἰὼβ ἔβλαψεν ὁ διάβολος, ἐπειδὴ εὐγνώμων ἦν. Ταῦτα λέγω, ἵνα μηδεὶς τὰς Γραφὰς διαβάλλῃ, ἀλλὰ τὴν ἀγνωμοσύνην τῶν τὰ καλῶς εἰρημένα κακῶς ἑρμηνευόντων. Καὶ γὰρ ὁ διάβολος ἀπὸ Γραφῶν τῷ Χριστῷ διελέγετο.

Ἀλλ' οὐχ ἡ Γραφὴ αἰτία, ἀλλ' ἡ διάνοια ἡ τὰ καλῶς εἰρημένα κακῶς ἑρμηνεύουσα. Θέλοντες γὰρ δεῖξαι τὸν Υἱὸν ἐλάττονα τοῦ Πατρὸς, περιέρχονται ὀνόματα ξένα περιεργαζόμενοι, καὶ λέγουσιν εἰς τὸ, *Θεὸς καὶ Κύριος*, ὡς ὁ Πατὴρ Θεὸς, ὁ δὲ Υἱὸς Κύριος, καὶ διαιροῦσι τὰ ὀνόματα, καὶ προσνέμουσι τὸ μὲν *Θεὸς* τῷ Πατρὶ, τὸ δὲ *Κύριος* τῷ Υἱῷ, ὡς διαιρέται ὄντες τῆς θεότητος καὶ κληροδόται. Λέγει τῷ Υἱῷ τὸ *Κύριος* ἡ Γραφή; ταῦτα λέγει; Πῶς οὐκ ἤκουσας τοῦ ψαλμοῦ πρὸς ἕν πρόσωπον λέγοντος σήμερον, *Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην*; Οὐκοῦν καὶ Κύριον καὶ Θεὸν αὐτὸν ὀνομάζει. Τίνα βούλει Θεὸν εἶναι, τὸν Υἱὸν, ἢ τὸν Πατέρα; Πάντως τὸν Πατέρα ἐρεῖς τὰ ὀνόματα ταῦτα. Οὐκοῦν Θεὸς ὁ Υἱὸς, καὶ Κύριος ὁ Πατήρ. Τί οὖν διαιρεῖς τὰ ὀνόματα, καὶ τὸ μὲν ἐκεῖ προσρίπτεις, τὸ δὲ ἐνταῦθα διαιρεῖς; Καὶ ὁ Παῦλος δὲ λέγει (εἴθε ἤκουες Παύλου, καὶ μακάριος ἦς)· *Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα.* Μὴ ἐκάλεσε τὸν Υἱὸν Θεόν; ἀλλὰ τί; Κύριον. Τί γάρ, εἰπέ μοι, τὸ Θεὸς σεμνότερον τοῦ *Κύριος*, καὶ τὸ *Κύριος* ἔλαττον τοῦ *Θεός*; [709] Συντείνατε ἑαυτοὺς, παρακαλῶ, μετὰ ἀκριβείας· ἐὰν οὖν δείξω, ὅτι ἓν ἐστι τὸ *Κύριος* καὶ τὸ *Θεὸς*, τί λέγεις; Λέγεις τὸ Θεὸς μεῖζον, τὸ δὲ *Κύριος* ἔλαττον; Ἄκουσον τοῦ προφήτου λέγοντος· *Οὗτος Κύριος ὁ ποιήσας τὸν οὐρανὸν· οὗτος Θεὸς ὁ κατασκευάσας τὴν γῆν*· Κύριος τὸν οὐρανὸν, καὶ ὁ Θεὸς τὴν γῆν· οὗτος ἐπὶ τοῦ αὐτοῦ προσώπου καὶ τὸ *Κύριος* καὶ τὸ *Θεὸς* τέθεικε. Καὶ πάλιν· *Ἄκουε, Ἰσραὴλ, Κύριος Θεός σου, Κύριος εἷς ἐστι.* Δεύτερον τὸ *Κύριος*, καὶ ἅπαξ τὸ *Θεός*· καὶ πρῶτον τὸ *Κύριος*, καὶ τότε τὸ Θεὸς, καὶ πάλιν τὸ *Κύριος*. Εἰ δὲ τοῦτο καταδεέστερον, ἐκεῖνο δὲ μεῖζον, οὐκ ἐπὶ μεγάλης οὐσίας καὶ μείζονος τοῦ λόγου τὸ ἔλαττον τέθεικε πρῶτον, ἀλλὰ τὸ μεῖζον εἰπὼν ἠρκέσθη, καὶ οὐκ ἂν προσέῤῥιψε τὸ ἔλαττον. Ἆρα συνήκατε ὃ εἶπον; Πάλιν παιδεύω· οὐ γὰρ θέατρόν ἐστι πρὸς ἐπίδειξιν, ἀλλὰ διδασκαλία πρὸς κατάνυξιν, οὐχ ἵνα ὅπλοι ἀπέλθητε, ἀλλ' ἵνα ὁπλισθέντες ἀναχωρήσητε. Τὸ Θεὸς λέγεις, αἱρετικὲ, μεῖζον, καὶ τὸ *Κύριος* ἔλαττον; Ἔδειξά σοι τὸν προφήτην λέγοντα· *Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, Θεὸς ὁ κατασκευάσας τὴν γῆν.* Δείκνυμί σοι πάλιν τὸν Μωσέα λέγοντα· *Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι.* Πῶς εἷς, εἰ δύο εἰσὶ τὰ ὀνόματα, τὸ μὲν ἐλάττονος, τὸ δὲ μείζονος οὐσίας; Οὐ γὰρ δὴ ἡ οὐσία μείζων ἑαυτῆς καὶ ἐλάττων, ἀλλ' ἴση καὶ συνημμένη· *Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι*· καὶ δείκνυώ σοι, ὅτι τὸ ὄνομα τὸ *Κύριος*, τοῦτό ἐστι *Θεός*· ὅλως δὲ, εἰ καταδεέστερον τὸ *Κύριος*, τὸ δὲ Θεὸς μεῖζον, ποῖον ὤφειλεν αὐτοῦ ὄνομα εἶναι; Τὸ *Κύριος* τὸ μικρότερον, ἢ τὸ Θεός τὸ μεῖζον; Ἐὰν εἴπῃ· Ποῖον ὄνομά μου; τί λέγεις, ὦ αἱρετικέ; λέγεις ὅτι τὸ *Κύριος* τοῦ Υἱοῦ, τὸ δὲ Θεὸς τοῦ Πατρὸς, ὡς οἰκειότερον; Ἐὰν οὖν σοι δείξω τὸ *Κύριος* τὸ μικρὸν γνωριστικὸν αὐτοῦ, τί ποιεῖς; *Γνώτωσαν ὅτι ὄνομά σοι Κύριος*, ὁ προφήτης λέγει· μὴ εἶπε· Θεός; Καίτοι εἰ μεῖζον τὸ Θεὸς, διὰ τί οὐκ εἶπεν ὁ προφήτης, Γνώτωσαν ὅτι ὄνομά σοι Θεός; Εἰ γὰρ τὸ μὲν ἴδιον αὐτοῦ καὶ οἰκεῖον τὸ Θεὸς, ἀλλότριον δὲ

πύτοῦ ὡς καταδεέστερον τὸ *Κύριος*, διὰ τί εἶπε· *Γνώτωσαν ὅτι ὄνομά σοι Κύριος*, τὸ μικρὸν, τὸ ἔλαττον, τὸ καταδεέστερον τῆς ἀξίας, καὶ οὐ λέγει ἐκεῖνο τὸ μέγα καὶ ὑψηλὸν, τὸ ἄξιον τῆς οὐσίας; Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο οὐκ ἔστι μικρὸν, οὐδὲ καταδεέστερον, ἀλλὰ τὴν αὐτὴν ἔχει ἰσχύν· *Γνώτωσαν ὅτι ὄνομά σοι Κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.*

δ'. Ἀλλ' ἔτι οὐκ ἀφίστασαι τῆς μάχης, ἀλλὰ λέγεις πάλιν τὸ *Θεὸς* μεῖζον, τὸ δὲ *Κύριος* ἔλαττον. Ἐὰν οὖν δείξω τὸν Υἱὸν τῷ ὀνόματι τῷ μείζονι καλούμενον, τί λέγεις; καταλύεις τὴν μάχην; ἀφίστασαι τῆς φιλονεικίας; ἐπιγινώσκεις σου τὴν σωτηρίαν; ἀπαλλάττῃ τῆς μανίας; συνῆκας τί εἶπον; ἐπειδὴ τὸ *Κύριος* ὄνομα τῷ Υἱῷ προσρίπτουσι, τὸ δὲ *Θεὸς* τῷ Πατρὶ ὡς μεῖζον. Ἐὰν οὖν δείξω σοι τῷ μείζονι ὀνόματι τῷ *Θεὸς* τὸν Υἱὸν καλούμενον, λέλυται ἡ μάχη· τοῖς γὰρ ὅπλοις σοῖς σε χειροῦμαι, καὶ τοῖς σοῖς [710] πτεροῖς περιγίνομαί σου. Σὺ εἶπας, ὅτι τὸ *Θεὸς* μεῖζον, τὸ δὲ *Κύριος* ἔλαττον· βούλομαι δεῖξαι, ὅτι τὸ ἔλαττον οὐχ ἥρμοζε τῷ Πατρὶ, εἰ μείζων ἦν, καὶ τὸ μεῖζον οὐχ ἥρμοζε τῷ Υἱῷ, εἰ ἐλάττων ἦν ὁ Υἱός. Ἄκουσον τοῦ προφήτου λέγοντος· *Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη.* Τί λέγεις πρὸς τοῦτο; ἀντιλέγεις τοῖς ῥήμασι τούτοις; Ἀλλ' οὐ δύνασαι· μένει γὰρ ἡ ἀλήθεια τὴν οἰκείαν λαμπηδόνα ἐκπέμπουσα, καὶ τυφλοῦτα τὰς τῶν αἱρετικῶν ὄψεις τῶν μὴ θελόντων αὐτῇ πιστεῦσαι. Εἰ καὶ βαθέα τὰ παλαίσματα, καὶ πολὺ τὸ καῦμα, ἀλλὰ μείζων ὁ λόγος καὶ τῆς δυσχερείας τῶν ἀκουόντων περιγινόμενος, καὶ τὸ καῦμα τῇ δρόσῳ τῆς διδασκαλίας παραμυθεῖται· κἂν ἅπαξ ἢ δεύτερον τῆς ἑβδομάδος συλλεγώμεθα, οὐ δεῖ ῥάθυμον εἶναι τὸν ἀκροατήν. Ἐὰν γὰρ ἐξέλθῃς ἐκ τῶν ὧδε, καὶ εἴπῃ σοί τις τί ὡμίλησεν ὁ διδάσκαλος; εἴπῃς, πρὸς αἱρετικούς· ἂν εἴπῃ σοι, τί ὡμίλησε; καὶ μὴ εὕρῃς, αἰσχύνη σοι μεγίστη· ἐὰν δὲ εἴπῃς, δάκνεις αὐτὸν, κἂν τε αἱρετικὸς ᾖ, διορθοῖς αὐτὸν, κἂν τε φίλος ᾖ ῥάθυμος, ἐφέλκεις αὐτὸν, κἂν τε γυνὴ ἀκόλαστος, σωφρονεστέραν ποιεῖς· καὶ γὰρ καὶ ὑπεύθυνος εἶ τῇ γυναικί· *Αἱ γυναῖκες γάρ, φησὶν, ἐν ἐκκλησίᾳ σιγάτωσαν· εἰ δέ τι μανθάνειν θέλουσι, τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.* Ἐὰν εἰσέλθῃς εἰς τὴν οἰκίαν, καὶ ἐρωτήσῃ σε ἡ γυνή· Τί ἐκόμισάς μοι ἀπὸ τῆς ἐκκλησίας; εἰπὲ πρὸς αὐτὴν, οὐ κρέας, οὐδὲ οἶνον, οὐδὲ χρυσίον, οὐδὲ κόσμια τὰ τὸ σῶμα καλλωπίζοντα, ἀλλὰ λόγον σοφίζοντα διάνοιαν. Ὅταν εἰσέλθῃς πρὸς τὴν γυναῖκα, παράθες τὴν τράπεζαν τὴν πνευματικήν· εἰπὲ πρῶτον, ὡς ἔναυλος ἡ μνήμη ἐστίν· Ἀπολαύσωμεν τῶν πνευματικῶν, καὶ τότε ἀπολαύσωμεν τῆς αἰσθητῆς τραπέζης· καὶ γὰρ ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τὸν Θεὸν ἕξομεν ἐν τῷ μέσῳ καὶ τὴν τράπεζαν εὐλογοῦντα, καὶ ἡμᾶς στεφανοῦντα. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ τῷ Πατρὶ σὺν τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM

[744] Nihil in hac homilia comparet, unde deprehendere liceat Antiochiæne an Constantinopoli ea habita fuerit. De anno itidem nihil. *Nondum septem dierum elapsus est numerus*, inquit Chrysostomus, *ex quo sacram Pentecostes solemnitatem celebravimus, et nos rursus martyrum chorus assequutus est, vel martyrum castra potius et exercitus nihilo minor illis angelorum castris, quæ Patriarcha Jacob vidit, sed æmulus illis et æqualis.* Hic de Martyrum choro agitur seu de omnibus omnino martyribus, quemadmodum effert titulus, *Laudatio Sanctorum omnium, qui martyrium toto terrarum orbe sunt passi.* Qua de re audiendus Fronto Ducæus : « In Calendario Græcorum edito ab A. Contio ex Græco Menologio 1555 Venetiis excuso, diei Junii 25 additur, Κυριακὴ τῆς ἁγίας Πεντηκοστῆς, ac deinde Cal. Julii, Κυριακὴ τῶν

[711] ΕΓΚΩΜΙΟΝ

Εἰς τοὺς ἁγίους πάντας τοὺς ἐν ὅλῳ τῷ κόσμῳ μαρτυρήσαντας.

α'. Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν τῆς Πεντηκοστῆς ἐπετελέσαμεν, οὔπω παρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμὸς, καὶ πάλιν κατέλαβεν ἡμᾶς μαρτύρων χορὸς, μᾶλλον δὲ μαρτύρων παρεμβολὴ καὶ παράταξις, τῆς παρεμβολῆς τῶν ἀγγέλων, ἣν ὁ πατριάρχης εἶδεν Ἰακὼβ, κατ' οὐδὲν οὖσα χείρων, ἀλλ' ἐφάμιλλος αὐτῆς[a] καὶ ἴση. Μάρτυρες γὰρ καὶ ἄγγελοι τοῖς ὀνόμασι διεστήκασι μόνον, τοῖς δὲ ἔργοις συνάπτονται· τὸν οὐρανὸν οἰκοῦσιν ἄγγελοι, ἀλλὰ καὶ οἱ μάρτυρες· ἀγήρατοι

[a] Sic rescribendum fuit pro edito αὐτοῖς. Edit.

Dominus, alienum ab eo tanquam inferius, cur dixit, *Cognoscant quia nomen tibi Dominus*, illud parvum, minus, et inferius numine ac dignitate : neque dicit illud magnum et sublime, quod dignum est substantia? Atqui ut intelligas hoc parvum non esse, nec deterius, sed eamdem vim habere, *Cognoscant*, inquit, *quia nomen tibi Dominus : tu solus altissimus super omnem terram.*

4. At nondum a pugna discedis, sed ais rursus *Deus* majus esse, *Dominus* autem minus. Si Filium majori nomine appellatum indicavero, quid dices? num pugnam finies? num a contentione desistes? num tuam salutem agnosces? num ab insania recedes? intellexisti, quid dixerim? quandoquidem nomen *Dominus* Filio tribuunt, *Deus* autem Patri ut majus. Si igitur majori nomine Filium appellatum indicavero, pugna confecta est : tuis enim armis te subigo, tuisque pennis te supero. Tu dixisti *Deus* majus, *Dominus* autem minus esse nomen : demonstrare volo minus Patri non convenisse, si major erat, et majus Filio non convenisse, si Filius minor erat. Audi prophetam dicentem, *Hic est Deus noster : non æstimabitur alius ad eum : adinvenit omnem viam scientiæ : post hæc in terris visus est, et cum hominibus conversatus est* (*Bar.* 3. 36-38). Quid ad hoc respondes? num his verbis contradicis? At non potes : veritas enim permanet, quæ splendorem suum emittit, et oculos hæreticorum credere ipsi recusantium excæcat. Quamquam longa sunt certamina, et multus est æstus : major tamen est oratio, atque incommoda superat auditorum, æstumque mitigat rore doctrinæ : et quando semel aut iterum in hebdomada congregamur, auditorem negligentem esse non oportet. Si enim ex hoc loco excesseris, ac dixerit quispiam : Qua de re doctor disseruit? subjicies, Adversus hæreticos : si dixerit tibi, Qua de re egit? neque menti occurrerit, maxima erit ignominia ; sin autem dixeris, ipsum pungis : et sive sit hæreticus, ipsum corrigis, sive negligens sit amicus, ipsum pellicis, sive etiam mulier lasciva, efficis temperantiorem ; nam et mulieri reddere rationem debes : *Mulieres enim*, inquit, *in ecclesia taceant : si quid autem volunt discere, domi viros suos interrogent* (1. *Cor.* 14. 34. 35). Si domum ingressus fueris, et ex te mulier sciscitetur, Quid mihi ab ecclesia retulisti? responde illi, Non carnes, nec vinum, nec aurum, nec mundum, quo corpus ornetur ; sed sermonem, quo sapientior mens reddatur. Cum in congressum mulieris veneris, mensam illi spiritualem appone : dic primum dum adhuc recens est memoria, Perfruamur spiritualibus, ac deinde sensibili mensa perfruamur : etenim si res nostras ita disponamus, Deus etiam aderit in medio nostri, cum ut mensam benedicat, tum ut nos coronet. Nos quidem pro his omnibus gratias agamus ipsi Patri cum Filio ac Spiritu sancto nunc et semper, et in sæcula sæculorum. Amen.

AD HOMILIAM IN SANCTOS MARTYRES.

ἁγίων πάντων: Fortasse ut in Latina Ecclesia primum celebrata est omnium martyrum festivitas ex præscripto Bonifacii IV, ac deinde Sanctorum omnium Gregorii IV tempore : sic et in Græca paucis post Pentecosten diebus olim martyrum omnium memoriæ dedicatum erat festum, quod deinde Sanctorum omnium solemnitate consecratum est. Cæterum hunc Chrysostomo tribuunt sermonem præter Codicem Regiæ Biblioth., Mediceæ manuscriptum, Catalogus genuinarum auctoris ejus orationum, qui in Augustana servatur, et alius ex Italia missus ad nos index τῆς βίβλου τῶν μαργαριτῶν, hoc titulo : Ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας. »

Interpretatio Latina est ejusdem Frontonis Ducæi.

LAUDATIO

SS. OMNIUM QUI MARTYRIUM TOTO TERRARUM ORBE SUNT PASSI (*a*).

1. *Martyres cum angelis collati, bona ex ipsa mortalitate derivata.* — Nondum septem dierum elapsus est numerus, ex quo sacram Pentecostes solemnitatem celebravimus, et nos rursus martyrum chorus assequutus est, vel martyrum castra potius et exercitus nihilo minor illis angelorum castris, quæ patriarcha Jacob vidit (*Gen.* 32. 2), sed æmulus illis et æqualis. Martyres enim et angeli nomine tantum distincti sunt, factis autem junguntur : cælum incolunt angeli, itidem

(2) Collata cum Codicibus Regiis tribus et uno Coisliniano.

et martyres : senectutis expertes et immortales sunt illi, hoc et martyres obtinebunt. At incorpoream illi naturam sortiti sunt? Quid tum postea? licet enim martyres corpore circumsepti sint, immortali tamen : quin potius etiam ante ipsam immortalitatem Christi mors corpora multo plus, quam immortalitas condecorat. Non ita siderum exornatum choro cælum illustre est, ac splendida vulnerum sanie [1] martyrum corpora exornata. Itaque quia mortui sunt, idcirco maxime superant, et ante immortalitatem a morte coronati præmia reportarunt. *Minuisti eum paulo minus ab angelis; gloria et honore coronasti eum* (*Psal.* 8. 6), de communi hominum natura inquit David : sed et hoc paulum reddidit Christus cum advenisset, et mortem morte damnasset. Verum hoc ego inde non confirmo, sed ex eo quod defectus hic mortis in lucrum et commodum cesserit : nisi enim mortales fuissent, martyres facti non essent : itaque nisi mors fuisset, ne coronæ quidem exstitissent : si non fuisset interitus, martyrium non fuisset : si mors non fuisset, non potuisset dicere Paulus, *Quotidie morior per vestram gloriam, quam habeo in Christo Jesu* (1. *Cor.* 15. 31) : nisi mors et interitus fuissent, non potuisset idem dicere, *Gaudeo in passionibus meis pro vobis, et adimpleo ea quæ desunt passionum Christi in carne mea* (*Col.* 1. 24). Ne doleamus ergo, quod mortales facti simus, sed gratias agamus, quod martyrii stadium nobis sit a morte reseratum, et ab interitu præmiorum materiam acceperimus ; unde et certaminum occasionem nacti sumus. Vides sapientiam Dei, quo pacto maximum illud malorum caputque nostræ calamitatis, quod invexit diabolus, mortem inquam, eam in honorem gloriamque nostram convertit, ac per hanc ipsam athletas ad martyrii bravia deduxit? Quid ergo? ideircone diabolo mortis causa gratias agemus? Absit : non enim ab ejus mente recte factum hoc, sed Dei sapientiæ est donum. Ille quidem invexit, ut perderet, et ad terram reductis spem salutis omnem præscinderet : Christus autem id arreptum immutavit, et in cælum nos rursus per ipsum introduxit. Nemo igitur nos damnet, quod chorum et exercitum martyrum cœtum appellarim, unique rei contraria duo nomina tribuerim : chorus enim et exercitus contraria sunt, verum hic utrumque coaluit : etenim quasi choreas ducerent, ad tormenta cum voluptate perrexerunt, et tanquam bellatores omnem fortitudinem ac tolerantiam præ se tulerunt, hostesque vicerunt. Ac si eorum quidem, quæ geruntur, spectes naturam, pugna et bellum et acies sunt, quæ geruntur : sin autem eorum mentem consideres, quæ fiunt, choreæ sunt, et convivia, ac festivitates, et voluptas maxima, quæ perficiuntur.

Cum bello comparat Martyrum tormenta; constantiam Martyrum egregie describit. — Visne te doceam hæc omni bello esse terribiliora, martyrum inquam res gestas? Quid est in bello formidabile? Utrimque stant acies communitæ, undique armis fulgentes, terramque splendore complentes; undique jaculorum nubes emittuntur, quorum multitudine aer occultatur; torrentes sanguinis in terram volvuntur; multæ undique strages ut segetum in messe, ita militum, qui a se invicem prosternuntur. Age ergo ab illorum pugna te ad hanc traducamus. Hic binæ quoque sunt acies, una quidem martyrum, altera vero tyrannorum : ac tyranni quidem armati sunt, martyres autem nudo pugnant corpore; sed a nudis tamen, non ab armatis, victoria reportatur. Quis non obstupescat, quando is qui virgis cæditur, cædentem vincit, et vinctus solutum, exustus urentem, et qui moritur interficientem? Vides ut hæc illis terribiliora sint? Nam illa quidem quamquam formidabilia sunt, tamen ex ordine naturæ fiunt : hæc autem exsuperant naturam omnem rerumque omnem consequentiam, ut intelligas divinæ gratiæ accepta ferenda esse, quæ hic cum laude præstantur. Tametsi quid hac, quæso, pugna iniquius? quid certaminibus istis injustius? Nam in bellis uterque eorum, qui pugnant, armatur; hic vero non ita, sed hic quidem nudus est, ille vero armis est tectus : in certaminibus rursus utrisque licet manus contra attollere ; hic vero vinctus est iste, at ille cum potestate ictus infligit, et tamquam ex tyrannide quadam sibi quidem eas partes assumentes præsides ut male faciant, justis martyribus ut male patiantur attribuentes, ita congrediuntur cum sanctis, et ne sic quidem ipsos expugnant, sed ab ista pugna tam iniqua superati discedunt : atque idem accidit ac si quis virum quempiam bellatorem in prælium deducat, et praecisa lanceæ cuspide, lorica spoliatum, nudo corpore pugnare jubeat, ille autem licet percussus ac læsus, sexcentisque confossus vulneribus, tropæum tamen erigat. Martyres enim nudos cum in medium protraxissent, ac revinctis post terga manibus eos undequaque percussissent, ita vincebantur : illi autem vulnera cum excepissent, tropæum contra diabolum erigebant. Et quemadmodum percussus adamas minime cedit neque emollitur, imo ferrum a quo percutitur confringit : ita nimirum et sanctorum animæ, cum tam multi cruciatus adhiberentur, ipsæ quidem nihil grave patiebantur, eorum vero a quibus cædebantur vim ac virtutem profligantes, turpiter et ignominiose devictos post multos et intolerandos ictus e certaminibus dimittebant. Etenim illis in equuleo vinctis latera fodiebant, profunde sulcos agentes [1], quasi terram aratro sulcarent, non corpora lacerarent : videre erat sinus apertos, reserata latera, pectora effossa, neque tamen eo cruciatu furorem suum explebant illæ sanguine pastæ belluæ; sed abstractos ab equuleo subjectis carbonibus in scala ferrea extendebant : tumque videre erat spectacula multo prioribus acerbiora, duplices guttas e corporibus defluentes, has quidem stillantis sanguinis, illas autem carnium liquefactarum : sancti vero tamquam inter rosas jacentes in prunis, ita cum voluptate quæ gerebantur spectabant.

[1] Alii, *splendido vulnerum choro*, quæ lectio non est spernenda.

[1] Savil., *profundos agentes in eis, ut ita dicam, sulcos*.

καὶ ἀθάνατοί εἰσιν ἐκεῖνοι, τοῦτο καὶ οἱ μάρτυρες ἔξουσιν. Ἀλλὰ καὶ ἀσώματον ἔλαχον ἐκεῖνοι φύσιν; Καὶ τί τοῦτο; οἱ γὰρ μάρτυρες εἰ καὶ σῶμα περίκεινται, ἀλλ' ἀθάνατον· μᾶλλον δὲ καὶ πρὸ τῆς ἀθανασίας ὁ τοῦ Χριστοῦ θάνατος τῆς ἀθανασίας μᾶλλον καλλωπίζει τὰ σώματα [a]. Οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ χορῷ τῶν ἄστρων κοσμούμενος, ὡς τὰ σώματα τῶν μαρτύρων λαμπρῷ τῷ χορῷ τῶν τραυμάτων κοσμούμενα. Ὥστε ἐπειδὴ ἀπέθανον, διὰ τοῦτο μάλιστα πλεονεκτοῦσι, καὶ πρὸ τῆς ἀθανασίας ἔλαβον τὰ βραβεῖα, ἀπὸ τοῦ θανάτου στεφανωθέντες. *Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν*, περὶ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων, φησὶν ὁ Δαυῖδ· ἀλλὰ καὶ τὸ βραχὺ τοῦτο παραγενόμενος ὁ Χριστὸς ἀπέδωκε, θανάτῳ θάνατον καταδικάσας. Ἐγὼ δὲ οὐκ ἐντεῦθεν διισχυρίζομαι, ἀλλ' ὅτι καὶ τὸ ἐλάττωμα τοῦτο τοῦ θανάτου πλεονέκτημα γέγονεν· εἰ γὰρ μὴ εἶεν θνητοὶ, οὐκ ἂν ἐγένοντο μάρτυρες [b]· ὥστε εἰ μὴ θάνατος ἦν, οὐδὲ στέφανος ἦν· εἰ μὴ τελευτὴ ἦν, οὐκ ἦν μαρτύριον· εἰ μὴ θάνατος ἦν, οὐκ ἠδύνατο Παῦλος λέγειν, *Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ*· εἰ μὴ θάνατος καὶ φθορὰ ἦν, οὐκ ἠδύνατο λέγειν ὁ αὐτός· *Χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀναπληρῶ* [c] *τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου*. Ὥστε μὴ ἀλγῶμεν, ὅτι ἐγενόμεθα θνητοὶ, ἀλλ' εὐχαριστῶμεν, ὅτι ἀπὸ τοῦ θανάτου ἠνεῴχθη ἡμῖν τὸ στάδιον τοῦ μαρτυρίου· ἀπὸ τῆς φθορᾶς ἐλάβομεν ὑπόθεσιν τῶν βραβείων· ἐντεῦθεν ἔχομεν ἀφορμὴν τῶν παλαισμάτων. Ὁρᾷς σοφίαν Θεοῦ, πῶς τὸ μέγιστον τῶν κακῶν, τὸ κεφάλαιον τῆς ἡμετέρας συμφορᾶς, ὅπερ εἰσήγαγεν ὁ διάβολος, τὸν θάνατον λέγω, τοῦτον εἰς τιμὴν καὶ δόξαν ἡμετέραν μετέβαλε, διὰ τοῦτο πρὸς τὰ τοῦ [712] μαρτυρίου βραβεῖα τοὺς ἀθλητὰς ἄγων; Τί οὖν; εὐχαριστήσομεν τῷ διαβόλῳ διὰ τὸν θάνατον; Μὴ γένοιτο! οὐ γὰρ τῆς ἐκείνου γνώμης τὸ κατόρθωμα, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας τὸ χάρισμα· ἐκεῖνος εἰσήγαγεν ἵνα ἀπολέσῃ, καὶ πρὸς τὴν γῆν ἐπαναγαγὼν πᾶσαν ἐκκόψῃ σωτηρίας ἐλπίδα· ὁ Χριστὸς δὲ αὐτὸ λαβὼν μετέστρεψε, καὶ εἰς τὸν οὐρανὸν ἡμᾶς δι' αὐτοῦ πάλιν ἀνήγαγε. Μηδεὶς οὖν ἡμῶν καταγινωσκέτω, εἰ χορὸν καὶ παράταξιν ἐκάλεσα τῶν μαρτύρων τὸ πλήρωμα, δύο ἐναντία ὀνόματα ἑνὶ πράγματι τιθείς· χορὸς γὰρ καὶ παράταξις ἐναντία, ἀλλ' ἐνταῦθα συνῆλθον ἄμφότερα· καὶ γὰρ ὥσπερ χορεύοντες ἐπὶ τὰς βασάνους ἦσαν μεθ' ἡδονῆς, καὶ ὥσπερ πολεμοῦντες οὕτως ἀνδρείαν πᾶσαν καὶ καρτερίαν ἐπεδείξαντο, καὶ τῶν ἐναντίων ἐκράτησαν. Ἂν μὲν τῶν γινομένων [d] τὴν φύσιν ἴδῃς, μάχη καὶ πόλεμος καὶ παράταξις τὰ γινόμενα· ἂν δὲ τὴν γνώμην τῶν γινομένων ἐξετάσῃς, χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις καὶ μεγίστη ἡδονὴ τὰ τελούμενα.

Βούλει μαθεῖν ὡς πολέμου ταῦτα φρικωδέστερα; τὰ τῶν μαρτύρων λέγω. Τί ποτέ ἐστιν ἐν τῷ πολέμῳ τὸ φρικτόν; Στρατόπεδα ἕστηκεν ἑκατέρωθεν περιπεφραγμένα, ἀπολάμποντα τοῖς ὅπλοις, καὶ τὴν γῆν καταυγάζοντα, νέφη βελῶν ἀφίεται πανταχόθεν ἀποκρύπτοντα τὸν ἀέρα τῷ πλήθει, ῥύακες αἱμάτων ἐπὶ τῆς γῆς φέρονται, καὶ πολλὰ πανταχοῦ τὰ πτώματα καθάπερ ἐν ἀμητῷ ἀσταχύων, οὕτω τῶν στρατιωτῶν ἐπαλλήλων καταφερομένων. Φέρε οὖν ἀπ' ἐκείνων ἐπὶ ταύτην ἀγάγω σε τὴν μάχην. Καὶ ἐνταῦθα δύο παρατάξεις, ἡ μὲν τῶν μαρτύρων, ἡ δὲ τῶν τυράννων· ἀλλ' οἱ μὲν τύραννοι εἰσι καθωπλισμένοι, οἱ δὲ μάρτυρες γυμνῷ τῷ σώματι μάχονται, καὶ ἡ νίκη τῶν γυμνῶν, οὐ τῶν καθωπλισμένων γίνεται. Τίς οὐκ ἂν ἐκπλαγείη, ὅτι ὁ μαστιζόμενος περιγίνεται τοῦ μαστίζοντος, ὁ δεδεμένος τοῦ λελυμένου, ὁ κατακαιόμενος τοῦ καίοντος, ὁ ἀποθνήσκων τοῦ ἀναιροῦντος; Εἶδες πῶς ταῦτα ἐκείνων φρικωδέστερα; Ἐκεῖνα μὲν εἰ καὶ φοβερὰ, ἀλλὰ κατὰ φύσιν γίνεται· ταῦτα δὲ πᾶσαν ὑπερβαίνει φύσιν, καὶ πᾶσαν πραγμάτων ἀκολουθίαν, ἵνα μάθῃς ὅτι τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὰ κατορθούμενα. Καίτοι τί τῆς μάχης ταύτης ἀδικώτερον; τί τῶν παλαισμάτων παρανομώτερον; Ἐν μὲν γὰρ τοῖς πολέμοις ἀμφότεροι φράττονται οἱ μαχόμενοι· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὁ μὲν γυμνὸς, ὁ δὲ καθώπλισται· ἐν τοῖς ἀγῶσι πάλιν ἀμφοτέροις ἔξεστι τὰς χεῖρας ἀνταίρειν, ἐνταῦθα δὲ ὁ μὲν δέδεται, ὁ δὲ μετ' ἐξουσίας ἐπάγει τὰς πληγὰς, καὶ καθάπερ ἐκ τυραννίδος τινὸς ἑαυτοῖς μὲν τὸ κακῶς ποιεῖν ἀποκληρώσαντες οἱ δικάζοντες, τοῖς δικαίοις δὲ μάρτυσι τὸ πάσχειν κακῶς ἀπονείμαντες, οὕτω συμπλέκονται τοῖς ἁγίοις, καὶ οὐδὲ οὕτως αὐτῶν περιγίνονται, ἀλλὰ μετὰ τὴν ἀνώμαλον ταύτην μάχην ἡττηθέντες ἀναχωροῦσι· καὶ ταυτὸν γίνεται οἷον ἂν εἴ τις πολεμιστὴν ἄνθρωπον εἰς πόλεμον εἰσαγαγὼν, καὶ τοῦ δόρατος τὴν αἰχμὴν ἀποκόψας, καὶ τὸν θώρακα ἀποδύσας, οὕτω κελεύῃ γυμνῷ τῷ [713] σώματι μάχεσθαι, ὁ δὲ πληττόμενος καὶ παιόμενος καὶ πάντοθεν μυρία δεχόμενος τραύματα τρόπαιον στήσειε. Καὶ γὰρ τοὺς μάρτυρας γυμνοὺς ἄγοντες [e], καὶ τὰς χεῖρας ὀπίσω δήσαντες καὶ πάντοθεν παίοντες καὶ καταξαίνοντες, οὕτως ἡττῶντο· οἱ δὲ τὰ τραύματα δεχόμενοι, τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἔστησαν. Καὶ καθάπερ ἀδάμας πληττόμενος αὐτὸς μὲν οὐκ ἐνδίδωσιν, οὐδὲ μαλάσσεται, τὸν δὲ παίοντα διαλύει σίδηρον· οὕτω δὴ καὶ αἱ ψυχαὶ τῶν ἁγίων, τοσούτων ἐπαγομένων βασάνων, αὗται μὲν οὐδὲν ἔπασχον δεινὸν, τῶν δὲ παιόντων τὴν δύναμιν καταλύουσαι, αἰσχρῶς καὶ καταγελάστως ἡττηθέντας ἐκ τῶν ἀγώνων ἐξέπεμπον μετὰ πολλῆς καὶ ἀφορήτους πληγάς. Καὶ γὰρ προσέδησαν αὐτοὺς τῷ ξύλῳ, καὶ τὰς πλευρὰς διώρυττον, ἐμβαθύνοντες αὔλακας, καθάπερ γῆν ἀροτριῶντες, ἀλλ' οὐ σώματα σχίζοντες· καὶ ἦν ἰδεῖν λαγόνας ἀναπεπετασμένας, πλευρὰ ἀνεψγότα, στήθη διερρηγμένα, καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἔστησαν οἱ αἱμοβόροι θῆρες ἐκεῖνοι, ἀλλὰ ἀπὸ τοῦ ξύλου καθελόντες ὑπὲρ τῶν ἀνθράκων ἐπὶ σιδηρᾶς κλίμακος ἔτεινον· καὶ ἦν ἰδεῖν πάλιν πικρότερα τῶν προτέρων θεάματα, διπλᾶς καταφερομένας σταγόνας ἐκ τῶν σωμάτων, τὰς μὲν τοῦ αἵματος ῥέοντος, τὰς δὲ τῶν σαρκῶν τηκομένων· οἱ δὲ ἅγιοι καθάπερ ἐπὶ ῥόδων κείμενοι τῶν ἀνθράκων, οὕτω μεθ' ἡδονῆς τὰ γινόμενα ἐθεώρουν.

[a] Savil. θάνατος τῆς ἀθανασίας μᾶλλον καλλωπίζει τὰ σώματα. Reg. mss. θάνατος τῆς ἀθανασίας πλέον αὐτοῖς καλλωπίζει. Morel. τῇ ἀθανασίᾳ μᾶλλον καλλ. Paulo post Reg. τῷ ἰχῶρι τῶν τραυμάτων, melius quam Morel. et Savil. τῷ χορῷ τῶν τρ. (*Imo lectionem Savilii, utpote institutæ comparationi magis congruam, restituere visum est.*)

[b] Reg. unus θνητοὶ οὐκ ἂν ἀπέθανον· εἰ μὴ ἀπέθανον, οὐκ ἂν ἐγένοντο μάρτ.

[c] Alii ἀνταναπληρῶ.

[d] Savil. et Reg. unus τῶν ἀγωνιζομένων. Morel. τῶν γινομένων.

[e] Alii εἰσάγοντες.

β. Σὺ δὲ ἀκούσας κλίμακα σιδηρᾶν, ἀναμνήσθητι κλίμακος νοητῆς, ἣν εἶδεν ὁ πατριάρχης Ἰακὼβ ἀπὸ γῆς εἰς οὐρανὸν τεταμένην· δι' ἐκείνης κατέβαινον ἄγγελοι, διὰ ταύτης δὲ ἀναβαίνουσι μάρτυρες· ἑκατέρᾳ δὲ ὁ Κύριος ἐπεστήριχτο. Οὐκ ἂν ἤνεγκαν τὰς ὁδύνας οἱ ἅγιοι οὗτοι, εἰ μὴ ταύτῃ ἐπηρείδοντο. Ἀλλὰ δι' ἐκείνης μὲν ἀναβαίνουσι καὶ καταβαίνουσιν ἄγγελοι, διὰ ταύτης δὲ ὅτι ἀναβαίνουσι καὶ μάρτυρες παντί που δῆλον. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν πρὸς διακονίαν ἀποστέλλονται τῶν μελλόντων κληρονομεῖν σωτηρίαν, οὗτοι δὲ καθάπερ ἀθληταὶ καὶ στεφανῖται ἀπαλλαγέντες τῶν ἀγώνων ἀπῆλθον λοιπὸν πρὸς τὸν ἀγωνοθέτην. Ἀλλὰ γὰρ μὴ ἁπλῶς ἀκούωμεν τὰ λεγόμενα, ἀκούοντες, ὅτι ἄνθρακες ὑπέκειντο καταξανθεῖσι τοῖς σώμασιν, ἀλλ' ἐννοήσωμεν τίνες ἐσμὲν πυρετοῦ κατασκήψαντος· ἀβίωτον εἶναι νομίζομεν τὸν βίον, ἀλύομεν, δυσανασχετοῦμεν, καθάπερ παιδία μικρὰ δυσχεραίνομεν, τῆς γεέννης οὐδὲν ἔλαττον νομίζοντες ἐκεῖνο τὸ πῦρ· οὗτοι δὲ οὐ πυρετοῦ ἐπικειμένου, ἀλλὰ φλογὸς πάντοθεν αὐτοὺς πολιορκούσης, καὶ τῶν σπινθήρων τοῖς ἕλκεσιν ἐπιπηδώντων, καὶ θηρίου παντὸς δριμύτερον δακνόντων τὰ τραύματα, καθάπερ ἀδαμάντινοί τινες, καὶ ἐν ἀλλοτρίοις ὁρῶντες ταῦτα γινόμενα σώμασιν, οὕτω γενναίως καὶ μετὰ τῆς προσηκούσης αὐτοῖς ἀνδρείας ἐπὶ τῶν τῆς ὁμολογίας εἱστήκεισαν ῥημάτων, ἀπερίτρεπτοι διὰ πάντων τῶν δεινῶν μένοντες, καὶ τὴν ἑαυτῶν ἀνδρείαν καὶ τὴν τοῦ Θεοῦ χάριν λαμπρῶς ἐπιδεικνύμενοι. Εἴδετε πολλάκις ὑπὸ τὴν ἕω τὸν ἥλιον ἀνίσχοντα, καὶ κροκοειδεῖς ἀφιέντα ἀκτῖνας; τοιαῦτα ἦν τῶν ἁγίων τὰ σώματα, ὥσπερ τινῶν ἀκτίνων κροκοειδῶν, τῶν ῥυάκων τοῦ αἵματος [714] πανταχόθεν αὐτοὺς περιῤῥεόντων, καὶ τὸ σῶμα αὐτῶν καταυγαζόντων πολλῷ μᾶλλον ἢ τὸν οὐρανὸν ἥλιος. Τοῦτο τὸ αἷμα ἄγγελοι μὲν ὁρῶντες ἐτέρποντο, δαίμονες ἔφριττον, καὶ αὐτὸς δὲ ὁ διάβολος ἔτρεμεν. Οὐ γὰρ αἷμα ἦν ἁπλῶς τὸ ῥιῶμενον, ἀλλ' αἷμα σωτήριον, αἷμα ἅγιον, αἷμα τῶν οὐρανῶν ἄξιον, αἷμα διηνεκῶς τὰ καλὰ τῆς Ἐκκλησίας ἄρδον φυτά. Εἶδε τὸ αἷμα, καὶ ἔφριξεν ὁ διάβολος· ἀνεμνήσθη γὰρ ἑτέρου αἵματος Δεσποτικοῦ· δι' ἐκεῖνο τὸ αἷμα τοῦτο ἐῤῥύη· ἐξ οὗ γὰρ ἐνύγη ἡ πλευρὰ τοῦ Δεσπότου, μυρίας ὁρᾷς λοιπὸν πλευρὰς νυττομένας. Τίς γὰρ οὐ μεθ' ἡδονῆς ἀποδύσαιτο πολλῆς πρὸς τοὺς ἀγῶνας τούτους, μέλλων κοινωνεῖν δεσποτικῶν παθημάτων, καὶ συμμορφοῦσθαι τῷ θανάτῳ τοῦ Χριστοῦ; Ἀρκοῦσα γὰρ αὕτη ἡ ἀντίδοσις, καὶ τῶν πόνων[a] πολὺ πλείων ἡ τιμὴ, καὶ ὑπερβαίνουσα τοὺς ἄθλους ἡ ἀμοιβὴ, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν. Μὴ τοίνυν φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα ἐμαρτύρησεν, ἀλλὰ φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα κατεμαλαχίσθη, καὶ ἔπεσε ταιούτων προκειμένων ἐπάθλων.

Εἰ δὲ βούλει καὶ τῶν μετὰ ταῦτα ἀκοῦσαι, λόγος μὲν οὐδεὶς παραστῆσαι δύναται· *Οὔτε γὰρ ὀφθαλμὸς εἶδε*, φησὶν, *οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν*· οὐδεὶς δὲ ἀνθρώπων οὕτως αὐτὸν ἠγάπησεν ὡς οἱ μάρτυρες. Οὐ μὴν ἐπειδὴ καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει τῶν ἀποκειμένων ἀγαθῶν τὸ μέγεθος, διὰ τοῦτο σιγήσομεν, ἀλλ' ὡς οἷόν τε καὶ εἰπεῖν ἡμῖν καὶ ὑμῖν ἀκοῦσαι, πειρασόμεθα ὑμῖν ἀμυδρῶς ἐνδείξασθαι τὴν ἐκεῖ διαδεξομένην αὐτοὺς μακαριότητα· σαφῶς γὰρ αὐτοὶ μόνοι εἴσονται, οἱ διὰ τῆς πείρας ταύτης ἀπολαύοντες. Τὰ μὲν γὰρ δεινὰ ταῦτα καὶ ἀφόρητα ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάσχουσιν οἱ μάρτυρες· μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εἰς οὐρανοὺς ἀναβαίνουσιν, ἀγγέλων αὐτοῖς προηγουμένων, καὶ ἀρχαγγέλων δορυφορούντων· οὐ γὰρ αἰσχύνονται τοὺς συνδούλους, ἀλλὰ πάντα ἂν εἵλοντο δι' αὐτοὺς ποιῆσαι, ἐπειδὴ κἀκεῖνοι πάντα εἵλοντο παθεῖν διὰ τὸν αὐτῶν Δεσπότην Χριστόν. Ἐπειδὰν δὲ ἀναβῶσιν εἰς τὸν οὐρανὸν, πᾶσαι ἐκεῖναι αἱ ἅγιαι δυνάμεις συντρέχουσιν. Εἰ γὰρ ἀθλητῶν ξένων ἐπιδημούντων τῇ πόλει, πᾶς ὁ δῆμος περιῤῥεῖ πανταχόθεν, καὶ κυκλώσαντες αὐτοὺς καταμανθάνουσι τῶν μελῶν τὴν εὐεξίαν[b], πολλῷ μᾶλλον τῶν ἀθλητῶν τῆς εὐσεβείας εἰς οὐρανοὺς ἀναβάντων, συντρέχουσιν οἱ ἄγγελοι, καὶ πᾶσαι αἱ ἄνω δυνάμεις πάντοθεν περιῤῥέουσι καταμανθάνουσαι τούτων τὰ τραύματα, καὶ καθάπερ τινὰς ἀριστέας ἐκ πολέμου καὶ μάχης ἐπανελθόντας μετὰ πολλὰ τρόπαια καὶ νίκας, οὕτω μεθ' ἡδονῆς δεξιοῦνται πάντας αὐτοὺς, καὶ ἀσπάζονται· εἶτα ἄγουσιν αὐτοὺς μετὰ πολλῆς δορυφορίας πρὸς τὸν τῶν οὐρανῶν βασιλέα, ἐπὶ τὸν θρόνον ἐκεῖνον τὸν πολλῆς δόξης γέμοντα, ἔνθα τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ. Ἐλθόντες δὲ ἐκεῖ καὶ προσκυνήσαντες τὸν ἐπὶ τοῦ θρόνου καθήμενον, [715] πλείονος παρὰ τοῦ Δεσπότου μᾶλλον ἢ τῶν ὁμοδούλων ἀπολαύουσι φιλοφροσύνης. Οὐ γὰρ ὡς δούλους αὐτοὺς δέχεται (καίτοι καὶ τοῦτο μεγίστη τιμὴ, καὶ ἧς ἴσον οὐκ ἔστιν εὑρεῖν), ἀλλ' ὡς φίλους αὐτοῦ· *Ὑμεῖς γάρ*, φησὶ, *φίλοι μού ἐστε*· καὶ μάλα εἰκότως· αὐτὸς γὰρ εἶπε πάλιν· *Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ*. Ἐπειδὴ οὖν τὴν μεγίστην ἀγάπην ἐπεδείξαντο, δεξιοῦται τούτους, καὶ ἀπολαύουσι τῆς δόξης ἐκείνης[c], κοινωνοῦσι τῶν χορῶν, καὶ μετέχουσι τῶν μελῶν τῶν μυστικῶν. Εἰ γὰρ ἐν σώματι ὄντες κατὰ τὴν τῶν μυστηρίων κοινωνίαν εἰς ἐκεῖνον ἐτέλουν τὸν χορὸν, μετὰ τῶν Χερουβὶμ τὸν τρισάγιον ὕμνον ψάλλοντες, καθάπερ ὑμεῖς ἴστε οἱ μυηθέντες, πολλῷ μᾶλλον νῦν τοὺς συγχορευτὰς ἀπολαβόντες μετὰ πολλῆς τῆς παῤῥησίας κοινωνοῦσι τῆς εὐφημίας ἐκείνης. Ἆρα οὐκ ἐφρίττετε πρὸ τούτου τὸ μαρτύριον; ἆρα οὐκ ἐπιθυμεῖτε νῦν τοῦ μαρτυρίου; ἆρα οὐκ ἀλγεῖτε νῦν, ὅτι οὐ πάρεστι καιρὸς μαρτυρίου; Ἀλλὰ καὶ γυμνάζώμεθα εἰς καιρὸν μαρτυρίου. Κατεφρόνησαν ἐκεῖνοι ζωῆς· καταφρόνησον σὺ τρυφῆς· ἔῤῥιψαν ἐκεῖνοι τὰ σώματα τῷ πυρί· ῥῖψον σὺ χρήματα νῦν ἐν ταῖς χερσὶ τῶν πενήτων· κατεπάτησαν ἐκεῖνοι τοὺς ἄνθρακας· σβέσον σὺ τῆς ἐπιθυμίας τὴν φλόγα. Φορτικὰ ταῦτα, ἀλλὰ καὶ ἐπικερδῆ. Μὴ τὰ παρόντα ὅρα τὰ ἐπαχθῆ, ἀλλὰ τὰ μέλλοντα χρηστὰ, μὴ τὰ ἐν χερσὶ δεινὰ, ἀλλὰ τὰ ἐν ἐλπίσιν ἀγαθὰ, μὴ τὰ παθήματα, ἀλλὰ τὰ βραβεῖα, μὴ τοὺς πόνου, ἀλλὰ τοὺς στεφάνους, μὴ τοὺς ἱδρῶτας, ἀλλὰ τὰς ἀμοιβὰς, μὴ τὰς ἀλγηδόνας, ἀλλὰ τὰς ἀντιδόσεις[d], μὴ τὸ καιόμενον

[a] Hæc verba καὶ τῶν πόνων, accesserunt e Savilio. Edit.

[b] Sic Savil. et Reg. Morel. vero εὐταξίαν.

[c] Fusius et bene Savil.: ... δεξιοῦται τούτους ὡς φιλτάτους, καὶ ἀπολ. τῆς ἀπορῥήτου δόξης ἐκείνης. Edit.

[d] Sic Savil. et mss. Reg. At Morel. ἀντιδόσεις.

2. At tu dum scalam audis ferream, spiritualis illius scalæ recordare, quam patriarcha vidit Jacob a terra in cælum extensam : per illam angeli descendebant (*Gen.* 28. 13), per hanc vero martyres ascendunt : utrique Dominus est innixus. Non potuissent sancti isti dolores perferre, nisi huic innixi fuissent. Ac per illam quidem ascendunt et descendunt angeli : per hanc vero ascendere martyres cuivis manifestum est. Quid ita ? Quod illi quidem in ministerium sunt missi eorum, qui hereditatem capient salutis (*Hebr.* 1. 14) : isti vero tamquam athletæ atque victores certaminibus absolutis deinceps ad agonothetam pergebant. Verumenimvero ne oscitanter audiamus quæ dicuntur, dum audimus subjectas fuisse corporibus laceratis prunas, sed cogitemus quales, ubi febris nos invaserit, simus : vitam nobis injucundam et peracerbam putamus, ingemiscimus, impatienter ferimus, tamquam parvuli infantes indignamur, ignem illum nihilo mitiorem gehenna putamus : at isti non febre incumbente, sed flamma illos undique obsidente, ac scintillis in ulcera prosilientibus, et quavis fera crudelius vulnera vellicantibus, perinde quasi essent adamantini, et in alienis ista corporibus fieri cernerent, ita generose, ac cum ea, quæ illos decebat, fortitudine in confessionis verbis constantissime perseverabant, et in omnibus his malis durantes, simul et animi sui robur invictum et Dei gratiam egregie præ se ferebant. Sæpe sub auroram solem exorientem vidistis et quasi croceos radios emittentem? talia sanctorum erant corpora, dum veluti crocei quidam radii rivi sanguinis undique illis diffluerent, eorumque corpus multo, quam cælum sol ipse, splendidius illustrarent. Hunc sanguinem angeli contuentes oblectabantur; dæmones horrebant, et ipse diabolus tremebat. Non enim sanguis erat simpliciter, qui cernebatur, sed sanguis salutaris, sanguis sanctus, sanguis cælo dignus, sanguis qui pulchras Ecclesiæ arbores jugiter irrigat. Vidit hunc sanguinem, horruitque diabolus; recordatus est quippe alterius sanguinis Dominici; propter illum sanguinem hic effluxit : ex quo enim Domini latus apertum est, sexcenta deinde latera effossa contueris. Quis enim non cum gaudio sese ad agones istos ineundos Dominicis passionibus communicaturus, et Christi morti conformis futurus accinget? Est enim sufficiens hæc retributio, et amplior merces, et certamina excedens præmium, vel ante ingressum in regnum cælorum. Ne igitur horreamus, dum hunc vel illum passum esse martyrium audimus; sed horreamus, dum audimus hunc vel illum emollitum, ac tot tantisque certaminum præmiis lapsum esse.

Quæ præmia martyres maneant. Comparat Martyres cum athletis. — Quod si placeat ea, quæ post hanc vitam sequuntur, audire : nulla ea quidem possunt oratione declarari : *Neque* enim *oculus vidit*, inquit, *neque auris audivit, neque in cor hominis ascenderunt, quæ præparavit Deus iis qui diligunt illum* (1. *Cor.* 2. 9); nullus porro ex hominibus adeo Deum dilexit ac martyres. Verumtamen non quod omnem orationem mentemque exsuperet repositorum bonorum magnitudo, ideo silebimus, sed quantum situm in nobis erit dicere, et in vobis audire, conabimur vobis obscure demonstrare, quanta illos ibi excipiat beatitudo : hanc enim illi soli evidenter noverunt, qui ea reipsa perfruuntur. Enimvero perexiguo quidem temporis momento martyres gravia ista et intoleranda patiuntur : postquam autem hinc excesserint, in cælos ascendunt angelis ipsos præcedentibus, et archangelis satellitum more stipantibus : non enim pudet eos conservis officia præstare, sed quævis parati sunt illorum causa facere, quando illi quævis pro Domino suo Christo non dubitarunt perferre. Postea vero quam in cælos ascenderint, sanctæ omnes illæ virtutes concurrunt. Si enim peregrinis athletis in urbem adventantibus populus omnis confluit undique, eosque circumvallantes aptam membrorum dispositionem in illis contemplantur : multo magis, cum religionis athletæ in cælos ascenderint, concurrunt angeli, omnesque undique confluunt supernæ virtutes, eorum considerant vulnera, et tamquam victores quosdam, e bello ac prœliis revertentes, multis tropæis ac victoriis partis, cum voluptate excipiunt eos omnes et amplexantur, ac deinde multo satellitio circumseptos ad Regem cælorum, ad illum thronum multa gloria redundantem, ubi Cherubim et Seraphim adstant, deducunt. Cum vero illuc advenerint, eumque qui throno insidet adoraverint, multo majori, quam a conservis, a Domino excipiuntur benevolentia : non enim ut servos eos excipit (quamquam et maximus hic est honor, cuique non possit æqualis reperiri), sed tamquam amicos suos. *Vos enim*, inquit, *amici mei estis* (*Joan.* 15. 14); ac meritō sane : siquidem ipse rursus dixit : *Majorem hac nemo habet dilectionem, ut animam suam ponat quis pro amicis suis* (*Ibid.* 13). Quando igitur maximam ipsi caritatem demonstrarunt, istos excipit honorifice, atque illa gloria perfruuntur [1]; participes fiunt chororum et canticis mysticis communicant. Si enim cum essent in corpore, secundum mysteriorum communionem in illum chorum admittebantur, ut cum ipsis Cherubim psallerent hymnum ter sanctum (*Isai.* 6. 3), ut vos probe nostis, qui mysteriis initiati estis; multo magis nunc illis conjuncti, cum quibus choros olim ducebant, multa cum fiducia laudationi illi communicant. Annon antehac martyrium horrebatis? annon martyrii vos nunc desiderium capit? numquid non doletis jam martyrii tempus non adesse? Verum exerteamus nos ad tempus martyrii : contempserunt illi vitam, contemne tu delicias : projecerunt illi corpora in ignem, projice tu pecunias nunc in pauperum manus : prunas illi calcarunt, tu cupiditatis flammam exstingue. Laboriosa sunt ista et difficilia, sed tamen utilia valde. Ne ea quæ præsentia sunt acerba spectes, sed quæ jucunda futura : non quæ in manibus mala, sed quæ in spe bona : non ærumnas, sed præmia : non labores, sed coronas : non sudores, sed mercedes :

[1] In Savil. sic legitur, *istos excipit ut dilectissimos; et gloria illa ineffabili perfruuntur*; bene.

non acerbitates, sed retributiones : non ignem urentem, sed propositum regnum : non carnifices circumstantes, sed Christum coronantem.

3. *Qua ratione ad virtutem expedite possimus pervenire.* — Hæc expedita maxime ratio ac via ad virtutem facillima, non labores tantum intueri, sed et præmia cum laboribus, neque ipsa tantum separatim. Cum igitur eleemosynam es impertiturus, noli pecuniæ impensam attendere, sed justitiæ coacervationem. *Dispersit, dedit pauperibus : justitia ejus manet in sæculum sæculi* (*Psal.* 111. 9) : ne respicias opes, quæ exhauriuntur, sed inspice thesaurum qui augetur. Si jejunes, non carnis ex jejunio maceratiouem considera, sed relaxationem, quam ex illa macerationе consequeris. Si noctem insomnem traducas orando, non molestiam ex vigilia, sed quam acquiris ex oratione fiduciam perpende. Ita quoque milites faciunt : non vulnera intuentur, sed præmia : non cædes, sed victorias : non mortuos cadentes, sed coronatos victores. Sic et gubernatores ante tempestates portus respiciunt, ante naufragia negotiationes; ante incommoda navigationis quæ ex maritima peregrinatione lucra decerpuntur. Ita fac tu quoque : cogita quantum sit illud, multa nocte dormientibus mortalibus omnibus, feris ac jumentis in altissima quiete, solum te expergefactum cum communi omnium Domino libere colloquia miscere. Dulcis est somnus? At nihil dulcius oratione [1]. Si solus cum solo colloquens diu potueris perdurare nullo obstrepente, nullo te interpellante, atque ab oratione revocante, habes et tempus suffragatorem ad id quod expetis obtinendum. Verum in molli strato decumbens, in hanc et in illam partem verteris, ac surgere pigritaris? Veniant tibi in mentem illi, qui in craticula ferrea jacebant hodie martyres, non subjecto cubili, sed prunis substratis.

Martyrum supplicia recolenda. — Hic ego finem dicendi facere statui, ut vos craticulæ vigentem adhuc et recentem habentes memoriam abscedatis, et ejus noctu atque interdiu recordemini : licet enim sexcenta vincula nos devinciant, tamen facile cuncta disrumpere poterimus, atque ad orandum consurgere, dum craticulam semper versamus animo. Non craticulam autem solum, sed et alia martyrum tormenta super cordis nostri latitudinem describamus. Quemadmodum qui suas ædes elegantiores reddunt, florida eas pictura undique exornant : sic et nos in mentis nostræ parietibus cruciatus martyrum depingamus. Nam illa quidem pictura est inutilis ; ista vero plena lucri : non enim pecuniis indiget, non expensis, neque adeo arte ulla pictura hæc : sed vice omnium promptam voluntatem mentemque generosam ac vigilantem sufficit adhibere, atque his quasi manibus peritissimis ipsorum describere cruciatus. Depingamus ergo in anima nostra hos jacentes in sartagine, illos autem super carbones extensos; hos in lebetes dejectos, illos in mare demersos; alios laceratos, alios in rota distortos, alios in præcipitium actos; atque hos quidem cum bestiis depugnantes, illos vero in barathrum devolutos, alios ut cuique contigit mortem obeuntes : ut hujus picturæ varietate domum nostram illustriorem cum reddiderimus, aptum cælorum Regi diversorium præparemus. Etenim si ejusmodi viderit in nostra mente picturas, veniet cum Patre, mansionem apud nos faciet cum Spiritu sancto; eritque deinceps regia quædam domus mens nostra, nullaque in eam ingredi poterit absurda cogitatio, dum martyrum memoria, velut pictura quædam florida, omni tempore in nobis manebit, multumque in ea splendorem emittet; atque in nobis Rex universorum continue diversabitur. Quod si ita Christum in hac vita susceperimus, post nostrum ex ea discessum poterimus in æterna recipi tabernacula : quod nobis omnibus præstare dignetur gratia et benignitas Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, una cum sancto et vivifico Spiritu, in sæcula sæculorum. Amen.

[1] Savil. et Reg., *oratione fiduciam habente.*

IN HOMILIAM DE TERRÆ MOTU

[717]Aliam edidimus homiliam in terræ motum, quæ est sexta de Lazaro T. I, in cujus Monito p. 772 multis cum Chrysostomi, tum aliorum testimoniis probavimus Antiochiam frequentibus terræ motibus succussam, maximeque ætate Chrysostomi fuisse. Is autem terræ motus, quode nunc agitur, tunc accidit, cum Chrysostomus æger in lecto decumberet : qui ut ardens erat studio instituendæ plebis, mœstam illam cernens ob ingruentem calamitatem, nullo affectus morbi sensu, ad gregem advolavit : quod quidem ille innuit cum ait : *Verbi doctrina ægritudinem meam in bonam valetudinem mutavit.* Hæc porro concio extra urbem in aliqua ecclesiarum, quas populi Antiocheni pietate ducti frequentabant, habitam fuisse suadent non pauca Chrysostomi verba, qui populum non semel laudat ob susceptum audiendi causa itineris labo-

πῦρ, ἀλλὰ τὴν προκειμένην βασιλείαν, μὴ τοὺς περιεστῶτας δημίους, ἀλλὰ τὸν στεφανοῦντα Χριστόν.

γ'. Αὕτη μεγίστη μέθοδος καὶ εὐκολωτάτη πρὸς ἀρετὴν ὁδός, μὴ τοὺς πόνους μόνον ὁρᾷν, ἀλλὰ καὶ τὰ ἔπαθλα μετὰ τῶν πόνων, ἀλλ' οὐχ αὐτὰ καθ' ἑαυτὰ μόνον. Ὅταν οὖν μέλλῃς ἐλεημοσύνην διδόναι, μὴ πρόσεχε τῇ δαπάνῃ τῶν χρημάτων, ἀλλὰ τῇ συλλογῇ τῆς δικαιοσύνης· *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*· μὴ βλέπε τὸν κενούμενον πλοῦτον, ἀλλ' ὅρα τὸν αὐξανόμενον θησαυρόν. Ἂν νηστεύσῃς, μὴ τὴν κάκωσιν τὴν ἀπὸ τῆς νηστείας λογίζου, ἀλλὰ τὴν ἄνεσιν τὴν ἀπὸ τῆς κακώσεως· ἂν ἀγρυπνήσῃς εὐχόμενος, μὴ τὴν ταλαιπωρίαν τὴν ἀπὸ τῆς ἀγρυπνίας, ἀλλὰ τὴν παῤῥησίαν τὴν ἀπὸ τῆς εὐχῆς ἐννόει. Οὕτω καὶ στρατιῶται ποιοῦσιν· οὐ τὰ τραύματα, ἀλλὰ τὰς ἀμοιβὰς βλέπουσιν· οὐ τὰς σφαγὰς, ἀλλὰ τὰς νίκας· οὐ τοὺς πίπτοντας νεκροὺς, ἀλλὰ τοὺς στεφανουμένους ἀριστέας. Οὕτω καὶ κυβερνῆται πρὸ τῶν κυμάτων τοὺς λιμένας ὁρῶσι, πρὸ τῶν ναυαγίων τὰς ἐμπορίας, πρὸ τῶν ἐν θαλάσσῃ δεινῶν τὰ μετὰ θάλασσαν ἀγαθά. Οὕτω καὶ σὺ ποίησον· ἐννόησον ἡλίκον ἐστὶν ἐν νυκτὶ βαθείᾳ, τῶν ἀνθρώπων καθευδόντων ἁπάντων καὶ θηρίων καὶ κτηνῶν, βαθυτάτης ἡσυχίας οὔσης, μόνον σε ἐγερθέντα [716] παῤῥησίᾳ διαλέγεσθαι τῷ κοινῷ πάντων Δεσπότῃ. Ἀλλὰ γλυκὺς ὁ ὕπνος; Ἀλλ' οὐδὲν γλυκύτερον προσευχῆς [a]. Ἂν κατ' ἰδίαν αὐτῷ διαλεχθῇς, πολλὰ ἀνύσαι δυνήσῃ, μηδενὸς ἐνοχλοῦντός σε, μηδὲ ἐκκρούοντός σε τῆς δεήσεως· ἔχεις καὶ τὸν καιρὸν σύμμαχον πρὸς τὸ ἐπιτυχεῖν ὧν θέλεις. Ἀλλὰ περιστρέφῃ κείμενος ἐπὶ μαλακῆς στρωμνῆς, καὶ ὀκνεῖς διαναστῆναι; Ἐννόησον τοὺς ἐπὶ τῆς σιδηρᾶς κλίμακος κειμένους σήμερον μάρτυρας, οὐχὶ στρωμνῆς ὑποκειμένης, ἀλλ' ἀνθράκων ὑπεστρωμένων. Ἐνταῦθα βούλομαι καταλῦσαι τὸν λόγον, ὥστε τῆς κλίμακος τὴν μνήμην ἀκμάζουσαν καὶ νεαρὰν ἔχοντας ὑμᾶς ἀπελθεῖν, καὶ ταύτης ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ μεμνῆσθαι· κἂν γὰρ μυρία κατέχῃ δεσμὰ, δυνησόμεθα πάντα ἀποῤῥῆξαι ῥᾳδίως, καὶ πρὸς τὴν εὐχὴν ἀναστῆναι, τὴν κλίμακα ταύτην ἐννοοῦντες διαπαντός. Μὴ τὴν κλίμακα δὲ μόνον ἐκείνην, ἀλλὰ καὶ τὰς ἄλλας τῶν μαρτύρων τιμωρίας διαγράφωμεν ἐπὶ τὸ πλάτος τῆς καρδίας τῆς ἡμετέρας. Καὶ καθάπερ οἱ τὰς οἰκίας τὰς ἑαυτῶν ποιοῦντες λαμπρὰς, ἀνθηρᾷ γραφῇ πανταχόθεν αὐτὰς κατακοσμοῦσιν· ἕως οὕτω καὶ ἡμεῖς ἐν τοῖς τοίχοις τῆς ἡμετέρας διανοίας ζωγραφήσωμεν τῶν μαρτύρων τὰς τιμωρίας. Ἐκείνη μὲν γὰρ ἡ ζωγραφία ἀνόνητος. αὕτη δὲ κέρδος ἔχουσα· οὐ δεῖται γὰρ χρημάτων, οὐδὲ δαπάνης, οὐδὲ τέχνης τινὸς αὕτη ἡ γραφὴ, ἀλλ' ἀντὶ πάντων ἀρκεῖ προθυμίᾳ χρήσασθαι καὶ λογισμῷ γενναίῳ καὶ νήφοντι, καὶ διὰ τούτου καθάπερ διά τινος χειρὸς ἀρίστης ὑπογράψαι τὰς τιμωρίας αὐτῶν. Ζωγραφῶμεν τοίνυν ἐν τῇ ψυχῇ τοὺς μὲν ἐπὶ τηγάνων κειμένους, τοὺς δὲ ὑπὸ ἀνθράκων τεταμένους, τοὺς δὲ εἰς λέβητας κυβιστῶντας, τοὺς δὲ εἰς θάλασσαν καταποντιζομένους, ἑτέρους ξεομένους [b], ἄλλους ἐπὶ τροχὸν καμπτομένους, ἄλλους εἰς χρημνὸν ῥιπτομένους· καὶ τοὺς μὲν θηρίοις πυκτεύοντας, τοὺς δὲ ἐπὶ τὸ βάραθρον ἀγομένους, τοὺς δὲ, ὡς ἕκαστος ἔτυχεν καταλύσας τὸν βίον· ἵνα τῇ ποικιλίᾳ τῆς γραφῆς ταύτης [c] λαμπρὰν τὴν ἡμετέραν κατασκευάσαντες οἰκίαν, ἐπιτήδειον τῷ βασιλεῖ τῶν οὐρανῶν ποιήσωμεν καταγώγιον. Ἂν γὰρ ἴδῃ τοιαύτας ἐν τῇ διανοίᾳ τὰς γραφὰς, ἥξει μετὰ τοῦ Πατρὸς, καὶ μονὴν ποιήσει παρ' ἡμῖν σὺν τῷ Πνεύματι τῷ ἁγίῳ· καὶ βασιλικὸς ἔσται λοιπὸν οἶκος ἡ διάνοια ἡμῶν, καὶ οὐδεὶς ἄτοπος λογισμὸς ἐπιβῆναι δυνήσεται, τῆς τῶν μαρτύρων μνήμης ὥσπερ τινὸς ἀνθηρᾶς ζωγραφίας διαπαντὸς ἡμῖν ἐναποκειμένης, καὶ πολλὴν ἐναφιείσης τὴν μαρμαρυγὴν, καὶ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ συνεχῶς ἡμῖν ἐνδιαιτωμένου. Οὕτω δὲ ἐνταῦθα Χριστὸν ὑποδεξάμενοι, δυνησόμεθα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς τὰς σκηνὰς ὑποδεχθῆναι τὰς αἰωνίους, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Savil. et Reg. πρασευχῆς παῤῥησίαν ἐχούσης.

[b] Reg. καταξαινομένους.

[c] Reg. ζωγραφίας ταύτης.

MONITUM.

rem multum atque sudorem. In hunc vero terræ motum se etiam pridie concionatum esse testificatur Chrysostomus p. 719 A.

Annum quo hic terræ motus accidit, ne conjectura quidem statuere possumus : ex ægritudine namque Chrysostomi nullam calculi ponendi ansam arripere licet : nam valetudinis non sat firmæ vir sæpe cum morbis conflictabatur. Hanc homiliam in loco peregrino dederat Franciscus Combefisius anno 1656. Nos ex Vaticano quodam Codice exscripsimus, et ex utroque sanam, ut puto, seriem adornavimus, atque interpretationem novam fecimus.

[717] ΟΜΙΛΙΑ ΜΕΤΑ ΤΟΝ ΣΕΙΣΜΟΝ.

Εἰ καὶ ἡμᾶς ἡ ἀῤῥωστία ἐκώλυσε χορεῦσαι μεθ' ὑμῶν τὴν χορείαν τὴν πνευματικὴν, ἀλλ' ὑμᾶς ὁ κόπος τῆς ὁδοιπορίας οὐκ ἐξέλυσεν. Εἰ γὰρ καὶ ὁ κόπος πολλῷ ἱδρῶτι περιῤῥεομένους [a] ὑμᾶς ἐνταῦθα ἤγαγεν, ἀλλ' ἡ τοῦ λόγου διδασκαλία καὶ τὴν ἀῤῥωστίαν τὴν ἡμετέραν εἰς ὑγείαν μετέβαλε, καὶ τὸν ὑμέτερον πόνον διὰ τῆς ψαλμῳδίας παρεμυθήσατο. Διὰ δὴ τοῦτο οὔτε αὐτὸς ἀῤῥωστῶν τῇ σιωπῇ τὴν γλῶτταν κατέδησα, οὔτε ὑμεῖς κεκοπωμένοι τῆς ἀκροάσεως ἀπέστητε· ἀλλ' ὁμοῦ τε ὁ λόγος ἐφάνη, καὶ ὁ πόνος ἀνεχώρησεν, ὁμοῦ [b] τε ἡ διδασκαλία ἐφάνη, καὶ ὁ κόπος ἐδραπέτευσεν. Ἡ μὲν γὰρ ἀῤῥωστία καὶ ὁ πόνος σώματος, ἡ δὲ διδασκαλία τῆς ψυχῆς ἐστι κατόρθωμα καὶ ἰατρεία. Ὅσῳ δὲ ψυχὴ σώματος ἀμείνων, τοσοῦτον ἐκείνης τὰ κατορθώματά ἐστι προτιμότερα. Διὰ γὰρ τοῦτο οὐ μόνον ἀῤῥωστίας κωλυούσης, ἀλλὰ καὶ μυρίων ἑτέρων κωλυμάτων γινομένων, οὐκ ἀπέστην τοῦ περιπλέκεσθαι ὑμῶν τῇ ἀγάπῃ. οὐκ ἀπεστερήθην οὐδὲ σήμερον τῆς καλῆς ταύτης ἑορτῆς. Ἀλλ' ἕως μὲν ἄρτι τῇ κλίνῃ ἦμεν προσηλωμένοι, ὁ δὲ Θεὸς ἡμᾶς οὐ συνεχώρησε τέλεον τῷ λιμῷ διαφθαρῆναι. Ὥσπερ γὰρ ὑμῖν λιμὸς τὸ μὴ ἀκούειν, οὕτω καὶ ἐμοὶ λιμὸς τὸ μὴ λέγειν. Οὕτω καὶ μήτηρ πολλάκις ἀσθενοῦσα ἕλοιτο ἂν ὑπὸ τοῦ παιδὸς κατατείνεσθαι τὸν μαζὸν, ἢ ὁρᾷν αὐτὸν λιμῷ τηκόμενον· συντεινέσθω καὶ ἐμοὶ τὸ σῶμα. Τίς γὰρ οὐκ ἂν ἡδέως ὑπὲρ ὑμῶν καὶ τὸ αἷμα ἐχχέοι, ἀνδρῶν οὕτω τῇ εὐλαβείᾳ, οὕτω τῇ φιληκοΐᾳ ζεόντων, οὕτως ἀπὸ μικρᾶς καιροῦ ῥοπῆς τὴν μετάνοιαν ἐπιδειξαμένων; Οὐκ οἴδατε ἡμέραν καὶ νύκτα, ἀλλ' ἑκάτερον τὸν καιρὸν ἡμέραν ἐργάζεσθε, οὐ τὸν ἀέρα μεταβαλόντες. [718] ἀλλὰ ταῖς παννυχίσι τὰς νύκτας φωτίζοντες· νύκτες ὑμῖν ἄϋπνοι, καὶ τοῦ ὕπνου ἡ τυραννὶς καταλέλυται· ὁ γὰρ τοῦ Χριστοῦ πόθος τὸ ἐλάττωμα τῆς φύσεως ἐνίκησεν. Ἀπηλλάγητε τοῦ εἶναι ἄνθρωποι τὰ σώματα τῷ μιμεῖσθαι δυνάμεις, ἀγρυπνίαν ἐπιδεικνύμενοι, νηστείαν συντεταμένην, κάματον τοσοῦτον ὁδοιπορίας, κάματον κατὰ τὴν φύσιν, ἄνεσιν κατὰ τὴν προαίρεσιν. Οὗτος [c] τῶν φόβων ὁ καρπὸς, αὕτη τοῦ σεισμοῦ ἡ πρόοδος, πρόοδος μηδέποτε δαπανωμένη, πρόοδος καὶ τοὺς πένητας εὐπορωτέρους ἐργαζομένη, καὶ τοὺς πλουσίους πλουτίζουσα· οὐκ οἶδε πενίαν, οὐκ οἶδε πλοῦτον. Ἦλθεν ὁ σεισμὸς, καὶ τὴν ἀνωμαλίαν τοῦ βίου ἔξω πεποίηκεν. Ποῦ νῦν οἱ τὰ σηρικὰ περιβεβλημένοι; ποῦ ὁ χρυσός; Πάντα ἐκεῖνα φεύγεται, καὶ ἀράχνης εὐτελέστερον διεσπάσθη, καὶ τῶν ἀνθῶν τῶν ἐαρινῶν μᾶλλον ἠλέγχθη. Ἀλλ' ἐπειδὴ παρεσκευασμένην ὁρῶ τὴν διάνοιαν τὴν ὑμετέραν, ψαλιλεστέραν παραθεῖναι ὑμῖν τράπεζαν βούλομαι. Ὁρῶ ὑμῶν τὰ σώματα κεκμηκότα, ἀλλὰ τὴν ψυχὴν νεάζουσαν. Πολλαὶ τοῦ ἱδρῶτος αἱ πηγαὶ, ἀλλ' ἀποσμήχουσι τὸ συνειδός. Εἰ γὰρ ἀθληταὶ καὶ αἵματα περιῤῥέονται διὰ φύλλα δάφνης, σήμερον διδόμενα, καὶ αὖριον μαραινόμενα, πολλῷ μᾶλλον ὑμᾶς εἰς τὸν ἀγῶνα τῶν κατορθωμάτων εἰσελθόντας δεῖ μὴ ἐνδοῦναι τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, μηδὲ καταμαλακίζεσθαι. Τὸ θέατρον τὸ ὑμέτερον ἐμοὶ στέφανος, καὶ εἷς ὑμῶν ἀκροατὴς ἀντίῤῥοπος τῇ πόλει. Τινὲς μὲν γὰρ κρατῆρας ἐστέψαντο, ἄλλοι δὲ συμπόσια συνήγαγον Σατανικὰ, ἄλλοι δὲ δαψιλῆ παρεσκεύασαν τράπεζαν· ὑμεῖς δὲ παννυχίδα τοσαύτην ἐπετελέσατε, καὶ τὴν πόλιν πᾶσαν τῇ βάσει τῶν ἁγίων ὑμῶν ποδῶν ἐξεκαθάρατε, τῷ περιπάτῳ τὴν ἀγορὰν ἀναμετρήσαντες, καὶ τὸν ἀέρα ἅγιον ἐργασάμενοι. Γίνεται γὰρ καὶ ὁ ἀὴρ ἅγιος ἀπὸ [d] ψαλμῳδίας, ὡς ἠκούσατε σήμερον λέγοντος τοῦ Θεοῦ τῷ Μωϋσῇ· *Ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν.* Ἡγιάσατε τὸ ἔδαφος, τὴν ἀγορὰν, τὴν πόλιν ἡμῖν ἐκκλησίαν ἐποιήσατε. Καὶ καθάπερ χειμαῤῥόος παραῤῥέων· καὶ πολλῷ τῷ ῥείθρῳ φερόμενος ἅπαντα ἀνατρέπει, οὕτω δὴ καὶ ὁ χειμαῤῥόος ὁ πνευματικὸς, ὁ ποταμὸς τοῦ Θεοῦ, ὁ εὐφραίνων τὴν πόλιν τοῦ Θεοῦ, ἐπληρώθη ὑδάτων, καὶ τὸν βόρβορον τῆς ἀσεβείας ἐξεκάθαρεν. Οὐδεὶς ἀσελγὴς, μᾶλλον δὲ καὶ εἴ τις ἀσελγὴς ἐστι μεταβάλλεται. Ἀκούει τῆς φωνῆς, καὶ μεταῤῥυθμίζεται ἡ διάνοια, εἰσέρχεται ἡ μελῳδία, καὶ μεταβάλλεται ἡ ἀσέβεια, δραπετεύει τῆς πλεονεξίας τὰ πάθη. Εἰ γὰρ καὶ μὴ δραπετεύει, ἀλλὰ καθάπερ τὰ θηρία τὰ ἄγρια χειμῶνι φωλεύει, οὕτως ἡ διάνοια ἡ ἀσελγοῦσα κατορύττεται, καὶ καθάπερ οἱ ὄφεις, τοῦ κρυμοῦ πηγνύντος αὐτῶν τὰ σώματα ἐπὶ τὰ κάτω δύνουσιν, οὕτω δὴ τὰ πάθη ταῦτα, τὰ ἀνελεύθερα καὶ ἀνδραποδώδη, καθάπερ εἰς βυθόν τινα οὕτω συγκαλύπτεται. Ἀμέλει καὶ αὐτοὶ αἰσχύνονται οἱ περιφέροντες αὐτά· περιφέρουσι μὲν γὰρ, νεκρὰ δέ. Ἀντὶ γὰρ χειμῶνος αὐτοῖς ἡ μελῳδία ὑμῶν γίνεται. Εἰσέρχεται εἰς ἀκοὴν τοῦ πλεονέκτου ἡ φωνὴ, κἂν μὴ ἐκβάλλῃ τὸ πάθος, ἀλλὰ νεκροῖ τὸ πάθος· εἰσέρχεται εἰς τὴν ἀκοὴν τοῦ ἀσελγοῦς καὶ ὑπερηφάνου, κἂν μὴ ἀποκτείνῃ τὴν ἀσέλγειαν καὶ τὴν ὑπερηφανίαν, κατορύττει τὴν ἀσέλγειάν τε καὶ τὴν ὑπερηφάνειαν. [719] Οὐ μικρὸν δὲ τὸ μὴ παῤῥησιάζεσθαι τὴν κακίαν. Εἶπον καὶ χθὲς ὅτι μέγας ὁ καρπὸς ὁ ἀπὸ τῶν σεισμῶν. Εἴδετε Δεσπότου φιλανθρωπίαν σείοντος πόλιν καὶ στηρίζοντος διάνοιαν; σαλεύοντος θεμέλια, καὶ πηγνύοντος φρονήματα; σαθρὰν ἐργαζομένου τὴν πόλιν, καὶ ἰσχυροποιοῦντος τὴν γνώμην; Ἐννόησον αὐτοῦ τὴν φιλανθρωπίαν· ἔσεισεν ὀλίγον, καὶ διηνεκῶς ἔπηξεν· ὁ σεισμὸς εἰς δύο ἡμέρας, ἡ δὲ εὐλάβεια μενέτω εἰς πάντα τὸν χρόνον· πρὸς ὀλίγον ἐλυπήθητε, ἀλλὰ διηνεκῶς ἐῤῥιζώθητε. Εὖ γὰρ οἶδα ὅτι τῷ φόβῳ τοῦ Θεοῦ ἡ εὐλάβεια ὑμῶν ῥίζαν ἔλαβε· κἂν γένηται ἄνεσις, μένει ὁ καρπός. Οὐκέτι ἄκανθαι αἱ πνίγουσαι, οὐδὲ βροχὴ ἐπικλύζουσα ἀποπλύνει [e]· καλῶς ἐγεώργησεν ὑμᾶς ὁ φόβος, σύμμαχός μου τῶν λόγων γέγονεν. Ἐγὼ σιγῶ καὶ τὰ θεμέλια φθέγγεται· ἐγὼ σιωπῶ καὶ ὁ σεισμὸς σάλπιγγος λαμπροτέραν ἀφίησι φωνὴν, ταῦτα λέγων· *Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος·* παρεγενόμην, οὐχ ἵνα ὑμᾶς καταχώσω, ἀλλ' ἵνα ὑμᾶς νευρώσω. Ταῦτα ὁ σεισμὸς λέγει, καὶ φωνὴν ἀφίησιν· ἐφόβησα ὑμᾶς, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα ἀκριβεστέρους ἐργάσωμαι. Προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ· ἐπειδὴ ἠτόνησεν ὁ λόγος, ἐβόησεν ἡ τιμωρία, ἐπεὶ ἔκαμεν ἡ διδασκαλία,

[a] Combefis περιῤῥευμένους.
[b] Combefis ὁμοῦ, Valic. ὅπου. Infra Valic. προθυμότερα.
[c] Valic. συντεταγμένην, κάματον τοσοῦτον κατὰ τὴν φύσιν ἄνεσιν. Οὗτος, male.
[d] Combefis. ὑπό.
[e] Combefis. ἐπικλύζουσα ἀποπλύνει. Valic. ἐπιβλύζουσα ἀποπλύναι.

HOMILIA POST TERRÆ MOTUM [a].

Chrysostomi erga gregem caritas; Antiochenorum pietas; calamitatum fructus. — Etsi adversa valetudo impedierit, quominus vobiscum spiritualem chorum ageremus, vos tamen itineris labor non deterruit. Licet enim labor ille vos multo sudore perfusos huc adduxerit, at verbi doctrina cum ægritudinem meam in bonam valetudinem mutavit, tum laborem vestrum per psalmodiam recreavit. Idcirco neque ego ob infirmitatem linguam coercui, neque vos defatigationis ergo audire abnuistis; sed simul atque sermo prodiit, defatigatio abscessit; cum primum doctrina prolata est, lassitudo aufugit. Nam ægritudo et defatigatio corporis sunt, doctrina vero animi opus atque medicina. Quantum autem corpori præstat anima, tantum hujus opera sunt præstantiora. Ideoque non morbo tantum, sed sexcentis etiam aliis ingruentibus obicibus vestram caritatem complecti numquam cessavi : neque hodie ab hac præclara solemnitate abesse volui. Sed hactenus quidem lecto affixi eramus, Deus tamen non permisit, ut fame penitus deficeremus. Ut enim vobis fames est non audire, sic et mihi fames non concionari. Ad eumdem modum et mater ægrotans extrahi mammam suam ab infante malit, quam ipsum fame tabescentem videre : trahatur et mihi corpus. Quis enim non lubens pro vobis etiam sanguinem fuderit, viris tanta pietate, tanto audiendi studio ferventibus : qui tam exiguo temporis momento pœnitentiam exhibeatis? Inter diem et noctem discrimen non nostis, sed utrumque tempus diem facitis, non aerem mutantes sed pervigiliis noctes illustrantes : noctes vobis insomnes, somni tyrannis soluta est : Christi namque amor naturæ infirmitatem vicit. Ab humana conditione corpora liberastis, quod virtutes imitemini, dum tantas vigilias suscipitis, diuturnum jejunium, tantum itineris laborem, laborem scilicet si natura, quietem si voluntas spectetur. Hic timoris fructus, hic ex terræ motu proventus, nempe proventus numquam consumendus, proventus qui et pauperum facultates auget, et divitibus divitiarum accessio est : non novit paupertatem, non novit divitias. Venit terræ motus, et vitæ inæqualitatem sustulit. Ubi nunc sunt qui sericis induebantur? ubi aurum? Hæc omnia evolarunt, facilius, quam araneæ tela, dissipata sunt, et fluxa magis quam verni flores deprehensa sunt. At quia paratum vestrum animum video, lautiorem vobis mensam apponere volo. Corpora vestra fessa, sed animum vegetum perspicio. Multi sudorum fontes, sed conscientiam abstergunt. Nam si athletæ sanguine perfunduntur, ut lauri foliis donentur, quæ hodie data, cras marcescent : multo magis vos, qui bonorum operum certamen iniistis, par est nec succumbere nec emolliri laboribus pro virtute susceptis. Vestrum theatrum mihi corona est, unusque vestrum auditor perinde mihi est, atque tota civitas. Alii enim crateras potu coronarunt, alii satanica convivia celebrarunt, alii lautam apparavere mensam : vos autem pervigilium tantum peregistis, totamque urbem vestigiis sanctorum pedum vestrorum emundastis, incessu forum emensi estis, et aerem sanctificastis. Aer quippe sanctus efficitur per psalmodiam, ut audistis hodie Deum Moysi dicentem : *Locus enim, in quo stas, terra sancta est* (*Exod.* 3. 5). Sanctificastis solum, forum ; urbem nobis ecclesiam fecistis. Ac sicut torrens erumpens magno aquarum impetu omnia evertit, sic torrens ille spiritualis, flumen Dei lætificans civitatem Dei (*Psal.* 45. 5. *et* 64. 10), repletum est aquis, atque impietatis cœnum expurgavit. Nemo impudicus; imo si quis impudicus adhuc est, is transformatur. Vocem audit, et animus transformatur : intrat melodia, et impietas transmutatur : fugantur avaritiæ morbi. Etiamsi vero non fugentur ; at quemadmodum feræ hyeme se in lustris continent, sic et animus luxurians sese abdit ; ac sicut serpentes, frigore eorum corpora congelante in ima se recipiunt, sic et illiberales et serviles animi affectiones ceu in profundum quoddam sese demergunt et abdunt. Utique ii, qui hæc circumferunt, pudore afficiuntur : nam ea quidem circumferunt, sed emortua. Ipsis quippe melodia cantusque vester hyemis loco est. In avari aures vox intrat, ac licet morbum non ejiciat, sopit tamen et quasi mortuum reddit : in aures intrat impudici et superbi ; etsi non exstinguat impudicitiam et superbiam, utramque tamen ceu defodit. Neque vero modica res est, cum nequitia non libere prodire audet. Dicebam et heri, magnum ex terræ motibus emergere fructum. Vidistis Domini clementiam, qui dum urbem concutit, mentem firmat; dum fundamenta commovet, animi sensa constare procurat ; dum urbem labefactat, animum roborat? Ejus benignitatem cogita : tantillum exagitavit, et in perpetuum firmavit : bidui terræ motus fuit, at in perpetuum pietas maneat : ad modicum tempus doluistis, at in perpetuum radices misistis. Bene quippe novi ex timore Dei pietatem vestram radices posuisse : etsi remissio sit, manet utique fructus. Non ultra spinæ aderunt quæ suffocent, neque pluvia exundans obruet : probe vos timor excoluit, doctrinæque meæ opem tulit. Me tacente fundamenta loquuntur : me tacente terræ motus tubæ clangore clariorem emittit vocem hujusmodi : *Misericors et miserator Dominus; longanimis et multum misericors* (*Psal.* 102. 8. 9) : accessi, non ut vos obruerem, sed ut nervos vobis adderem. Hæc terræ motus loquitur, ac vocem emittit : Terrui vos, non ut molestia afficerem, sed ut cautiores præstarem. Dictis, quæso, animum diligenter advertite. Cum sermo viribus deficeret, clamandi partes pœna susce-

(a) Exscripta ex Cod. Vaticano n. 574, XI sæculi, et collata cum Edit. Combefis. anno 1656.

pit, cum doctrina robur amitteret, timor in auxilium venit. Hæc vobis loquuturus ad modicum venio, et quæ mea sunt præsto : cum autem vos strinxero, tum sermoni tradam, ut ne frustra sermo laboret : lapides pullulantesque spinas invenio, et arvum expurgo, ut sermo larga manu sementem jaciat.

Ex terræ motu quantum mutati Antiocheni.—Quid vobis damni ex brevi mœrore? Ex hominibus angeli effecti estis : in cælum etsi non loco, at moribus translati estis. Quod autem non ex adulatione loquar, res ipse testificantur. Quid enim vobis ad pœnitentiæ rationem defuit? Invidiam ejecistis, illiberales affectus exterminastis, virtutem consevistis, totam noctem pervigiliis sacris agentes, cum multa caritate et ingenti animi fervore. Nemo usurarum meminit, nemo de avaritia loquitur : nec solum a peccatis mundæ manus sunt, sed etiam lingua ab iniquitate et contumelia libera : nemo injuriam proximo infert, nemo satanica adit convivia : ædes mundæ sunt, forum sordibus purgatum : accedente vespera nusquam juvenum chori, theatricas modulantium cantilenas. Chori certe sunt, at non lasciviæ : chori utique, sed recte factorum. In foro hymnos audire est ; ex domi vero sedentibus alium psallentem, alium hymnos canentem : nox advenit, et omnes in ecclesiam, tranquillum portum fluctibusque vacuum, conveniunt. Putabam ego fore, ut post unum alterumve diem vigiliæ corpora dejicerent : nunc autem quanto vigiliæ longius procedunt, tanto vobis major amoris fit accessio. Qui psallebant defecerunt, et vos viriliter agitis : qui psallebant defessi sunt, et vos viribus nervisque aucti estis. Ubi sunt nunc, rogo, divites? discant pauperum philosophiam. Dormiunt illi, pauperes vero in pavimento positi non dormiunt, sed genua flectunt, Paulum et Silam imitantes (*Act.* 16). Verum illi psallebant, et concutiebant carcerem ; vos autem psallitis, et quassatam urbem firmastis. Rerum contrarii fines, sed utraque ad gloriam Dei vergunt. Ille namque carcerem concussit, ut infidelium mentem quateret, ut carceris custodem solveret, ut verbum Dei annuntiaret : vos urbem firmastis, ut iram Dei solveretis : et hæc et illa vario dispensata modo sunt. Attamen gaudeo, non quod urbs firmata sit, sed quod sit precibus vestris firmata, quod psalmodiæ vestræ fundamentorum loco fuerint. Superne ira, et in terra vox vestra : superne ingruentem iram cohibuit vox e terris emissa. Aperti sunt cæli, et delapsa sententia est gladius acutus : urbs in solum redacta, indeprecabilis ira. Nulla re opus habuimus, nisi pœnitentia, lacrymis, gemitibus, et omnia soluta sunt : Deus sententiam tulit, nosque iram dissolvimus. Nequaquam aberraverit qui vos curatores et servatores urbis appellaverit. Ubinam principes? ubi magni illi sospitatores? Vos urbis vere turres, murus, præsidium. Illi nequitia sua urbem labefactarunt, vos virtute vestra urbem firmastis. Si quis interrogatus, cur concussa urbs fuerit, etsi nihil respondeat, in confesso tamen est, id peccatorum, avaritiæ, injustitiæ, nequitiæ, superbiæ, mendacii causa accidisse. Cujusnam? divitum. Rursum si quis interroget, unde urbs firmata fuerit, in confesso est, quod per psalmodias, preces, pervigilia. Quorumnam? pauperum. Quæ urbem concusserunt, illorum sunt ; quæ illam confirmaverunt, vestra : itaque vos servatores et curatores fuistis. Verum hic sermonis finem faciamus pervigiliis et psalmodiis instantes, gloriam emittentes Patri, Filio et Spiritui sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

IN HOMILIAM DE JUDA PRODITORE

Non sine quodam scrupulo hanc homiliam, quæ nunc primum in lucem prodit, inter germanas et sinceras Chrysostomi conciones locamus : licet enim illa Daphnes suburbii Antiocheni commemoratio, qua concio incipitur ; licet Pythii Apollinis in eo suburbio a gentilibus culti memoria, necnon alia quædam similia Chrysostomum concionantem referre videantur, non pauca sunt quæ peregrinum oleant, exclamationes nimirum et interrogationes perpetuæ, quas licet S. doctor non raro soleat usurpare, non tam frequenter

IN PROPITIONEM JUDÆ (a).

Nunc amœna Daphne, nunc religiosa est, non modo quod limpidissima fluenta emittat, non quod arborum comas alat jucundissimas ; sed quod peregrinam plantam crucem receperit : nunc fons vere temperans est et Pythio dæmoni terribilis. Non amplius impiis viris solum calcandum offert, sed vobis piis nemus præbet, imaginem amabilis illius loci, hortu nempe, in quo Servatoris proditio, audax facinus, peracta est, salutisque nostræ negotium ortum accepit. Atenim quid præsenti cœtui loquar non suppetit : linguam movet cœtus ad Judam incusandum, sed os

(a) Ex Cod. Em. Card. Ottobon.

συνεμάχησεν ὁ φόβος. Ταῦτα διαλεγόμενος ὑμῖν πρὸς ὀλίγον ἔρχομαι, καὶ ποιῶ τὸ ἐμαυτοῦ· ὅταν ὑμᾶς σφίγξω, τότε παραδίδωμι τῷ λόγῳ, ἵνα μὴ κάμνῃ ὁ λόγος· λίθους εὑρίσκων καὶ ἀκάνθας φυομένας, καθαρὰν ποιῶ τὴν ἄρουραν, ἵν' ὁ λόγος δαψιλεῖ τῇ χειρὶ καταβάλλῃ τὰ σπέρματα.

Τί ἐβλάβητε πρὸς ὀλίγον λυπηθέντες; Ἄγγελοι ἀντὶ ἀνθρώπων ἐγένεσθε· πρὸς οὐρανὸν μετέστητε, εἰ καὶ μὴ τῷ τόπῳ, ἀλλὰ τῷ τρόπῳ. Καὶ ὅτι οὐ κολακεύων λέγω ταῦτα, μαρτυρεῖ τὰ πράγματα. Τί γὰρ ἐνελείπετε εἰς τὸν τῆς μετανοίας λόγον; Φθόνον ἐξεβάλετε, τὰ ἀνελεύθερα πάθη ἐξωρίσατε, τὴν ἀρετὴν κατεφυτεύσατε, ὁλόκληρον τὴν νύκτα πανυχίσιν ἁγίαις εὐτονήσαντες, ἀγάπῃ πολλῇ καὶ ἐπιτεταμένῃ [a] διαθέσει. Οὐδεὶς τόκων μέμνηται, οὐδεὶς περὶ πλεονεξίας διαλέγεται, οὐδ' αἱ χεῖρες ἁμαρτημάτων καθαραὶ μόνον, ἀλλὰ καὶ ἡ γλῶσσα ἀπηλλαγμένη παρανομίας καὶ λοιδορίας· οὐδεὶς ὑβρίζει τὸν πλησίον, οὐδεὶς ἐπὶ συμπόσια ἀπέρχεται Σατανικά· αἱ οἰκίαι καθαραὶ, ἡ ἀγορὰ ἀπεσμηγμένη· ἑσπέρα καταλαμβάνει, καὶ οὐδαμοῦ χοροὶ νεανίσκων τὰ τοῦ θεάτρου ᾄδοντες ᾄσματα. Ἀλλ' εἰσὶ χοροὶ μὲν, οὐκ ἀσελγείας δὲ, χοροὶ μὲν, ἀλλὰ κατορθωμάτων· καὶ ἔστιν ἐν ἀγορᾷ ὑμνῳδίας ἀκοῦσαι, καὶ οἶκοι καθημένων, τοῦ μὲν ψάλλοντος, τοῦ δὲ ὑμνοῦντος· καταλαμβάνει νὺξ, καὶ πάντες ἐπὶ τὴν ἐκκλησίαν, τὸν λιμένα τὸν ἀκύμαντον, τὴν γαλήνην τὴν ἀπηλλαγμένην κυμάτων [b]. Ἐνόμιζον ἐγὼ ὅτι μετὰ μίαν καὶ δευτέραν ἡμέραν ἡ ἀγρυπνία διέλυσεν ὑμῶν τὰ σώματα· νῦν δὲ ὅσῳ ἐπιτείνεται ἡ ἀγρυπνία, τοσούτῳ αὔξεται ὑμῶν ὁ πόθος. Οἱ ψάλλοντες ὑμῖν ἀπέκαμον, καὶ ὑμεῖς νεάζετε· οἱ ψάλλοντες ὑμῖν ἠτόνησαν, καὶ ὑμεῖς [720] ἐνευρώθητε. Ποῦ νῦν οἱ πλούσιοι, εἰπέ μοι; μανθανέτωσαν τῶν πενήτων τὴν φιλοσοφίαν. Ἐκεῖνοι καθεύδουσιν, οἱ δὲ πένητες ἐπὶ ἐδάφους οὐ καθεύδουσιν, ἀλλὰ γόνατα κάμπτουσι, Παῦλον καὶ Σίλαν μιμούμενοι. Ἀλλ' ἐκεῖνοι μὲν ἔψαλλον, καὶ τὸ δεσμωτήριον ἔσεισαν, ὑμεῖς δὲ ψάλλετε, καὶ σειομένην τὴν πόλιν ἐστήσατε. Ἀπεναντίας τῶν πραγμάτων τὰ τέλη, ἀλλ' ἑκάτερα ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης εἰσίν. Ἐκεῖνος μὲν γὰρ τὸ δεσμωτήριον ἔσεισεν, ἵνα σαλεύσῃ τῶν ἀπίστων τὴν διάνοιαν, ἵνα λύσῃ τὸν δεσμοφύλακα, ἵνα καταγγείλῃ τὸν λόγον τοῦ Θεοῦ· ἐστήσατε ὑμεῖς τὴν πόλιν, ἵνα λύσητε τὴν ὀργὴν τοῦ Θεοῦ· καὶ ἐκεῖνα καὶ ταῦτα διαφόρως ᾠκονομήθη. Ἀλλ' ὅμως χαίρω, οὐχ ὅτι ἔστη ἡ πόλις, ἀλλ' ὅτι διὰ τῶν εὐχῶν ὑμῶν ἔστη, ὅτι θεμέλια γεγόνασιν αἱ ψαλμῳδίαι ὑμῶν. Ἄνωθεν ἡ ὀργὴ, καὶ κάτωθεν ὑμῶν ἡ φωνή· τὴν ἄνωθεν ῥέουσαν ὀργὴν ἡ κάτωθεν ἀναπεμπομένη φωνὴ ἀνέστειλεν. Ἠνοίγησαν οἱ οὐρανοὶ, καὶ κατηνέχθη ἀπόφασις, τὸ ξίφος ἠκονημένον· ἡ πόλις ἐπὶ τοῦ ἐδάφους, ἡ ὀργὴ ἀπαραίτητος. Οὐδενὸς χρείαν ἔσχομεν, ἀλλὰ μετανοίας, ἀλλὰ δακρύων καὶ στεναγμῶν, καὶ πάντα ἐλύθη· Θεὸς ἀπεφήνατο, καὶ ἡμεῖς τὴν ὀργὴν ἐλύσαμεν. Οὐκ ἂν τις ἁμάρτοι κηδεμόνας ὑμᾶς καὶ σωτῆρας τῆς πόλεως προσειπών. Ποῦ οἱ ἄρχοντες; ποῦ οἱ μεγάλοι σωτῆρες; Ὄντως τῆς πόλεως; ὑμεῖς καὶ πύργοι, καὶ τεῖχος, καὶ ἀσφάλεια. Ἐκεῖνοι μὲν γὰρ διὰ τῆς ἑαυτῶν κακίας τὴν πόλιν ἐσάλευσαν, ὑμεῖς διὰ τῆς οἰκείας ἀρετῆς τὴν πόλιν ἐστήσατε. Κἂν ἐρωτηθῇ τις, πόθεν ἐσείσθη ἡ πόλις, κἂν ἐκεῖνος μὴ εἴπῃ, ὡμολόγηται ὅτι διὰ τὰς ἁμαρτίας, διὰ τὰς πλεονεξίας, διὰ τὰς ἀδικίας, διὰ τὰς παρανομίας, διὰ τὰς ὑπερηφανίας, διὰ τὰς ἡδονὰς, διὰ τὸ ψεῦδος. Τίνος δέ; τῶν πλουσίων. Πάλιν ἂν ἐρωτηθῇ τις πόθεν ἔστη ἡ πόλις, ὡμολόγηται ὅτι διὰ τὰς ψαλμῳδίας, διὰ τὰς εὐχὰς, διὰ τὰς παννυχίδας. Ταῦτα δὲ τίνων; τῶν πενήτων. Τὰ σαλεύσαντα τὴν πόλιν ἐκείνων, τὰ δὲ στήσαντα ὑμέτερα· ὥστε ὑμεῖς σωτῆρες καὶ κηδεμόνες ἐγένεσθε. Ἀλλ' ἐνταῦθα τὸν λόγον καταλύσωμεν ταῖς παννυχίσιν ἐπιμένοντες, ταῖς ψαλμῳδίαις, δόξαν ἀναπέμποντες τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Combefis. διατεταμένῃ. Vatic. male διατεταγμένῃ.

[b] Post κυμάτων supple συντρέχουσι, aut verbum aliquod simile. Edit.

MONITUM.

tamen quam in hoc, etsi admodum exiguo, opusculo. Quia tamen hæc homilia non acumine neque inventione caret, et alioquin, ut jam sæpe dictum est, Chrysostomus non semper sui similis est, hic locum habere potest. Conciones extra urbem et in suburbiis Antiochenis habitas non infrequenter vidimus, quæ solent esse aliis breviores. Prodit autem hæc ex Codice qui in imo margine memoratur.

[721] ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ ΤΟΥ ΙΟΥΔΑ.

Νῦν Δάφνη τερπνὴ καὶ θεοφιλὴς, οὐ μόνον διειδέστατα βλύζουσα νάματα, οὐ κόμας δένδρων χαριεστάτας ἐκτρέφουσα, ἀλλὰ προσλαβοῦσα ξένον φυτὸν τὸν σταυρόν· νῦν σώφρων ἀληθῶς πηγὴ καὶ τῷ Πυθίῳ δαίμονι φοβερά. Οὐκ ἔτι ποτὲ ἀνδρῶν ἀσεβῶν ἀναπεταννῦσα τὸ ἔδαφος, ἀλλ' ὑμῖν τοῖς εὐσεβέσι παρέχουσα τὸ ἄλσος, εἰκόνα ποθουμένου χωρίου ἐκείνου, τοῦ κήπου φημὶ, ἐν ᾧ τοῦ Σωτῆρος ἡ προδοσία τετόλμηται, καὶ τῆς σωτηρίας τῆς ἡμετέρας ἐφυτεύθη τὰ πράγματα. Ἀλλὰ γὰρ οὐκ ἔχω τί φράσαι πρὸς τὴν

παροῦσαν πανήγυριν· ἡ μὲν γὰρ πανήγυρις πρὸς κατηγορίαν τοῦ Ἰούδα τὴν ἐμὴν γλῶσταν κινεῖ, ἡ δὲ φιλανθρωπία τοῦ Σωτῆρος ἐπιστρέφει μου τὸ στόμα πρὸς αὐτήν. Καὶ δύο τούτοις συνέχομαι, μίσει προδότου, πόθῳ Δεσπότου· νικᾷ δὲ πόθος τὸ μῖσος, μεῖζων ὑπάρχων καὶ δυνατώτερος. Διὸ τὸν προδότην καταλιπὼν τὸν εὐεργέτην ὑμνῶ, οὐχ ὅσον ἐστὶν ἄξιος, ἀλλ' ὅσον εἰμὶ δυνατὸς ἀνυμνῶ. Πῶς ἔκλινεν οὐρανοὺς καὶ κατέβη πρὸς τὴν γῆν; πῶς ὁ πᾶσαν κτίσιν πληρῶν ἦλθε πρός με, γενόμενος δι' ἐμὲ, κατ' ἐμέ; πῶς ὃν ᾔδει προδότην ἐσόμενον τοῦτον ἔλαβεν μαθητὴν, καὶ τὸν πολέμιον ὡς φίλον ἐνεκελεύσατο ἀκολουθεῖν αὐτῷ; πῶς οὐκ ἔμελεν αὐτῷ περὶ τῆς προδοσίας, ἀλλὰ περὶ τῆς τοῦ προδιδόντος σωτηρίας ἐφρόντιζεν; *Ὀψίας* γὰρ, φησὶ, *γενομένης, ἀνέκειτο ὁ Ἰησοῦς μετὰ τῶν δώδεκα μαθητῶν αὐτοῦ, καὶ ἐσθιόντων αὐτῶν εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.* Προεῖπεν τὴν προδοσίαν, ἵνα κωλύσῃ τὸ παρανόμημα· ἀπρόσωπον τὴν πρόρρησιν ἐποιήσατο μὴ δυναμένην θριαμβεῦσαι τοῦ μαθητοῦ τὴν παρανομίαν τοὺς συνανακειμένους λανθάνουσαν. Τίς Δεσπότου τοιαύτην φιλανθρωπίαν ἐθεάσατο; Καὶ προδίδοται καὶ τὸν προδότην φιλεῖ. Τίς καταφρονεῖται καὶ ἐλεεῖ; πιπράσκεται καὶ λαμβάνει τὸν κακὸν ἔμπορον ὁμοτράπεζον, καὶ τοῦ ἐπιβουλεύσαντος φείδεται; *Καὶ ἐσθιόντων αὐτῶν εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.* Ὡς ἄνθρωπος ἤσθιεν, καὶ ὡς Θεὸς τὸ μέλλον ἐφώνει· τὰ τῇ ἐμῇ φύσει πρέποντα μετέρχεται δι' ἐμέ. Πάντων δὲ τῶν μαθητῶν πληγέντων ὑπὸ τοῦ ῥήματος, καὶ τὰς ἑαυτῶν συνειδήσεις μαστιζόντων δεινῶς, καὶ τὸν τοῦ δείπνου καιρὸν καιρὸν ποιουμένων ἀθυμίας καιρὸν, ἑκάστου λέγοντος, *Μήτι ἐγώ εἰμι, Κύριε;* καὶ βουλομένων τῷ διὰ τῆς ἐρωτήσεως ῥήματι τὴν ἀμεριμνίαν τῆς κακῆς ὑπονοίας εὑρεῖν, θεραπεύων τὰς τῶν ἀκαίρως πληττομένων ψυχὰς ὁ Σωτὴρ, φανερὸν τὸν ἀγνοούμενον διὰ τῆς ἀποκρίσεως καθίστησιν· *Ὁ ἐμβάψας μετ' ἐμοῦ*, φησὶν, *τὴν χεῖρα ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει· καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ. Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.* Ἐλεεῖ τὸν ἑαυτοῦ ἐλεεῖν μὴ ἐθέλοντα, φείδεται τοῦ μὴ φεισαμένου τῆς οἰκείας ψυχῆς. Παρῃτεῖτο γυμνῶσαι τὸν ἑαυτὸν πάλαι [722] γυμνώσαντα, κἀκείνῳ καιρὸν μετανοίας διδοὺς, καὶ τοὺς λοιποὺς μαθητὰς ἀθυμοῦντας ἰώμενος· ἀλλ' οὐδὲν ἐκ τούτων βελτίων ὁ προδότης ἐγένετο. Δέον γὰρ ἦν αὐτῷ εὐθέως ἐξαναστῆναι τοῦ δείπνου μετ' ἐκεῖνα τὰ φρικωδέστατα ῥήματα, δέον τοὺς συμμαθητὰς παραλαβεῖν πρεσβευτὰς, δέον περιπλακῆναι τοῖς γόνασι τοῦ Σωτῆρος, καὶ τοιούτοις αὐτὸν ἐκμειλίξασθαι ῥήμασιν. Ἥμαρτον, φιλάνθρωπε, ἥμαρτον, ἠνόμησα, τοῖς ἀνθρώποι; πωλήσας ὀλίγου τιμήματος τὸν ἀτίμητον μαργαρίτην, ἠνόμησα τὸν ἀδαπάνητον πλοῦτον ὀλίγων χρημάτων προϊέμενος. Συγχώρησόν μοι τῷ τῆς ζημίας καὶ τῆς ἀπωλείας ἐμπόρῳ, συγχώρησόν μοι τῷ παρὰ τοῦ χρυσοῦ κλαπέντι τὸν λογισμόν· σύγγνωθι τῷ παρὰ τῶν Φαρισαίων ἐξαπατηθέντι κακῶς. Τούτων μὲν τῶν ῥημάτων οὐκ εἶπεν οὐδὲν, οὔτε ἐνενόησεν, διὰ δὲ ταχυτέρας φωνῆς ἐδήλου τὴν τῆς ψυχῆς ἰταμότητα βοῶν· *Μήτι ἐγώ εἰμι, Κύριε;* Ὦ γλώττης ἀναιδοῦς! ὦ ψυχῆς ἀτεράμονος! Ὡς ἀγνοῶν ἐρωτᾷ περὶ ὧν ἡ μελέτη, καὶ λανθάνειν ἐνόμιζεν τὸν ἀκοίμητον ὀφθαλμόν. Ἐπὶ τῆς ψυχῆς τὸν δόλον ἐβάσταζεν, καὶ διὰ τῆς γλώττης τὸν τῆς ἀγνοίας λόγον προέφερεν· τῇ διανοίᾳ τὴν προδοσίαν κατειργάσατο, καὶ τῷ στόματι, ὡς ἐνόμισε, τὴν ἁμαρτίαν ἔκρυπτεν. Τοῖς ῥήμασιν ὁμοίως τοῖς ἄλλοις μαθηταῖς ἐχρήσατο, ὁμοίῳ τρόπῳ μὴ χριώμενος· λύκος ὢν τῇ γνώμῃ, ἀπεκρίνατο τῇ τῶν προβάτων φωνῇ. Τί οὖν πρὸς αὐτὸν ὁ Σωτήρ; *Σὺ εἶπας.* Μακροθύμῳ φωνῇ διήλεγξεν τοῦ πονηροῦ τὴν σκηνήν. Ἠδύνατο μὲν γὰρ εἰπεῖν πρὸς αὐτόν· Τί λέγεις, βδελυρὲ καὶ πονηρέ; τί λέγεις, δοῦλε χρημάτων καὶ τοῦ διαβόλου γνήσιε κοινωνέ; τολμᾷς ἁγνοιαν ὑποκρίνεσθαι; τολμᾷς κρύπτειν τὰ κρύπτεσθαι μὴ δυνάμενα; μὴ γὰρ οὐ παρήμην κακουργοῦντί σοι τῇ θεότητι; μὴ γὰρ οὐκ εἶδόν σε τῷ τῆς θεότητος ὀφθαλμῷ προσιόντα τοῖς ἀρχιερεῦσιν; μὴ γὰρ οὐκ ἤκουον ἁπὼν λέγοντός σου, *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* μὴ γὰρ οὐκ οἶδα καὶ πόσου πέπρακας; Τί οὖν; μετὰ τὸν ἔλεγχον οὕτως ἀναισχυντεῖς; τί σκέπειν φιλονεικεῖς ἃ βούλει πράττειν; ἐμοὶ γυμνὰ τὰ πάντα. Οὕτως ἀποκριθῆναι δυνάμενος ὁ Χριστὸς οὐχ οὕτως ἐφθέγξατο, ἀλλ' ἁπλῶς καὶ ἀνεξικάκως καὶ πράως· *Σὺ εἶπας·* διδάσκων ἡμᾶς τοῖς ἐχθροῖς ἡμῶν οὕτω προσφέρεσθαι. Ὅμως, μετὰ τοσαύτην περιῳδείαν, ἔμεινεν Ἰούδας νοσῶν, ἀλλ' οὐ παρὰ τὴν τοῦ ἰατροῦ ἀμέλειαν, ἀλλὰ παρὰ τὴν τοῦ κάμνοντος. Ὁ μὲν γὰρ προσήγαγε πάντα τὰ τῆς σωτηρίας φάρμακα, ὁ δὲ ταῦτα οὐκ ἠθέλησε δέξασθαι, ἀλλὰ μόνην τὴν φιλαργυρίαν εἰδὼς, ἠγάπησε μᾶλλον τὸν χρυσὸν ἢ τὸν Χριστὸν, καὶ γέγονε περὶ τοὺς μισθωσαμένους εὔνους τε καὶ πιστός. Καὶ προσελθὼν Ἰούδας εἶπε τῷ Χριστῷ· *Χαῖρε, Ῥαββὶ, καὶ κατεφίλησεν αὐτόν.* Ξένος οὗτος προδοσίας τρόπος, ἀπὸ φιλήματος καὶ προσηγορίας ἐρχόμενος. *Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει;* τί μοι χαίρειν ἐπιτάττεις, λυπεῖν προαιρούμενος; τί τῷ ῥήματι θεραπεύεις, πλήττων τῷ πράγματι; καλεῖς διδάσκαλον, μὴ ὢν μαθητής; τί παρατιτρώσκεις τῆς ἀγάπης τὰ δίκαια; τί σημεῖον προδοσίας ποιεῖς τῆς εἰρήνης τὸ σύμβολον; [723] τίνα μιμησάμενος τοῦτο πεποίηκας; Οὕτως εἶδες πρώην τὴν πόρνην φιλοῦσάν μου τοὺς πόδας; οὕτως ἐθεάσω γονυπετοῦντα τὸν ἑκατόνταρχον; οὕτως εἶδες τοὺς δαίμονας ὑποπίπτοντας; Οἶδα τίς σου τοῦ δολεροῦ φιλήματος ὑπέδειξε τὴν ὁδόν· ὁ διάβολος τῆς περιπτύξεως ταύτης τὸν τρόπον ὑπέθετό σοι, σὺ δὲ κακῷ συμβούλῳ πεισθεὶς, ἐκείνου τὸ βούλημα πληροῖς. *Ἑταῖρε, ἐφ' ᾧ πάρει;* πλήρωσον τὰς κακὰς συνθήκας ἃς πρὸς τοὺς Φαρισαίους πεποίησαι· συντέλεσον τὸ γραμματεῖον τῆς πράσεως· ὑπόγραψον ὅπερ ὑπηγόρευσας· παράδος τὸν παραδοθῆναι βουλόμενον· κτῆσαι λοιπὸν μετὰ τοῦ γλωσσοκόμου καὶ τὸ τῆς ἀδικίας βαλάντιον· ὑποχώρησον τῷ λῃστῇ μέλλοντι διὰ τῆς ὁμολογίας λαμβάνειν τὴν τάξιν, ἣν σοι διὰ προδοσίας ἀπώλεσας. *Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.* Καὶ τὸ προφητικὸν ἐκεῖνο λόγιον πέρας ἐλάμβανεν· *Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις·* καὶ πάλιν, *Ἐκύκλωσάν με κύνες πολλοὶ, ταῦροι πίονες περιέσχον με.* Ἀλλ' ὦ τῆς ἀνεξικακίας τῆ, μόνῳ πρεπούσης αὐτῷ! ἐν οὐρανῷ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ μὴ τολμῶντα προσβλέπειν τὴν ὑπερβάλλουσαν δόξαν, αὐτῶν ταῖς πτέρυξι καθάπερ χερσὶ καλύπτει τὰ πρόσωπα, καὶ ἐπὶ τῆς γῆς τῆς σαρκὸς αὐτοῦ κατεχομένης ὑπὸ χειρῶν ἀνόμων, ἡνείχετο. Εἴδετε ποίου μακροθύμου καὶ φιλανθρώπου Δεσπότου καθεστήκατε δοῦλοι; Γίνεσθε οὖν τοιοῦτοι περὶ τοὺς

meum ad se pertrahit Servatoris clementia. Duobus hisce detineor, odio proditoris et amore Domini : at vincit odium amor, utpote major validiorque. Quamobrem relicto proditore, beneficum celebro, non pro illius dignitate, sed pro facultate mea. Quomodo inclinavit cælos, et descendit in terram? quomodo is, qui totum replet mundum, ad me venit, pro me et secundum me factus? quomodo eum, quem proditorem futurum noverat, discipulum accepit? quomodo inimicum se ut amicum sequi jussit? quomodo non de proditione, sed de proditoris salute fuit sollicitus? Nam *Vespere facto*, inquit, *recumbebat Jesus cum duodecim discipulis suis, et manducantibus illis dixit : Amen, amen dico vobis, quod unus vestrum tradet me* (*Matth.* 26. 20. 21). Proditionem prædixit, ut scelus cohiberet. Neminem indicans prædictionem emisit, quæ de discipuli nequitia, recumbentibus occulta, triumphare non potuit. Quis talem umquam Domini benignitatem vidit? Et proditur et proditorem amat. Quis despicitur et misericordia movetur? venditur et nequissimum mercatorem mensæ consortem accipit, et insidiatori parcit? *Et manducantibus illis dixit : Amen, amen dico vobis, quod unus vestrum tradet me* (*Ib. v.* 21). Ut homo comedebat, et ut Deus futura prædicebat : quæ naturæ competunt meæ, ille mei causa subire dignatur. Omnibusque discipulis de tali dicto stupefactis, et conscientiam suam graviter ferientibus, cœnamque in mœroris tempus convertentibus, singulisque dicentibus, *Numquid ego sum, Domine* (*Ib. v.* 22)? ut interrogatione illa molestæ suspicionis levamen invenirent, animis intempestive percussis remedium adhibens Servator, eum qui hactenus occultus fuerat responsione sua declarat : *Qui intingit*, inquit, *mecum manum in catino, hic me tradet. Et Filius quidem hominis vadit, sicut scriptum est de illo. Væ autem homini illi, per quem Filius hominis tradetur : bonum ei erat si natus non fuisset homo ille* (*Ib. v.* 23. 24). Miseratur eum, qui se miserari noluit; parcit ei, qui animæ suæ non pepercerat. Palam facere nolebat eum, qui se jam palam fecerat, illi pœnitentiæ tempus, discipulisque reliquis mœroris medelam suppeditans. Verum nihil hinc melior effectus proditor est. Oportebat enim eum post horrenda hujusmodi verba repente de cœna surgere, oportebat condiscipulos deprecatores adhibere, oportebat Servatoris genua complecti, illumque hujusmodi dictis placare : Peccavi, clementissime, peccavi, inique egi, cum hominibus parvo pretio vendidi inæstimabilem margaritam; inique egi immensum thesaurum pro tenui pecunia prodens. Parce mihi, damni et perniciei mercatori : ignosce mihi, cujus animum auri amor corripuit : ignosce ei qui a Pharisæis nefarie deceptus est. Horum nullum vel protulit, vel cogitavit; sed asperiori voce animi impudentiam patefecit clamando : *Numquid ego sum, Domine?* O linguam impudentem! o animum indomitum! Interrogat ut ignarus eorum, quæ meditabatur, et hoc latere putat oculo numquam sopore clauso. Animo dolum gestat, et lingua ignorantiæ verbum profert : mente jam proditionem fecerat, et ore, ut putat, peccatum obtegit. Iisdem atque alii discipuli utitur verbis, longe dissimilibus cum sit moribus : lupus animo, ovina respondet voce. Quid ad illum Servator? *Tu dixisti*. Toleranti voce improbi scenam coarguit. Poterat enim illi dicere : Quid dicis, exsecrande et scelerate? quid dicis, pecuniarum mancipium, et diaboli consors? audesne ignorantiam simulare? audes obtegere quæ obtegi nequeunt? annon divinitate adstabam tibi indigna molienti? annon divinitatis oculo te vidi adeuntem principes sacerdotum? annon vel absens audiebam te dicentem, *Quid vultis mihi dare, et ego vobis eum tradam* (*Matth.* 26. 15)? an ignoro quanti me vendideris? Quid igitur? itane convictus impudenter agis? quid ea tegere conaris quæ facere cupis? mihi omnia nuda et aperta sunt. Hæc cum respondere posset Christus, non ita loquutus est; sed simpliciter placideque sine ullo indignationis stimulo, *Tu dixisti*; ut nos doceret sic cum inimicis esse agendum. Attamen post tantam circuitionem mansit in morbo Judas, non medici, sed ægrotantis incuria. Ille namque omnia ad salutem remedia admovebat, hic vero ea admittere nolebat; sed unam cum nosset avaritiam, aurum Christo anteponebat, eratque iis, qui se conduxerant, benevolus atque fidelis. Accedens vero Judas Christo dixit : *Ave, Rabbi; et osculatus est eum* (*Ib. v.* 49). Novus sane proditionis modus, ab osculo et compellatione prodiens. *Jesus autem dixit illi : Amice, ad quid venisti* (*Ib. v.* 50)? quid me gaudere jubes, dum mihi malum inferre cogitas? quid me verbo delinis, dum opere percutis? vocas magistrum, cum non sis discipulus? quid caritatis jura confodis? cur pacis symbolum in signum proditionis convertis? cujusnam exemplo hoc peragis? Num sic vidisti nuper meretricem pedes osculantem meos? num sic vidisti centurionem in genua procumbentem? num forte dæmonas ita succumbentes vidisti? Novi quis tibi dolosi osculi viam monstraverit : diabolus tibi talis amplexus modum suggessit, tu vero improbo consiliario obtemperans, ejus voluntatem exsequeris. *Amice, ad quid venisti?* iniqua pacta imple, quæ cum Pharisæis iniisti : venditionis syngraphum absolve : subscribe illi negotio quod pollicitus es : prode eum, qui prodi cupit : jam præter loculos venditionis marsupium posside : cede latroni, qui per confessionem ordinem adepturus est, quem tu per proditionem amisisti. *Tunc accedentes injecerunt manus in Jesum, et tenuerunt eum* (*Ibid.*). Tunc completum est propheticum illud eloquium : *Circumdederunt me sicut apes favum, et exarserunt sicut ignis in spinis* (*Psal.* 117. 12); ac rursum : *Circumdederunt me canes multi, tauri pingues obsederunt me* (*Psal.* 21. 17). Verum o tolerantiam, quæ soli ipsi competit! In cælo Cherubim et Seraphim cum non audeant respicere sublimem ejus gloriam, vultum suum alis ceu manibus operiunt, et in terra dum caro ejus manibus iniquorum teneretur, id ille patiebatur. Videtisne quam patientis et benigni Domini

servi sitis? Iidem ergo estote erga inimicos conservos vestros, qualem erga inimicos suos Dominum vidistis. Etenim vos quoque ad cœnam spiritualem vocandi estis : cum Domino recumbendum vobis erit : ne quis in vobis Judas moribus reperiatur : omnes cum pace et tranquillitate accedite ; omnes cum pura conscientia Servatori accurramus. Ipse namque est fidelium jejunium atque convivium : hic nutritius atque nutrimentum, hic pastor et ovis. Ipsi gloria in sæcula sæculorum. Amen.

S. JOANNIS CHRYSOSTOMI

MONITUM

Non paucas peregrinitatis notas in hac homilia deprehendimus. Stylus omnino diversus ; illa Chrysostomi inventio, qua cæteris præcellit scriptoribus, hic non comparet. Ratio compellandi auditores, nempe φιλόχριστοι, quam hic usurpat, in germanis Chrysostomi operibus vix reperiatur. Non immerito igitur et Combefisius, qui hanc concionem, quasi nondum emissam publicavit anno 1656, tametsi ea emissa fuerat in Editione Chrysostomi Operum Parisina, anno 1636, eam licet Chrysostomi nomine dederit, alii adscribi posse auctori censuit. Parem circa illam exhibet scrupulum Tillemontius. Certe cum,

IN COMMEMORATIONEM S. BASSI. HABITUS EST SERMO DE TIMORE, ET DE VERBIS ILLIS, DISCITE A ME QUIA MITIS SUM, ET HUMILIS CORDE (*a*).

1. Nos quidem par erat, postquam in vos tantus de more fons orationis effusus est, et cum hoc tempore, atque a præcedentibus sacerdotibus ac doctoribus copiosa vobis spiritualis est instructa mensa, pauperculas nostrorum verborum stillas reprimere, cum præsertim diuturna corporis ægritudine, ac vocis imbecillitate, atque adeo curis sibi succedentibus præpediti simus, o Christi amantes auditores ; sed quoniam inexplebili concionum sacrarum amore correpti nos ad dicendum invitatis, age Salvatoris gratia bene juvante paucis probitati vestræ, quæ tempori quadrent et conveniant, apponamus. Hoc enim et nobis qui dicimus, et vobis qui auditis aptius est, opinor, qui ratione ac mente vobis quæ meliora sunt et utilia comparatis. Ac sanctus quidem et celebris martyr et episcopus Bassus, qui sacrum nobis hunc conventum hodie congregavit, iis præmiis, quæ suis promeruit certaminibus, jam potitur, nec ulla nostrarum laudum collatione vel pensione nunc indiget, sed pro nobis, ut solet, ad Dominum preces fundit, utpote qui propter agonem martyrii loquendi libertate gratiaque plurimum valeat, et immortalitatis corona donatus sit, quam etiam Christus fidelibus præparavit. Copiosa sunt enim, ut testatur apostolus, Dei dona, qui et olim martyrum munera iis, qui sincere ipsum invocant, dilargitus est, et nunc præcipue cum annua paulo post memoria timoris illius celebranda sit, et ad Deum laudandum ob terribiles illas minas benigna et misericors ira Dei nos provocet. Vidimus enim revera furorem, ex quo benignitas coruscabat, cum nos undique timor terræ motus obsideret, cum creaturas omnes concuti cerneremus, ac pavimentum magno impetu quassari, Salvator autem miserationum suarum nequaquam oblivisceretur, cum acerbum interitum exspectaremus, cum nostras ædes continuo sepulcra nostra futuras putaremus, cum agitatione detenti locum modumve perfugii nullum reperiremus, cum ad medium diei pervenientes nequaquam visuros nos vesperam speraremus, cum sursum [1] appensus gladius immineret, ac deorsum beneficentia se cum precibus strenue gereret, cum una voce populi, Domine miserere, clamarent, et Dominus miserationibus flecteretur : qui enim intuitu solo commovet, manu tremente creaturam sedavit. Cur non paucis ista complector ? quo tempore, nisi Dominus Sabaoth adjuvisset nos, paulo minus habitasset in inferno anima nostra (*Psal.* 93. 17). Quem enim non stupore defigit magnitudo mi-

(*a*) Collata cum Mss. Regio 1974, et Colbert. 3038, qui mendis scatent.

[1] Sic Mss. Editi vero, *extrinsecus*.